FRANCKESCHE STIFTUNGEN

Franckesche Stiftungen zu Halle

Tu Makariu Theodōritu Episkopu Kyru Hermēneia Eis Tus Psalmus

Theodoretus <Cyrrhensis>

En Chalē tē Magdeburgikē, Et. 1768.

VD18 13072730

[II.]

Nutzungsbedingungen
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

Terms of use
All digital documents of the Francke-Portal are protected by copyright. They may be downladed and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-212535

Visual Library

ΕΡΜΗΝΕΙΑ ΤΟΥ α΄ ΨΑΛΜΟΥ.

Ἀνεπίγραφος παρ' Ἑβραίοις.

α΄. Μακάριος ἀνὴρ, ὃς ἐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν ἐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. Ἐντεῦθεν ῥᾴδιον συνιδεῖν, ὡς πάλαι παρ' Ἑβραίοις τὰς ἐπιγραφὰς εὑρόντες οἱ τὰς θείας ἡρμηνευκότες γραφὰς, ταύτας μετέθεσαν εἰς τὴν Ἑλλάδα φωνήν. τοῦτον γὰρ καὶ τὸν μετ' αὐτὸν ψαλμὸν ἀνεπιγράφους εὑρόντες ἀνεπιγράφους κατέλιπον· οὐ τολμήσαντές τι προσθεῖναι παρ' ἑαυτῶν τοῖς λογίοις τοῦ πνεύματος. τινὲς μέν τοι τῶν τὰς ὑποθέσεις τῶν ψαλμῶν συγγεγραφότων ἠθικὴν τοῦτον ἔφασαν τὸν ψαλμὸν περιέχειν διδασκαλίαν· ἐμοὶ δὲ οὐχ ἧττον δογματικὸς ἢ ἠθικὸς ἔδοξεν εἶναι. περιέχει γὰρ ἐχ ἁμαρτωλῶν μόνον, ἀλλὰ καὶ ἀσεβῶν κατηγορίαν, καὶ παραινεῖ τοῖς θείοις λόγοις προσέχειν διηνεκῶς· ἐξ ὧν οὐκ ἠθικὴν μόνον, ἀλλὰ καὶ δογματικὴν ὠφέλειαν καρπούμεθα. ἁρμοδίως δὲ λίαν ὁ μέγας Δαβὶδ μακαρισμὸν τῆς οἰκείας αὐτοῦ προτέθεικε συγγραφῆς, τὸν ἑαυτοῦ υἱὸν ὁμοῦ καὶ δεσπότην μιμούμενος, τὸν σωτῆρα λέγω Χριστόν· ὅστις πρὸς τοὺς ἱεροὺς μαθητὰς διδασκαλίας ἀπὸ μακαρισμῶν ἤρξατο, μακάριοι, λέγων, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· υἱὸς δὲ τοῦ Δαβὶδ ὁ Δεσπότης Χριστὸς ὡς ἄνθρωπος κατὰ τὴν τῶν ἱερῶν εὐαγγελίων φωνήν. βίβλος γὰρ γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Ἀβραάμ. Κύριος δὲ αὐτοῦ καὶ ποιητὴς, ὡς Θεός. αὐτοῦ γάρ ἐστιν ἡ φωνὴ, εἶπεν ὁ Κύριος

τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. μακαρίζει τοίνυν τὸν μήτε τοῖς ἀσεβέσιν ὁδοῦ κοινωνήσαντα, μήτε βεβαίαν τῶν ἁμαρτωλῶν δεξάμενον τὴν βουλήν· τοῦτο γὰρ δὴ φασιν ἐκάλεσε· καὶ τὴν μόνιμον τῶν λοιμῶν φυγόντα διαφθοράν. τὸ δὲ μακάριος ὄνομα θείαν μὲν ὑπάρχει προσηγορίαν. καὶ μάρτυς ὁ θεῖος ἀπόστολος βοῶν, ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων. μετέδωκε δὲ καὶ ταύτης τοῖς ἀνθρώποις, ὥσπερ καὶ τῶν ἄλλων, ὁ Δεσπότης Θεός. καὶ γὰρ πιστὸς καλούμενος· πιστὸς γάρ φησιν ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ· καὶ ὁ μακάριος Μωσῆς, Θεὸς φησι πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· ἐκάλεσε καὶ τῶν ἀνθρώπων πιστοὺς τοὺς ἀναμφιβόλως δεχομένους αὐτοῦ τοὺς λόγους· οὕτω Θεὸς ὢν καὶ καλούμενος μετέδωκε καὶ ταύτης τῆς κλήσεως τοῖς ἀνθρώποις ὁ μεγαλόδωρος, καὶ βοᾷ, ἐγὼ εἶπον, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε. τὸ οὖν μακάριος ὄνομα τῆς κατ' ἀρετὴν τελειώσεως ὑπάρχει καιρός. ὥσπερ γὰρ καὶ ἕκαστον τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων εἰς τὸ τέλος ὁρᾷ· ἀθλητικὴ μὲν οὖν εἰς τοὺς ἐκ κοτίνου στεφάνους, στρατηγικὴ τε εἰς νίκας καὶ τρόπαια· καὶ μέν τοι καὶ ἰατρικὴ εἰς ὑγίειαν καὶ νόσων ἀπαλλαγήν, καὶ ἐμπορικὴ εἰς συλλογὴν χρημάτων καὶ πλούτου περιουσίαν· οὕτως καὶ ἡ τῆς ἀρετῆς ἐπιστήμη καρπὸν ἔχει καὶ τέλος τὸν θεῖον μακαρισμόν. μηδεὶς δὲ ἄνδρα μόνον ὁρῶν ἐνταῦθα μακαριζόμενον, ἐσερῆσθαι νομίσῃ τοῦδε τοῦ μακαρισμοῦ τῶν γυναικῶν τὸ γένος. οὐδὲ γὰρ ὁ Δεσπότης Χριστὸς ἀρρενικῶς τοὺς μακαρισμοὺς κηματίσας ἀπηγόρευσε ταῖς γυναιξὶ κτῆσιν τῆς ἀρετῆς. συμπεριλαμβάνει γὰρ τοῖς ἀνδράσι καὶ τὰς γυναῖκας ὁ λόγος. κεφαλὴ γὰρ γυναικὸς ὁ ἀνὴρ, ἧ φησιν ὁ θεῖος ἀπόστολος. συνάπτεται δὲ τῇ κεφαλῇ τὰ μέλη τοῦ σώματος, καὶ κεφαλῆς σεφανουμένης ἀγάλλεται· οὕτω καὶ πρός τινα διαλεγόμενοι, καὶ φίλην αὐτὸν κεφαλὴν ὀνομάζοντες, οὐ χωρίζομεν τῶν μορίων τοῦ σώματος· ἀλλ' ἀπὸ μέρους τὸ πᾶν προσφθεγγόμεθα. οὐχ ἁπλῶς δὲ πρῶτον ὁδοῦ, εἶτα στάσεως, εἶτα καθέδρας ἐμνημόνευσεν· ἀλλ' εἰδὼς ἀκριβῶς, ὡς κίνησιν μὲν πρῶτον ὁ λογισμὸς ὑπομένει, εἴτε φαῦλος, εἴτε σπουδαῖος εἴη· εἶτα στάσιν, εἶτά τινα ἕδραίαν βεβαίωσιν. παραινεῖ τοίνυν, μήτε τῷ νῷ παραδέχεσθαι δυσσεβῆ τινὰ ἔννοιαν, μήτε ἐπὶ πρᾶξιν ὁδεῦσαι παράνομον· ἀσεβεῖς δὲ φίλον τῇ θείᾳ γραφῇ καλεῖν τοὺς ἀθεΐαν, ἢ πολυθεΐαν θρησκεύοντας· ἁμαρτωλοὺς δὲ, τοὺς παρανομίᾳ συζῆν προαιρουμένους, καὶ βίον διεφθαρμένον ἀσπαζομένους· λοιμοὺς δὲ, τοὺς μὴ μόνον σφᾶς αὐτοὺς λυμαινομένους, ἀλλὰ καὶ ἑτέροις τῆς λύμης μεταδιδόντας, κατὰ τὴν ἐπισκήπτουσαν καὶ ἀνθρώποις καὶ κτήνεσι νόσον, ἧς μεταλαγχάνουσιν οἱ τοῖς νοσοῦσι πελάζοντες. διὸ φεύγειν ὁ λόγος παρακελεύεται καὶ τὰ τούτων συνέδρια. ἐπειδὴ δὲ οὐκ ἀπόχρη εἰς ἀρετῆς τελείωσιν τῆς κακίας φυγή· ἔκκλινον γάρ φησιν ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· καὶ ὁ μακάριος Ἡσαΐας, παύσασθε

σαθὲ φησιν ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε ποιεῖν καλόν· μάλα εἰκότως ἐπήγαγεν ὁ μακάριος Δαβίδ. β'. Ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Προσήκει δὲ οὐ μόνον τὰ προειρημένα βδελύξασθαι. ἀλλὰ καὶ τῷ θείῳ νόμῳ νύκτωρ καὶ μεθ' ἡμέραν προσέχειν, κἀκεῖνα θέλειν ἃ ὁ θεῖος νόμος ὑπαγορεύει, καὶ κατὰ τὸν ἐκείνου σκοπὸν τὸν οἰκεῖον βίον εὐθύνειν. ἔτω γὰρ καὶ ὁ τῶν ὅλων Θεὸς διὰ Μωσέως ἐνομοθέτησε λέγων· ἔσαι τὰ ῥήματα τοῦ νόμου τούτου διὰ παντὸς ἐν τῷ στόματί σου, καὶ μελετήσεις ἐν αὐτοῖς καθήμενος, καὶ διανιστάμενος, καὶ κοιταζόμενος, καὶ πορευόμενος ἐν ὁδῷ· καὶ ἁπαρτήσεις αὐτὰ τῆς χειρός σε, καὶ ἔσαι ἀσάλευτα πρὸ ὀφθαλμῶν σε. εἶτα δείκνυσι τὸν καρπὸν τὸν ἐντεῦθεν φυόμενον. γ'. Ἔσαι γάρ φησιν, ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. δ'. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. Μιμεῖται γὰρ ὑδάτων ἄῤῥειαν τὰ τοῦ θείου πνεύματος νάματα· καὶ καθάπερ ἐκεῖνα τὰ παραφυτευόμενα δένδρα τεθηλέναι ποιεῖ, ἔτω ταῦτα παρασκευάζει τοὺς θείους φέρειν καρπούς. ἔ δὴ χάριν καὶ ὁ δεσπότης Χριστὸς ὕδωρ τὴν οἰκείαν διδασκαλίαν ὠνόμασεν. εἴ τις γάρ φησι διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω, καὶ ἔσαι τὸ ὕδωρ ὃ ἐγὼ δώσω αὐτῷ πηγὴ ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον· καὶ πάλιν, ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· καὶ μέντοι καὶ πρὸς τὴν Σαμαρῖτιν· ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, ὃ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα. ἔτω καὶ διὰ Ἡσαΐου τοῦ προφήτου φησιν, ὅτι ἐγὼ δώσω ἐν ὄψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ· καὶ ἀνοίξω ἐπὶ τῶν ὀρέων πηγὰς, καὶ ἐπὶ τῶν βουνῶν ποταμοὺς, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, τὸν λαόν μου ὃν περιεποιησάμην. εἰκότως τοίνυν καὶ ὁ μακάριος Δαβὶδ τὸν τοῖς θείοις λογίοις ἐσχολακότα δένδροις ἀπείκασε παρὰ τὰς τῶν ὑδάτων ὄχθας πεφυτευμένοις, καὶ ἀειθαλῆ μὲν ἔχουσι τὰ φύλλα, τὸν δὲ καρπὸν φέρουσιν εἰς καιρόν. καὶ γὰρ οἱ τῆς ἀρετῆς ἀθληταὶ τῶν μὲν πόνων κατὰ τὸν μέλλοντα βίον κομίσονται τοὺς καρπούς· οἷον δέ τινα φύλλα, τὴν ἀγαθὴν ἐλπίδα διηνεκῶς ἐν ἑαυτοῖς φέροντες τεθήλασι καὶ ἀγάλλονται, καὶ συλῶσι τῇ ψυχαγωγίᾳ τὴν τῶν πόνων βαρύτητα· ἔχουσι δὲ καὶ τὸν μεγαλόδωρον Δεσπότην τῇ προθυμίᾳ συνεργοῦντα διηνεκῶς· τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν, φησὶν ὁ θεῖος ἀπόστολος, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. διό τοι τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ. καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· παρὰ Κυρίῳ γάρ φησι τὰ διαβήματα ἀνδρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. τὸ δὲ πάντα ἐχ ἁπλῶς τέθεικεν, ἀλλὰ σὺν ἀκριβείᾳ πολλῇ. πρότερον γὰρ ἅπαντα τῆς κακίας ἀπαγορεύσας τὰ εἴδη, καὶ τῶν θείων νόμων ὑποδείξας τὴν τελειότητα, ἔτως ἐπήγαγε, πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· εἰδὼς ὡς ἐδὲν ἐναντίον

τίαν τοῖς νόμοις ὅ γε τοιοῦτος δρᾶσαι βουλήσεται, τῷ θείῳ νόμῳ τὸ οἰκεῖον θέλημα συναρμόττων· ἐν γὰρ τῷ νόμῳ φησὶ Κυρίου τὸ θέλημα αὐτοῦ. ἕτω διὰ τοῦτο προτρέψας εἰς ἀρετὴν, καὶ τὴν τελείαν ἐκπαιδεύσας Φιλοσοφίαν, καὶ διὰ τῶν ἐναντίων ἀλείφει τοὺς ἀθλητὰς, καί φησιν, ε'. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως. Τῷ διαπλασιασμῷ τῆς ἀπαγορεύσεως σαφέστερον τὴν ἐναντιότητα δείκνυσιν. ἀλλ' ἢ ὥσει χνοῦς, ὃν ἐρίπλει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Ἐκεῖνοι μὲν γάρ φησιν ὑπὸ τῶν θείων λογίων ἀρδόμενοι, ἀειθαλεῖς τε εἰσὶ, καὶ ὥριμον φέρουσι τὸν καρπόν· ἕτοι δὲ ὑπὸ τῶν ἐναντίων πνευμάτων πατούμενοι μιμοῦνται τὸν χοῦν τὸν τῇδε καὶκεῖσε ῥᾳδίως ὑπὸ τῶν ἀνέμων τῶν ἐναντίων φερόμενον. ς'. Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδ' ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. Μετὰ πολλῆς ἀκριβείας διέξεισιν ἅπαντα τὸ πανάγιον πνεῦμα. οὐ γὰρ εἶπεν, οὐκ ἀναστήσονται ἀσεβεῖς, ἀλλ' εἰς κρίσιν οὐκ ἀναστήσονται· ἀντὶ τοῦ, οὐκ εἰς κρίσιν, ἀλλ' εἰς κατάκρισιν· οὔτε γὰρ ἐλέγχων δέονται, προφανῆ τὴν ἀσέβειαν ἔχοντες, ἀλλὰ τὴν τιμωρίαν μόνην προσδέχονται· καθάπερ γὰρ τοὺς ἐπ' αὐτοφώρῳ ἁλόντας ἀνδροφόνους οὐκ ἐπὶ τὸ διελέγξαι εἰς τὸ δικαστήριον εἰσάγουσιν οἱ δικάζοντες, ἀλλ' ὥστε τὴν τοῖς νόμοις δοκοῦσαν ψῆφον ἐξενεγκεῖν κατ' αὐτῶν· ἕτω καὶ οἱ ἀσέβειαν συνεζηκότες εὐθὺς μετὰ τὴν ἀνάστασιν τὴν κόλασιν ὑπομένουσιν, οὐκ εἰς κρίσιν ἀγόμενοι, ἀλλὰ τῆς τιμωρίας τὴν ψῆφον δεχόμενοι. καὶ μέντοι καὶ οἱ τῶν δυσσεβῶν δογμάτων ἀπηλλαγμένοι, βίον δὲ βεβιωκότες παράνομον, πόρρω που τῶν δικαίων συλλόγου γενήσονται. τὴν γάρ τοι βουλὴν ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων συναγωγὴν ἡρμηνεύκασι, συνέλευσιν δὲ ὁ Σύμμαχος. ζ'. Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. Οἶδέ φησιν ἅπαντα καὶ πρὸ κρίσεως ὁ δίκαιος κριτὴς, καὶ οὔτε ἀποδείξεων, οὔτε ἐλέγχων προσδεῖται. διόπερ τὰ πρὸς ἀξίαν ἀπονέμων ἐπάξω, τοὺς μὲν ἀναῤῥήσεων καὶ ξεφάνων ἀξιώσει, τοὺς δὲ διηνεκεῖ παραπέμψει κολάσει. τὸ δὲ ὁδὸς ἀσεβῶν ἀπολεῖται, ἔοικε τοῖς ἀποσολικοῖς ἐκείνοις ῥητοῖς, εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται. τῶν μὲν γὰρ δικαίων ἀνδρῶν καὶ τὸ ἔργον μένει διαλάμπον· τοῖς δὲ ἀσεβέσι καὶ ἀνοσίοις ἀνθρώποις καὶ ἡ πονηρία συγκαταλύεται.

ΕΡΜΗΝ. ΤΟΥ β' ΨΑΛΜΟΥ.

Ἀνεπίγραφος παρ' Ἑβραίοις.

Ἐν τῇ μνήμῃ τῶν ἀσεβῶν τὸν πρῶτον συμπεράνας ψαλμὸν, ἐκ ταύτης πάλιν τοῦ δευτέρου τὴν ἀρχὴν ἐποιήσατο· διδάσκων ὅτι τὸ προειρημένον τῶν ἀσεβῶν τέλος, καὶ τοὺς κατὰ τοῦ σωτῆρος λυτλήσαντας βασιλέας τε καὶ ἄρχοντας, καὶ Ἰουδαίους, καὶ ἐθνικοὺς ὑποδέξεται. ἐν γὰρ τῷ δευτέρῳ ψαλμῷ τὸ Δεσπότου Χριστοῦ, καὶ τὰ ἀνθρώπινα πάθη, καὶ τὴν βασιλείαν προαγορεύει· καὶ μέντοι καὶ τῶν ἐθνῶν προδεσπίζει τὴν κλῆσιν, καὶ τὴν Ἰουδαίων ἀπιστίαν θρηνεῖ. τὸ γὰρ ἵνα τί ἐφρύαξαν ἔθνη,

ἔθνη, ὀδυρομένου ἐστὶ καὶ μεμφομένου τὴν ἄνοιαν. οὐ χρεία δὲ ἡμῖν λόγων εἰς ἑρμηνείαν πολλῶν, τῷ θεσπεσίῳ Πέτρῳ, τοῦ κορυφαίου τῶν ἀποστόλων, ἐν ταῖς πράξεσι τεθεικότος τὴν ἑρμηνείαν, καὶ Ἡρῴδην, καὶ Πόντιον Πιλάτον, καὶ τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς, βασιλεάς τε, καὶ ἄρχοντας ὀνομάσαντος. ὁ μὲν γὰρ ὑπὸ τοῦ Ῥωμαίων ἀπέσταλτο βασιλέως, τὴν ἐκείνου διέπων ἀρχήν· ὁ δὲ τοπάρχης Ἰουδαίων κατ' ἐκεῖνον ἐτύγχανε τὸν καιρόν. καὶ ὁ μὲν εἶχεν ἐξ Ἰουδαίων ὑπηκόους, ὁ δὲ τοὺς ἐξ ἐθνῶν στρατιώτας. ἀλλ' ὅμως κατὰ ταυτὸν γενόμενοι, καὶ τὸν δεσποτικὸν τυρεύσαντες φόνον, κενὰ καὶ μάταια ἐβουλεύσαντο, λήθῃ παραδοῦναι μὴ δυνηθέντες τὸν ὑπ' αὐτῶν σταυρωθέντα. τῇ τρίτῃ γὰρ ἀναστὰς ἡμέρᾳ τῆς οἰκουμένης ἐκράτησε. προσφυῶς δὲ μάλα, καὶ λίαν εἰκότως, τὸ ἐμελέτησαν κενὰ τῷ τοῦ λαοῦ προσώπῳ συνήρμοσεν. Ἰουδαῖοι γὰρ τὴν πονηρὰν ταύτην ἐποιήσαντο κατὰ τοῦ σωτῆρος μελέτην. καὶ μάρτυς ἡ τῶν ἱερῶν εὐαγγελίων φωνή, διδάσκουσα, ὡς ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν, καὶ ὁ Καϊάφας βοῶν, συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τὸ δὲ ἐφρύαξαν ὁ μὲν Ἀκύλας, ἐθορυβήθησαν, ὁ δὲ Σύμμαχος κυκᾷ ἡρμήνευσαν. τοῦτο δὲ, τῷ τῶν ἐθνῶν προσώπῳ προσκείμενον. ὑποβάλλει νοεῖν ὡς Ἰουδαίων τῷ Πιλάτῳ τὸν Ἰησοῦν οἷόν τινα τύραννον προσαγαγόντων, καὶ δεῖν αὐτὸν ἀναιρεθῆναι πολλάκις εἰρηκότων, ἅκων ἐκεῖνος τὴν θανατηφόρον ἐξενήνοχε ψῆφον, δείσας ὡς εἰκὸς ἀπολῦσαι, μή τις ἐντεῦθεν γραφὴ κατ' αὐτοῦ τυρευθῇ. ὡς γὰρ ὁ μακάριος ἔφη Λουκᾶς, κατηγόρουν αὐτοῦ λέγοντες, τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρον διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. α'. Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; β'. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Οὐ λέγει τὰ ἔθνη μετὰ τοῦ ἄρθρου, ἵνα πάντας περιλαμβάνεσθαι νομίσῃς· ἀλλ' ἔθνη, ἐπὶ μερικόν τι ἄγων τὴν ἔννοιαν. ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι λαβόντες τοῖς ἔθνεσιν αὐτὸν ἐξέδωκαν, διὰ τοῦτο ταῦτά φησι· τίς ἡ τοσαύτη φησὶν αἰτία, ἢ τί τὸ γεγονὸς, ὡς καὶ τοὺς λαοὺς συγκινηθῆναι κατ' αὐτοῦ, καὶ εἰς χεῖρας αὐτὸν παραδοθῆναι τῶν ἐθνῶν; τὸ δὲ ἐφρύαξαν, ἀντὶ τοῦ ἠλαζονεύσαντο. γ'. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ γὰρ μὴ τιμῶν, φησὶ, τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμᾷ· καὶ εἰκότως μετὰ τοῦ υἱοῦ, καὶ τοῦ πατρὸς τὸν ζυγὸν ἀποπέμπονται. ἐμοὶ δὲ δοκεῖ τοῖς πεπιστευκόσι παρεγγυᾶν τὸ πανάγιον πνεῦμα ταῦτα λέγειν, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, τῶν δυσσεβῶν ἐθνῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν, τῶν παρανόμων Ἰουδαίων, καὶ λάβωμεν ἐφ' ἡμᾶς τὸν χρηστὸν τοῦ Κυρίου ζυγόν. αὐτοῦ γάρ ἐστιν ἡ φωνὴ, λάβετε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. καὶ αὐτὸς δὲ ὁ νόμος ζυγὸς ὑπὸ τῶν θείων

ἀποστόλων προσηγορεύθη. ὁ γὰρ θεσπέσιος Πέτρος περὶ τούτου φησὶν ἐν ταῖς πράξεσι· τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλ' ἢ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι. τούτοις ἔοικε καὶ τὰ προφητικὰ ῥήματα, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν· τουτέστιν ἀποσήσωμεν τὴν ἑαυτῶν καρδίαν τῷ ὑπ' αὐτοῖς εἶναι θέλειν· ἀποτιναξώμεθα τὸν τοῦ νόμου ζυγόν. μηδὲν ἡγώμεθα τὰ ἐν τύποις, εἰ μὴ νοοῖντο πνευματικῶς· ἀσυντελὴς καταλογιζέσθω πρὸς ὄνησιν ἡ σκιὰ, εἰ μὴ τῷ Χριστῷ μυστήριον ἐφ' ἑαυτῇ ζωγραφεῖ. δ'. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Ὁ γὰρ ὑπ' αὐτῶν προσηλωθεὶς, καὶ θανάτῳ παραδοθεὶς, ἐν οὐρανοῖς ὢν, καὶ τὰ πάντα περιέχων, κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς βουλάς. καὶ ὁ τούτου δὲ πατὴρ, καὶ τῶν ἁπάντων Δεσπότης, τὴν ἀξίαν αὐτοὺς εἰσπράξεται δίκην. ε'. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Καὶ τέτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν διδάσκει τῶν πραγμάτων τὸ τέλος· στρατιὰ γὰρ αὐτοῖς ἐπισᾶσα Ῥωμαϊκὴ τήν τε πόλιν ἐπόρθησε, καὶ ἐνέπρησε τὸν νεὼν, καὶ αὐτῶν τοὺς μὲν πλείους θανάτῳ παρέπεμψε, τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας ἐξανδραποδίσασα, δουλείᾳ παρέδωκεν. ἐπισῆσαι δὲ προσήκει τὸν νοῦν, ὡς δύο προσώπων ἐφεξῆς μέμνηται· καὶ πρῶτον μὲν Κυρίῳ καὶ Χριστοῦ. κατὰ τῷ Κυρίῳ γὰρ ἔφη, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· εἶτα κατοικοῦντος ἐν οὐρανοῖς καὶ Κυρίου· ὁ κατοικῶν γὰρ ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς· καὶ αὖθις δὲ τὸ αὐτὸ διετήρησε σχῆμα. ς'. Ἐγὼ δὲ κατεσάθην βασιλεὺς ὑπ' αὐτοῦ. Καὶ ἐνταῦθα δὲ εἶξαι προσήκει, καὶ τότε ἐπαγαγεῖν, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου. οὐ γὰρ τοῦ Σιὼν ὄρους βασιλεύει μόνου, ἀλλ' ὁρατῶν καὶ ἀοράτων, καὶ πάσης τῆς κτίσεως. ἐπὶ δὲ τοῦ Σιὼν ὄρους, καὶ τῆς Ἰουδαίας, τὴν θείαν αὐτοῦ διδασκαλίαν τοῖς προσιοῦσι προσήνεγκεν. οἱ δέ γε ταύτην δεξάμενοι μετωχέτευσαν εἰς ἅπασαν τὴν οἰκουμένην τὰ νάματα, τοῖς θείοις αὐτοῦ πειθόμενοι προστάγμασι. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. τὸ δὲ, ἐγὼ κατεσάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἀνθρωπίνως λέγει· ὡς γὰρ Θεὸς, ἔμφυτον ἔχει τὴν βασιλείαν· ὡς δὲ ἄνθρωπος, χειροτονητὴν δέχεται ταύτην· ὅτι δὲ ὡς Θεὸς ἄναρχον ἔχει τὸ κράτος, ὁ αὐτὸς διδάσκει προφήτης λέγων, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. τοῦτον δὲ τὸν ψαλμὸν ὁ μακάριος Παῦλος εἰς τὸν υἱὸν εἰρῆσθαί φησιν· ἀλλ' ὅμως καὶ ἔχει τὴν βασιλείαν ὡς Θεὸς, καὶ λαμβάνει ὡς ἄνθρωπος. ἅτως ὕψιστος ὀνομαζόμενος ὡς Θεὸς, ὑψώθη ὡς ἄνθρωπος. καὶ ὁ μὲν Δαβὶδ τὸ θεῖον ὕψος κηρύττων βοᾷ, γνώτωσαν ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· καὶ ὁ Ζαχαρίας πρὸς τὸν Ἰωάννην,

άννην, καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ. τὸ δ' ἀνθρώπινον ὕψος ὁ μακάριος Παῦλος διδάσκει λέγων, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ μὴν τὸ υἱὸς μονογενὴς ὄνομα πρὸ τῶν αἰώνων εἶχεν ὁ Θεὸς λόγος τῷ πράγματι συμφυές· ἀλλ' ὅμως ἔχων ὡς Θεὸς τὴν τοῦ υἱοῦ προσηγορίαν, λαμβάνει αὐτὴν καὶ ὡς ἄνθρωπος. διὸ καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ ἐπήγαγε λέγων. ζ. Κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Ταύτην δὲ τὴν φωνὴν οὐκ ἄν τις, τῇ τοῦ θείου πνεύματος διδασκαλίᾳ πειθόμενος, τῇ θεότητι προσάψοι τοῦ Δεσπότου Χριστοῦ· περὶ γὰρ ἐκείνης ἀκούσωμεν τοῦ Θεοῦ τῶν ὅλων διὰ τοῦ Δαβὶδ λέγοντος, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ὡς ἄνθρωπος τοίνυν καὶ ταύτην δέχεται τὴν φωνὴν, ὡς ἄνθρωπος καὶ τῶν ἑπαγομένων ἀκούει. ἡ. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ὡς γὰρ Θεὸς ποιητής ἐστι τῶν ἁπάντων· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν· καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα. εἰ Δεσπότης ἐστὶ καὶ δημιουργὸς τῶν ὅλων, καὶ Δεσπότης ἐστὶ καὶ Κύριος ὧν ἐποίησεν· ἀλλ' ὅμως καὶ φύσει Δεσπότης ὢν ὡς Θεὸς, λαμβάνει καὶ ὡς ἄνθρωπος τῶν ὅλων τὴν δεσποτείαν. καὶ ἐπειδὴ πάλαι μόνον Ἰουδαίων ἐδόκει προμηθεῖσθαι, ἐγενήθη γὰρ, φησὶ, μερὶς Κυρίου λαὸς Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· ἀπεβλήθη δὲ οὗτος, ὡς οὐδεμίαν ὠφέλειαν ἐκ τῆς κηδεμονίας δεξάμενος· εἰκότως ἐπὶ τὰ ἔθνη μεταφέρει τὴν προμήθειαν, ἣν δὲ πάλαι τούτων ἠμελημένως, τήνδε Μωσαϊκὴν χρησμολογίαν πληρῶν· ἐκείνη γάρ ἐστι φωνὴ, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. ἔστι δὲ καὶ τὴν ἔκβασιν εὑρεῖν τῇ προρρήσει συμβαίνουσαν. τοὺς γὰρ ἐξ Ἰουδαίων πεπιστευκότας, οὐ τοὺς δώδεκα μόνον ἀποστόλους, ἀλλὰ καὶ τοὺς ἑβδομήκοντα μαθητὰς, καὶ τοὺς ἑκατὸν εἴκοσιν, ὧν συνηγμένων ὁ μακάριος ἐδημηγόρησε Πέτρος, καὶ τοὺς πεντακοσίους, οἷς μετὰ τὴν ἀνάστασιν ὤφθη κατὰ ταυτὸν κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνὴν, καὶ τοὺς τρισχιλίους, καὶ τοὺς πεντακισχιλίους οὓς ὁ τῶν ἀποστόλων κορυφαῖος δημηγορῶν ἐσαγήνευσε, καὶ τὰς πολλὰς μυριάδας, περὶ ὧν ὁ μέγας Ἰάκωβος ἔφη, θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων; τούτους δὴ, καὶ πρὸς τούτοις τοὺς κατὰ πᾶσαν τὴν οἰκουμένην ἐξ Ἰουδαίων πεπιστευκότας λαὸν ἅγιον ἀποφήνας, καὶ διὰ τούτων τὰ ἔθνη πάντα ζωγρήσας, πληροῖ τὴν προφητείαν τὴν λέγουσαν, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ· πληροῖ δὲ πρὸς ταύτῃ καὶ τὴν οἰκείαν πρόρρησιν, ἣν πρὸς Ἰουδαίους ἐποιήσατο λέγων, καὶ ἄλλα δὲ πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. τοῦτο καὶ ἐν τῷ προκειμένῳ λέγει ψαλμῷ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ἀλλὰ γὰρ ἔπεισί μοι τὴν τῶν Ἰουδαίων ἀπιστίαν ὀδύρεσθαι,

Franckesche Stiftungen zu Halle

ρεθαι, οἱ τῆς προφητείας ἀκούοντες τῶν τῆς γῆς περάτων ἀντικρὺς μεμνημένης, καὶ εἰδότες ὡς οὐδεὶς τῶν παρ' αὐτῶν βασιλέων τοσαύτην ἡγεμονίαν ἐκτήσατο, ἀλλὰ μόνος ὁ ἐκ Δαβὶδ καὶ σάρκα βλαστήσας Δεσπότης Χριστὸς, τυφλώττουσι τῆς διανοίας τὰ ὄμματα, καὶ τὴν προφητείαν τὴν λαλοῦσαν ψηλαφῶσιν, ὡς τυφλοὶ τοῖχον, καὶ ἐχ ὡς ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι. τούτου δὴ χάριν καὶ ἀπειλεῖ αὐτοῖς ὁ προφητικὸς λόγος. θ'. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Τῇ Ῥωμαϊκῇ δηλονότι βασιλείᾳ, ἣν σίδηρον τροπικῶς, διὰ τὸ ἰσχυρόν τε καὶ ἀῤῥαγὲς, ἡ τῶ Δανιὴλ προφητεία καλεῖ· καὶ συντρίψει αὐτοὺς πηλίνων δίκην σκευῶν. ἐπειδὴ γὰρ αὐτὸν μόνον ἔσχεν ἠρνήθησαν βασιλέα, μεγάλη δὲ κεχρημένοι βοῇ ἔλεγον, ἡμεῖς ἐκ ἐχομεν βασιλέα εἰ μὴ Καίσαρα, ἐπέτρεψεν αὐτοῖς ὃν ἤτησαν Καίσαρα, καὶ διὰ τῆς ἐκείνων ῥᾳστιᾶς τῆς ἀσεβείας ποινὴν εἰσεπράξατο. εἰ δέ τις μὴ περὶ Ἰουδαίων, ἀλλὰ περὶ ἐθνῶν, ταῦτα νομίζει εἰρῆθαι, οὕτω νοῆσαι προσήκει· ὅτι ποιμαίνει τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, τῇ ἰσχυρᾷ αὐτῶ καὶ ἀῤῥαγεῖ βασιλείᾳ· καὶ συντρίψει αὐτοὺς, ὡς σκεύη κεραμέως, ἀναλύων καὶ ἀναπλάττων διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, καὶ τῶ πυρὶ τῶ πνεύματος τερεμνίας ἀπεργαζόμενος. οὕτω ταῦτα προαγορεύσας ὁ μακάριος Δαβὶδ, παραινεῖ λοιπὸν καὶ βασιλεῦσι καὶ ὑπηκόοις προσδραμεῖν τῷ σωτῆρι, καὶ τοὺς σωτηρίους ἀσπάσασθαι νόμους, καὶ τῇ δι' ἐκείνων παιδείᾳ καὶ διδασκαλίᾳ τὴν ὠφέλειαν καρπώσασθαι. Φησὶ γάρ· ι'. Καὶ νῦν βασιλεῖς σύνετε· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Πάντων γὰρ ἡμῶν βασιλεὺς, ὁ πάλαι δόξας μόνων Ἰουδαίων κρατεῖν. ια'. Δουλεύσατε τῶ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Οὐ γὰρ δεῖ μόνη τῇ φιλανθρωπίᾳ θαῤῥῆσαι, ἀλλὰ καὶ τὴν ταύτῃ συνημμένην δικαιοσύνην, ἀγαλλομένους ἐπὶ τῇ σωτηρίᾳ καὶ χαίροντας, δεδιέναι καὶ τρέμειν. ὁ γὰρ δοκῶν, φησὶν, ἑστάναι, βλεπέτω μὴ πέσῃ. [ἐπειδὰν γὰρ φοβηθέντες τὸν Δεσπότην τὰ προσήκοντα διαπραξώμεθα, πλείστην ἐκ τῶν πραχθέντων ἡμῖν ἔχομεν τὴν εὐφροσύνην ἐγγινομένην, τῶ συνειδότος ἀγαθοῦ μὲν τυγχάνοντος, μεγίστην δὲ ἡμῖν διὰ τοῦτο τὴν χαρὰν παρεχομένω.] ἐν τρόμῳ δὲ, τουτέστιν, ἐν κατανύξει· μήποτε ἡ τῶ Θεοῦ χαρὰ εἰς τὴν τοῦ κόσμου μεταπέσῃ χαράν. ιβ'. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπόλησθε ἐξ ὁδοῦ δικαίας. Οὐκ ἀρκεῖ γὰρ μόνη τῆς θεογνωσίας ἡ κλῆσις εἰς τελειότητα· ἀλλὰ χρὴ καὶ τὴν πρακτικὴν μετελθεῖν ἀρετήν· ἧς ἐπιλαμβανόμενοι τὴν ἀπλανῆ πορείαν ὁδεύσετε. ιγ'. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ· μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ. Ἐν γὰρ τῶ τῆς κρίσεως καιρῷ, τῆς ὑμετέρας κακίας, οἵου τινος ὕλης εὑπρήσου, καθάπερ πῦρ τὴν θείαν ἐκκαιέσης ὀργὴν, πόῤῥω που γενήσεσθε τῆς τῶν δικαίων ὁδῶ, δίκας τίνοντες ὧν καλὰ τόνδε τὸν βίον πεπλημμελήκατε. τηνικαῦτα δὲ καὶ οἱ ἀληθῶς καὶ βεβαίως εἰς αὐτὸν ἠλπικότες,

τες, λήψονται τῆς ἐλπίδος καρπὸν, τὸν μακαρισμόν. μακάριοι γάρ φησιν οἱ πεποιθότες ἐπ' αὐτῷ. εἰ καὶ γὰρ καλὰ τὸν παρόντα βίον τὸν μακαρισμὸν ἔχουσιν οἱ τῆς ἀρετῆς ἀθληταὶ, ἀλλ' ἐν ἀληθέστερον αὐτὸν δέξονται κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν οἱ πονηρίαι συνεζηκότες τὴν θείαν ὀργὴν καθ' ἑαυτῶν ἐπισπάσονται.

ΕΡΜΗΝ. ΤΟΥ γ' ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. Δήλη μὲν τοῖς ἐμμελεστέροις ἡ ἱστορία· τῶν δὲ ῥαθυμοτέρων ἕνεκα συντόμως ταύτην ἐρῶ. μετὰ τὴν διπλῆν ἐκείνην παρανομίαν, ὁ μέγας Δαβὶδ πολλαῖς καὶ παντοδαπαῖς περιέπεσε συμφοραῖς. ἐ γὰρ μόνον τὰ προσοικεῖα ἔθνη πρὸς μάχην ἐκινήθη καὶ πόλεμον, ἀλλὰ καὶ αὐτὸς ὁ οἶκος τὴν σάσιν ἐδέξατο, καὶ παρανομία παρανομίαν διεδέξατο. τὴν τοῦ Ἀμνὼν ἀκολασίαν ἡ τοῦ Ἀβεσσαλὼμ μιαιφονία, καὶ τὴν ἀδελφοκτονίαν ἡ κατὰ τοῦ πατρὸς ἐπανάστασις, καὶ ἡ τῶν ὑπηκόων ἀπόστασις. προμηθουμένης γὰρ τῆς θείας χαρίτος, τούτων ἐδὲν ἐπέλασε τῷ Δαβίδ. ἐκείνης δὲ διὰ τὴν γεγενημένην ἀποστάσης παρανομίαν, χῶραν ἔλαβεν ἡ κακία, καὶ τραγῳδίας ἄξια δέδρακε, καὶ Φορὰν ἐβλάσησε συμφορῶν· κατ' ἐκεῖνον τοίνυν τὸν καιρὸν, τὸν πατραλοίαν ἀποδιδράσκων υἱὸν, καὶ τοὺς σὺν αὐτῷ τὴν πρὸς αὐτὸν ἀναδεξαμένους παράταξιν, τοῦτον ἔγραψε τὸν ψαλμόν· τὸ θείου πνεύματος δηλονότι καὶ τηνικαῦτα ἐνεργηκότος διὰ τὴν θερμὴν ὑπ' αὐτοῦ γεγενημένην μετάνοιαν. β. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με. πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. γ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Πολλοὶ μέν τοι, καὶ παντοδαποὶ πολέμιοι πολλαχόθεν προσβάλλουσιν· ἀνιῶσι δέ με πλέον οἱ ἐπιτωθάζοντες, καὶ τῆς σῆς προμηθείας γεγυμνῶθαί με λέγοντες. ἐγὼ δὲ εἶδα, ὡς ἐκ ἀνέξῃ με παιδεῦσαι, καί τοι πεπλημμεληκότα μεγάλα. ἀλλὰ τὸν νῦν ταπεινὸν διὰ τὴν ἁμαρτίαν γεγενημένον ὑψώσεις, καὶ κρείττονα δείξεις τῶν δυσμενῶν. τοῦτο γὰρ παρεδήλωσεν εἰρηκώς· δ'. Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. Οὐδὲ γὰρ τῇ βασιλείᾳ, καὶ τῇ δυνάσειᾳ θαῤῥῶ, ἀλλά σε δόξαν ἐμὴν εἶναι πιστεύω, καὶ ὑπὸ τῆς σῆς ἐλπίζω ταχέως ὑψωθήσεσθαι δεξιᾶς. ε. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Διὰ τοι τοῦτο μετὰ πάσης προθυμίας προσφέρω σοι τὰς δεήσεις, εἰδὼς ὅτι παραυτίκα τὰς αἰτήσεις παρέξεις. οὐ φωνὴν δὲ ἐνταῦθα καὶ βοὴν τὴν κραυγὴν νοητέον, ἀλλὰ τὴν τῆς ψυχῆς προθυμίαν. ἔτω γὰρ καὶ ὁ τῶν ὅλων Θεὸς πρὸς σιγῶντα τὸν μακάριον ἔφη Μωσῆν· τί βοᾷς πρός με; βοὴν τὴν σιγὴν ὀνομάζων διὰ τὴν σπουδαίαν τῆς διανοίας εὐχήν. τὸ δὲ, εἰσήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ, κατὰ τὴν πάλαι κατέχουσαν εἴρηται δόξαν· ἐνομίζετο γὰρ ἐν τῇ σκηνῇ κατοικεῖν ὁ τῶν ὅλων Θεὸς, ἐπειδὴ καὶ τὰς χρησμοὺς ἐκεῖθεν τοῖς ἱερεῦσιν ἐδίδου.

ε'. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία καλεῖ γραφή· ἐπειδὴ ὡς ἐν σκότει διάγειν νομίζουσιν οἱ τοῖς ἄγαν ἀνιαροῖς περιπίπτοντες· ταῖς δὲ νυξὶν ὁ ὕπνος συνέζευκται· σημαίνει τοίνυν κατὰ ταυτὸν τὰς θλίψεις, καὶ τὴν τούτων ἀπαλλαγήν. τὸ γὰρ ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου, τοῦτο δηλοῖ, ὅτι τῆς θείας ἀπολαύσας ῥοπῆς κρείττων ἐγενόμην τῶν προσπεσόντων κακῶν. Διὸ ζ'. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαῶν τῶν κύκλῳ συνεπιτιθεμένων μοι. ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. Ἀρκεῖς γὰρ καὶ παρὼν τὰς πολλὰς μυριάδας διασκεδάσαι. η'. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τελείας μοι τοίνυν μετάδος τῆς σωτηρίας καὶ καθάπερ πολλάκις ἄδικον κατ' ἐμοῦ δυσμένειαν ἐσχηκότας, καὶ ὁμοφύλους καὶ ἀλλοφύλους, καὶ Ἰσραηλίτας καὶ Ἀμαληκίτας, καὶ μέντοι καὶ αὐτὸν τὸν Σαοὺλ, ποσὴν εἰσπεράζω τῆς ἀδικίας· οὕτω με καὶ νῦν τῆς σωτηρίας ἀξίωσον. τὸ δὲ, ὀδόντας ἁμαρτωλῶν συνέτριψας, ἀντὶ τοῦ, πάσης αὐτοὺς ἐγύμνωσας ἰσχύος, ἐκ μεταφορᾶς τῶν θηρίων, οὓ τῶν ὀδόντων στερούμενα, εὐκαταφρόνητα λίαν ἐστὶ καὶ εὐκαταγώνιστα. θ'. Τοῦ Κυρίου ἡ σωτηρία. Οὐκ ἔχω, φησὶν, εἰς ἄνθρωπον τὴν ἐλπίδα, ἀλλὰ παρά σου τὴν σωτηρίαν προσμένω· οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ ὁ σὸς λαὸς ὁ σὺν ἐμοὶ πολεμούμενος. κήδομαι δὲ καὶ αὐτῶν τῶν πολεμούντων· καὶ γὰρ ἐκεῖνος σὸς χρηματίζει λαός. δὸς τοίνυν δέσποτα καὶ τούτοις, κἀκείνοις, τῆς εἰρήνης τὴν εὐλογίαν· τοῦτο γὰρ παρεδήλωσεν εἰρηκώς· καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Καὶ γὰρ ὁ μακάριος Μωσῆς ταῖς εὐλογίαις τὴν εἰρήνην συντάττει· εὑρίσκομεν δὲ κἀν τῇ ἱστορίᾳ σφόδρα τοῦ λαοῦ κηδόμενον τὸν μακάριον Δαβὶδ, καὶ αὐτῷ τῷ πατραλοίᾳ παιδὸς, καὶ μᾶλλον τῆς εἰρήνης, ἢ τῆς καθ' αὑτοῦ τοῦ λαοῦ προμηθούμενον νίκης.

ΕΡΜΗΝ. ΤΟΥ δ'. ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Δαβίδ. Ἀντὶ τοῦ, εἰς τὸ τέλος, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων, τῷ νικοποιῷ ἡρμήνευσαν· ὁ δὲ Σύμμαχος, ἐπινίκιος. σημαίνει δὲ τὸ μὲν εἰς τὸ τέλος, ὅτι μακροῖς ὕστερον χρόνοις πληρωθήσεται τὰ προφητευόμενα. προηγόρευσε δὲ ἐν τῷ τέλει τοῦ ψαλμοῦ, τὴν ἐκ νεκρῶν ἀνάστασιν, εἰρηκώς· ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκησάς με· κατὰ δὲ γε τοὺς λοιποὺς, ὕμνος ἐπινίκιος τῷ νικοποιῷ προσφέρεται Θεῷ ὁ παρὼν ψαλμὸς ὑπὸ τοῦ μακαρίου Δαβὶδ, μετὰ τὴν γενομένην τοῦ Ἀβεσσαλὼμ νίκην. ἔοικε γὰρ τούτοις ὁ ψαλμὸς εἰρῆσθαι μετὰ τὴν ἐκείνου τοῦ πολέμου διάλυσιν· ἐν γὰρ τῷ πρὸ τούτου ψαλμῷ ὁ μακάριος ἔφη Δαβὶδ, πολλοὶ λέγουσι τῇ ψυχῇ μου, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ· ἐν δὲ τούτῳ φησὶν, υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; καὶ γνῶτε, ὅτι ἐθαυμάσωσε Κύριος τὸν ὅσιον αὐτοῦ· διδάσκει τοίνυν

νυν ἐν τῷ παρόντι ψαλμῷ τὲς ἀθεΐαν νοσοῦντας, καὶ προνοεῖν τὸν Θεὸν, καὶ κυβερνᾶν τὰ ἀνθρώπινα, μὴ νομίζοντας, ὡς ἔξιν ὁ ἐφορῶν καὶ πρυτανεύων ἅπαντα· καὶ εἰς ἀπόδειξιν τῆς διδασκαλίας τὰ καθ' ἕκαστον διηγεῖται. β'. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μὲ ὁ Θεὸς τῆς δικαιοσύνης μὲ. Μάθετέ φησιν ἐκ τῶν εἰς ἐμὲ γεγενημένων, ὅπως ἐφέξηκε τοῖς ἀνθρωπίνοις ὁ τῶν ὅλων Θεὸς, καὶ τῶν εἰλικρινῶς ἐπικαλεμένων ἀκούει. ἐγὼ γοῦν παραυτίκα προσενεγκών μου τὴν δέησιν ἔτυχον τῆς αἰτήσεως. τὸ δὲ, τῆς δικαιοσύνης μὲ, ἀντὶ τῦ τῆς δικαίας μὲ αἰτήσεως τέθεικεν. οὐδὲ γὰρ ἴδιον τοῦ Φρονήματος τοῦ Δαβὶδ δικαιοσύνην αὐτῷ καὶ ἀρετὴν μαρτυρεῖν· ἔοικε δὲ ταυτὶ τὰ ῥήματα τοῖς διὰ τῦ Ἡσαΐε ὑπὸ τοῦ Θεοῦ εἰρημένοις, τότε καλέσεις, ἐγὼ δέ σε ὑπακούσομαι· ἔτι λαλοῦντός σου, ἐρῶ, ἰδοὺ πάρειμι. ἐν θλίψει ἐπλάτυνάς μοι. Εἴωθεν ὁ τῶν ὅλων Θεὸς συγχωρεῖν μὲν γίνεθαι τοῖς ἁγίοις τὰ λυπηρά· μετὰ δὲ τὴν γυμνασίαν καὶ δοκιμασίαν ἀνακηρύτλειν τοὺς ἀθλητάς· καὶ μέντοι καὶ ἐν αὐτοῖς τοῖς πειρασμοῖς πᾶσαν προσφέρειν ψυχαγωγίαν. τῦτο καὶ ἐνταῦθα ὁ μέγας διδάσκει Δαβὶδ, ὅτι ἐν αὐταῖς ταῖς θλίψεσι τῆς σῆς ἐπικουρίας καὶ ψυχαγωγίας ἀπήλαυσα. τοιοῦτόν ἐξι τὸ ὑπὸ τῦ Θεῦ τῶν ὅλων πρὸς τὸν θεσπέσιον Παῦλον εἰρημένον, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. γ'. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Οὐ λαμβάνει κόρον ὁ δίκαιος τῆς προσευχῆς· ἀλλὰ καὶ δεόμενος, καὶ εὐμενείας ἀπολαύων, καὶ τῆς δεήσεως τρυγῶν τοὺς καρποὺς, ἐπιμένει τὰς ἱκετείας προσφέρων, ἅτε δὴ τὴν ἐντεῦθεν ἐσομένην ἐπισάμενος ὠφέλειαν. δ'. Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Ἐκ τῶν εἰς ἐμὲ γεγενημένων μάθετε, ὦ ἄνθρωποι, τῶν ὅλων τὸν πρύτανιν· ὅπως καὶ ἐφορᾷ τὰ ἀνθρώπεια, καὶ τοῖς ἐπιμελῶς προσιέσι τὰς αἰτήσεις ὀρέγει· καὶ τοὺς ματαίους ὑμῶν λογισμοὺς ἀποῤῥίψαντες, ε'. Γνῶτε ὅτι ἐθαυμάτωσε Κύριος τὸν ὅσιον αὐτῦ· Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Οὐ γὰρ ἁπλῶς με τῶν προσπεσόντων ἠλευθέρωσε συμφορῶν, ἀλλὰ καὶ περιφανῆ, ᾗ περιέβλεπον διὰ τῆς νίκης πεποίηκε· τῦτο γὰρ εἶπεν ἐθαυμάτωσε· ᾗ ἐπιμένει διηνεκῶς τὰς ἐμὰς δεήσεις δεχόμενος. ὅσιον δὲ πάλιν ἐνταῦθα ἀντὶ τῦ τὸν ἀθῶον τέθεικε, καὶ τὸν οὐδὲν ἠδικηκότα τοὺς πολεμοῦντας, ἀλλ' ὑπ' αὐτῶν ἠδικημένον. βαρυκαρδίους δὲ τοὺς ἀπίστους εἰκότως ὠνόμασεν, ὡς ἀναβλέπειν πρὸς Θεὸν οὐκ ἐθέλοντας, καὶ τὰς θείας οἰκονομίας οὐ βουλομένους ὁρᾶν· ἐκ μεταφορᾶς τῶν ὑπό τινος οἰνοφλυγίας βαρυνομένων τὴν κεφαλὴν ἐκ τῶν κάτωθεν ἀναπεμπομένων ἀτμῶν, καὶ μύειν τοὺς ὀφθαλμοὺς ἀναγκαζομένων, καὶ διανοίγειν οὐ δυναμένων. Ὀργίζεσθε· ἐνταῦθα ὑποστικτέον, καὶ οὕτως τὰ λοιπὰ ἀναγνωστέον· καὶ μὴ ἁμαρτάνετε. Ἀγανακτεῖτε, φησι, καὶ δυχεραίνετε τοὺς ἀδίκως ὑμῖν ἐπανιστάμενους εὐημεροῦντας

ὀρῶντες. ἀλλὰ μὴ αὔξετε κακὸν τῷ κακῷ, πείθειν καὶ τοὺς ἄλλους περιόμενοι, ὡς ἄτακτα πάντα καὶ ἀκυβέρνητα φέρεται. τούτων γὰρ τοὐναντίον προσήκει ποιεῖν, τῶν μεθ' ἡμέρας γινομένων ἁμαρτάδων σφᾶς αὐτοὺς νύκτωρ τὰς εὐθύνας εἰσπράττειν. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Ἐπειδὴ γὰρ ὁ νυκτερινὸς καιρὸς τῶν ἔξωθεν θορύβων ἀπημαγμένος πολλὴν παρέχει τοῖς λογισμοῖς ἡσυχίαν· εἰκότως ἐν τούτῳ τὴν ἐξέτασιν ποιεῖσθαι προσέταξε τῶν ἐν ἡμέρᾳ λεγομένων ἢ πραττομένων, καὶ τῷ τῆς κατανύξεως φαρμάκῳ τὰ τραύματα θεραπεύειν ἐνομοθέτησε. ϛ'. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Καὶ διὰ τούτων τῶν ῥημάτων τὴν νομικὴν λατρείαν, ὡς περιττὴν, ἀποπέμπεται, καὶ τὴν τῆς δικαιοσύνης θυσίαν προσφέρειν νομοθετεῖ. πάσης γὰρ ἑκατόμβης καὶ χιλιόμβης τῆς δικαιοσύνης ἡ κτῆσις θυμηρεστέρα τῷ Θεῷ, συνημμένης αὐτῇ δηλονότι τῆς εἰς αὐτὸν ἐλπίδος. ἐπεὶ πολλοὶ καὶ Ἑλλήνων καὶ Ἰουδαίων, καὶ τῶν τἀναντία φρονούντων αἱρετικῶν, καὶ σωφροσύνην, καὶ δικαιοσύνην ἔσιν ὅτε μετίασιν· ἀλλὰ τῆς εὐσεβείας ἐξερημένοι, καρπὸν ἐντεῦθεν οὐδένα πορίζονται. διὸ τὸ πανάγιον πνεῦμα διὰ τοῦ θεσπεσίου Δαβὶδ παρεγγυᾷ, οὐ μόνον θῦσαι θυσίαν δικαιοσύνης, ἀλλὰ καὶ ἐλπίσαι ἐπὶ Κύριον· οὕτω δὴ καὶ ὁ Δεσπότης Χριστὸς φησι τοῖς ἑαυτοῦ μαθηταῖς, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὑμεῖς τὰ κλήματα, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι· πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ οὐχ ἁπλῶς εἶπε, μὴ φέρον καρπὸν, ἀλλ' ἐν ἐμοὶ μὴ φέρον καρπὸν, τουτέστι, κατὰ τὰς ἐμὰς ἐντολὰς, κατὰ τὰς ἐμὰς νομοθεσίας, μετὰ τῆς εἰς ἐμὲ πίστεως· ὡς τινῶν καὶ δίχα τῆς εἰς αὐτὸν ὁμολογίας διὰ δόξαν ἀνθρωπίνην ἀρετῆς ἐπιμελεῖσθαι δοκούντων. Πολλοὶ λέγουσι, τίς δείκνυσιν ἡμῖν τὰ ἀγαθά; Αἰνίττεται δὲς βαρυκαρδίας ὠνόμασεν, ὡς δυσχεραίνοντας ἐπὶ τοῖς προσπίπτουσι λυπηροῖς, καὶ τῇ τοῦ Θεοῦ προμηθείᾳ διαπιστοῦντας, καὶ λέγειν τοῦτο τολμῶντας. ζ'. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἐκεῖνοι μὲν ἂν τοιαῦτα καὶ λογίζονται καὶ φθέγγονται· ἡμεῖς δὲ οἱ τῆς σῆς θεογνωσίας τὴν αὐγὴν δεξάμενοι, καὶ ταῖς παρά σου φωτισθέντες ἀκτῖσι, καὶ ἐν αὐταῖς ταῖς ἐπανισταμέναις ἡμῖν συμφοραῖς ἀπεχρῶσαν ἔχομεν παραψυχὴν τὴν εἰς σὲ ἐλπίδα. η'. Ἀπὸ καιροῦ σίτου, οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Πάλιν ἐκείνων κατηγορεῖ τῶν λεγόντων τίς δείκνυσιν ἡμῖν τὰ ἀγαθά; ὡς τοσούτων καὶ κατὰ τὸν παρόντα βίον ἀπολαυόντων, καὶ ἀχαριστίαν νοσούντων. ἔστι δὲ τὸ νόημα μεθυπέρβατον· πολλοὶ λέγουσι, τίς δείκνυσιν ἡμῖν τὰ ἀγαθά; ἀπὸ καιροῦ σίτου, καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν· καίτοι φησὶν οἱ ταῦτα λέγοντες τῶν παντοδαπῶν τῆς γῆς καρπῶν ἀπολαύουσι. διὰ γὰρ τῶν τριῶν τούτων εἰδῶν τῶν τῇ ἀνθρωπείᾳ φύσει διαφερόντων, ἀναγκαίως καὶ τὰ ἄλλα συμπεριέλαβεν ἀγαθά· τὴν ἐκείνων ἐλέγχων ἀγνωμοσύ-

μοσύνην· ὅτι καὶ ἐν ταῖς χερσὶ φέροντες τὰς τῦ Θεῦ δωρεὰς, καὶ φιλοτίμως αὐτῦ τοῖς ἀγαθοῖς ἐντρυφῶντες, ὡς μηδενὸς ἀπολαύοντες λέγειν τολμῶσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐγὼ δὲ τῦ σῦ φωτὸς ἀπολαύσας, καὶ τὴν γνῶσιν κτησάμενος, θ'. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. ι'. Ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. Πάντα γὰρ θόρυβον, καὶ διχόνοιαν τῶν λογισμῶν ἐξελάσας, καὶ τέτοις πρυτανεύσας εἰρήνην, καὶ ταῦτα περὶ τῆς ἀγαθῆς σε προνοίας διδάξας φρονεῖν, ἐπ' ἐλπίδι τῆς ἀναστάσεως τὸν θάνατον δέξομαι. ὕπνον γὰρ ἐνταῦθα τὸν θάνατον προσηγόρευσεν. εἰκότως δὲ μάλα τῇ τῦ θανάτε μνήμῃ τὴν ἐλπίδα συνέζευξε, τὸς περὶ προνοίας λόγες διεξελθών. ἐπειδὴ γὰρ πολλοὶ κατὰ τὸν παρόντα βίον δυσπραγίαις περιπεσόντες, καὶ ὑπὸ τῶν πονηρίαν συζώντων ἀδικέμενοι, δέχονται τῷ βίῳ τὸ τέλος ἐδεμιᾶς τινὸς ἐπικερίας τετυχηκότες, διδάσκει μὴ δυχεραίνειν ὁ μέγας Δαβὶδ, ὡς τῆς ἐλπίδος τῷ θανάτῳ συνεζευγμένης, καὶ μετὰ θάνατον τῆς ἀντιδόσεως ἐσομένης.

ΕΡΜΗΝ. ΤΟΥ ε' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομέσης· ψαλμὸς τῷ Δαβίδ. Οὕτω δὲ καὶ οἱ λοιποὶ τὴν ἐπιγραφὴν ἡρμηνεύκασιν· δῆλον τοίνυν, ὡς κληρονόμον ὁ θεῖος ἀποκαλεῖ λόγος, κοινῶς μὲν τὴν τῦ Θεῦ ἐκκλησίαν, ἰδικῶς δὲ τὴν εὐσεβείαν συζῶσαν ψυχήν. ἔστι γὰρ ἀκῦσαι τῦ Κυρίε λέγοντος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, δεῦτε οἱ εὐλογημένοι τῦ πατρός με, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμε. καὶ ὁ θεσπέσιος Παῦλος ταυτό φησι, τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεῦ· εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεῦ, συγκληρονόμοι δὲ Χριςῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· καὶ πάλιν, ὥςε ἐκέτι εἶ δῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεῦ διὰ Χριςῦ. καὶ ἄλλα δὲ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ, ἐξ ὧν προηγέμενοι τὴν διάνοιαν κατιδεῖν δυνησόμεθα. β'. Τὰ ῥήματά με ἐνώτισαι Κύριε, σύνες τῇ κραυγῇ με. γ'. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς με, ὁ βασιλεύς με καὶ ὁ Θεός με. Πολλαῖς καὶ πάντοθεν βαλλομένη τρικυμίαις ἡ τῦ Θεῦ ἐκκλησία, καὶ μέντοι καὶ ἑκάστη ψυχὴ τὸν εὐσεβῆ βίον ἀσπαζομένη, περιγίνεται καὶ τῦ κλύδωνος ὑπερνήχεται, τὴν θείαν ἐπικερίαν καλῦσα διηνεκῶς. τῦτο δὴ καὶ ὁ προφητικὸς ἡμᾶς ἐκπαιδεύει λόγος, διδάσκων ὅπως πρόσκειται τὸν τῶν ὅλων Θεὸν καὶ βασιλέα λιπαρεῖν τε καὶ ἱκετεύειν· καὶ διδάσκει λέγων· τὰ ῥήματά με ἐνώτισαι Κύριε, σύνες τῇ κραυγῇ με, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς με. ἀλλ' ἔτε τὴν κραυγὴν κραυγὴν νοητέον, ἔτε τὰ ὦτα ὦτα· περὶ γὰρ τῦ Θεῦ τῶν ὅλων σωματικώτερον ἔθος τῇ θείᾳ γραφῇ λαλεῖν, καὶ ἀπὸ τῶν ἀνθρωπίνων μορίων τὰς θείας ἐνεργείας ἀποκαλεῖν· ὀφθαλμὸς τὴν ὀπτικὴν, καὶ τὴν ἀκεσικὴν ὦτα, καὶ τἄλλα ὡσαύτως. κραυγὴν δὲ, ἐπὶ τῶν εὐχομένων τὴν προθυμίαν καλεῖ, καὶ τὴν σπεδαίαν τῆς διανοίας ἱκετείαν. τὸ δὲ ἐνώτισαι, ἀντὶ τῦ εἴσω

τῶν ὤτων σε γενέσθω με τῆς προσευχῆς τὰ ῥήματα, καὶ εὐμενῶς ἄκουσον τῆς ἐμῆς ἱκετείας, καὶ πρόσχες ἀκριβῶς τοῖς τῆς δεήσεώς με λόγοις, ἐπειδή σε Θεὸν οἶδα καὶ βασιλέα. δ'. Ὅτι πρός σε προσεύξομαι Κύριε, καὶ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· ε'. Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐποψεί με. Θαῤῥοῦσα γὰρ ὡς δέξῃ τὰς ἐμὰς ἱκετείας, εὐθὺς τῷ φωτὸς ἀνίσχοντος, τῶν βλεφάρων ἀποσεισαμένη τὸν ὕπνον, οἷα δὴ βασιλεῖ καὶ Δεσπότῃ παρίσταμαι, τὴν αἴτησίν σοι προσφέρουσα. ὃ παντὸς δέ ἐστι λέγειν τῷ τῶν ὅλων Θεῷ, παραστήσομαί σοι, καὶ ἐποψεί με· ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παῤῥησίαν λέγειν θαῤῥούντων, ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. ς'. Οὐ παροικήσει σοι πονηρευόμενος· οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Δέχῃ τὰς ἐμὰς δεήσεις, καὶ ἐποπτεύεις ἀντιβολοῦσαν· ἐπειδὴ πᾶσαν μὲν ἀνομίαν ἀπαγορεύεις, καὶ τοὺς πονηρίας συζῶντας παντελῶς ἀποστρέφῃ. βδελύττῃ γὰρ ἅπαντας τοὺς παράνομον βίον ἀσπαζομένους. τοῦτο γάρ ἐπήγαγεν· ζ'. Ἐμίσησας Κύριε πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Τὸν τῆς κακίας κατάλογον εἰς μέσον παρήγαγεν, ἐναντία δεικνὺς ἅπαντα τοῦ θείου θελήματος. οὐ γὰρ μόνον ἀπαγορεύει πονηρίαν, καὶ παρανομίαν, καὶ ψεῦδος, καὶ δόλον, καὶ μιαιφονίαν· ἀλλὰ καὶ τοὺς τούτων ἐργάτας βδελύττεται, μετανοίᾳ προσέχειν ὁ βελομένους. σημαίνει δέ γε διὰ τούτων τοὺς κατὰ τῆς ἐκκλησίας ἐν διαφόροις ἐπαναστάντας καιροῖς, καὶ περιγενέσθαι μὴ δυνηθέντας, κατὰ τὴν αὐτοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἀπαγόρευσιν· πύλαι γὰρ ᾅδου, φησὶν, οὐ κατισχύσουσιν αὐτῆς. τοῦτο δὲ καὶ ὁ ψαλμὸς παρεδήλωσεν. η'. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Τῆς γὰρ σῆς ἀπολαύουσα φιλανθρωπίας, καὶ τῇ σῇ δεξιᾷ φρουρουμένη, τὴν δυνεκῆ σοι προσφέρω προσκύνησιν ἐν τῷ ἁγιερωμένῳ τῇ σῇ δόξῃ ναῷ, τὸν σὸν ἀεὶ περιφέρουσα φόβον. οὐδὲ γὰρ ἀνέξομαί τοῦτον ἀποβαλεῖν, τῇ σῇ φιλανθρωπίᾳ θαῤῥοῦσα. θ'. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ἵνα τῶν ἀντιγράφων ἐνώπιόν μου τὴν ὁδόν σου ἔχω· ἑκάτερα δὲ τῆς εὐσεβοῦς ἔχεται διανοίας. εἴτε γὰρ ἡ ἡμετέρα ὁδὸς κατευθυνθείη ἐνώπιον τοῦ Θεοῦ, πλάνης οὐ ληψόμεθα πεῖραν· εἴτε ἡ τοῦ Θεοῦ ὁδὸς ἐνώπιον ἡμῶν κατευθυνθείη, αὐτὴν ὁδεύσομεν, καὶ πρὸς αὐτὴν προθύμως δραμούμεθα. αἰτεῖ τοίνυν ἡ κληρονομοῦσα ὁδηγηθῆναι μὲν ὑπὸ τῆς τοῦ Θεοῦ δικαιοσύνης, κατευθυνθῆναι δὲ αὐτῇ τὴν ὁδὸν, καὶ ἐξευμαριωθῆναι, ἵνα ῥᾳδίως ὁδεύῃ. ταύτην ὁ Σύμμαχος τὴν διάνοιαν τέθεικεν. ἀντὶ γὰρ τοῦ, κατεύθυνον, ὁμάλισον εἴρηκεν. ἀκούομεν δὲ καὶ αὐτοῦ τοῦ Χριστοῦ διὰ Ἡσαΐου, ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν. καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. καὶ ἐν ἑτέρῳ δὲ ψαλμῷ ὁ μακάριος ἔφη Δαβὶδ, παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει

λήσει σφόδρα. ταπεινοφροσύνης δὲ μεσὰ τῆς κληρονομέσης τὰ ῥήματα. οὐ γὰρ αὐτῇ διὰ τὴν ἑαυτῆς δικαιοσύνην κατευθυνθῆναι αὐτῇ τὴν ὁδὸν, ἀλλὰ διὰ τὲς ἐχθρὲς τὲς δυσσεβέας συζῶντας, τὲς ἀδίκως αὐτῇ πολεμῶντας· ἔτα αὐτῶν καὶ κατὰ μέρος διδάσκει τὰ τῆς πονηρίας ἐπιτηδεύματα. ι'. Ὅτι ἐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· Τῷ ψεύδει φησὶ δηνεκῶς τὴν γλῶτταν μολύνουσιν. ἡ καρδία αὐτῶν ματαία. Τοῖς λόγοις αὐτῶν καὶ οἱ λογισμοὶ συμβαίνουσι, καὶ συνομολογεῖ τῷ στόματι ἡ διάνοια. ια'. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. Οἱ κεκλεισμένοι τάφοι κεκρυμμένην ἔχουσι τὴν δυσοσμίαν, οἱ δὲ ἀνεῳγμένοι πολλὴν ἀποπέμπουσι τὴν δυσωδίαν· τοιαῦτα καὶ ἔτοι φησὶν ἐρυγγάνουσι ῥήματα, πάσης ἀσεβείας καὶ δυσοσμίας μεσά. διὰ τάτων δὲ τῶν λόγων τὰς κατὰ τοῦ Θεοῦ βλασφημίας αἰνίτλεται, καὶ τῆς ἀκολασίας καὶ τῆς ἀσελγείας τὰ ῥήματα. ταῖς γλώσσαις αὐτῶν ἐδολιόσαν· κρῖνον αὐτὲς ὁ Θεός. Χαλεπώτερα τῶν προφερομένων ῥημάτων τὰ κεκρυμμένα· δόλῳ γὰρ κεχρημένοι μυρίας τινὰς κατὰ τῶν πέλας τυρεύουσιν. ιβ'. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβολιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτές. Ἀχθήτωσαν τοίνυν ὑπὸ τὴν σὴν κρίσιν ὦ δέσποτα, καὶ διαμάρτωσιν ὧν κατῤῥύσι καθ' ἡμῶν, καὶ μαθέτωσαν διὰ τῆς πείρας, ὡς ἶσον ἀράχνης ὑφαίνουσι, καὶ δότωσαν ποινὴν τῶν τολμημάτων ἀξίαν. ὅτι παρεπίκρανάν σε Κύριε. Κατά σε γὰρ τὸν πόλεμον κεκινήκασι, πρὸς τὲς ἀναιρεμένους σοι κινήσαντες τὴν παράταξιν. ιγ'. Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπί σε· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Τῦτο δὲ τὲς εἰς σὲ πεπιστευκότας εὐφροσύνης ἐμπλήσει, καὶ παρέξει αὐτοῖς θυμηδίαν αἰώνιον· ἐχ ὁ ἐκείνων ὄλεθρος, ἀλλ' ἡ σὴ προμήθεια· πείθονται γὰρ ὡς ἐνοικεῖς ἐν αὐτοῖς, καὶ ἐμπεριπατεῖς, καὶ οἶκον αὐτοὺς ἀφιερωμένον ἀποφαίνεις. καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σε. ιγ'. ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε. Τῆς γὰρ σῆς εὐλογίας τε καὶ προνοίας τοῖς σοῖς χορηγεμένης θεραπευταῖς, οἱ σφᾶς αὐτὲς ἐραστὰς τῦ σῦ ὀνόματος καταστήσαντες, ἐπὶ τῇ σῇ κηδεμονίᾳ μεγαλοφρονήσασι, τὴν σὴν δηγέμενοι δύναμιν· ἔτω καὶ ὁ μακάριος λέγει Παῦλος, ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω. ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. Εὐδοκίαν ἡ θεία γραφὴ καλεῖ τὸ ἀγαθὸν τῦ Θεῦ θέλημα· τοιῦτόν ἐστι τὸ, ηὐδόκησας Κύριε τὴν γῆν σε, ἀντὶ τῦ, ἀγαθὰ ἠθέλησας τῇ γῇ σῦ· καὶ παρὰ τῷ μακαρίῳ Παύλῳ, κατὰ τὴν εὐδοκίαν τῦ θελήματος αὐτῦ, τυτέστι, κατὰ τὸ ἀγαθὸν αὐτῦ θέλημα· καὶ ἐνταῦθα τοίνυν τῦτο λέγει, ὅτι τὸ ἀγαθόν σου θέλημα, καὶ ἡ πολλή σε περὶ ἡμᾶς φιλοστοργία τε καὶ ἀγάπη, καὶ ὅπλον ἡμῖν γέγονε νίκης πρόξενον, καὶ στέφανος ἐπινίκιος.

ΕΡΜΗΝ. ΤΟΥ ς' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὠγδόης, ψαλμὸς τῷ Δαβίδ. Ὠγδόην τὴν μέλλουσαν κατάστασιν ὁ προφητικὸς λόγος καλεῖ· ἐπειδὴ γὰρ ὁ παρὼν βίος διὰ τῶν ἑπτὰ τῆς ἑβδομάδος ἡμε-

ἡμερῶν ἀνακυκλεῖται· ἀπὸ γὰρ τῆς πρώτης ὁ χρόνος ἀρχόμενος, καὶ λήγων εἰς τὴν ἑβδόμην, πάλιν εἰς τὴν πρώτην ἐπάνεισι, καὶ ἕτως εἰς τὴν ἑβδόμην χωρεῖ· εἰκότως τὸν ἔξω τῇ ἑβδομαδικῇ ἀριθμῷ αἰῶνα ὀγδόην ὁ θεῖος προσηγόρευσε λόγος· μέμνηται δὲ θανάτου καὶ κρίσεως ἐν τῷδε τῷ ψαλμῷ· διὸ καὶ ταύτην τέθεικε τὴν ἐπιγραφήν. λέγει γάρ· ἐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ἀντὶ τοῦ, ἀποκέκλεισται τοῖς ἐντεῦθεν ἐξιοῦσι τῆς μετανοίας ἡ θύρα, καὶ ὐκ οἷόν τε τοὺς μὴ κατὰ τὸν παρόντα βίον τοῖς τῆς μετανοίας χρησαμένους φαρμάκοις, ἐκεῖ τὴν ὑπὲρ τῆς ἁμαρτίας ἐξομολόγησιν προσενεγκεῖν τῷ Θεῷ. μαρτυρεῖ δὲ τούτοις τοῖς λόγοις, καὶ ἡ τῶν παρθένων παραβολή· καὶ γὰρ δι' ἐκείνης μεμαθήκαμεν, ὡς αἱ μωραὶ παρθένοι σβεσθεισῶν τῶν λαμπάδων ἔμειναν ἔξω τῶν τοῦ νυμφῶνος θυρῶν, παίουσαι μὲν τὰς θύρας, ἀποπεμπόμεναι δὲ, καὶ τῆς παῤῥησίας ἀποστερούμεναι. ἔφη γὰρ πρὸς αὐτὰς, ὑπάγετε, ὐκ οἶδα ὑμᾶς. διά τοι τοῦτο ὁ μακάριος Δαβὶδ, μετὰ τὴν διπλῆν ἐκείνην ἁμαρτίαν, ταύτην τῷ Θεῷ προσφέρει τὴν ἱκετείαν, ἰατρευθῆναι παρακαλῶν, ὡς μήκετι χώραν ἐχόντων ἐν ἐκείνῳ τῷ βίῳ τῶν τῆς μετανοίας φαρμάκων. β'. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Οὐ παρακαλεῖ μὴ ἐλεγχθῆναι, ἀλλὰ μὴ θυμῷ ἐλεγχθῆναι, οὐδὲ ἱκετεύει μὴ παιδευθῆναι, ἀλλὰ μὴ μετ' ὀργῆς τοῦτο παθεῖν. πατρικῶς μέ φησι παίδευσον, μὴ δικαστικῶς· ἰατρικῶς, μὴ κολαστικῶς. μὴ μετρήσῃς τῇ ἁμαρτίᾳ τὴν τιμωρίαν, ἀλλὰ τῇ φιλανθρωπίᾳ τὸ δίκαιον κέρασον. γ'. Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. Ἁρμόττουσα τοῖς ἡμαρτηκόσιν ἡ τοιαύτη φωνή. ἀσθενείας γὰρ ἡγεμένης, ἡ ἁμαρτία νικᾷ· εἰ γὰρ μὴ ἀσθενήσει τὸ ἐν ἡμῖν λογικὸν, οὐ σασιάσει τὰ πάθη· ἐῤῥωμένα γὰρ τῷ ἡνιόχῳ, καὶ μετ' ἐπισήμης τοὺς ἵππους καὶ στρέφοντος καὶ ἰθύνοντος, ὐκ ἔχει τὰ σκιρτήματα χώραν. δ'. Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. Ὀστᾶ ἐνταῦθα τοὺς λογισμοὺς ὀνομάζει· ἐπειδὴ γὰρ τὰ ὀστᾶ στεγανώτερα ἔχει τὴν φύσιν, καὶ αὐτὰ φέρει τὸ σῶμα, τροπικῶς τοὺς λογισμοὺς, δι' ὧν τὸ ζῶον ἰθύνεται, ὀστᾶ προσηγόρευσεν. ἡ τούτων, φησὶ, ταραχὴ ἐκλόνησέ με, καὶ διέσεισε. διόπερ τῆς σῆς φιλανθρωπίας ἀπολαῦσαι παρακαλῶ, ἵνα διὰ ταύτης τὴν ἴασιν δέξωμαι. καὶ σὺ Κύριε ἕως πότε; ε'. Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Τὸ, ἕως πότε, ὐχ ὡς ἐγκαλῶν λέγει, ἀλλ' ὡς ἐν ὀδύναις ὤν, ἐπιταχῦναι παρακαλεῖ τὴν βοήθειαν· ἁρμοδίως δὲ προσέθηκε τὸ, ἕνεκεν τοῦ ἐλέους σου. οὐδὲ γὰρ ἐμαυτῷ, φησὶ, θαῤῥῶ, οὐδὲ τῇ ἐμαυτοῦ δικαιοσύνῃ τὴν σὴν 3) ἐπιγράφω βοήθειαν, ἀλλὰ διὰ τὸν σὸν ἔλεον ταύτης ἱκετεύω τυχεῖν. τὸ δὲ, ἐπίστρεψον Κύριε, ἀντὶ τοῦ, πρόσχες μοι, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐκ μεταφορᾶς τῶν ὀργιζομένων, καὶ ἀποστρεφομένων, καὶ τοὺς ἐπταικότας ὐκ ἐθελόντων ὁρᾶν. ς'. Ὅτι ὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Διὰ τοῦτο τῆς θεραπείας ἐπὶ τοῦ παρόντος ἀπολαῦσαι

λαῦσαι παρακαλῶ, ἐπειδὴ οἶδα, ὅτι τοῖς τόνδε τὸν βίον ἐξιοῦσι μετὰ τραυμάτων, ἀδεμία λοιπὸν θεραπεία δοθήσεται, ἐκέτι χώραν τῆς μετανοίας ἐχούσης. „Καὶ „κάμιμσα τῷ θείῳ Δαβὶδ τοῦτο πεφιλο„σόφηται· ἐν γὰρ ἐν θανάτῳ, ἀλλ' ἐν ζωῇ „ἔστιν ὁ τοῦ Θεοῦ μεμνημένος. ἔτως ἐκ ἔστιν „ἐν ᾅδῃ τοῖς ἀπελθοῦσιν ἐξομολόγησις καὶ „διόρθωσις. συνέκλεισε γὰρ ὁ Θεὸς ἐν„ταῦθα μὲν βίον καὶ πρᾶξιν, ἐκεῖ δὲ τὴν „τῶν πεπραγμένων ἐξέτασιν. καίγε ἴδιον „τοῦτο τῆς ὀγδόης, τὸ μηκέτι καιρὸν εἰς „παρασκευὴν ἀγαθῶν, ἢ κακῶν διδόναι „τοῖς ἐν αὐτῇ γινομένοις. ἀλλ' ὧν ἂν τις „ἑαυτῷ καταβάληται διὰ τῶν ἔργων τὰ „σπέρματα, ἴστων ἀνθιπαρέχειν τὰ δράγ„ματα· ἧ χάριν ἐνταῦθα ἐνεργεῖν νομο„θετεῖ τὴν μετάνοιαν, ὡς ἐν τῷ ᾅδῃ τῆς „τοιαύτης σπουδῆς ἀπρακτούσης. Φησὶ „γὰρ, ἐπειδὴ μακρός μοι γέγονεν ὁ τῆς „μετανοίας καιρὸς, δέδοικα μὴ φθάσῃ τὸν „παρὸς σοῦ ἔλεον ὁ θάνατος, ἐν ᾧ τὰ τῆς „ἐξομολογήσεως ἐκ ἔστι· τοῦτο χάριν ἐπι„ταχῦναι τὸν ἔλεον αὐτῶ· εἶτα παιδεύει „τὸν ἀκροατὴν, ὅτι μετὰ τῆς τοῦ Θεοῦ φι„λανθρωπίας δεῖ καὶ τὰ ἡμέτερα ἔπεσθαι. „ἄν τε γὰρ τὴν ἀσθένειαν προβαλώμεθα, „ἄν τε τὴν ταραχὴν, ἄν τε τῷ Θεῷ τὴν „ἀγαθότητα, τὰ δὲ παρ' ἡμῶν μὴ προσ„τεθῇ, ἀδὲν ὄφελος ἡμῖν." ζ'. Ἐκπίασα ἐν τῷ στεναγμῷ μου, λέσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Οἶδα μὲν μεγάλα καὶ χαλεπὰ πλημμελήσας, ἀλλ' ὅμως δακρύων δινεκῶς διατελῶ, καὶ τὰ ὑπ' ἐμοῦ τετολμημένα θρηνῶν· καὶ μέντοι καὶ τὴν μανθεῖσαν ὑπὸ τῆς παρανομίας κλίνην ἀεὶ δάκρυσιν ἀπολέσω, ἐκκαθῆραι ταύτην διὰ τέτων πειρώμενος· καὶν τύχω δὲ τῆς ἀφέσεως, οὐ παύσομαι τοῦτο ποιῶν. τοῦτο γὰρ σημαίνει, λέσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, καὶ βρέξω. ἡ. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. Αὐτό μου τὸ ὀπλικὸν τῆς διανοίας τετάρακται διὰ τὴν σὴν ἀγανάκτησιν Δέσποτα· ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν νοῦν προσηγόρευσε, διὸ καὶ ἑνὸς ἐμνημόνευσεν. ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Πάντων μοι, φησὶ, χαλεπώτερα τῶν ἐχθρῶν τὰ ὀνείδη· ταῦτα γάρ με δαπανᾷ, καὶ κατατήκει, καὶ γῆρας ἄωρον ἐπιφέρει. θ'. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου· ἤκουσε Κύριος τῆς δεήσεώς μου. ι'. Κύριος τὴν προσευχήν μου προσεδέξατο. Μηκέτι, φησὶν, ἐπιτωθαζέτωσάν μοι οἱ τὰς οἰκείας μὲν οὐχ ὁρῶντες παρανομίας, τὰ δ' ἐμὰ πλημμελήματα κωμωδοῦντες· τῆς θείας γὰρ ἔτυχον εὐμενείας, καὶ πέπεικα δι' ὧν ἠντιβόλησα παρεῖδεν μὲν τὰ πλημμελήματα, μεταδοῦναι δὲ συγγνώμης. ια'. Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους. Ταῦτα τοίνυν εἰδότες παύσασθε μὲν· ἐμοὶ ὀνείδη προσφέροντες, τὰς δὲ οἰκείας εἰς νοῦν λαβόντες παρανομίας, αἰσχύνης καὶ θορύβε, καὶ ταραχῆς ἀναπλήσθητε. δίκαιον γὰρ καὶ φόβε μεῖον τὸ θεῖον κριτήριον.

ΕΡΜΗΝ. ΤΟΥ ζ'. ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰε-

μενέι. Ἀποδιδράσκων ὁ μακάριος Δαβὶδ τὸν ἀλάστορα καὶ πατραλοίαν υἱόν, εὗρε βοηθὸν τὸν Χουσὶ, ὃς πέπεικε τὸν Ἀβεσσαλὼμ μὴ κατὰ τὴν εἰσήγησιν τὴν Ἀχιτόφελ παραυτίκα διῶξαι τὸν πατέρα, ἀλλὰ τὸν λαὸν ἅπαντα συναγεῖραι, καὶ τηνικαῦτα κατὰ τὲ γεγεννηκότος στρατεῦσαι. ἀχθεσθεὶς τοίνυν καὶ λίαν ἀδημονήσας ὁ Ἀχιτόφελ, ὡς αἱρετωλέρας ὀφθείσης τῆς τὴν Χουσὶ συμβουλῆς, αὐτόχειρ αὐτὸς γενόμενος, τὴν δι' ἀγχόνης ἐδέξατο τελευτήν. ὁ δέ γε θεῖος Δαβὶδ τῆς ἐφόδου τὴν ἀναβολὴν καιρὸν εἰς φυγὴν λαβὼν, τῆς σωτηρίας ἔτυχε· τὲτον τοιγαρῆν τὸν ψαλμὸν, οἷόν τινα ὕμνον καὶ προσευχὴν, τῷ σωτῆρι προσφέρει Θεῷ· προστίθησι δὲ καὶ διδασκαλίαν, τὲς μὲν ὑπό τινων ἀδικουμένες εἰς τὸν Θεὸν ἔχειν τὰς ἐλπίδας προτρέπων, καὶ τὴν ἐκεῖθεν ἀναμένειν ῥοπὴν, τὲς δὲ ἀδικῆντας δεδιτλόμενος τῆς τὲ Θεὲ δικαίας κρίσεως μνήμη. β'. Κύριε, ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. γ'. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτροῦμένε, μηδὲ σώζοντος. Οὐδεμιᾷ φησιν ἀνθρωπίνῃ βοηθείᾳ θαῤῥῶν, τὴν δὲ σὴν ἐλπίδα μόνην ἐν ἐμαυτῷ περιφέρων, ἱκετεύω τῆς σῆς προμηθείας τυχεῖν. δέδια γὰρ μὴ δίκην ἀγρίε θηρὸς ἐπελθόντες οἱ πολεμῆντες, καὶ ἔρημόν με τῆς σῆς προνοίας εὑρόντες, παντελῶς διαφθείρωσιν. δ'. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τὲτο. Εἶτα διδάσκει σαφέστερον ὃ λέγει. εἰ ἔστιν ἀδικία ἐν χερσί μου. Καὶ δεικνὺς ποῖον εἶδος ἀδικίας ἐνταῦθά φησιν, εὐθὺς ἐπάγει· ε'. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. ς'. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χῶν κατασκηνώσαι. Τῆς ἀρετῆς πολλὰ μόρια. ἐ γὰρ μόνον σωφροσύνη καὶ φρόνησις, ἀλλὰ καὶ ἀνδρεία καὶ δικαιοσύνη. ἐνταῦθα τοίνυν ἐ τὴν ἄκραν ἀρετὴν ἑαυτῷ μαρτυρεῖ· ἀλλ' ὅτι τέτες ἤκισα τὲς πολεμίας ἠδικηκὼς, τὴν ἄδικον δι' αὐτὲς ὑπομένει φυγήν. ἐ μόνον γάρ φησιν ἀδικίας ἐκ ἦρξα, ἀλλ' ἐδὲ τὲς ἠδικηκότας ἠνεχόμην ἀμύνασθαι πώποτε. πολλάκις γὰρ τὸν Σαὺλ ὑποχείριον λαβὼν, τῆς ἀδίκε δυσμενείας δίκας οὐκ εἰσεπραξάμην. ἔ δὴ χάριν σε Δέσποτα παρακαλῶ, τὸν πάντα σαφῶς ἐπισκάμενον, δικάσαί μοι δικαίως· καὶ εἴτι τοιῆτο δέδρακα πώποτε, τῆς μὲν σῆς κηδεμονίας γυμνῶσαι· τῆτο γὰρ λέγει, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· ὑποχείριον δὲ τοῖς δυσμενέσιν ἐκδῶναι· ὡς ἂν μὴ μόνον τῆς παρὰ σῦ με δόξης καὶ βασιλείας γυμνώσαιεν, ἀλλὰ καὶ καταγελάσῳ παραδοῖεν θανάτῳ· τῆτο γὰρ ἐσήμανεν εἰρηκὼς, τὴν δόξαν μου εἰς χῶν κατασκηνώσαι. ζ'. Ἀνάστηθι Κύριε ἐν ὀργῇ σῦ· ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου. Ὁ μὲν οὖν Σύμμαχος, ἐν χόλῳ, ὁ δὲ Θεοδοτίων, ἐν θυμῷ, ὁ δέ γε Ἀκύλας, ἐν ἀνυπερθεσίᾳ ἡρμήνευσε· παρακαλεῖ τοίνυν τὸν δίκαιον κριτὴν μηκέτι μακροθυμίᾳ, ἀλλὰ δικαίᾳ χρησάμενον ψήφῳ, τὴν τιμωρίαν ἐπιθεῖναι τοῖς ἀδικῆσι. τὸ γὰρ ἀνάστηθι, ἀντὶ τῦ μηκέτι μακροθυμήσης τέθεικε· τοιῆτόν ἐστι τὸ, ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; καὶ γὰρ

ἐκεῖ

ἐκεῖ ὕπνον τὴν μακροθυμίαν ἐκάλεσε. καὶ, ἀνάστα Κύριε, βοήθησον ἡμῖν· ὁ καιρὸς γὰρ ἐ φιλανθρωπίας, ἀλλὰ δικαίας ὀργῆς. ἐπίδες τοίνυν τοῖς ἐχθροῖς μὲ τὸ πέρας, τὴν ἄδικον αὐτῶν ἔφοδον καταπαύσας. ἡ. Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μὲ ἐν προστάγματι ᾧ ἐνετείλω. Σὺ γὰρ ἐνομοθέτησας τοῖς ἀδικουμένοις ἀμύνειν. ὃ τοίνυν τοῖς ἄλλοις ἐνετείλω ποιεῖν, δρᾶσον ὦ Δέσποτα, καὶ τῆς σῆς μοι μετάδος ῥοπῆς. ἡ. καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Ταύτης γάρ σε τῆς προνοίας δειχθείσης, ἅπαντές σοι τὸν ὕμνον προσοίσουσι, καὶ Θεὸν ὕψιστον ἀποκαλέσουσιν ἅ τε δὴ πάντα ἐφορῶντα, καὶ τὴν ἀξίαν δίκην τοῖς ἀδικοῦσιν ἐπιτιθέντα. τὸ γὰρ, εἰς ὕψος ἐπίστρεψον, ἀντὶ τοῦ ὕψιστος ὢν φύσει, παρὰ δὲ τοῖς πολλοῖς ἀγνοούμενος, δείχθητι ὅπερ ὑπάρχεις διὰ τῆς περὶ τοὺς ἀδικουμένους κηδεμονίας. εἶτα προφητικῶς· θ'. Κύριος κρινεῖ λαούς. Οὐ γὰρ μόνον τὴν ἐμὴν δίκην δικάσει, ἀλλὰ καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην μὲ, καὶ κατὰ τὴν ἀκακίαν μὲ ἐπ' ἐμοί. Οὐ δικαιοσύνην ἑαυτῷ διὰ τούτων τῶν λόγων μεμαρτύρηκεν ὁ θεῖος Δαβίδ. ταναντία γὰρ αὐτοῦ βοῶντος ἀκούομεν, ὅτι τὴν ἀνομίαν μὲ ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μὲ ἐνώπιόν μὲ ἐστὶ διὰ παντός. καὶ εἶπα, ἐξαγορεύσω κατ' ἐμῦ τὴν ἀνομίαν μὲ τῷ Κυρίῳ. ἀλλὰ δικαιοσύνην τὴν ἐν τῷ προκειμένῳ πράγματι λέγει· ἔτε γάρ φησι τὸν Ἀβεσσαλὼμ ἠδίκηκά τι, ἔτε τὸν Ἀχιτόφελ, ἔτε τοὺς μετὰ τούτων κατ' ἐμῦ στρατεύοντας· κατὰ ταύτην τοίνυν τὴν δικαιοσύνην, καὶ τὴν ἀκακίαν, κριθῆναι παρακαλῶ, καὶ μὴ κατὰ τὰς ἤδη παρ' ἐμοῦ γεγενημένας πλημμελείας. αὐτὴν κατ' αὐτὴν κριθῆναι τὴν παροῦσαν ὑπόθεσιν ἱκετεύω, καὶ μὴ ἑτέρων νῦν δεῖναι δίκας ἁμαρτημάτων. ι'. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον. Ἀντὶ τοῦ συντελεσθήτω, ἐπαρτισθήτω ὁ Σύμμαχος τέθεικεν· εἰ ματαία, φησὶ, δειχθείη τῶν κακίᾳ συζώντων ἡ πονηρία, σπουδαιότερον οἱ τῆς ἀρετῆς τρόφιμοι τὴν προκειμένην αὐτῆς πορείαν ποιήσονται. ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. ιά. Δικαία ἡ βοήθειά μὲ παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Νεφροὺς ἐνταῦθα τοὺς λογισμοὺς ὀνομάζει. ἐπειδὴ γὰρ τὰς ὑπογαστρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, ἐντεῦθεν δὲ λοιπὸν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοὶ, νεφροὺς τροπικῶς τοὺς λογισμοὺς προσηγόρευσεν. ὁ τοίνυν φησὶ τοὺς κεκρυμμένους τῆς διανοίας τῶν ἀνθρώπων λογισμοὺς ἐπισκόπων, δικαίαν μοι παρέξει βοήθειαν, ἅτε δὴ τοῦτο ποιεῖν εἰωθώς. τοῖς γὰρ ἀδικουμένοις ἐπαμύνων διατελεῖ. ἐντεῦθεν λοιπὸν καὶ δεδίττεται τοὺς πονηρίᾳ συζῶντας, τὰς δικαίας τιμωρίας ὑποδεικνύς· καὶ προαγορεύει τῷ Ἀχιτόφελ τὸν ὄλεθρον. ιβ'. Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρός. καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἔχει δὲ καὶ φιλανθρωπίαν, δι' ἣν ἐπὶ πλεῖστον φέρει τῶν ἀνθρώπων τὰ πλημμελήματα. ἐπεὶ εἴποτε ἴδοι τοὺς ἀνθρώπους διὰ ταύτης ὄνησιν οὐ καρπουμένους, τέως ταῖς ἀπειλαῖς ἐκφορεῖ, τὴν τιμωρίαν ἀναβαλλόμενος. εἰ δὲ καὶ ταύτης καταφρονήσαντες

σαντες ἐπιμείναιεν ἁμαρτάνοντες, αὐτίκα τὴν παγωλεθρίαν ἐπάγει τὸ δίκαιον ἔχουσαν. ταῦτα διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. ιγ'. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτῆ σιλβώσει· τὸ τόξον αὐτῆ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. ιδ'. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Ταῦτα γὰρ, οὐ τιμωρίας, ἀλλ' ἀπειλῆς. σιλβώσει γὰρ εἶπεν, οὐκ ἐπάξει· καὶ ἐνέτεινε τὸ τόξον, οὐ τὸ βέλος ἀφῆκε. καὶ διδάσκων κατὰ τίνων ἀφήσει τὰ βέλη, εὐθὺς ἐπισυνῆψε· τὰ βέλη αὐτῆ τοῖς καιομένοις ἐξειργάσατο. Οἱ γὰρ τὴν εὕρεσιν τῆς ἁμαρτίας ὕλην δεξάμενοι, καὶ ξύλα, καὶ χόρτον, καὶ καλάμην οἰκοδομήσαντες, ἣ φησιν ὁ θεῖος ἀπόστολος, τοῖς πυρφόροις τούτοις βληθήσονται βέλεσιν. ιε'. Ἰδοὺ ὠδίνησεν ἀδικίαν. Ὁ Ἀχιτόφελ, τὴν πονηρὰν ἐκείνην εἰσηγησάμενος γνώμην, Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. Ἐκ πονηρίας γὰρ οὐδεμίαν καταλειπέσης ὑπερβολὴν, κατὰ τοῦ μηδὲν ἠδικηκότος πατρὸς τὸν παράνομον καθώπλισε παῖδα. ις'. Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν· καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ιζ'. Ἐπιστρέψει ὁ πόνος αὐτῆ εἰς κεφαλὴν αὐτῆ, καὶ ἐπὶ κορυφὴν αὐτῆ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ταῖς οἰκείαις φησὶν ἁλώσεται πάγαις, καὶ τῶν οἰκείων πόνων τὰ ἐπίχειρα δέξεται, καὶ θηρευθήσεται δικτύοις, ἃ πρὸς ἄγραν ἑτέρων διέπηξεν. ιή. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτῆ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τῆ ὑψίστου. Ἐγὼ δὲ τοσαύτης τῆ Θεοῦ προνοίας τυχὼν, ὑμνήσω τὸν εὐεργέτην δικαίως, τῆς κρίσεως τὸ δίκαιον διηγούμενος.

ΕΡΜΗΝ. ΤΟΥ ἡ ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Δαβίδ. Ἰσέον, ὅτι ἐν ἑκάστῳ ψαλμῷ, ἐν ᾧ οἱ ἑβδομήκοντα εἰς τὸ τέλος τεθείκασιν, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων τῷ νικοποιῷ ἡρμήνευσαν, ὁ δὲ Σύμμαχος ἐπινίκιον· καὶ οὗτος τοιγαροῦν ὁ ψαλμὸς ἐπινίκιος τῷ νικοποιῷ προσφέρεται Θεῷ, τῷ τὸν ἐχθρὸν καὶ ἐκδικητὴν διάβολον καταλύσαντι, καὶ τοὺς ἀνθρώπους εἰς τέλος τῆς ἐκείνου τυραννίδος ἐλευθερώσαντι. ληνοὺς δὲ τὰς ἐκκλησίας προσαγορεύει, ἐπειδὴ καὶ τὸν Κύριον ἄμπελον· αὐτὸς γὰρ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· ταύτην δὲ τρυγῶντες οἱ πεπιστευκότες τὸν μυστικὸν κατασκευάζουσιν οἶνον· μεγίστη δὲ καὶ αὐτὴ τῆς Ἰουδαίων ἀπιστίας κατηγορία. πλῆθος γὰρ ληνῶν ἀκούοντες, καὶ σαφῶς εἰδότες ὡς μία τὶς ἐδόθη ληνὸς, μᾶλλον δὲ οὐδὲ ληνὸς, ἀλλὰ προλήνιον· προλήνιον γάρ φησιν ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τῆ πιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας· νοεῖν ἐκ ἐθέλουσιν, ὡς ἐπαύσατο μὲν τὰ παλαιὰ, ἐπεφάνη δὲ τῆς νέας διαθήκης ἡ χάρις, πάντας ἀνθρώπους εἰς σωτηρίαν προσκαλεμένη. οὐ δὴ χάριν οὐκέτι κατὰ τὸν παλαιὸν νόμον ἐφ' ἑνὸς θυσιαστηρίου τοὺς τῶν ἀνθρώπων καρποὺς ληνοβατοῦσιν οἱ ἱερεῖς· ἀλλὰ μυρίοι καὶ ἀριθμὸν νικῶντα κατὰ πᾶσαν γῆν καὶ θάλατταν ἐπάγη θυσιαστήρια. καὶ τοῦτο σαφέστερον ὁ ἑβδομηκοστὸς

τὸς τρίτος διδάσκει ψαλμός. καὶ αὐτὸς γὰρ ἐπιγραφὴν ἔχων ληνῶν, πολλῶν θυσιαστηρίων ἐποιήσατο μνήμην. ὡς ἀγαπητὰ γάρ φησι τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τῦ Κυρίου· καὶ μετ' ὀλίγα· τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων· καὶ ὁ ὄγδοος δὲ ψαλμὸς, ὑπὲρ τῶν ληνῶν ἐπιγεγραμμένος, τῆς οἰκουμένης προθεσπίζει τὴν σωτηρίαν, καὶ τὴν περὶ τοὺς ἀνθρώπους τοῦ Θεοῦ κηδεμονίαν διδάσκει, καὶ τῦ μονογενοῦς προλέγει τὴν ἐνανθρώπησιν. β'. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Τὸ, ὡς, ἐνταῦθα οὐ παραβολικῶς, ἀλλ' ἐπιτατικῶς· σφόδρα γὰρ, φησὶ, τὸ σὸν, ὦ Δέσποτα, παρὰ πάντων ὑμνεῖται ὄνομα, καὶ σὲ ποιητὴν οὐρανοῦ καὶ γῆς ἅπαντες ὀνομάζουσι. τὸ γὰρ, ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν, τοῦτο δηλοῖ, ὅτι ἔγνωσαν ἅπαντες, ὡς οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἁπάντων δεσπόζεις· αὐτὸς μὲν γὰρ τὸ μεγαλοπρεπὲς εἶχεν ἀεὶ, ἀλλὰ τοῖς ἀνθρώποις τοῦτο γνώριμον οὐκ ἦν ἀεί. τοιαῦτα καὶ ὁ μακάριος Ἀβακὰμ προθεσπίζει. εἰρηκὼς γὰρ, ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, ἐπήγαγεν· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ αὐτὸς δὲ τῷ Ἰακὼβ ἐπιφανεὶς, τὴν προσηγορίαν πυνθανομένῳ ἔφη· τί ζητεῖς τὸ ὄνομά μου, καὶ τοῦτό ἐστι θαυμαστόν. γ'. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατήρτισω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σε· τῦ καταλῦσαι ἐχθρὸν, καὶ ἐκδικητήν. Τοῦτο δέ σου μάλιστα τὴν δύναμιν ἐδείξεν, ὅτι διὰ νηπίων τὴν ἀνθρωπίνην σοφίαν, ὑπομαζίων δὲ παιδίων τὴν ἁπλότητα μιμουμένων, τὸν παμπόνηρον ἐκεῖνον κατέλυσας τύραννον· ὃς σοι τῷ Θεῷ δυσμενέσιν ἀεὶ, καὶ διὰ τὸν κατὰ σοῦ πόλεμον τοὺς ἀνθρώπους ἐξαπατῶν, πάλιν οἵά τις τιμωρὸς δίκας αὐτοὺς εἰσπράττεται τῆς ἀπάτης. οὕτω τὸν Ἀχιτόφελ ἐκεῖνα εἰπεῖν παρασκευάσας, αὐτοχειρίᾳ θανάτῳ παρέπεμψεν· οὕτω τὸν Ἰούδαν εἰς προδοσίαν ὁπλίσας, μισθὸν τῆς ὑπακοῆς τὴν ἀγχόνην ἀντέδωκε· καὶ κατὰ τὴν ἱστορίαν δέ γε δυνατὸν γνῶναι τὴν τῆς προφητείας ἀλήθειαν. ἐν γὰρ τοῖς ἱεροῖς εὐαγγελίοις, ὁ Δεσπότης Χριστὸς δυχεραίνουσιν Ἰουδαίοις, ἡνίκα τὰ παιδία μετὰ κλάδων ἠγούμενα, ὡσαννὰ ἐν τοῖς ὑψίστοις ἔλεγον, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἀπεκρίνατο, οὐκ ἀνέγνωτε, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; κἀκεῖνα τοίνυν τὰ παιδία τὸν ἀγνώμονα τῶν Ἰουδαίων καταισχύνει λαὸν, τὸν ὁμοίως τῷ διαβόλῳ καὶ ἐχθρὸν καὶ ἐκδικητήν. καὶ γὰρ οὗτος τὸν θεῖον νόμον παραβαίνων ἀεὶ, καὶ τἀναντία τοῖς ὑπὸ τοῦ Θεοῦ δηγορευμένοις διαπρατλόμενος· πάλιν, ὡς ὑπὲρ τοῦ νομοθέτου δῆθεν ἀγωνιζόμενος, ἐσαύρωσε τὸν Δεσπότην Χριστὸν, ἀντίθεον ἀποκαλῶν καὶ παράνομον. δ'. Ὅτι ὄψομαι τοὺς οὐρανοὺς τὰ ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Ἱκανὰ γάρ φησι καὶ

καὶ τὰ στοιχεῖα τὴν σὴν, ὦ Δέσποτα, δεῖξαι μεγαλουργίαν, καὶ οὐρανὸς, καὶ γῆ, καὶ σελήνη, καὶ ἥλιος, καὶ ἡ ἐν τούτοις εὐταξία τε καὶ εὐκοσμία· ἡ δὲ μέχρι τῶν εὐτελῶν ἀνθρώπων διήκουσα πρόνοια μείζονα τὴν ἄφατόν σου κηρύττει Φιλανθρωπίαν. ε'. Τί γάρ ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ταῦτα δὲ, οὐ περὶ τῆς δημιουργίας, ἀλλὰ περὶ τῆς προνοίας διέξεισιν. οὐ γὰρ εἶπεν, ὅτι ἔπλασας, ἀλλὰ ὅτι μιμνήσκῃ καὶ ἐπισκέπτῃ. ἀλλαχοῦ δὲ σαφέστερον τῆς ἡμετέρας Φύσεως τραγῳδεῖ τὴν εὐτέλειαν· ἄνθρωπος γάρ φησι ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. καὶ πάλιν, ἄνθρωπος ὡσεὶ χόρτος· αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγινώσκεται ἔτι ὁ τόπος αὐτοῦ· καὶ ἕτερα δὲ μυρία τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ, τὸν ἀνθρώπειον καταξέλοντα τύφον· καὶ ἐνταῦθα τοίνυν ὁ προφητικὸς θαυμάζει λόγος βοῶν· τί ἔστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἐ γὰρ μόνον εἰς τὸ εἶναι παρήγαγες, ἀλλὰ καὶ τὸ εὖ εἶναι δεδώρησαι, καὶ μεμνημένος διατελεῖς, καὶ κακῶς διακείμενον ἐπισκέπτῃ. ς'. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. Ἐνταῦθα τῆς μετὰ τὴν παράβασιν ἐμνημόνευσεν ἀποφάσεως· τῷ θνητῷ γὰρ τῶν ἀγγέλων ἠλάττωται. δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. ζ'. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Ταῦτα δὲ μετὰ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἡ ἡμετέρα ἐδέξατο Φύσις. χάριτι γάρ ἐστε σεσωσμένοι, ἦ φησιν ὁ θεῖος ἀπόστολος, καὶ συνήγειρεν, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. η'. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ· πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου· θ'. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Καὶ αὐτὴ δὲ φησι τῆς σῆς Φιλανθρωπίας τε καὶ δυνάμεως ἀπόδειξις ἀκριβὴς, τὸ τὴν εὐτελῆ τῶν ἀνθρώπων Φύσιν τοσαύτης ἐμπλῆσαι σοφίας, ὥστε μὴ μόνον τῶν χερσαίων ζώων, ἀλλὰ καὶ τῶν πτηνῶν, καὶ νηκτῶν, καὶ ἀμφιβίων κρατεῖν, καὶ τὰ ὑψηλότερα καὶ βαθύτερα ταῖς ἐπινοίαις θηρεύειν· καὶ τὰ τὸν ἀέρα διαπερῶντα, καὶ τοῖς ὕδασι καλυπτόμενα ὑποχείρια ἔχειν· τέτων μὲν οὖν κοινὴν ἅπασιν ἀνθρώποις τὴν δεσποτείαν δεδώρησαι· τὴν δὲ ἡμετέραν ἀπαρχὴν ὁ θεῖος λόγος ἀνειληφὼς, καὶ ναὸν ἀποφήνας οἰκεῖον, καὶ σάρκα οἰκείαν προσαγορεύσας, καὶ τὴν ἀπόῤῥητον ἐργασάμενος ἕνωσιν, ἐκάθισεν ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· οὐ πρόβατα καὶ βόας ἁπάσας, ἀλλὰ πᾶσαν τὴν ὁρωμένην καὶ ἀόρατον κλίσιν. καὶ τούτων μάρτυς ὁ θεῖος ἀπόστολος διαῤῥήδην βοῶν· τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφα-

ἐξεφανωμένον· καὶ μικρὸν ἀνωτέρω· πάντα γάρ φησιν ὑπέταξας ὑπὸ τὲς πόδας αὐτῦ. καὶ ἐν τῇ πρὸς Κορινθίους, ὅταν δὲ, φησὶν, εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. μόνη γὰρ ἡ ἄκτιστος φύσις τῆς ὑποταγῆς ταύτης ὡς ἐλευθέρα κεχώρισται· ἡ δέ γε παρὰ ταύτης τὸ εἶναι δεξαμένη, ὁποῖα ἂν εἴη, εἴτε ὁρατὴ, εἴτε ἀόρατος, καὶ ὡς Θεῷ, καὶ ὡς ἀνθρώπῳ ὑπόκειται τῷ Δεσπότῃ Χριστῷ. τοσαύτην ἡ τῶν ἀνθρώπων φύσις παρὰ τῦ Θεῦ τῶν ὅλων ἐδέξατο τὴν τιμήν. διὸ πάλιν αὐτὸ τὸ προοίμιον ἀκροτελεύτιον τέθεικεν. ί. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

ΕΡΜΗΝ. ΤΟΥ θ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τῦ υἱῦ, ψαλμὸς τῷ Δαβίδ. Ὁ μὲν Σύμμαχος ἐπινίκιον περὶ τοῦ θανάτου τῦ υἱοῦ· ὁ δὲ Ἀκύλας, τῷ νικοποιῷ νεανεύτηλος τῦ υἱοῦ, καὶ ὁ Θεοδοτίων, ὑπὲρ ἀκμῆς τῦ υἱοῦ. συμφώνως τοίνυν ἅπαντες τοῦ υἱοῦ μνημονεύσαντες, διδάσκουσιν ἡμᾶς, ὡς προφητείαν καὶ ἔτος ὁ ψαλμὸς περιέχει τῆς καλὰ τῦ θανάτου νίκης τῦ Δεσπότου Χριστοῦ. ἀνδρικῶς γὰρ καὶ νεανικῶς νικήσας τὴν ἁμαρτίαν, καὶ λαβὴν ἀφορμὴν οὐδεμίαν δεδωκὼς τῷ θανάτῳ, κατέλυσεν αὐτῦ τὸ κράτος. κρύφιον δὲ τοῦτο τὸ μυστήριον οἱ ἑβδομήκοντα πρεσηγόρευσαν, ἐπειδὴ καὶ τὲς ἄλλους ἅπαντας, καὶ αὐτὲς τὲς ἀποστόλους ἐλάνθανε. καὶ μάρτυς ὁ εὐαγγελιστής· τῦ γὰρ Κυρίῦ πολλάκις αὐτοῖς εἰρηκότος, ἰδὲ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τῦ ἀνθρώπου παραδοθήσεται εἰς τὸ σταυρωθῆναι, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται· ἐπήγαγεν ὁ εὐαγγελιστὴς, καὶ ἦν τῦτο κεκρυμμένον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ, σοφίαν λαλοῦμεν Θεῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν ἐδεὶς τῶν ἀρχόντων τῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ πάλιν, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν. εἰκότως τοίνυν οἱ ἑβδομήκοντα τῦ υἱοῦ τὸν θάνατον ὠνόμασαν κρύφιον. β'. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. γ'. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί· ψαλῶ τῷ ὀνόματί σε ὕψιστε. Τῶν τελείων ἴδιον, τὸ πᾶσαν ἀνατιθέναι τῷ Θεῷ τὴν καρδίαν, καὶ πᾶσαν αὐτῷ καθιεροῦν τὴν διάνοιαν. ἀγαπήσεις γάρ φησι Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σε, καὶ ἐξ ὅλης τῆς διανοίας σε. ὁ δὲ μερίζων τὲς λογισμὲς εἰς μαμωνᾶν καὶ Θεὸν, εἰς Χριστὸν καὶ χρυσὸν, εἰς τὸν παρόντα καὶ τὸν μέλλοντα βίον, οὐ δύναται ἀληθεύων λέγειν, ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου. ὁ δὲ προφήτης πνευματικοῖς ὀφθαλμοῖς τὰ ἐσόμενα προιδὼν, οὐκ ἐξομολογεῖται μόνον ἐν ὅλῃ καρδίᾳ, ἀλλὰ καὶ διηγεῖται αὐτῷ πάντα τὰ θαυμάσια, κοινωνὲς τοὺς ἀκούοντας τῆς ὑμνῳδίας ποιούμενος, καὶ βουλόμενος μόνον τὸν εὐεργέτην ὑμνεῖν· καὶ θυμηδίας ἀφορμὴν

οὐ πλοῦτον ἔχειν καὶ δυναστείαν, οὐδὲ ὑγίειαν καὶ σώματος εὐεξίαν, ἀλλὰ τοῦ Θεοῦ τὴν μνήμην. εὐφρανθήσομαι γάρ φησι, καὶ ἀγαλλιάσομαι ἐν σοί. ἔτω καὶ ἀλλαχοῦ· ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην. καὶ ἑτέρωθι· εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι· καὶ πάλιν, εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. δ'. Ἐν τῷ ἀποτραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. Ταῦτα ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, ἅσω τῷ ὀνόματί σου ὕψισε, ἀνατραπέντων τῶν ἐχθρῶν μου εἰς τὰ ὀπίσω, καὶ προσκοψάντων, καὶ ἀπολομένων ἐκ προσώπου σου· θεασάμενος γὰρ τοὺς ἐμοὺς δυσμενεῖς καταλυθέντας, καὶ εἰς φυγὴν τραπέντας, εἶτα ἁλόντας καὶ πανωλεθρίαν ὑπομείναντας, ὑμνῶ σε καὶ τὰς σὰς ἄδων εὐεργεσίας διατελῶ. ταῦτα δὲ ὁ προφήτης ὑπὲρ τῆς ἀνθρωπίνης διεξέρχεται φύσεως· ἃ τε δὴ τῷ ἁλάστορος ἀπαλλαγεὶς, καὶ τὴν ἐλευθερίαν διὰ τῆς θείας χάριτος δεξάμενος. οὐ γὰρ, ὥς τινες ὑπέλαβον, ἐξ αὐτῷ τῷ σωτῆρος ἔτος εἴρηται ὁ ψαλμὸς, ἀλλὰ μᾶλλον πρὸς αὐτὸν, ὡς πρὸς εὐεργέτην, ἀπὸ τῶν εὖ πεπονθότων, ὡς αὐτὰ διδάσκει τὰ ῥήματα. ε'. Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου. Τίνα τρόπον; Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. καὶ ψῆφον ποίαν ἐξήνεγκεν; ς'. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς· τὸ ὄνομα αὐτῷ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τῷ αἰῶνος. Οὐ γὰρ ἠνέχου, φησὶν, ἐπὶ πλεῖστον περιιδεῖν τῶν ἀνθρώπων τὴν φύσιν ὑπὸ τῷ πικροῦ τυράννου δουλουμένην κακῶς· ἀλλ' οἷόν τις δικαστὴς, ἐπὶ θρόνε τινὸς ὑψηλοῦ καὶ φοβεροῦ βήματος καθίσας, τοιαύτην αὐτῷ τιμωρίαν ἐπήνεγκας, ὥστε λήθη παντελεῖ τούτου παραδοθῆναι τὴν μνήμην. τὸ δέ γε ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς, ταύτην ἔχει τὴν διάνοιαν· διὰ τῶν ἱερῶν ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους τῆς ἀληθείας κηρύκων, προσήνεγκες τοῖς ἔθνεσι τὰ θεῖα δόγματα· ἐκείνων δὲ δεξαμένων, καὶ τῆς πλάνης ἀπαλλαγέντων, ἀπώλετο ὁ ἀσεβὴς, τοὺς ἀπατωμένους καὶ προσκυνοῦντας οὐκ ἔχων. οὕτω Βαρνάβας καὶ Παῦλος θῦσαι περαθεῖσι Λυκάοσιν ἐπετίμησαν βοῶντες, τί ποιεῖτε ἄνδρες; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, ἀπὸ τούτων τῶν ματαίων πρὸς τὸν Θεὸν ὑμᾶς ἐπιστρέφοντες. ἔτω Γαλάταις ὁ μακάριος ἐπετίμησε Παῦλος· ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμὸς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; ἔτω Κορινθίοις, ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, οἵα οὐδ' ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. ἐπετίμησε τοίνυν ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς, καὶ τὸ ὄνομα αὐτῷ ἐξήλειψεν εἰς τὸν αἰῶνα τῷ αἰῶνος. ἐσεβάσθησαν γὰρ παντελῶς τῆς ἀσεβείας αἱ τελεταὶ, καὶ λήθη παντελεῖ παρεδόθησαν, ὡς μηδένα τῶν νῦν ἀνθρώπων εἰδέναι τὰ τῆς ἀσεβείας μυστήρια. ζ'. Τοῦ ἐχθρῷ ἐξέλιπον αἱ ξομφαῖαι εἰς τέλος καὶ πόλεις καθεῖλες. Ἐγυμνώθη γὰρ τῶν οἰκείων ὅπλων, ἃ ἔχων τῆς ἀσεβείας τὰς ὑπουργὰς· οἱ δὲ σφᾶς αὐτοὺς ἐκείνε καταξήσαντες ὄργανα, ἔτοι νῦν μεταταξάμενοι

μένοι τὸν κατ' ἐκείνε πόλεμον ἀνεδέξαντο. καὶ αἱ πόλεις δὲ, τῆς ἐν αὐταῖς πάλαι πολιτευομένης ἀσεβείας καταλυθείσης, εὐσεβείας τὴν οἰκοδομίαν ἀνεδέξαντο. τῶν ἀδυνάτων γὰρ ἦν, δείμαθαι τὴν εὐσέβειαν μὴ πρότερον καθαλύσαντας τὴν ἀσέβειαν. τοῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, διδάσκουσα ἡμᾶς ἵν' ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ τὰ ἑξῆς. ἔτως ἕκαστος ἐ πρότερον συναναίρεσθαι τῷ Χριστῷ, πρὶν δέξασθαι τὲ θανάτου τὴν κοινωνίαν. διὸ καὶ ὁ θεσπέσιος Παῦλός φησιν, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τὲ θανάτου αὐτὲ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· καὶ πάλιν· εἰ συναπεθάνομεν, καὶ συζήσομεν· ἔτω καὶ τῶν πολεμίων τὴν ἀσέβειαν καταλύσας ὠκοδόμησε τὴν εὐσέβειαν. Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου· ἡ. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει. Ἐκεῖνος μὲν φησιν ἔκθηλον ἅπασι καὶ διαφανῆ λίαν ὑπομεμένηκε τὴν ἀπώλειαν. τὸ γὰρ μετ' ἤχου τέτο σημαίνει, ἐκ μεταφορᾶς τῶν ἀπό τινος σεισμοῦ συμπιπλουσῶν οἰκιῶν, καὶ πολὺν ἐργαζομένων τὸν κτύπον. ὁ δέ γε ἡμέτερος φησι Θεὸς καὶ Δεσπότης αἰώνιον ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀνώλεθρον. Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ· θ'. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον τὴν οἰκείαν δύναμιν ἔδειξεν, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι τὸ φρικῶδες αὐτὲ δείξει κριτήριον, πᾶσιν ἀνθρώποις δικάζων, καὶ τὰ πρὸς ἀξίαν ἀπονέμων ἑκάστῳ. ί. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι. Τὸ ἐν εὐκαιρίαις ὁ μὲν Ἀκύλας εἰς καιρὸν, ὁ δὲ Σύμμαχος ἐπικαίρως ἡρμήνευσε. διδάσκει δὲ ὁ λόγος, ὡς ἐν προσφόρῳ καιρῷ τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. πένητα γὰρ τῶν ἀνθρώπων τὴν φύσιν ἀποκαλεῖ, διὰ τὴν πολλὴν τῆς παρανομίας πλωχείαν. τούτου τῷ καιρῷ τὸ ἐπιτήδειον ὁ μακάριος διδάσκει Παῦλος. ὅτε γὰρ ἦμεν, φησὶ, νήπιοι, ὑπὸ τὰ στοιχεῖα τὲ κόσμου ἦμεν δεδουλωμένοι. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτὲ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. ιά. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητῦντάς σε Κύριε. Τὸ ἐλπισάτωσαν Ἀκύλας καὶ Σύμμαχος πεποιθήσασιν εἶπον, ὁριστικῷ ἀντὶ προστακτικοῦ χρησάμενοι ῥήματι. ταύτης γάρ φησι τῆς σωτηρίας παρά σου γενομένης, οἱ ποιητήν σε καὶ Θεὸν μεμαθηκότες εἰς σὲ ἔξουσι τὰς ἐλπίδας. ιβ. Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. Κατὰ τὴν πάλαι τῶν Ἰουδαίων δόξαν τέτο εἴρηκεν ὁ προφήτης· μεμαθήκαμεν δ' ὅμως ἐκ τῆς ἀποστολικῆς διδασκαλίας, καὶ ἐπουράνιον εἶναι Σιών. προσεληλύθατε γάρ φησι Σιὼν ὄρει, καὶ πόλει Θεῷ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτῦ. Τὰ ἐπιτηδεύματα ὁ Σύμμαχος μη-

χανὰς εἶπεν, ὁ δὲ Ἀκύλας ἐναλλαγάς. τῷ ὄντι γὰρ ἐναλλαγὴ μεγίστη πραγμάτων ἐγένετο· οἱ πάλαι ἐχθροὶ φίλοι, οἱ μακρὰν, ἐγγύς, οἱ δοῦλοι, υἱοὶ, οἱ ἐν ἀγνοίᾳ ἐν γνώσει, ἐν φωτὶ οἱ ἐν σκότῳ, ἐν ἐλπίδι ζωῆς οἱ νεκροὶ, οἱ πτωχοὶ κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν. Ἰουδαῖοι πόρρω, καὶ τὰ ἔθνη πλησίον· οἱ υἱοὶ κύνες, καὶ οἱ κύνες υἱοί. καὶ αἱ μηχαναὶ δὲ τὲ σωτῆρος θεοπρεπεῖς. ἀθανασίαν γὰρ διὰ θνητότητος ἐδωρήθη, καὶ διὰ θανάτου ζωὴ, δι' ἀτιμίας τιμὴ, εὐλογία διὰ κατάρας, διὰ σταυροῦ σωτηρία. ταῦτα τὰ μηχανήματα, ταῦτα τὲ Θεὲ ἡμῶν τὰ ἐπιτηδεύματα. ιγ'. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, ἐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. Ὁ πάντα, φησὶν, ἐφορῶν, καὶ ἀκριβῶς ἐκζητῶν τὰ γινόμενα, εἶδε τὰς τολμωμένας ὑπὸ τὲ διαβόλου δι' ἀπάτης τῶν ἀνθρώπων σφαγὰς, καὶ εἰς ἐπικουρίαν τῶν ἀδικουμένων ἐλήλυθεν. τὲτο γὰρ σημαίνει, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. κραυγὴν γὰρ ἐνταῦθα οὐ τὴν προσευχὴν λέγει καὶ δέησιν, ἀλλὰ τὴν διὰ τῆς ἁμαρτίας ἐπεισελθοῦσαν ταλαιπωρίαν, δι' ἣν καὶ θάνατοι ἄωροι, καὶ θρῆνοι, καὶ συμφοραί. ιδ'. Ἐλέησόν με Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. Τοιαύτη τις ἦν, φησὶν, ἡ τῶν ὀλοφύρεσθαι καὶ τῶν θρήνων γινομένη κραυγὴ, οἷόν τινα αἴτησιν ἔχουσα περὶ τῶν κατεχόντων δεινῶν. ιε'. Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τὲ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου. Τοῦτό φησιν, ἐστὶ τὸ τέλος τῶν ἀγαθῶν, ἡ τῆς φθορᾶς ἀπαλλαγὴ, καὶ τὲ θανάτε καταλύσις· ἧς ἀπολαύσαντες ἀεὶ τὰς σὰς εὐεργεσίας ὑμνήσομεν. Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιὼν ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου. Σιὼν καλεῖ τὴν ἐπουράνιον πόλιν, ὡς ὁ μακάριος Παῦλος ἐδίδαξε· πύλας δὲ ἐκείνης, τὰς ἁπανταχοῦ τῆς γῆς ἐκκλησίας, δι' ὧν εἰς ἐκείνην εἰσήεσαν οἱ πιστεύοντες· ἐν ταύταις τοίνυν, φησὶν, ἀγαλλιώμενοι, καὶ χορεύοντες ἐπὶ ταῖς ἐλπίσι τῆς ἀναστάσεως, τὸν τούτων πρόξενον ἀνυμνήσομεν. καὶ ἐπειδὴ τῆς τὲ θανάτου καταλύσεως ἐμνημόνευσεν, εἰκότως ἐπήγαγεν· ιε'. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ἧ ἐποίησαν, ἐν παγίδι ταύτῃ ἣ ἔκρυψαν συνελήφθη ὁ ποὺς αὐτῶν. ιζ'. Γινώσκεται Κύριος κρίματα ποιῶν· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. Ἔθνη δὲ καὶ ἐνταῦθα προσαγορεύει τῶν δαιμόνων τὸ σίφος· οὗτοι γὰρ τὸν σωτήριον σταυρὸν τεκτηνάμενοι, διὰ τούτου τῆς τυραννίδος ἐξέπεσαν· καὶ ἐν παγίδι ἣ ἔκρυψαν συνελήφθη ὁ ποὺς αὐτῶν, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτὲ συνελήφθη ὁ ἁμαρτωλός. εἰ δὲ καὶ ἐπὶ τῶν ἀπιστησάντων ἐθνῶν, καὶ τοὺς καλλινίκους ἀποστόλους καὶ μάρτυρας ἀνελόντων, τὰ προκείμενα ληφθείη ῥήματα, καὶ οὕτω τὸ ἀληθὲς τῆς προφητείας εὑρήσομεν. διὰ γάρ τοι τῆς ἐκείνων σφαγῆς ἐβεβαιώθη τῆς εὐσεβείας τὸ κήρυγμα, καὶ πλείους ὧν ἐθήρευσαν ζῶντες ἀποθανόντες ἐζώγρησαν· καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτὲ συνελήφθη ὁ ἁμαρτωλὸς, καὶ ἐγνώσθη Κύριος κρίματα ποιῶν, τουτέστι σοφῶς καὶ δικαίως οἰκονομῶν. ιη'. Ἀποστραφήτωσαν

τωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. ιθ'. Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πλωχὸς, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα. Οὗτοί φησιν οἱ τῷ θείῳ διαπισήσαντες κηρύγματι τὸν ᾅδην ὅτι τάχισα καταλήψονται, καὶ τῷ θανάτῳ παραδοθήσονται, ἐδὲ τὴν τυχεῖσαν βλάβην τοῖς ὑπ' αὐτῶν διωκομένοις ἐπαγαγόντες. ἡ ὑπομονὴ γὰρ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα. ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· καὶ μακάριοι οἱ πλωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· εἶτα πόρρωθεν προφητικοῖς ὀφθαλμοῖς θεασάμενος λεηλατουμένους ὑπὸ τῶν δυσσεβῶν τὰς τῆς εὐσεβείας κήρυκας, εὐκτικῶς λέγει, κ'. Ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου. καί. Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Εἰκότως ἄν τις ἔροιτο Ἰουδαίους, ποῖον ἐνταῦθα δοθῆναι νομοθέτην ὁ προφήτης παρακαλεῖ; Μωσῆς μὲν γὰρ ὁ μέγας, πάλαι καὶ πρόπαλαι τῆς θείας νομοθεσίας γενόμενος ὑπουργὸς, τῷ βίῳ τὸ τέλος ἐδέδεκτο· ἕτερος δὲ μετ' ἐκεῖνον οὐκ ἐγήγερται νομοθέτης. εἰ δὲ μηδεὶς ἕτερος δείκνυται, μήτε τοῖς Ἰουδαίοις, μήτε τοῖς ἔθνεσι, καλὰς ἂν νομοθέτης, λείπεται νοεῖν τὸν δεσπότην Χριστὸν ἀναφανῆναι νομοθέτην ἐθνῶν· ὃς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις βοᾷ, ἐῤῥέθη τοῖς ἀρχαίοις, ἐγὼ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει· ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ τὰ ἄλλα πάντα ὁμοίως. τὴν τότε τοίνυν νομοθεσίαν ὁ προφήτης ἀντιβολεῖ παραχεθῆναι τοῖς ἔθνεσιν· ἵνα τὸν θηριώδη καταλιπόντες βίον, γνῶσιν ὅτι ἄνθρωποί εἰσιν. ἄνθρωπος γάρ φησιν ὁ προφήτης, ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· διόπερ καὶ ταῦθα φησι, γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν.

Ψαλμὸς ι κατὰ τὸς Ἑβραίους.

α'. Ἵνα τί Κύριε ἀφέστηκας μακρόθεν; ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν; β'. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πλωχὸς, συλλαμβάνονται ἐν διαβελίοις οἷς διαλογίζονται. Δοκεῖς πόρρωθεν ἐσάναι Δέσποτα, καὶ μὴ ὁρᾷν τὰ ἀνθρώπεια, τοῖς ἀδικεμένοις ἐκ ἐπαμύνων. ὑπὸ δὲ τῆς ἀθυμίας, οἷόν τινος πυρὸς, οἱ ἀδικέμενοι καταλήκονται τῶν ἀδικέντων τὴν ἀλαζονείαν θεώμενοι. σφόδρα δὲ προσφυῶς τὸ ἐμπυρίζεται ἐπὶ τῶν ἀθυμούντων τέθεικεν. ἐμπιπραμένοις γὰρ οἱ ἀθυμοῦντες ἐοίκασι, καὶ οἷόν τινα καπνὸν διὰ στόματος τὸν στεναγμὸν ἀναπέμπουσι· βλάβη δὲ αὐτοῖς φησιν ἀπὸ τῆς ἀθυμίας γε ἥσεται, λογισμοῖς ἐκ εὐπρεπέσι χρωμένοις, ἀλλὰ περὶ τῆς σῆς διχονοοῦσι προνοίας. τοῦτο γὰρ σημαίνει τὸ, συλλαμβάνονται ἐν διαβελίοις οἷς διαλογίζονται. καὶ τὴν αἰτίαν διδάσκων ἐπήγαγεν· γ'. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν εὐλογεῖται. Μύρια γὰρ δεινὰ δρῶν-

δρῶντες, καὶ ἐπαίνες παρὰ τῶν κολάκων καρπέντας. δ'. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλὸς κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ. Ἐνταῦθα ὑποστικτέον, εἶτα ἐπενεκτέον· οὐκ ἐκζητήσει. ἀντὶ τοῦ, παρώξυνε τὸν Κύριον λέγων οὐκ ἐκζητήσει. μανίαν γὰρ καὶ λύτλῃ χρώμενος, ὡς ἀδεὼς ἐφορῶντος, εἰς πᾶσαν ἄτλητον παρανομίαν, ἐχ ἡγέμενος ἐκζητεῖν τὸν κριτὴν τὰ γινόμενα. εἶτα τοῦτο σαφέστερον λέγει· ε'. Οὐκ ἔστι ὁ Θεὸς ἐνώπιον αὐτοῦ. „Ὁ ἄπιστος καὶ ὁ ἁμαρτωλὸς οὐδέποτε τίθεται πρὸ ὀφθαλμῶν „αὐτοῦ τὸν Θεόν. ἀλλ' ἑκάστης ἡμέρας καὶ „ἐν παντὶ καιρῷ μιαίνει καὶ βυσσοῖ τὰς „ὁδὸς αὐτοῦ, μὴ πιστεύων ὅτι ἔστι κρίσις.„ Τί δὲ τούτου τὸ αἴτιον; βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ, ἀλλαναιρεῖται τὰ κρίματά σε ἀπὸ προσώπε αὐτοῦ. παντελῶς τῶν σῶν νόμων καταφρονεῖ· πάντα καιρὸν εἰς παρανομίαν δαπανᾷ. „Σμικρύνει γὰρ καὶ εὐτελίζει τὰς ἐντολὰς τοῦ Θεοῦ ὁ ἄπιστος.„ Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει· Ἀλλ' ὅμως καὶ τοιαῦτα δρῶν κατευοδῶται. εἶτα τοῦ τύφε τὴν ὑπερβολὴν ζωγραφεῖ. ς'. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἃ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. Σαφέστερον τοῦτο ὁ Σύμμαχος ἡρμήνευσεν· ἃ περιγραπήσομαι εἰς γενεὰν καὶ γενεάν, ἔτε ἔσομαι ἐν κακώσει· καὶ τούτῃ κέχρηται τῇ θρασύτητι· καὶ ἡγεῖται μηδὲν δεινὸν ὑποστήσεσθαι πάντα μετιὼν τῆς κακίας τὰ εἴδη. ζ'. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας, καὶ δόλε· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος, καὶ πόνος. Δόλες γὰρ ῥάπτει, καὶ τυρεύει κακὰ, καὶ βίον ἔχει τὰς κατὰ τῶν πενήτων ἐπιβελάς. „Κόπος ἀνόητος καὶ πόνος ἀ„νερδὴς· δίκαι τέτε τὴν γλῶσσαν ἐ κυνεῖ „καὶ σαλεύει.„ η'. Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλεσίων ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῶον. Καὶ ἐν συλλόγοις δὲ, καὶ ἐν συνεδρίοις καθήμενος, ἐνέδρας πνὰς καὶ μηχανὰς τοῖς ἀνειτίοις κατασκευάζει. „Οἱ πλετοῦντες τῇ „ἀσεβείᾳ διαπαντὸς τῇ εἰρωνείᾳ ζῶσιν· „ἐνεδρεύσει γὰρ τὸς ἀκάκες· ἄλλως „τε καὶ οἱ πλέσιοι ἐνεδρεύσι τὸς πέννη„τας. Ὁ διάβολος λελῃθότως γὰρ τὸν „Χριτὸν ἐζήτησεν ἀποκτεῖναι· ἀθῶος γὰρ „τοῖς χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ μό„νος ὁ Θεός.„ θ'. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπεσιν· ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ· ἐνεδρεύει τοῦ ἁρπάσαι πλωχὸν ἐν τῷ ἑλκῦσαι αὐτόν· ι'. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν. Καθάπερ ὁ λέων τῇδε κἀκεῖσε μεταφέρει τὸ ὄμμα θήραν ἐπιζητῶν· ἕτως ἕτος νύκτωρ καὶ μεθ' ἡμέραν ἁρπαγῆς καὶ πλεονεξίας ἐπινοεῖ μηχανάς· ἀλλ' ὅμως κύψει καὶ πεσεῖται. „Ὡς ὁ λέων ἐν τῷ ἀπηλαίῳ „ἀεὶ ἐνεδρεύει ἁρπάσαι, ἕτω καὶ ὁ διάβο„λος ἐν τῇ συναγωγῇ τῶν Ἰεδαίων ὡς ἐν „μάνδρᾳ ἐθήρευσε τὸν Χριτὸν, νομίσας „αὐτὸν ψιλὸν ἄνθρωπον εἶναι.„ ἐν τῷ αὐτὸν καθακυριεῦσαι τῶν πενήτων. Ὅλαν γὰρ πάντων περιγένηται, ἤκιτα διαφεύξεται τοῦ θανάτε τὸ σῶμα· ἀλλὰ τοῖς ἄλλοις παραπλησίως τῷ τάφῳ παραδοθήσεται. „Ἐνόμισε οὖν ὁ ἐχθρὸς καὶ „αὐτῶν τῶν ἀποστόλων κυριεύειν, ἀλλὰ „καὶ τῶν μαρτύρων· ὅταν ἓν ἔδοξε πάν„των κεκρατηκέναι, τότε συντριβεὶς ἔπε„σε, τὸ γὰρ κύψει συντριβῆναι δηλοῖ.„

ια'. Εἶ-

κέ. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτῦ, ἐπιλέλησται ὁ Θεὸς, ἀπέστρεψε τὸ πρόσωπον αὐτῦ τῦ μὴ βλέπειν εἰς τέλος. „Ταῦτα δὲ πάντα ὁ ἀσεβὴς κατὰ τῶν πενήτων τῦ Θεῦ διαπράττεται· ἑαυτὸν ἀπατῶν καὶ τοῖς ἑαυτῦ λογισμοῖς μὴ εἶναι Θεὸν ἔφορον διανοούμενος. εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτῦ, ἐπιλέλησται ὁ Θεὸς, ἀπέστρεψε τὸ πρόσωπον αὐτῦ, τῦ μὴ ἐπιβλέπειν εἰς τέλος. „ Καὶ εὑρὲν αὐτὸν ὀνήσει τὰ δυσσεβῆ ῥήματα, καὶ οἱ ἀθεότητος λογισμοί· ἀλλὰ δι' αὐτῶν γνώσεται τῶν πραγμάτων, ὡς ἔφορος τὰ ἀνθρώπεια τῶν ὅλων ὁ πρύτανις. ἐκ τῶν δυσσεβῶν τύτων ῥημάτων λίαν ἀνιαθεὶς ὁ προφήτης, πάλιν εἰς εὐχὴν τὸν λόγον μεταβάλλει, λέγων, ιβ'. Ἀνάστηθι Κύριε ὁ Θεός μυ, ὑψωθήτω ἡ χείρ συ· μὴ ἐπιλάθῃ τῶν πενήτων συ εἰς τέλος. Ἐπειδὴ οἱ δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντες δι' ὧν πράττουσι λέγουσιν, ὡς ἐπιλέλησται ὁ Θεὸς, διδάσκων αὐτὸς διὰ τῆς πείρας, ὡς ἐκ ἐπιλέλησται, ἀλλ' ἀποστρέφεις τὸ πρόσωπόν συ· ἀλλὰ τῶν ἀδικημένων κηδεμονίαν ποιεῖς. καὶ σφοδρότερον ἀχθεσθεὶς ταῖς ἐκείνων βλασφημίαις ἐπήγαγεν. ιγ'. Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτῦ, ἐκ ἐκζητήσει. Ἀλλὰ καὶ μυριάκις ἐκεῖνος ταῦτα λογίσηται, σὺ βλέπεις· ὅτως γὰρ νοητέον. „τετέχνη, „ ὅσον ἂν καταπίῃ τὸν ἄνθρωπον, ἐκ „ ἔστιν ὁ ἐκζητῶν αὐτὸν, φησὶν ὁ διάβολος.„ ιδ'. Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τῦ παραδῶναι αὐτὸν εἰς χεῖράς συ. Οὕτως γὰρ καὶ ὁ Σύμμαχος διέσειλεν· ὁρᾷς ὅτι σὺ μόχθον καὶ παροργισμὸν ἐποπτεύεις. καὶ ὁ Ἀκύλας· εἶδες ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέπεις. κἂν μυριάκις, φησὶν, εἴπωσιν οἱ δυσσεβείᾳ συζῶντες, ὅτι ὐκ ἐπιβλέπεις τὰ ἀνθρώπεια, ἡμεῖς ἴσμεν ὅτι βλέπεις καὶ ἐποπτεύεις τὰς τύτων παρανομίας, καὶ τὴν ἀξίαν αὐτοὺς εἰσπράττῃ ποινήν. σοὶ (γὰρ) ἐγκαταλέλειπται ὁ πτωχὸς, ὀρφανῷ σὺ ἦθα βοηθός. Διὰ τῦτό σε ἱκετεύω. ιε'. Σύντριψον τὸν βραχίονα τῦ ἁμαρτωλῦ, καὶ πονηρῦ. Ἔσαι δὲ τῦτο, ἐὰν μόνον τὴν ἁμαρτίαν αὐτῦ ζητῆσαι θελήσῃς· εἰ γὰρ τῦτο γένηται, παραυτίκα φρῦδος ἔσαι, καὶ πανωλεθρίᾳ παραδοθήσεται· τῦτο γὰρ ἐδήλωσεν εἰρηκὼς, ζητηθήσεται ἡ ἁμαρτία αὐτῦ, καὶ ὐ μὴ εὑρεθῇ· δι' αὐτὴν μὲν τὴν ἁμαρτίαν. καὶ τῦτο δὲ σαφέστερον ὁ Σύμμαχος εἰρηκεν· ἐκζητηθήσεται ἡ ἀσέβεια αὐτῦ, ἵνα μὴ εὑρεθῇ αὐτός. ἐκείνης γὰρ ζηλωμένης καὶ δεικνυμένης, ἔτος ἀπόλυλαι. ιϛ'. Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τῦ αἰῶνος. Ἐπειδὴ γὰρ οἱ δυσσεβεῖς ἔλεγον, ἃ ζητεῖ, εὖδε βλέπει, εἰκότως ὁ προφητικὸς λόγος διδάσκει ὅτι βασιλεύσει, καὶ ὐχ ἁπλῶς βασιλεύσει, ἀλλ' εἰς τὸν αἰῶνα τῦ αἰῶνος. ἴδιον δὲ βασιλέως προμηθεῖσθαι τῶν ἀρχομένων. ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτῦ τὰ παρανομίᾳ συζῶντα, τὰ τὸ σωτήριον μὴ δεξάμενα κήρυγμα. ιζ'. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκυσας Κύριε, τὴ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν πρόσεχε τὸ ὠῦς σου. Τὴν δὲ ἑτοιμασίαν τὴν πρόθεσιν ὁ Σύμμαχος εἰρηκεν. οἷδάς φησιν ἀκριβῶς τίνος ἐπιθυμῦσιν οἱ πένητες,

τες, καὶ ποίαν πρόθεσιν ἔχουσιν. εἶτα ταύτην διδάσκει σαφέστερον. ιή. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ. Τούτου φησὶν ἐφίεται τῶν ἀδικουμένων ἕκαστος. Ἵνα μὴ προσθῇ ἔτι τὸ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. Τῶν γὰρ ἀσεβείας καὶ παρανομίας χρωμένων κολαζομένων, ὄφελος ἔσται μέγιστον τῶν ἄλλων ἀνθρώπων εἰς τέτους ἀφορώντων, καὶ δρᾶν τὰ ὅμοια μὴ τολμώντων. ταῦτα δὲ οὐχ ἁπλῶς ὁ προφήτης τῷ προκειμένῳ συνῆψε ψαλμῷ· ἀλλὰ πρῶτον μὲν δεῖξαι βουλόμενος ὅπως διέκειτο πάλαι τῶν ἀνθρώπων ἡ φύσις, καὶ ὅτι ὁ μονογενὴς τῷ Θεῷ λόγος εἰς καιρὸν ἐνανθρωπήσας κατάλληλα τοῖς τραύμασιν ἐπέθηκε φάρμακα. πρὸς δέ γε τέτοις διδάσκει, ὡς τοὺς ὄντως οὐδεμίαν ἐκ τῆς εὐεργεσίας δέξασθαι βουληθέντας μείζοσι παραδόσει κολασηρίοις ὁ τῶν ὅλων Θεὸς ἐν τῇ τῆς δευτέρας ἐπιφανείας ἡμέρᾳ.

ΕΡΜΗΝ. ΤΟΥ Ι ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Τοῦτον τὸν ψαλμὸν ὑπὸ τῷ Σαοὺλ διωκόμενος ὁ θειότατος Δαβὶδ εἶπε πρὸς τοὺς παραινοῦντας αὐτῷ φυγῇ τὴν σωτηρίαν πορίσασθαι. ἀρμόττει δὲ παντὶ ἀδικουμένῳ, καὶ τὴν εἰς Θεὸν ἐλπίδα κεκτημένῳ. εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, ἅτε δὴ πρόρρησιν περιέχων τῆς δικαίας τῷ Θεοῦ κρίσεως, καὶ τῆς ἐπενεχθησομένης τοῖς παρανόμοις κολάσεως. β'. Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη, ὡς στρουθίον; Τί δήποτέ φησι παραινεῖτέ μοι φυγεῖν, καὶ τὰ ὄρη περινοστεῖν, στρουθὶς δίκην ἐπλοημένης, καὶ τὰς σκηνὰς τῇδε κακεῖσε μεταβαίνειν, βεβαίαν ἔχοντι τὴν εἰς Θεὸν ἐλπίδα, καὶ δι' ἐκείνην τοὺς δυσμενεῖς μὴ δειμαίνοντι; γ'. Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Τινὲς καὶ καὶ ταῦτα συνῆψαν τοῖς εἰρημένοις στίχοις· ἀλλὰ τὰ ἐπιφερόμενα οὐκ ἐᾷ. ἐπάγει γάρ· δ'. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. Ἐντεῦθεν δὲ διδασκόμεθα, ὡς πρὸς τὸν Θεὸν ἔτρεψε τοὺς λόγους ὁ προφήτης, ἐντεύξει χρώμενος, καὶ διδάσκων ὡς εὐτρεπῆ τῶν πολεμίων, καὶ τὰ τόξα, καὶ τὰ βέλη, καὶ σκοπὸς αὐτοῖς οἷον ἐν σκοτομήνῃ τινὶ καὶ ἀσελήνῳ νυκτὶ, τοῖς λόχοις καὶ ταῖς ἐνέδραις χρήσασθαι καθ' ἡμῶν. τὸ γὰρ τῆς ἐπιβελῆς λαθραῖον καὶ κεκρυμμένον σκοτομήνην ἐκάλεσε· τοῦτο δὲ τὸ ὄνομα τὴν ἀσέληνον νύκτα δηλοῖ. εὐθεῖς δὲ τῇ καρδίᾳ ὠνόμασεν, οὐ τὴν ἄκραν ἀρετὴν ἑαυτῇ μαρτυρῶν· ἀλλ' εἰδὼς ὅτι πρὸς βλάβην τῷ Σαοὺλ οὐδὲν εἰργάσατο πώποτε, ἀλλ' εὐνοίας πλείστης περὶ αὐτὸν χρησάμενος διετέλεσεν. ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. οὐχ ἥρπασά φησι τὴν βασιλείαν, ἀλλὰ τὴν χειροτονίαν παρὰ τῆς σῆς χάριτος ἐδεξάμην. ἐκεῖνοι δέ με καταλῦσαι πειρῶνται κατὰ τῆς σῆς ὁπλιζόμενοι ψήφου. ὁ δὲ δίκαιος τί ἐποίησε; ε'. Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπιβλέπουσι τὴν οἰκουμένην, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. ς'. Κύριος ἐξετάζει τὸν δίκαιον,

δίκαιον, καὶ τὸν ἀσεβῆ. Ἐκεῖνοι μὲν ἓν τῇ κατ' ἐμοῦ κέχρηνται πονηρίᾳ· σὺ δὲ ὁ δίκαιος κριτὴς ἐγκαθήμενος τοῖς ἐρανίοις θώκοις, καὶ τὴν οἰκείαν ἐπιφάνειαν ἐν τῷ ναῷ τῷ ἐπὶ γῆς ποιούμενος, ἐποπτεύεις μὲν τὴν οἰκουμένην ἅπασαν, ἀρκεῖ δέ σοι μόνον τῶν ὀμμάτων τὰ βλέφαρα τὰ ἀνθρώπεια πάντα καταμαθεῖν. οἶδα δὲ ἀκριβῶς καὶ ἀδίκων καὶ δικαίων τὰς πράξεις, καὶ ταλαντεύεις τοῖς ἔργοις τὰς ἀντιδόσεις. ἰστέον δὲ, ὅτι καὶ ὀφθαλμοὺς, καὶ βλέφαρα, καὶ θρόνες, καὶ τἆλλα ὅσα τοιαῦτα, σωματικώτερον λέγει, ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων τὲς ἀνθρώπες τὰ θεῖα διδάσκων, καὶ ταῖς θείαις ἐνεργείαις τῶν ἀνθρωπίνων μορίων τὰς προσηγορίας τιθείς. Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτῦ ψυχήν. Ὁ τὴν ψυχὴν ἀγαπῶν, τὴν ἀδικίαν μισεῖ· ὁ δὲ περὶ ἐκείνην εὖ διακείμενος, ὄλεθρον τῇ ψυχῇ μηχανᾶται. ἐπισπᾶται γὰρ τὴν θείαν ὀργὴν, περὶ ἧς ὁ προφητικὸς διέξεισι λόγος. ζ'. Ὅτι ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος. Ἀπὸ τῶν ἤδη περὶ τὰ Σόδομα γινομένων χηματίζει τὰς τιμωρίας. καὶ γὰρ εἰς ἐκείνας τὰς πόλεις ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ, καὶ θεῖον ἐκ τῦ οὐρανοῦ. ταῦτα τοίνυν κἀνταῦθα ἠπείλησεν· οὐχ ὡς πάντως ταῦτα ἐπάξων, ἀλλὰ διὰ τούτων τὰς παντοδαπὰς κολάσεις παραδηλῶν. ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ταῦτά φησιν ἑαυτοῖς ἀπεκλήρωσαν τὴν παρανομίαν ἑλόμενοι. ποτήριον δὲ ἐνταῦθα τὴν τιμωρίαν ὀνομάζει. ἔτω δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ, ὅτι ποτήριον ἐν χειρὶ Κυρίε οἴνε ἀκράτου πλῆρες κεράσματος· καὶ μετ' ὀλίγον, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. τοῦτο τὸ ποτήριον ὁ μακάριος Ἱερεμίας τοῖς ἔθνεσι προσενεγκεῖν ἐκελεύθη. η'. Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν· εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ. Ταῦτά φησιν ἐπιφέρει τοῖς κακίᾳ συζῶσι τῶν ὅλων ὁ Κύριος· ἐπεὶ δικαιοσύνης ὑπάρχει πηγὴ, καὶ οἷόν τινι πηδαλίῳ τῇ εὐθύτητι χρώμενος ἰθύνει τὰ σύμπαντα.

ΕΡΜΗΝ. ΤΟΥ ιά ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαβίδ. Τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλμὸς διανοίας. διαβάλλει γὰρ τοὺς διπλόῃ κεχρημένες, καὶ φιλίαν μὲν ὑπισχνεμένες, προϊεμένες δὲ αὐτὸν τῷ πολεμίῳ Σαοὺλ, καὶ μηνύοντας ἔνθα διῆγεν. ὑπὲρ δὲ τῆς ὀγδόης τὴν ἐπιγραφὴν ἔχει· ἄτε δὴ τῆς δικαίας τῦ Θεοῦ κρίσεως μεμνημένος, ἣν μετὰ τὴν ἑβδόμην ποιήσεται, καθὰ προειρήκαμεν, ὁ δίκαιος κριτής. διὰ τοῦτο καὶ εἰς τὸ τέλος προγέγραπται, ὡς χρόνοις ὕστερον τῆς προρρήσεως ἐσομένης. β'. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Τῆς παρὰ σῦ Δέσποτα σωτηρίας ἀπολαῦσαι παρακαλῶ. ἐπειδὴ κινδυνεύει τῆς ἀληθείας ἀποσβεσθῆναι τὸ χρῆμα, πάντων, ὡς ἔπος εἰπεῖν, τὴν πρὸς ἀλλήλους ἀπιστίαν νενοσηκότων. εἶτα διηγεῖται σαφέστερον τὰ τολμώμενα. γ'. Μάταια ἐλάλησεν

ἕκα-

ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ὑποκρίνονται φιλίαν, καὶ τὰ πολεμίων ἐργάζονται. Χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Μετὰ δόλου φησὶν ἀλλήλοις προσδιαλέγονται. καὶ οὗτος τοῖς χείλεσι χρώμενος εἰς τὴν τοῦ πέλας καρδίαν τὰ ψευδῆ παραπέμπει. κἀκεῖνος πάλιν ὁμοίως ἀντιπέμπει τὰ ὅμοια. ἐντεῦθεν λοιπὸν αὐτοῖς ἀπειλεῖ τιμωρίαν. δ'. Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα. Τί δὲ τῆς μεγαλορρημοσύνης τὸ εἶδος; ε'. Τοὺς εἰπόντας, τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐσι· τίς ἡμῶν κύριός ἐσιν; Οὐκ ἀνέχονται φησι μετρῆσαι τῇ φύσει τοὺς λόγους, ἐδὲ εἰς τοὺς θείους ἀποβλέπειν ἐθέλουσι νόμους, ἀλλ' ἀθυρώτοις ξόμασι κεχρημένοι, μετ' ἀδείας ὅπερ βέλονται φθέγγονται, τῆς θείας μακροθυμίας καταφρονοῦντες, καὶ μηδὲ τελεῖν ὑπὸ τὴν τοῦ Θεοῦ δεσποτείαν νομίζοντες. τοιοῦτος ἦν ὁ Φαραώ· διόπερ καὶ ἔλεγεν, οὐκ οἶδα τὸν Κύριον. τοιοῦτος ἦν ὁ Ῥαψάκης, λέγειν τολμῶν, μή σε ἀπατάτω ὁ Θεός σου, ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. τοιοῦτος Ναβουχοδονόσωρ τοὺς γενναίους ἐκείνους δεδιττόμενος παῖδας, καὶ λέγειν οὐ φρίττων, τίς ὁ Θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; ἀλλ' ὅμως κἀκεῖνοι ποινὴν ἔδοσαν ὧν ἐτόλμησαν, καὶ οὗτοι περὶ ὧν ὁ προφητικὸς διέξεισι λόγος τὰς ἀξίας τίσουσι δίκας. καὶ τοῦτο σημαίνων ἐπήγαγεν· ς'. Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι λέγει Κύριος· θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Οὐ περιόψομαι γὰρ αὐτοὺς ὀλοφυρομένους, καὶ στένοντας διὰ τὴν εἰς αὐτοὺς τολμωμένην παρανομίαν. ἀλλὰ τὴν μακροθυμίαν καθάπερ τινὰ ὕπνον ἀποσεισάμενος, περιφανῆ καὶ λαμπρὰν αὐτῶν τὴν σωτηρίαν ποιήσομαι. ἔτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσε, τάξω σωτήριον ἐμφανές. καὶ διδάσκων ὡς ἀληθῶς ἔσαι τὰ εἰρημένα, προστέθεικε· ζ'. Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον ἐν τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως. Τὸ ἑπταπλασίως ἀντὶ τοῦ πολλαπλασίως τέθεικε. τοῦτο γὰρ σύνηθες τῇ θείᾳ γραφῇ. η'. Σὺ Κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Ὑπὸ γὰρ τῆς σῆς φρουρούμενοι χάριτος οὐ μόνον τῆς παρούσης γενεᾶς τὰς πάγας διαφεύξόμεθα, ἀλλὰ καὶ τῆς αἰωνίου σωτηρίας τευξόμεθα. θ'. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Οἱ μὲν οὖν δυσσεβείᾳ συζῶντες, τὴν θείαν καταλιπόντες ὁδὸν, τῇδε κἀκεῖσε περιπλανῶνται, κυκλοῦν καὶ οἱονεὶ πολιορκεῖν τὸν ἐπιεικέστερον πειρώμενοι. σὺ δὲ ἀπὸ τοῦ τῆς φύσεως ὕψους φαινόμενος τῆς σῆς ἀξιοῖς κηδεμονίας τοὺς ὑπ' ἐκείνων πολεμουμένους, νῦν μὲν ψυχαγωγῶν ἐν ταῖς θλίψεσι, μετὰ βραχὺ δὲ τελείαν τὴν σωτηρίαν δωρούμενος.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ ιβ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Καὶ τοῦτον εἰς ἑαυτὸν ἤνεγκε τὸν ψαλμὸν ὁ μέγας Δαβίδ, οὐ μὴν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, ἀλλ' ὑπὸ τοῦ Ἀβεσσαλὼμ πολεμούμενος. τὰ μὲν γὰρ κατὰ τὸν Σαοὺλ πρὸ τῆς ἁμαρτίας ἦν, καὶ διὰ τοῦτο μετὰ πολλῆς ἐλέγετο παῤῥησίας. τὰ δέ γε κατὰ τὸν Ἀβεσσαλὼμ μετὰ τὴν ἁμαρτίαν· διὰ τοῦτο κλαυθμὸς καὶ στεναγμὸς τοῖς λόγοις ἐγκέκραται. Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος; Τὴν ἀναβολὴν τῆς βοηθείας ἐπιλησμονὴν προσηγόρευσε. παρακαλεῖ δὲ μὴ εἰς τέλος ἐπιλησθῆναι· τετέτοι μὴ παντελῶς τῆς θείας γυμνωθῆναι προνοίας. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σε ἀπ' ἐμοῦ; Ἐκ μεταφορᾶς τῶν ὀργιζομένων, καὶ τοὺς προσκεκρουκότας ὁρᾶν οὐ βουλομένων, τέθεικε τοῦτο τὸ ῥητόν. διὸ μετ' ὀλίγα λέγει, ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με· οὔτε πρόσωπον νεῶν τὸ πρόσωπον, οὔτε ἀποστροφὴν τὴν ἀποστροφήν· ἀλλ' ἀπὸ τῶν ἀνθρωπίνων πάλιν χηματίζει τὸν λόγον. β'. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Νύκτωρ καὶ μεθ' ἡμέραν τρυχόμενος διατελῶ, καὶ τοὺς λογισμοὺς στρέφων τε καὶ ἀνελίττων, ποτὲ μὲν ἀπολαύσεσθαι φιλανθρωπίας ἐλπίζω, ποτὲ δὲ ἀμφιβάλλω εἰ τεύξομαι. ἄλλοτε δὲ ἀπαγορεύω τὰς χρηστοτέρας ἐλπίδας. γ'. Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ταῦτα καὶ ἡμῖν ἁρμόττει λέγειν ὑπὸ τοῦ διαβόλου πολεμουμένοις, καὶ τὴν θείαν ἀεὶ συμμαχίαν καλεῖν. καὶ γὰρ ὁ θειότατος Δαβὶδ ἠνιᾶτο τοὺς πολεμίους ἐπικρατεστέρους ὁρῶν. δ'. Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου, φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. Τῇ νυκτὶ τῶν συμφορῶν περιεχόμενος, οἷόν τινι ὕπνῳ τῇ ἀθυμίᾳ κατέχομαι. εἰ δὲ φανείη τῆς σῆς ἐπικουρίας τὸ φῶς, καὶ τὴν νύκτα σκεδάσει τῶν συμφορῶν, καὶ τὸν ὕπνον παύσει τῆς ἀθυμίας. εἰ δὲ ἀναβάλλοις τὴν βοήθειαν, δέδια μὴ εἰς θάνατον ὁ ὕπνος μεταπέσῃ, ἰσχυροτέρας τῆς λύπης γενομένης τῶν λογισμῶν. ε'. Μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ. Μή με τοῖς δυσμενέσιν ἀποφήνῃς ἐπίχαρτον. πάντων γάρ μοι τῶν ἀνιαρῶν ἀνιαρώτατον τοῦτο. ς'. Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Καὶ ἐντεῦθεν δῆλον, ὡς μετὰ τὴν ἁμαρτίαν τοῦτον εἴρηκε τὸν ψαλμόν. οὐ γὰρ δικαιοσύνη, ἀλλ' ἔλεῳ θαῤῥεῖ, καὶ τούτῳ πεποιθέναι φησίν. ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. νῦν μὲν τὰς ἐλπίδας εἰς τὸν ἔλεον ἔχω· τῆς δὲ σωτηρίας ἀπολαύσας, καὶ τῆς ἀθυμίας ἀπαλλαγήσομαι, καὶ μετὰ θυμηδίας ἀπάσης τὴν ὑμνῳδίαν ποιήσομαι. τοῦτο γὰρ ἐπήγαγεν· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. Εἰ γὰρ καὶ τὴν ἄῤῥητον οὐκ ἐπίσταμαι φύσιν, ἀλλ' οὖν ἀπόχρη μοι τὸ ὄνομά σου εἰς τὸ προσκυνεῖν καὶ ὑμνεῖν, καὶ πᾶσαν δικαίαν ἐπικουρίαν αἰτεῖν· πιστεύω γὰρ ὡς τεύξομαι καὶ τοῦτο μόνον καλῶν.

ΕΡΜΗΝ. ΤΟΥ ιγ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ. Καὶ οὗτος ἡμᾶς ὁ ψαλμὸς εἰς τὸ τέλος παραπέμπει, ἐπειδὴ περὶ μελλόντων προαγορεύει. ἡ δὲ ὑπόθεσίς ἐστιν αὕτη. ἐπεστράτευσε Σενναχηρεὶμ τῶν Ἀσσυρίων ὁ βασιλεὺς τῇ Ἰουδαίᾳ ποτὲ, καὶ πολλὰς πόλεις εἷλε, τὰς μὲν ὁμολογίᾳ, τὰς δὲ πολιορκίᾳ. ἐλπίσας δὲ καὶ τῆς Ἱερουσαλὴμ περιέσεσθαι, ἀπέστειλε Ῥαψάκην πρὸς Ἐζεκίαν τὸν τηνικαῦτα κρατοῦντα τῶν Ἰουδαίων, βλασφήμοις κατὰ τοῦ Θεοῦ καὶ δυσσεβέσι χρώμενον λόγοις. εἶπατε γὰρ ἔλεγεν Ἐζεκίᾳ, μή σε ἀπαλλάτω ὁ Θεός σου, ἐφ᾽ ᾧ σὺ πέποιθας ἐπ᾽ αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. ποῦ ὁ Θεὸς Ἐμὰθ καὶ Ἀρφάδ; καὶ ποῦ ὁ Θεὸς τῆς πόλεως Σεφαρεὶμ; μὴ ἠδυνήθησαν ῥύσασθαι ἐκ χειρός με, ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου; ἀλλ᾽ ἐκεῖνος μὲν ταῦτα· ὁ δὲ Ἐζεκίας, καὶ τῆς μεγίστης αὐτοῦ στρατείας, καὶ τῆς τῶν λόγων μανίας καταφρονήσας, τῇ οἰκείᾳ χρώμενος εὐσεβείᾳ, τὴν θείαν ἐπεκαλέσατο συμμαχίαν, καὶ παραυτίκα ταύτης ἀπήλαυσεν. ὁ γὰρ δίκαιος κριτὴς κἀκείνου τὴν ἀσέβειαν βδελυξάμενος, καὶ τούτου τὴν εὐσέβειαν ἀποδεξάμενος, δι᾽ ἑνὸς ἀγγέλου ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων ἀνεῖλε· τοὺς δὲ ἄλλους ἔτρεψεν εἰς φυγὴν, καὶ τοῖς πολιορκουμένοις τὴν παράδοξον σωτηρίαν ἐπόρισεν. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Σφόδρα τοῖς τοῦ Σενναχηρεὶμ καὶ τοῦ Ῥαψάκου λόγοις συμβαίνει τοῦ ψαλμοῦ τὸ προοίμιον. „ἐκεῖνοι γὰρ ὡς μὴ ὄντος τοῦ Θεοῦ „προϊσαμένου τῆς Ἰουδαίας, ἀπατᾶσθαι „ἔλεγον τὸν Ἐζεχίαν. ἦν δὲ τοῖς ἀμφὶ „τὸν Σεναχηρεὶμ καὶ τὰ ἐπιτηδεύματα „διεφθαρμένα, ἤγουν ὁ βίος καὶ ἡ πο„λιτεία, ὡς μηδὲ τὸν Θεὸν εὑρεῖν ἐν αὐ„τοῖς ἕναγ᾽ οὖν τῆς ἀρετῆς ἐπιμελού„μενον. πάντα γὰρ εἰς φαυλότητα ἐξέ„κλιναν. τί δὲ; οὐκ ἔργοις αὐτοῖς οὗτοι „γνώσονται τὴν τοῦ Θεοῦ δύναμιν, οἱ τὸν „λαὸν αὐτοῦ ἀντὶ ἄρτου δαπανῶντες „καὶ κατεσθίοντες; ναὶ πάντες γνωρίσε„σιν ἀπὸ τῶν πραγμάτων τὸν πολε„μοῦντα αὐτοῖς· κἀκεῖθεν ὁ φόβος αὐ„τοῖς ἐλεύσεται, ὅθεν οὐ προσεδόκησαν. „ποῦ γὰρ ἂν ᾠήθησαν ὅτι ὑπὸ ἀγγέ„λου ἀναιρεθήσονται; ὅτι ὁ Θεὸς κήδε„ται τῶν Ἰουδαίων· καὶ οἱ μυκτηρίσαν„τες τὴν βουλὴν τοῦ πτωχοῦ καὶ τα„πεινόφρονος Ἐζεκίου, Θεῷ μᾶλλον ἢ „ὅπλοις θαρρήσαντος, νοήσουσιν, ὅτι „ὁ ἑαυτὸν τοῦ Θεοῦ ἀναρτήσας τὴν μὴ „καταισχύνουσαν ἐλπίδα ἐκτήσατο. τίς „γὰρ ἄλλος ἢ ὁ Θεὸς καὶ τοὺς ἀπομεί„ναντας ἐν τῇ Σιὼν σώσει, καὶ τὰς ἤδη „αἰχμαλωτισθείσας Φυλὰς, ἐπανα„γάγῃ, ὥστε κοινὴν εὐφροσύνην γενέσθαι „ταῖς δώδεκα Φυλαῖς, ὧν ῥίζα καὶ ἀρ„χὴ ὁ πατριάρχης Ἰακὼβ ἐχρημάτι„σεν, ὁ καὶ Ἰσραὴλ μετονομασθείς. ὥστε „ἀπ᾽ αὐτοῦ καὶ ταύτας Ἰακὼβ καὶ „Ἰσραὴλ ὀνομάζεσθαι. καὶ ταῦτα μὲν „ὅσον πρὸς ἱστορίαν, τὴν δὲ ἀναγωγὴν „ἰσχυροτέραν ἐξετάσωμεν.„ Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα. ὑποβάθρα φησὶ καὶ ῥίζα τῆς ἀσεβείας ἡ τοῦ βίου διαφθορά. εἰς ἀκολασίαν γὰρ σφᾶς

σφᾶς αὐτοὺς καὶ θηριώδη βίον ἐκδεδωκότες, τοῦ Θεοῦ τὴν μνήμην τῆς διανοίας ἐξέβαλον. ἠκολούθησαν δὲ τῇ τοῦ ἡγουμένου παραπληξίᾳ καὶ οἱ ὑπήκοοι. „Οἱ μὲν πάντη τὸ θεῖον ἀρνησάμενοι, „καὶ μηδὲ τὴν ἀρχὴν εἶναι Θεὸν ἀπο„φηνάμενοι, ὑπόκενον δὲ εἶναι τοὔνομα, „καὶ κατὰ μηδεμιᾶς οὐσίας ὑποκείμενον „τεθαγμένον. οἱ δὲ τὲς μὴ ὄντας ὡς ὄντας „Θεοὺς ἀναγορεύσαντες, καὶ τὸν μόνον „ὄντα παρωσάμενοι· οἱ δὲ εἶναι μὲν τῷ „λόγῳ ὑποσησάμενοι, μὴ μὴν δὲ προ„νοεῖν τῶν ἐπὶ γῆς, μηδὲ ἐφορᾶν τὰ „ἀνθρώπινα παραδεδειγμένοι. ἀθρόως „δὴ οὖν οἱ πάντες εἰς ἕνα λόγον ἀρνη„σίθεον περιετράπησαν, μὴ εἶναι Θεὸν „διανοηθέντες· ἐπεὶ δὲ μὴ ἐτόλμων διὰ „σόματος τοῦτο φάσκειν· ἐνῆγε γὰρ „τοὺς πάντας τὰ φυσικὰ σπέρματα „ἡ οἱ περὶ τὸ Θεῖ φυσικοὶ λογισμοὶ ἐπὶ „τὴν ὁμολογίαν τῆς τοῦ Θεοῦ γνώσεως· „διὸ χείλεσι μὲν οὐκ ἐτόλμων ἀρ„νεῖσθαι· ἀλλ' εἰδέναι πρεσεποιοῦντο „οὐ μόνον ἕνα ἀλλὰ καὶ μυρίους Θεούς. „τῇγε μὴν καρδίᾳ ἑαυτοὺς ἔπειθον ἀ„φρονοντες ἀληθῶς καὶ μωραίνοντες, „ὅτι μὴ ἔστιν ἐν τῷ παντὶ Θεός· ἔλεγ„χος δὲ ἦν τοῦ ἀθέου αὐτῶν λογισμοῦ „τὰ ὑπ' αὐτῶν δρώμενα· ἀπὸ γὰρ τοῦ „καρποῦ τὸ δένδρον ἐπιγινώσκεται· ὅτε „τοίνυν ταῖς πράξεσιν αὐταῖς καὶ τῷ „λοιπῷ βίῳ. πᾶσαν αὐτῶν τὴν ψυχὴν „διέφθειραν αὐτῷ σώματι εἰς πᾶσαν „ἐκδεδομένοι φθορὰν, ὡς καὶ ἄρρενας „ἄρρεσιν ἐπιμαίνεσθαι, καὶ πάσαις ἀθε„μιτουργίαις καὶ ἀρρητοποιίαις καται„φθείρειν ἑαυτούς· βδελυκτούς τε εἶναι „δι' αὐτά. πῶς οὐκ ἂν εἰσὶν πρόδηλοι, „ὅτι κἂν μυρίους ἐπιγράφωνται θεοὺς „τῷ λόγῳ· κἂν αὐτοὶ εἰδέναι καὶ ὁμο„λογεῖν τὸν ἐπὶ πάντων Θεὸν τοῖς χέ„λεσι φάσκοιεν· ἀλλ' ἐν τῇ καρδίᾳ ἑαυ„τῶν, τουτέστιν ἐν τῇ διανοίᾳ, οὐδὲ μία „τις ἀληθὴς περὶ Θεοῦ ὑπῆρχεν ἔννοια; „τοιοῦτος μὲν οὖν ἐτύγχανε πᾶς ὁ πρὸ „τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας „βίος. ἄφρων δὲ ἀληθέστατα καὶ φυ„σικώτατα ὁ ἀρνησίθεος ὠνόμασαι. εἰ „γὰρ σοφίας ἀρχὴ φόβος Θεοῦ, ἀφο„βία καὶ ἀθέτησις τοὐναντίον ἂν γένοι„το τῆς σοφίας.„ β΄. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν, ἢ ἐκζητῶν τὸν Θεόν. γ΄. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Ἐκείνων μέντοι τοιαῦτα καὶ δρώντων καὶ λεγόντων, οὐ περιεῖδεν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· ἀλλ' ἐξέτασιν ἀκριβῆ καὶ αὐτῶν τῶν λογισμῶν ποιησάμενος, εἶδεν ἅπαντας κατὰ ταὐτὸν τῇ δυσσεβείᾳ, καὶ τῇ τοῦ βίου παρανομίᾳ κατεχομένους. ἔοικε τοῦτο τοῖς πρὸς τὸν Ἀβραὰμ εἰρημένοις, κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται. δ΄. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. ε΄. Ἐκεῖ ἐφοβήθησαν φόβῳ, οὗ οὐκ ἦν φόβος. Οὐκ ἠβουλήθητέ φησιν οἱ κατεσθίοντες συνιδεῖν τόδε· διὰ αὐτῆς οὖν μαθήσε-

θε τῶν πραγμάτων τῆς πείρας, ὡς ἐκ ἔσαι ὑμῖν εὐάλωτος ὁ ἐμὸς λαὸς, οὐδὲ καθάπερ ἄρτον τινὰ ἐθιόμενον δαπανήσετε αὐτὸν, τῆς ἐμῆς προμηθείας καταφρονοῦντες. τοῦτο γὰρ λέγει· τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. οὗ χάριν οἱ ἀδεῶς φθεγγόμενοι, καὶ μηδένα δειμαίνοντες, φόβῳ καὶ δείλια περιπεσεῖσθε, καὶ εἰς φυγὴν τραπήσεσθε, μηδενὸς τῶν ἀνθρώπων δεδιττομένου τε καὶ διώκοντος. τοῦτο γὰρ δηλοῖ τὸ, ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος. τὸ δὲ, οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καθ' ὑπόκρισιν ἀναγνωστέον. τὸ δὲ, ὁ Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεὸν, ἀνθρωπίνως ἐχημάτισε· δεικνὺς ὡς οὐρανόθεν Ἀσσυρίοις τὴν τιμωρίαν κατέπεμψε. δῆλον γὰρ ὡς πανταχοῦ πάρεστιν ὁ τῶν ὅλων Θεὸς, καὶ κατέχει τὸν γύρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας, κατὰ τὴν τοῦ προφήτου φωνήν. ε'. Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίων. βουλὴν πτωχοῦ κατῃσχύνατε· ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι. Ταῦτα δὲ ποιεῖ τῶν ὅλων ὁ Κύριος διὰ τὴν τοῦ Ἐζεκίου ἀρετὴν, καὶ τὴν εὐσεβῶς ὑπ' ἐκείνου ποιμαινομένην γενεάν· ἣ ὡς εὐτελοῦς ὑμεῖς οἱ δυσσεβεῖς καταφρονήσαντες, ἐκωμῳδήσατε τὴν εἰς ἐμὲ βεβαίαν πεποίθησιν. ταύτην γὰρ ἐκάλεσε βουλὴν, ἀντὶ τοῦ σκοποῦ. ἐκεῖνος μέν τοι καθάπερ ἄγκυραν ἱερὰν τὴν ἐμὴν κατέχεν ἐλπίδα, καὶ μὴν δὴ καὶ τετύχηκε τῆς σωτηρίας ὡς ἤλπισε· τοῦτο γὰρ καὶ ἐπήγαγεν. ζ'. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Τὸ δὲ διπλῆν ἔχει τὴν προφητείαν. οὐ γὰρ μόνον τὴν τηνικάδε γενομένην τοῖς πολιορκηθεῖσι προαγορεύει σωτηρίαν, ἀλλὰ καὶ τὴν πολλοῖς ὕστερον χρόνοις τοῦ σωτῆρος ἡμῶν γενομένην ἐκεῖθεν σωτήριον ἐπιφάνειαν. ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. ἐπειδὴ γὰρ αἱ δέκα φυλαὶ ἤδη ἦσαν ἐξηνδραποδισμέναι, καὶ μέν τοι καὶ τῆς Ἰουδαίας πόλεις συχναὶ, ἐπεύχεται κἀκείνους τῆς αὐτῆς τε σωτηρίας τυχεῖν, καὶ τὴν ἐλευθερίαν ἀπολαβεῖν. τηνικαῦτα ἔσαι, φησὶ, μείζων ἡ εὐφροσύνη τῷ διπλῆν ἔχοντι τὴν προσηγορίαν λαῷ. οὐ μόνον γὰρ Ἰακὼβ, ἀλλὰ καὶ Ἰσραὴλ ὠνομάζοντο, καὶ τῆς ὑπὸ τοῦ Θεοῦ τῷ προπάτορι τεθείσης ὀνομασίας κληρονομήσαντες.

ΕΡΜΗΝ. ΤΟΥ ιδ'. ΨΑΛΜΟΥ.

α. Ψαλμὸς τῷ Δαβίδ. Ἐπειδὴ καὶ τοῖς τὴν Ἱερουσαλὴμ οἰκοῦσι προεθέσπισε τὴν σωτηρίαν ὁ πρὸ τούτου ψαλμὸς, καὶ τοῖς θορυβαλώτοις ἤδη γεγενημένοις προηγόρευσε τὴν ἀνάκλησιν, εἰκότως ἐν τῷδε τῷ ψαλμῷ παραίνεσιν εἰσφέρει, καὶ ὑποτίθεται βίον καθ' ὃν προσῆκον ἦν πολιτεύεσθαι τοὺς ὑπὸ Θεῷ τεταγμένους, καὶ τοσαύτης ἐλπίδος ἀπολαύοντας, καὶ χηματίζει τὸν λόγον εἰς ἐρώτησιν καὶ ἀπόκρισιν. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; καὶ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; τίς ἄξιος, ὦ Δέσποτα, τῷ σῷ νεῷ προσεδρεύειν, καὶ ἐν τῇ πόλει βιοτεύειν τῇ σῇ; ὁποῖον εἶναι τοῦτον προσήκει; ποίοις ἐπιτηδεύμασι κεχρημένον;

μένον; σκήνωμα γὰρ τὸν τοῦ Θεοῦ προσαγορεύει ναόν· ὄρος δὲ ἅγιον, τὴν Ἱερουσαλήμ. οὕτω πυθόμενος δέχεται τὴν ἀπόκρισιν· β'. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην. Δεῖ, φησὶ, τὸν τοιοῦτον ἀπηλλάχθαι κακίας, καὶ μώμου παντὸς ἐλεύθερον εἶναι, πᾶσαν δὲ ἀρετὴν ἐπιμελῶς μετιέναι. τὴν γὰρ δικαιοσύνην ἐνταῦθα τὴν τελείαν ἀρετὴν ὀνομάζει. ἀμέλει ταύτης τὰ εἴδη διέξεισι. γ'. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ. ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν. Χρὴ γὰρ αὐτὸν ψεύδους μὲν ἐλεύθερον ἔχειν μὴ μόνον τὴν γλῶτταν, ἀλλὰ καὶ αὐτὴν τὴν διάνοιαν· δόλου δὲ καὶ διπλόης παντελῶς ἀπηλλάχθαι· ὥστε μηδεμίαν παρ' αὐτοῦ βλάβην εἰς τὸν πέλας χωρεῖν. μάλα δὲ ἀκολούθως καρδίας ἐμνημόνευσε πρῶτον, εἶτα γλώττης, καὶ τότε τῆς πράξεως. ἔργου γὰρ ἡγεῖται λόγος, λόγου δὲ ὁ νοῦς. Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγισα αὐτοῦ. Εἰ δὲ καί τινι συμφορᾷ τινες περιπέσοιεν, ἐπικερτομεῖν οὐ δεῖ, καὶ ἐπεμβαίνειν, ἀλλὰ μᾶλλον κοινωνεῖν τῆς ἀθυμίας κατὰ τὸν ἀποστολικὸν νόμον τὸν παρεγγυῶντα κλαίειν μετὰ κλαιόντων. δ'. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πᾶς πονηρευόμενος. Εἰ δέ τις τὸν παράνομον ἕλοιτο βίον, τοῦτον ἡγείσθω τρισάθλιον, κἂν ἐξ οὐρίων φέρηται τὴν ἄκραν ἔχων εὐημερίαν· ἐπειδὴ γὰρ τὸ ὀνειδίζειν ἐξέβαλεν, εἰκότως τοῦτο προστέθεικεν, ἀγαθῶν ἀνδρῶν καὶ κακῶν διδάσκων διαφοράν. Τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. Ἁπαντας δὲ τοὺς περὶ πολλοῦ τὰ θεῖα ποιουμένους σέβειν ὅσιον, καὶ πάσης ἀξιοῦν αἰδοῦς καὶ τιμῆς. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν. ε'. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβε. Τοὺς μὲν ὅρκους ἡ ἀλήθεια βεβαιούτω, καὶ τὴν εὐπορίαν ἡ πλεονεξία μὴ μολυνέτω. εἶδος δὲ ταύτης ὁ τόκος· ἀδωρότατος δὲ ἔξω δικάζων, καὶ καθαρὰν δώρων ἐκφερέτω τὴν ψῆφον. ἡ γὰρ δωροδοκία διαφθείρει τὸ δίκαιον. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. Ταύτης δὲ ἆθλον τῆς ἀρετῆς τὸ τῆς θείας ἐπικουρίας δι' ἐνεκῶς ἀπολαύειν, καὶ ἐν πολλοῖς ἀγαθοῖς διαμένειν, καὶ τὴν αἰώνιον προσμένειν ζωήν. ταῦτα οὐχ ἥττον ἡμῖν ἢ τοῖς πάλαι ἁρμόττει· ἐπειδὴ πρὸς τῇ παλαιᾷ, καὶ τὴν καινὴν νομοθεσίαν δεδέγμεθα, καὶ μείζονος χάριτος τετυχήκαμεν.

ΕΡΜΗΝ. ΤΟΥ ιε' ΨΑΛΜΟΥ.

ά. Σηλογραφία, τῷ Δαβίδ. Ἐνταῦθα προαγορεύει τὸ δεσπότου τὸ πάθος καὶ τὴν ἀνάστασιν, καὶ τῶν εἰς αὐτὸν πεπιστευκότων τὴν σωτηρίαν. δηλοῖ δὲ ἡ ἐπιγραφὴ πρὸς τῷ θανάτῳ καὶ τὴν νίκην. σήλη γὰρ οὐ τάφοις ἐπιτίθεται μόνοις, ἀλλὰ καὶ νικῶσιν ἀνίσταται, καὶ γράμματα δέχεται τὴν νίκην τοὺς ἀγνοοῦντας διδάσκοντα. τοῦτο τοιγαροῦν σημαίνει ἡ τῆς σηλογραφίας ἐπιγραφή. Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. β'. Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ. Ἐκ προσώπου τοῦ σωτῆρος εἴρηται ὁ ψαλμός· εἴρηται δὲ κατὰ τὸ ἀνθρώπειον· ὥσπερ οὖ τοιαῦτα πολλὰ καὶ ἐν τοῖς ἱεροῖς

εὐαγγελίοις εὑρίσκομεν· τοιοῦτόν ἐστι καὶ τὸ, πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· καὶ, πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ὅτως εὑρίσκομεν αὐτὸν εὐχόμενον συνεχῶς, καὶ τὰ γόνατα κάμπτοντα. ὅτι δὲ τῆς ἀνθρωπίνης φύσεως ταῦτα, καὶ οὐ τῆς ἀνενδεοῦς θεότητος, ὁ ἀπόστολος διδάσκει σαφῶς· λέγει δὲ οὕτως ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενεγκὼν, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας· καίπερ υἱὸς ὤν, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου. ἐτελειώθη δὲ οὐχ ὁ πρὸ τῶν αἰώνων τέλειος Θεὸς λόγος, ἀλλ' ἡ τοῦ δούλου μορφὴ, ἀπαθὴς, καὶ ἄφθαρτος, καὶ ἀθάνατος γενομένη. ταῦτα τοίνυν ἔφη δεδρακέναι τὸν Κύριον ἐν ταῖς ἡμέραις τῆς σαρκὸς, ἡνίκα θνητὸν εἶχε τὸ σῶμα. τοιγαροῦν ἀνθρώπινα ταῦτα ἅπαντα, καὶ ἀπρεπῆ. ἔτω τοίνυν καὶ ἐν τῷδε τῷ ψαλμῷ αἰτεῖ φυλαχθῆναι, καὶ ὑφ' ἑαυτοῦ φυλάττεται. αἰτεῖ μὲν γὰρ ὡς ἄνθρωπος· δίδωσι δὲ τὴν αἴτησιν ὡς Θεός· εὐδοκοῦντος δηλονότι, καὶ συνεργοῦντος τοῦ οἰκείου πατρός. τὸ δὲ γε, Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ἔοικε τῷ, πορεύομαι πρὸς τὸν Θεόν μου, καὶ Θεὸν ὑμῶν. Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ἀνενδεὴς γὰρ ὑπάρχεις, καὶ τῆς ἀνθρωπίνης δικαιοσύνης οὐ χρῄζεις· ἀλλ' ὅτι ἄν τις ἀγαθὸν δράσοι, αὐτὸς ὀνίναται· σοὶ δὲ κέρδος ἐντεῦθεν οὐδέν. τοῦτο δὲ ὁ Σύμμαχος ἑτέρως ἡρμήνευσεν, ἀγαθόν μοι ἐκ ἔστιν ἄνευ σου. πᾶσά φησι τῶν ἀγαθῶν ἡ φορὰ διὰ τῆς σῆς ὑπάρχει μοι χάριτος. ἀμφότερα δὲ ταῦτα τῆς εὐσεβείας ἔχεται. καὶ ἡμεῖς γὰρ παρὰ τοῦ Θεοῦ τῶν ἀγαθῶν ἀπολαύομεν, καὶ αὐτὸς τῆς ἡμετέρας δικαιοπραγίας οὐ χρῄζει. χάριν μέν τοι τῆς ἡμετέρας ὠφελείας ταύτην νομοθετεῖ. γ'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, ὅτι πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, καὶ τοὺς δι' ἐκείνων πεπιστευκότας· οἷς λέγει διαφανῆ γεγενῆσθαι τοῦ Θεοῦ τὰ θαύματα· ἐπειδὴ πάντα μοι φησι πεπληρώκασι τὰ προστάγματα. δ'. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν. Πολλαί φησι πανταχόθεν ἐπανέστησαν προσβολαὶ δήμων καὶ δημαγωγῶν, βασιλέων καὶ στρατηγῶν. πλὴν ἁπάντων περιγενόμενοι μετὰ τάχους ὅτι πλείστου τὸν δρόμον ἐτέλεσαν καὶ τὴν νύσσαν κατέλαβον. ἔοικε δὲ τοῦτο τῷ ἀποστολικῷ ῥητῷ, ὅταν ἀσθενήσω, τότε δυνατός εἰμι. ὃ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνημονεύσω τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. τούτους δὲ φησι τοὺς ἐπανιστάμενους αὐτοῖς τιμωρίαις παραδώσω, καὶ τὴν μνήμην αὐτῶν κατακρύψω τῇ λήθῃ, ὥστε καὶ αὐτὰς τὰς προσηγορίας παντάπασιν ἀγνοεῖσθαι. ε'. Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. Ἀναμνησθῆναι προσήκει

κει τῶν ἐν τῷ δευτέρῳ ψαλμῷ εἰρημένων. καὶ γὰρ ἐκεῖ ἀνθρωπίνως πάλιν πρὸς αὐτὸν ἔλεγεν ὁ πατὴρ, αἴτησαί παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις αὐτὸς πρὸς τὸν ἑαυτοῦ πατέρα ἔφη περὶ τῶν ἱερῶν ἀποστόλων, πάτερ οὓς ἔδωκάς μοι σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας. ἀλλ' ὥσπερ ἐνταῦθα ἀνθρωπίνως διαλέγεται λαβεῖν παρακαλῶν· ἔστω ἑτέρωθι δείκνυσιν, ὡς αὐτός ἐστι τῶν ἁπάντων Δεσπότης. τὰ πρόβατα γάρ φησι τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς. καὶ πάλιν· καὶ ἄλλα δὲ πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆςποίμνης ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. καὶ ἐν τῷ παρόντι μέντοι ψαλμῷ ἀνθρωπίνως λέγει, Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. κληρονομίαν μὲν καλῶν τὴν τῶν ἐθνῶν βασιλείαν· ποτήριον δὲ, ὃν ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον. ἔστω γὰρ καὶ ἐν τοῖς ἱεροῖς ἔλεγεν εὐαγγελίοις, πάτερ εἰ δυνατὸν, παρελθέτω τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ. „ὡσεὶ σα„φέστερον ἔλεγεν· καὶ τῆς ἐμῆς ἐκκλη„σίας, ἥτις ἐστὶν ἡ κληρονομία μου, μερὶς „ἐστιν ὁ Κύριος· ὁ αὐτὸς δὲ καὶ τοῦ ποτη„ρίου μου, τουτέστι τοῦ θανάτου μερὶς γεγε„νημένος ὁ αὐτός.„ σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. ἐκ εἶπεν, ὁ δίδους, ἀλλ' ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου. ἐπειδὴ γὰρ εὐθὺς δημιουργηθεὶς ὁ ἄνθρωπος, ἁπάντων ἔλαβε τὴν ἐξουσίαν, καὶ ζωὴν εἶχεν ἀθάνατον· μετὰ δὲ τὴν παράβασιν ἀμφοτέρων ἐξέπεσε, καὶ τῆς δεσποτείας, καὶ τῆς ζωῆς· ἀνθρωπίνως ὁ Δεσπότης ὑπὲρ τῆς ἀνθρωπείας φύσεως ποιεῖται τὴν αἴτησιν, ἀξιῶν ἀπολαβεῖν τὴν προτέραν ζωήν τε καὶ δεσποτείαν. ς'. Σχοινία ἔπεσέ μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστι. Ταύτης ἕνεκεν, φησὶ, τῆς κληρονομίας, τὰς παρούσας ἐδεξάμην ἐπιβουλάς· σχοινία γὰρ τὰς ἐπιβουλὰς ὀνομάζει· ἔστω καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ, σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. λέγει τοίνυν, ὅτι ταύτης ἕνεκα τῆς κρατίστης κληρονομίας, καὶ τῆς τῶν ἀνθρώπων χάριν σωτηρίας, τὰς παρούσας ἐπιβουλὰς ὑπομένω. ζ'. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. Ἀλλ' ὅμως ὑπὸ τοῦ Κυρίου σοφιζόμενος, καὶ ἀρίστοις χρώμενος λογισμοῖς, τῆς τοῦ πάθους νυκτὸς περιέσομαι. νύκτα γὰρ ἐκάλεσε τὸ ζοφῶδες τῶν πειρασμῶν. μηδεὶς δὲ ἀνάρμοστον ἡγείσθω τὸ συνετίζεσθαι κατὰ τὴν ἀνθρωπείαν φύσιν τὸν Δεσπότην Χριστὸν, ἀκούων τοῦ θεσπεσίου Λουκᾶ λέγοντος· Ἰησοῦς δὲ προέκοπτε σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις. ἀκουσάτω δὲ αὐτοῦ πάλιν λέγοντος, ὅτι δειλιάσας ἦλθε παρὰ τὸ πάθος, καὶ ἱδρώσαντα θρόμβους αἵματος, ἄγγελος προσελθὼν ὑπεξήριζεν. εἰ δὲ ἀγγελικῆς ἐδεήθη βοηθείας, ἵνα δείξῃ τὴν φύσιν τῆς τοῦ δούλου μορφῆς· πολλῷ δήπουθεν παρὰ τῆς ἐνοικούσης θεότητος ἐσοφίζετο. ἄνθρωπος γὰρ ὢν καὶ

Θεὸς,

Θεὸς, ἐσοφίζετο μὲν ὡς ἄνθρωπος, πηγὴ δὲ σοφίας ἦν ὡς Θεός. ή. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ. θ'. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. ί. Ὅτι ἐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ιά. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης, μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. Ταῦτα περιτλὸν ἡμᾶς ἑρμηνεύειν, τῷ θεσπεσίῳ Πέτρῳ, τῷ καὶ τὴν παρὰ τοῦ πατρὸς, καὶ τὴν παρὰ τοῦ υἱοῦ, καὶ τὴν παρὰ τοῦ ἁγίου πνεύματος ἀποκάλυψιν δεξαμένῳ, πάλαι τούτων τὴν ἑρμηνείαν ποιησαμένῳ. ἔτος γὰρ ἐν Ἰουδαίοις δημηγορῶν, καὶ ταύτην ἐνεγκὼν εἰς μέσον τὴν μαρτυρίαν, ἔτως ἔφη· ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε, καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς σήμερον. προφήτης ὢν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν τὸ κατὰ σάρκα τὸν Χριστὸν, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως αὐτοῦ, ὅτι οὐκ ἐγκατελείφθη εἰς ᾅδου ἡ ψυχὴ αὐτοῦ, οὐδ' ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν. καὶ ἑτέρωθι, Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας ἀπέθανε, καὶ εἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. ταῦτα καὶ τοῖς παρερμηνεύειν τολμῶσιν ἀναγκαῖον προφέρειν· καὶ μέν τοι καὶ Ἰουδαίοις· προφανῆ γὰρ ἔλεγχον ἔχει τῆς Ἰουδαίων ἐμβροντησίας. λέγει τοίνυν ὁ Δεσπότης Χριστὸς ἀνθρωπίνως κἀνταῦθα, ὅτι δι' ἡνεκῶς ὑπὸ τῆς θείας ζηριζόμενος φύσεως τῷ σωτηρίῳ πρόσειμι πάθει, καὶ τῇ ἐλπίδι τῆς ἀναστάσεως ἐπευφραίνομαι. οὔτε γὰρ ἡ ψυχή μου εἰς ᾅδου καταλειφθήσεται, οὐδ' ἡ σάρξ μου ὑπομενεῖ τὴν κατὰ φύσιν διαφθοράν. ταχείας γὰρ τῆς ἀναστάσεως τεύξομαι, καὶ εἰς τὴν ζωὴν ἐπανήξω· ἅπασι ταύτην ἀνθρώποις ὑποδεικνὺς τὴν ὁδόν. πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. ἐπειδὴ τῷ πάθει προσιὼν ἔλεγε, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· εἰκότως τούτοις ἐχρήσατο τοῖς λόγοις τῆς ἀναστάσεως μνημονεύσας· διδάσκων ὡς ἀντὶ τῆς ἀθυμίας ἐκείνης ἐν δηνεκεῖ θυμηδίᾳ γενήσεται, ἀπαθὴς, καὶ ἄτρεπτος, καὶ ἀθάνατος, καὶ κατὰ τὴν ἀνθρωπείαν Φύσιν γενόμενος. ὡς γὰρ Θεὸς, τοῦτο ἦν ἀεί. καὶ μέν τοι καὶ τῇ ἀνθρωπείᾳ Φύσει εὐθὺς ἐν τῇ μήτρᾳ διαπλασθείσῃ τοῦτο παραχεῖν αὐτῷ ῥᾴδιον ἦν. ἀλλὰ διὰ τῶν παθῶν ὁδεῦσαι συνεχώρησεν ἣν ἀνέλαβε Φύσιν, ἵνα ἔτω τῆς ἁμαρτίας καταλύσας τὴν δυναστείαν, παύσῃ μὲν τοῦ διαβόλου τὴν τυραννίδα, καταλύσῃ δὲ τοῦ θανάτου τὸ κράτος, καὶ πᾶσιν ἀνθρώποις παράσχῃ τὴν τῆς ἀναβιώσεως ἀφορμήν. ὡς ἄνθρωπος τοίνυν, καὶ τὴν ἀφθαρσίαν, καὶ τὴν ἀθανασίαν λαμβάνει. ἔτος ὁ ψαλμὸς καὶ τὴν Ἀρείου, καὶ τὴν Εὐνομίου, καὶ Ἀπολιναρίου φρενοβλάβειαν ἐλέγχει. οἱ μὲν γὰρ σῶμα ἄψυχον τὸν Θεὸν λόγον εἶπον ἀνειληφέναι. Ἀπολινάριος δὲ ἔμψυχον μὲν τὸ ἀναλημφθὲν ἐκάλεσε σῶμα, τῆς δὲ λογικῆς

αὐτὸ

αὐτὸ ψυχῆς ἀπεξέρησεν· ἐκ οἶδα ὅθεν μαθὼν τὰς δύο ταύτας ψυχάς. ἐδαμῶ γὰρ ἡ θεία τῦτο διδάσκει γραφή. ἀλλ' ἐμῶ τὸ πανάγιον πνεῦμα, διὰ τῦ μακαρίυ Δαβὶδ, ψυχῆς ἀντικρὺς ἐμνημόνευσεν, ἔλεγχον δεδωκὼς προφανῆ καθ' ἑκατέρας αἱρέσεως.

ΕΡΜΗΝ. ΤΟΥ ις' ΨΑΛΜΟΥ.

α'. Προσευχὴ τῷ Δαβίδ. Διωκόμενος ὑπὸ τῦ Σαοὺλ, καὶ παντοδαπὰς ὑπομένων ἐπιβολὰς, τὸν τῶν ὅλων Θεὸν εἰς ἐπικουρίαν καλεῖ. Εἰσάκεσον Κύριε δικαιοσύνης μου· πρόσχες τῇ δεήσει μου· ἐνώτισαι τὴν προσευχήν μὲ ἐκ ἐν χείλεσι δολίοις. πάλιν ἐν ταὐτῷ δικαιοσύνην οὐ τὴν τελείαν ἀρετὴν λέγει, ἀλλὰ τὴν δικαίαν αἴτησιν. οἱ δὲ ἄλλοι ἑρμηνευταὶ τὴν ἀντωνυμίαν ἐ προστεθείκασιν· ἀλλ' ὁ μὲν Σύμμαχος καὶ ὁ Θεοδοτίων κύριον δικαιοσύνης τὸν Θεὸν ὠνομάκασιν· ὁ δὲ γε Ἀκύλας ἔτως ἔφη· εἰσάκουσον Κύριε δίκαιον, ἀντὶ τῦ δικαίως, καὶ μὴ μακροθύμως. τὸ δὲ, ἐκ ἐν χείλεσι δολίοις, ὁ Σύμμαχος ἔτως εἶρηκεν, ἐ διὰ χειλέων δολίων. καθαροῖς γάρ φησι χείλεσι τὴν ἱκετείαν προσφέρω· οὐχ ἕτερα μὲν φρονῶν, ἕτερα δὲ φθεγγόμενος· ἀλλὰ συνομολογοῦσαν ἔχω τῇ γνώμῃ τὴν γλῶτταν. β'. Ἐκ προσώπε σε τὸ κρῖμά μὲ ἐξέλθοι, εἰ ὀφθαλμοί μὲ ἰδέτωσαν εὐθύτητα. Ἀντιβολῶ σε δικάσαι τοῖς κατ' ἐμέ. οἶδα γάρ σε τῆς ψήφε τὸ δίκαιον. γ'. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτὸς, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία· δ'. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. Ἐνταῦθα διδάσκει, ὡς πολλάκις λαβὼν τὸν Σαοὺλ ὑποχείριον, ἀνελεῖν ἐκ ἠνέχετο, ἀλλ' εὐεργεσίᾳ τὴν ἀδικίαν ἠμείψατο· διὸ καὶ τῆς νυκτὸς ἐμνημόνευσεν, ἐν ᾗ τῦτο δέδρακεν, ἐν νυκτὶ καθεύδοντα τὸν Σαοὺλ περισώσας, καὶ ἀδενὶ συγχωρήσας ἐπενεγκεῖν αὐτῷ τὴν θανατηφόρον πληγήν. τροπικῶς δὲ καὶ τὰς συμφορὰς νύκτας καλεῖ, διὰ τὸ ζοφώδες τῆς ἀθυμίας, ὥσπερ αὖ καὶ πύρωσιν τὴν δοκιμασίαν αὖθις ὀνομάζει· ἐπύρωσας γάρ μέ φησι, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. καθάπερ γάρ τινα χρυσὸν δοκιμάσας, ἀκίβδηλον εὗρες ὦ Δέσποτα. τοῦτο γὰρ ἀπέχων τῦ λυμήνασθαι τὸν πολέμιον, ὅτι καὶ τῆς κατ' αὐτῦ λοιδορίας ἐλευθέραν τὴν γλῶτταν ἐφύλαξα, καὶ ἃ πράττων ἐκεῖνος διατελεῖ, ταῦτα λέγειν ἐκ ἠνεχόμην ἐγώ. διὰ τοὺς λόγες τῶν χειλέων σε ἐγὼ ἐφύλαξα ὁδὲς σκληράς. τῦτο δὲ τὸ δυσχερὲς, καὶ ἐπίπονον δέδρακα τῇς σῇς πειθόμενος ἐντολαῖς. ε'. Κατάρτισαι τὰ διαβήματά με ἐν ταῖς τρίβοις σε, ἵνα μὴ σαλευθῇ τὰ διαβήματά με. Ἱκετεύω τοίνυν, μὴ παρατραπῆναί με τὸν σκοπόν· ἔσαι δὲ τῦτο, εἰ τῆς σῆς ῥοπῆς ἀπολαύσαιμι. διαβήματα γὰρ τῆς πράξεως τὴν ὁρμὴν προσηγόρευσεν. ς'. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκεσάς με ὁ Θεός. Οὐ μάτην τοῖσδε λόγοις ἐχρησάμην, ἀλλὰ πεῖραν τῆς σῆς ἔχων φιλανθρωπίας. ἤκεσας γάρ με καλοῦν-

καλοῦντος πολλάκις. κλῖνον τὸ οὖς σε ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. ζ. Θαυμάσωσον τὰ ἐλέη σε ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Δέζαι τοίνυν τὴν ἱκετείαν· κίνησον πολλὰς γλώττας εἰς ὑμνωδίαν. οἱ γὰρ ἐλεέμενον παρὰ σοῦ τὸν ἀδικούμενον βλέποντες ὑμνήσουσί σε τὴν πρόνοιαν. εἴωθας δὲ τοῖς εἰς σὲ πεποιθόσιν ἐπικουρίαν ὀρέγειν. η. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἀνθεστηκότας τῇ τοῦ Θεοῦ δεξιᾷ τοὺς πολεμοῦντας αὐτῷ προσηγόρευσεν· καὶ μάλα εἰκότως. ὑπὸ Θεοῦ γὰρ ἐχρίθη, καὶ παρ' αὐτοῦ τῆς βασιλικῆς χειροτονίας τετύχηκεν. λέγει τοιγαροῦν, ὅτι τῇ σῇ ἀντιτάττονται ψήφῳ οἱ κατ' ἐμοῦ τὴν μάχην ἀναδεξάμενοι. καὶ παρακαλεῖ τοσαύτης φυλακῆς ἀπολαῦσαι, ὅσης ἡ κόρη τοῦ ὀφθαλμοῦ· ἤ τις καθάπερ τινας περιβόλους ἔχει τὰ βλέφαρα· ἀντὶ δὲ σκολόπων, τὰς βλεφαρίδας. ἔχει δὲ καὶ τῶν ὀφρύων τὰς προσβολὰς, τὴν τῶν ἱδρώτων νοτίδα τοῖς κροτάφοις παραπεμπούσας, καὶ τῆς ἐκεῖθεν λώβης ἀπαλλαττούσας τὸ ὀπτικόν. τοιαύτης ἱκετεύει κηδεμονίας τυχεῖν. ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. θ. Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Πάλιν ἑτέρα χρησάμενος εἰκόνι προμηθείας τυχεῖν ἀξιοῖ. ἤκουσε γὰρ καὶ τοῦ μεγάλου Μωσέως λέγοντος, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. καὶ ὁ Κύριος δὲ πρὸς τὴν Ἱερουσαλὴμ ἔφη· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε; πτέρυγας δὲ τὴν ὀξείαν καὶ σύντομον τῆς προνοίας ἀσφάλειαν ὀνομάζει. ῥᾳστώνη γὰρ τῶν πτερύγων ἡ κίνησις. οἱ ἐχθροί με τὴν ψυχήν μου περιέχον. ι. Τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Τὸ στέαρ τινὲς εὐημερίαν καὶ εὐεξίαν ὠνόμασαν. ἐμοὶ δὲ δοκεῖ τὴν εὐνοιαν καὶ φιλαδελφίαν οὕτω καλεῖν· τοῦτο ἡ τῶν ῥητῶν ἀκολουθία παραδηλοῖ· πᾶσαν γὰρ φυσικὴν ἀποκλείσαντές φησιν εὐσπλαγχνίαν, καὶ οὐδεμίαν χώραν τοῖς τῆς φιλανθρωπίας λογισμοῖς δεδωκότες, φθέγγονται μὲν ὑψηλὰ καὶ ὑπέρογκα· ἐνέδρας δέ μοι παντοδαπὰς καὶ λόχους ἐξῆσιν. ια. Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Αὐτοί με τῆς πατρῴας ἐξήλασαν γῆς· καὶ πάλιν τῇδε κἀκεῖσε διατρέχουσι συλλαβεῖν ἐφιέμενοι. ἐπειδὴ τὸ εὐθὲς ἐκ ἐθέλουσι βλέπειν· ἀλλ' ἑτεροκλινὲς ἔχουσι τῆς διανοίας τὸ ὄμμα. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· τοὺς ὀφθαλμοὺς αὐτῶν ἔταξαν ἑτεροκλινεῖν ἐν τῇ γῇ. ιβ. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος εἰκὼν ἐν ἀποκρύφοις. Τὸ λογικὸν τῆς φύσεως ἀποβλίψαντες, θηρία μιμοῦνται τροφῆς ἐφιέμενα, καὶ ταύτην περισκεπτόμενα, καὶ ἐξαπιναίως ὁρμῶντα. ιγ. Ἀνάστηθι Κύριε, πρόφθασον

Franckesche Stiftungen zu Halle

σον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μὲ ἀπὸ ἀσεβῶς· ῥομφαίαν σε. ιδ'. ἀπὸ ἐχθρῶν τῆς χειρός σε Ἐκείνων μὲν Δέσποτα κώλυσον τὴν ὁρμὴν, οἷς οἶδας κωλύμασι· τοῦτο γὰρ ὑποσκέλισον εἶπεν, ἐκ μεταφορᾶς τῶν λαθραίως τοὺς θέοντας καταβαλλόντων. ἐμὲ δὲ τῆς ἐκείνων ἐπιβολῆς ἐλευθέρωσον, τῇ ῥομφαίᾳ σε χρώμενος κατ' αὐτῶν· οὕτω γὰρ ὁ Σύμμαχος εἴρηκεν, εἰς μάχαιράν σε. Κύριε ἀπὸ ὀλίγων τῆς γῆς. τῷ ὄρῳ σε γάρ φησι τοὺς ἀνθρώπους παραπέμπεις θανάτῳ. σὺ γὰρ εἶπας· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμένων σου ἐμπλησθήτω ἡ γαστὴρ αὐτῶν. ἐγὼ δὲ, εἰ καὶ σοὶ τῷ θανάτῳ παραπέμψαι ξάδιον, ἀλλ' οὖν ἱκετεύω ζῶντας αὐτοὺς σκεδασθῆναι, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διαλυθῆναι, καὶ τῶν ἀποκειμένων σοὶ τιμωριῶν μεταχεῖν. ἔτω δὲ καὶ ἐν τῇ ᾠδῇ τοῦ μεγάλου Μωσέως, αὐτὸς ὁ Θεός φησιν· οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ πούς αὐτῶν. ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα αὐτῶν τοῖς νηπίοις αὐτῶν. καὶ τοῦτο ὁ Σύμμαχος ἔτως ἡρμήνευσε· χορτασθήσονται υἱοὶ, καὶ ἀφήσουσι τὰ λείψανα αὐτῶν τοῖς νηπίοις αὐτῶν· οἶδά φησιν, ὡς τὴν δικαίαν σου τιμωρίαν οὐ μόνον αὐτοῖς ἐπάξεις, ἀλλὰ καὶ τοῖς υἱέσι, καὶ τοῖς ἐγγόνοις, τὴν τῶν προγόνων πονηρίαν μιμησαμένοις. τὸ δὲ χορτασθήσονται, ἀντὶ τοῦ, εἰς κόρον μεθέξουσι τῶν κακῶν. ιε'. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου. χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σε. Τῷ παιδὶ σε ἐκεῖνοι μὲν γὰρ τοιαύτας δώσουσι δίκας. ἐγὼ δὲ τοῖς παρὰ τῆς δικαίας σου προνοίας ἀγαθοῖς ἐντρυφήσω, πεῖραν μείζονα τῆς σῆς εὐεργεσίας δεξάμενος.

ΕΡΜΗΝ. ΤΟΥ ιζ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου, τῷ Δαβίδ. ἃ ἐλάλησε τῷ Κυρίῳ, τοῦ λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ἧ ἐῤῥύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ, καὶ εἶπεν. Δήλη ἡ ἐπιγραφὴ, καὶ ἑρμηνείας ἐ δεομένη· ἔγκειται δὲ καὶ τῇ τῶν βασιλειῶν ἱστορίᾳ τοῦδε τοῦ ψαλμοῦ ἡ διάνοια. θαυμάσαι δὲ ἄξιον τὴν τοῦ προφήτου φιλοσοφίαν. τοσαύτας γὰρ ἐπιβολὰς παρὰ τοῦ Σαοὺλ ὑπομείνας, ἃ συνέταξεν αὐτὸν τοῖς ἐχθροῖς· ἀλλὰ τῶν πολεμίων χωρίσας, ἐκ ὧν δυσμενοῦς ἐμνημόνευσεν. εἰς τὸ τέλος δὲ πρόσκειται· ἐπειδὴ καὶ προφητείαν ἔχει τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς Ἰουδαίων ἀλλοτριώσεως· ἃ μακροῖς ὕστερον ἐγένετο χρόνοις. β'. Ἀγαπήσω σε Κύριε, ἡ ἰσχύς μου. γ'. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν· ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. Ἀγάπη τὰς εὐεργεσίας ὁ προφήτης ἀμείβεται· ταύτην γὰρ μόνην τῷ Θεῷ

τὸν εὖ πεποιηθότα δυνατὸν ἀντιδοῦναι· ταύτην καὶ τῆς νομοθεσίας ἀρχόμενος ἐνομοθέτησεν ὁ Θεός· ἀγαπήσεις γάρ φησι Κύριον τὸν Θεόν σε ἐξ ὅλης τῆς καρδίας σε, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεως σου. ἀλλ' ἕτερα τῇ ἀγάπῃ τὰ ἀγαπωμένα ἡ θεραπεία. ἡ γὰρ ἀγάπη πάντα τέρπει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· ὑπισχνεῖται δὲ ὁ μακάριος Δαβὶδ τὸν Θεὸν ἀγαπήσειν, οὐχ ὡς οὐδέπω τοῦτο τέλειον κατορθώσας· ἀλλὰ κόρον λαβεῖν τῆς ἀγάπης ἐν ἀνεχόμενος· εἶτα τὰς εὐεργεσίας θείας ποιεῖται προσηγορίας, καὶ τὸν κατάλογον ὧν ἔτυχεν ἀγαθῶν κατάλογον ὀνομάτων ἐργάζεται· καὶ καλεῖ τὸν Θεὸν ἰσχύν, ὡς ταύτης μεταλαχών. στερέωμα, ὡς στερεὸς κατὰ τῶν πολεμίων γενόμενος· καταφυγήν, ὡς τεῖχος ἐχυρὸν τὸν Θεόν, καὶ περίβολον ὀχυρόν· ῥύστην, ὡς διὰ τοῦ Θεοῦ τῶν δυσμενῶν ἀπηλλαγμένος· βοηθόν, ὡς ἐκεῖθεν ἐπικουρίας τυχών· ὑπερασπιστήν, ὡς πρόμαχον ἐν καιρῷ γεγενημένον. κέρας σωτηρίας, καὶ ἀντιλήπτορα, ὡς τῇ αὐτοῦ προμηθείᾳ περισωθείς. τὸ δὲ κέρας σωτηρίας τέθεικεν ἐκ μεταφορᾶς τῶν ζώων, τῶν τοῖς κέρασιν τοὺς πολεμίους ἀμυνομένων. „Κέρας δὲ λέγεται καὶ ἡ „βασιλεία, καὶ δώσει γὰρ ἰσχὺν τοῖς βα„σιλεῦσιν ἡμῶν· καὶ ὑψώσει κέρας Χρι„στοῦ αὐτοῦ· ἀντὶ τοῦ τὴν βασιλείαν τοῦ „Χριστοῦ αὐτοῦ.„ δ'. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον· καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Ἐνταῦθα διδασκόμεθα χάριν μὲν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων ἀγαθῶν, αἰτεῖν δὲ πάλιν τὰ ἐνδέοντα· τοῦτο γάρ φησι ποιῶν, κρείττων ἔσομαι τῶν δυσμενῶν. εἶτα διηγεῖται τὰς παντοδαπὰς τῶν πολεμίων ἐπαναστάσεις. ε'. Περιέσχον με ὠδῖνες θανάτου· καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με. ς'. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτου. Ὠδῖνας θανάτου καὶ ᾅδου καλεῖ τὰς θανασιφόρους κινδύνους. καθάπερ γὰρ αἱ ὠδῖνες παρ' αὐτὴν γίνονται τὸν τόκον, ἕτω οἱ μέγιστοι κίνδυνοι τῷ θανάτῳ πελάζουσι· χειμάρρους δὲ ἀνομίας τὰς ἀδίκους καὶ ἀθρόας τῶν ἐχθρῶν προσβολάς· καθάπερ γὰρ ὁ χειμάρρους, τὰς τῶν ὑδάτων συῤῥοίας ἐντεῦθεν κἀκεῖθεν φερομένας δεχόμενος, ἐξαπιναίως προσβάλλει· οὕτω καὶ ὁ Σαὺλ, καὶ οἱ ἄλλοι πολέμιοι, ταῖς ἐφόδοις ἐχρῶντο. παγίδας δὲ θανάτου, τὰς ἐνέδρας ἐκάλεσεν· ὅπερ γὰρ τοῖς ἀλόγοις ἡ παγὶς, τοῦτο τοῖς πολεμουμένοις ὁ λόχος. ἑκάτερα γὰρ λαθραίας βλάβης ἐστὶ μηχανήματα. ζ'. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. ἤκουσε Κύριος ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου· καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Ὑπὸ τοσούτων μέν τοι πολιορκούμενος συμφορῶν, πάσης ἀνθρωπίνης καταφρονήσας ἐπικουρίας, τὴν θείαν ἐπεκαλεσάμην ῥοπὴν, καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθην. παραυτίκα γάρ μου τὰς ἱκετείας ἐδέξατο· καὶ οὐδὲ ἐνταῦθα, ὃ τὸν χειροποίητον λέγει· οὐδὲ γὰρ ᾠκοδόμητο τηνικαῦτα· ὁ Σολομὼν γὰρ αὐτὸν ἐδείματο μετὰ ταῦτα· ἀλλὰ τὸν ἐρανὸν

προση-

προσηγόρευσεν ἔτω. ή. Καὶ ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ· καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν· καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός. θ'. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ· καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται· ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. Ταῦτα δὲ ἅπαντα τέθεικεν, οὐχ ὡς πάντως ἔτω γεγενημένα, ἀλλ' ὡς οὕτω τῇ πίστει νενομένα. οὐ μόνον δὲ τιμωρέμενος ὁ Θεὸς, ἀλλὰ καὶ δεδιττόμενος τοὺς ἀνθρώπους, πολλάκις τοιαῦτα πεποίηκε, καὶ βρονταῖς, καὶ κτύποις, καὶ σεισμοῖς ἐκπλήττων, καὶ πυρί. ἔτω καὶ τὸν Ἰσραὴλ δεδίξασθαι θελήσας, τὸ Σινᾶ ὄρος πυρὶ καπνιζόμενον ἔδειξε. διὰ τούτων τοίνυν καὶ ὁ παρὼν προφήτης τὴν τοῖς πολεμίοις ἐπενεχθεῖσαν τιμωρίαν ἐμήνυσε. διδάσκει δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους, μὴ τὰ ὅμοια δρᾶν, ἵνα μὴ τὰ ὅμοια πάθωσιν. ι'. Καὶ ἔκλινεν οὐρανὸς, καὶ κατέβη· καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. ια'. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. ιβ'. Καὶ ἔθετο σκότον ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. Πάλιν ἐνταῦθα τῷ Θεῷ τὴν ἐπιφάνειαν διηγέμενος, ἱκανὸν τοῖς ἀκροαταῖς ἐντίθησι δέος. ἀλλ' ὅμως, ἔτε κατάδασιν, ἔτε ἀνάβασιν τῆς θείας ἡμεῖς ἐπισάμεθα φύσεως· ἀπερίγραφον γὰρ τὸ θεῖον, παντα χῇ παρον, περιέχον τὰ πάντα. τὸ διάφορον δὲ τῶν οἰκονομιῶν διὰ τούτων ἐκπαιδευόμεθα. ποτὲ μὲν γὰρ προσηνέστερον ἐπιφαίνεται τοῖς ἀνθρώποις· ποτὲ δὲ μεγαλοπρεπέστερον. ἔστι δ' ὅτε καὶ φόβον ἐνθεῖναι βουλόμενος, παράδοξά τινα δείκνυσι καὶ ἀήθη. τὸ τοίνυν ἔκλινεν οὐρανὸς, καὶ κατέβη, νοήσωμεν ὅτι τὴν οἰκείαν ἐπιφάνειαν ἔδειξεν. γνόφον δὲ ὑπὸ τοὺς πόδας, τὸ τῆς παρεσίας ἀόρατον· τὴν δὲ, τῶν Χερουβὶμ ἐπίβασιν, καὶ τὴν τῶν ἀνέμων πτῆσιν, τὸ τῆς ἐπιφανείας ὀξύ· τὸ δὲ, ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὸ τῆς Φύσεως ἀθεώρητον. τὸ δὲ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, τὸ περὶ αὐτὸν φῶς· διὸ καὶ ὁ μακάριος ἔφη Παῦλος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. ιγ'. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον. Καθάπερ γάρ φησι τῇ πυκνότητι τῶν νεφῶν ζοφώδης γινόμενος ὁ ἠὴρ τῆς ἀτραπῆς ἐκπέμπει τὴν αὐγὴν, ἔτως ἀόρατος ὢν ὁ τῶν ὅλων Θεὸς, καὶ τὸ νοερὸν φωτὸς τὰς ἀκτῖνας ἀφίησι, καὶ τῷ κολαστικῷ πυρὶ κολάζει τοὺς πονηρίᾳ συζῶντας· τοῦτο γὰρ παρεδήλωσεν ἐπαγαγών· χάλαζαι καὶ ἄνθρακες πυρός, ιδ'. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος· καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ, ιε'. Ἀπέστειλε βέλη, καὶ ἐσκόρπισεν αὐτούς· καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς. Ταῦτα καὶ ἐφ' ἡμῶν πολλάκις ἐγένετο· ἐν γὰρ τοῖς ἔναγχος γεγενημένοις πολέμοις, καὶ τὰς ἀρκτῴας βαρβάρους ἐπελθόντας ἡμῖν χαλάζῃ καὶ πυρὶ κατηνάλωσεν, καὶ τοὺς ἀπὸ τῆς ἕω πρώην ἐπιστρατεύσαντας Πέρσας, καὶ ἀναιμωτὶ τὰς ἡμετέρας πόλεις παραλαβεῖν προσδοκήσαντας, ταύταις ἐπέδησε ταῖς πέδαις, καὶ πε-

ρωτέρω προβῆναι κεκώλυκε· καὶ τὲς μὲν θανάτῳ παρέπεμψε, τὲς δὲ τῶν γεγενημένων ἀγγέλους ἐξέπεμψεν. ιέ. Καὶ ᾤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων· καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης. ἀπὸ ἐπιτιμήσεώς σε Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σε. Καὶ τοῦτο ἐφ' ἡμῶν ἐν πολλοῖς γεγένηται κλίμασι· διέστη γὰρ ἡ γῆ κινηθεῖσα, καὶ βάθος ἄμετρον ἐν ὑψηλοῖς ὄρεσιν ἀνεφάνη, καὶ ὕδωρ ἐν ἀνύδροις ἐδόθη χωρίοις· ποιεῖ δὲ ταῦτα ὁ τῶν ὅλων πρύτανις, τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν τοῖς ἀνθρώποις ἐπιδεικνύς, καὶ διδάσκων ὡς δύναται μὲν ἐν ἀκαρεῖ πᾶσι παναλεθρίαν ἐπενεγκεῖν· φιλανθρωπίᾳ δὲ χρώμενος, ἀναβάλλεται τὴν τιμωρίαν, καὶ προσμένει τὴν μεταμέλειαν. ιζ. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με· προσελάβετό με ἀπὸ ὑδάτων πολλῶν. Καὶ διδάσκων τί καλεῖ τροπικῶς ὕδατα, ἐπήγαγεν· ιή. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προφανῶς, φησὶ, τὴν περὶ ἐμὲ κηδεμονίαν τοῖς ἐμοῖς ἔδειξε πολεμίοις· τοῦτο γὰρ εἶπεν εἰρηκὼς, ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με. ἀντὶ τοῦ, πέπεικεν ἅπαντας ὡς θρανόθεν μοι τὴν ἐπικουρίαν παρέχε. ταύτης δὲ με τῆς προμηθείας ἠξίωσε, τὸ τῶν πολεμίων ἰσχυρὸν θεασάμενος. ἐστερεώθησαν γὰρ ὑπὲρ ἐμέ φησιν. ιθ. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεως μου. Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τὴν τοῦ Ἀβεσσαλὼμ ἐπανάστασιν, μετὰ τὴν ἁμαρτίαν γεγενημένην. κάκωσιν γὰρ, ἣν ὁ Σύμμαχος ταλαιπωρίαν καλεῖ, τῆς ψυχῆς λέγει τὴν ἀθένειαν, δι' ἣν ἡ ἁμαρτία γεγένηται. Καὶ ἐγένετο Κύριος ἀντιλήμπτωρ μου. κ. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. Ὠθούμενόν με, φησὶ, καὶ καταβαλλόμενον ὑπήρεισεν ὁ Θεὸς, καὶ τὴν στενοχωρίαν εὐρυχωρίαν εἰργάσατο, ἀντὶ τοῦ προσδοκωμένου θανάτου τὴν ζωὴν χαρισάμενος· τοῦτο δὲ καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ· ὠθεῖς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. κα. Ῥύσεταί με, ὅτι ἠθέλησέ με. ἐλπίζω δὲ, ὅτι καὶ εἰς τὸν ἔπειτα χρόνον τῆς αὐτῆς ἀξιώσει με βοηθείας, καὶ κρείττων ἔσομαι τῶν δυσμενῶν, κἂν μάλιστα πλείστην ἔχωσι δύναμιν. κά. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου· καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. κβ. Ὅτι ἐφύλαξα τὰς ὁδὸς Κυρίου· καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου. κγ. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. Οὐκ ἄδικόν φησι ποιεῖταί μου πρόνοιαν, ἀλλὰ καὶ τὸν ἐμὸν σκοπὸν ἐπισάμενος, καὶ εἰδὼς ὅτι ἐμοὶ σπουδὴ πάσας αὐτοῦ φυλάττειν τὰς ἐντολάς. ἐπειδὴ γὰρ πολλὴν ἔδειξε περὶ αὐτὸν τοῦ Θεοῦ γεγενημένην κηδεμονίαν, δεικνυσι ταύτης τὸ δίκαιον, προτρέπων εἰς ἀρετὴν τοὺς ἀκούοντας, καὶ διδάσκων ὡς οὐχ οἷόν τε ταύτης ἡμᾶς τυχεῖν, μὴ γνησίαν εὔνοιαν περὶ τὸν Θεὸν κτησαμένους· οὐδὲ γὰρ τὸν τῶν οἰκείων κατορθωμάτων καταλογον γυμνῶσαι πᾶσιν ὁ προ-

προφήτης ἠθέλησεν, ἀλλ' ὑποθέσθαι πῶς οἷόν τε τῆς θείας ἀπολαῦσαι προνοίας. κδ'. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ. Καὶ πῶς δυνατὸν τοῦτο κατορθῶσαι; καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Ἀπεχόμενός φησιν ἐκείνων ἃ κακῶς εἰργασάμην, ἄμωμος εἰς τὸν ἐπιόντα γενήσομαι χρόνον· ἔτως ὁ μέγας Δαβὶδ τῶν οἰκείων κατορθωμάτων μνημονεῦσαι βιασθεὶς, ἵνα δείξῃ τῆς τοῦ Θεοῦ προμηθείας τὸ δίκαιον, ἐκ ἠνέχετο τὴν γεγενημένην κρῦψαι παρανομίαν. κέ. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου. καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Τότε δή φησιν, ὅταν παντελῶς ἄμωμος γένωμαι, τελείων τεύξομαι τῶν ἀγαθῶν. πάντα γὰρ ἐφορᾷ ὁ τῶν ὅλων Θεός· καὶ πρὸς τὰς ἀγαθὰς πράξεις, ταύτας γὰρ ὠνόμασε χειρῶν καθαρότητα, καὶ τὸν εὐσεβῆ τῆς διανοίας σκοπὸν, ποιεῖται τὰς ἀντιδόσεις. εἶτα τοῦτο αὐτὸ σαφέστερον ἐκπαιδεύει. κς'. Μετὰ ὁσίου ὁσιωθήσῃ· καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ. κζ'. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ. καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Πρὸς τὰς γνώμας τῶν ἀνθρώπων ἁρμότεις τὰς ἀντιδόσεις, ὦ Δέσποτα. τοῖς γὰρ ὁσίοις παρέχεις τὰ τῆς ὁσιότητος ἄξια· καὶ τοῖς ἀθῴοις, καὶ τῆς ἁμαρτίας ἀπηλλαγμένοις, τὰ πρόσφορα· καὶ τοῖς ἐκλεκτοῖς καὶ τελείοις, τὰ τέλεια· τοῖς δὲ τοῦ εὐθέως ἐκτραπεῖσι, καὶ τὴν ἐναντίαν ὁδεύουσι, κατάλληλον παρασκευάζεις εὑρεῖν τῆς ὁδοῦ τὸ τέλος. πῶς καὶ τίνι τρόπῳ; κή. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις· καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. Τοὺς μὲν γὰρ ἢ μετρίῳ φρονήματι κεχρημένους, ἢ ἐκ περιστάσεως τεταπεινωμένους, σωτηρίας ἀξιοῖς, καὶ περιφανεῖς ἀποφαίνεις· τοὺς δὲ τὰς ὀφρῦς αἴροντας, καὶ τύφῳ δελεύοντας, κύπτειν εἰς γῆν ἀναγκάζεις, καὶ τῆς φύσεως λογίζεσθαι τὴν εὐτέλειαν. κθ'. Ὅτι σὺ φωτιεῖς λύχνον μου Κύριε, ὁ Θεός μου φωτιεῖ τὸ σκότος μου. Ἐπειδὴ σκότος πολλάκις τὰς θλίψεις ἐκάλεσεν, εἰκότως φῶς ὀνομάζει τὴν τούτων ἀπαλλαγήν. ταύτης δὲ φησιν ἀπολαύω παρὰ σοῦ τῆς προνοίας· ἐπειδὴ ὁ λύχνος ὁ τὸ ἀληθινὸν ὑποδεξάμενος φῶς· καλεῖ δὲ οὕτω τὴν τοῦ δούλου μορφήν· ἐμός τε ἐστὶ, καὶ ἐκ τῆς ἐμῆς ὀσφύος πλασθήσεται. τοῦτο δὲ καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ· ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ· ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. λ'. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου. καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. Πᾶσαν ἐπιβουλὴν, καὶ πᾶσαν ἐνέδραν· πειρατήριον γὰρ καὶ τεῖχος τὴν ἐνέδραν καλεῖ· διὰ τῆς σῆς διαφεύξομαι χάριτος. λά. Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ. Δικαίως ἰθύνεις τὰ σύμπαντα· καὶ τούτου χάριν θαῤῥῶ. τὰ λόγια Κυρίου πεπυρωμένα. τοῦτο δὲ παρὰ τῶν ἀψευδῶν σου λογίων μεμάθηκα· πεπυρωμένα γάρ, ὡς καὶ ἤδη προειρήκαμεν, τὰ δόκιμα λέγει, καὶ

ψεύ-

ψεύδους ἀπηλλαγμένα. ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν. οὐκ ἐγὼ δὲ μόνος· ἀλλὰ καὶ πάντες οἱ ταύτην εἰς αὐτὸν ἔχοντες τὴν ἐλπίδα, τῆς αὐτῆς ἀπολαύσονται βοηθείας. λβ. Ὅτι τίς Θεὸς παρεξ τοῦ Κυρίου ἡμῶν, καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; Οὐδὲ γάρ ἐστι Θεὸς ἕτερος· ἵνα ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ παράσχῃ τὴν αἴτησιν. λγ. Ὁ Θεὸς ὁ περιζωννύων με δυνάμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Τῇ αὐτῇ δυνάμει ῥωσθεὶς κἀγὼ τὴν εὐθεῖαν τρίβον ὁδεύειν ἐπείγομαι. λδ. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου· καὶ ἐπὶ τὰ ὑψηλά μου ἱστῶν με. Καθάπερ γὰρ τοῖς ἐλάφοις ἔδωκε κατὰ φύσιν τὰ ἰσχυρὰ θηρία καταπαλεῖν· οὕτω με κρείττονα καὶ ὑψηλότερον τῶν πολεμίων ἀπέφηνε. λε. Διδάσκων χεῖράς μου εἰς πόλεμον. Εἰς εὐχὴν γὰρ ταύτας ἐκτείνων, περιγίνομαι τῶν δυσμενῶν. καὶ ἔθετο τόξον χαλκοῦν τοὺς βραχίονάς μου. διὰ τοῦτο, δίκην τόξου χαλκοῦ καὶ ἀῤῥαγοῦς τοὺς ἐμοὺς βραχίονας τὰ κατὰ τῶν πολεμίων ἀφιέναι παρεσκεύασε βέλη. λϛ. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου· καὶ ἡ δεξιά σου ἀντελάβετό μου. καὶ ἡ παιδεία σε ἀνώρθωσε μέχρι εἰς τέλος· καὶ ἡ παιδεία σου αὐτή με διδάξει. Καὶ ἐπαίδευσας ἡμαρτηκότα, καὶ καταπεπλωκότα ἀνώρθωσας· καὶ ἐδίδαξας ὅσον ἡ ἁμαρτία κακόν, καὶ τῆς σωτηρίας ἠξίωσας. λζ. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου· καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου. Ἐν τῇ ξενοχωρίᾳ τῆς θλίψεως ἔδωκας τὴν εὐρυχωρίαν τῆς παρακλήσεως· ὑφ᾽ ἧς ψυχαγωγούμενος, μέχρι τοῦ παρόντος διήρκεσα· τὸ γὰρ ἐπλάτυνας, εὐρυχώρησας ὁ Σύμμαχος εἴρηκεν. λή. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς· καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείψωσιν. λθ. Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου. Οὕτως ὑπὸ τῆς σῆς προνοίας ῥωσθεὶς ἐλπίζω πάντων περιγενήσεσθαι τῶν δυσμενῶν· καὶ μὴ πρότερον ἀποστῆναι, ἕως ἂν αὐτοὺς αὖθις ὑπηκόους ἐργάσωμαι· τοῦτο γὰρ παρεδήλωσεν εἰρηκώς, πεσοῦνται ὑπὸ τοὺς πόδας μου. μ. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον· συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου. Ἐμοὶ μὲν ἀνδρείαν ἐδωρήσω καὶ ῥώμην· τῶν δὲ πολεμίων ἐπέδησας τὴν ὁρμήν· καὶ τοῦτό ἐστι καὶ ἐπὶ τοῦ Γολιὰθ, καὶ ἐπὶ τοῦ Σαοὺλ γεγενημένον. τὸν μὲν γὰρ τῷ πράττειν καιρὸν εἰς ἀνοήτους ἀναλίσκοντα λόγους τῇ σφενδόνῃ κατήνεγκεν· τὸν δὲ ὕπνῳ πεδηθέντα ῥᾳδίως διέφυγεν. οὕτω καὶ τῶν Γεθθαίων ἐξέφυγε τὰς ἐπιβουλάς. μα. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον. Ἀντὶ τοῦ, εἰς φυγὴν ἔτρεψας. ἴδιον γὰρ τῶν φευγόντων τὸ διδόναι τὰ νῶτα. καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. τὸν Σαοὺλ, τὸν Ἀχιτόφελ, τὸν Ἀβεσσαλὼμ, καὶ μυρίους ἑτέρους. μβ. Ἐκέκρα-

κέκραξαν, καὶ ἐκ ἦν ὁ σώζων· πρὸς Κύριον, καὶ ἐκ εἰσήκουσεν αὐτῶν. Οὔτε γὰρ ἀλλόφυλοι τοὺς οἰκείους καλοῦντες εἰς ἐπικουρίαν θεοὺς, τῆς παρ' αὐτῶν προνοίας ἀπέλαυσαν. οὔτε ὁ Σαὴλ, καὶ Ἀβεσσαλὼμ, καὶ ὁ Σεμεεὶ, καὶ οἱ λοιποὶ τῶν Ἰσραηλιτῶν πολέμιοι, τὸν Θεὸν ἐχήκασι σύμμαχον. μγ'. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμε· ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. Φροῦδοι καὶ ἀφανεῖς γενήσονται παντελῶς, τῆς σῆς μοι χάριτος συνεργούσης. μδ'. Ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ. Ἐντεῦθεν προθεσπίζει τὴν κατὰ τὸ σωτῆρος Ἰουδαίων μανίαν, καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν. καὶ παρακαλεῖ μηδεμίαν ἔχειν κοινωνίαν εἰς τὴν ἐκείνων ἀντιλογίαν. καταξήσεις με εἰς κεφαλὴν ἐθνῶν. καὶ μὴν ἐκ ἴσμεν τὸν Δαβὶδ τῶν ἐθνῶν βασιλεύσαντα. οὐκοῦν διὰ τὸ ἐξ αὐτὸ κατὰ σάρκα τεχθέντες ἡ προφητεία πληροῦται. ὁ γὰρ ἐκ Δαβὶδ κατὰ σάρκα τεχθεὶς Δαβὶδ καὶ αὐτὸς ὀνομαζόμενος κατὰ τὸν θεῖον Ἰεζεκιὴλ, ὁ δεσπότης λέγω Χριστὸς, πάντων ἐβασίλευσε τῶν ἐθνῶν. ἀεὶ μὲν ὡς Θεὸς τῶν ἁπάντων δεσπόζων, μετὰ δὲ τὴν ἐνανθρώπησιν, καὶ τὴν ἐθελούσιον τῶν εἰς αὐτὸν πεπιστευκότων δουλείαν δεξάμενος. μέ. Λαός ὃν ἐκ ἔγνων ἐδούλευσέ μοι. εἰς ἀκοὴν ὠτίῳ ὑπήκουσέ μου. Ἐκ προσώπου ταῦτα προαγορεύει τὸ δεσπότου Χριστοῦ. λέγει δὲ, ὅτι οἱ μήτε νομοθέτην, μήτε προφήτην ἐμὸν δεξάμενοι πώποτε, ῥᾳδίως μάλα κληθέντες ὑπήκουσαν, καὶ τὴν ἐμὴν δεσποτείαν ἠγάπησαν. μς'. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι· υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. Οἱ δὲ υἱοὶ προσαγορευθέντες, καὶ ἐν υἱῶν τάξει γραφέντες, ἀλλοτρίας σφᾶς αὐτοὺς πεποιήκασιν, ἀγνώμονες περὶ τὰς εὐεργεσίας γενόμενοι, καὶ περὶ τὴν πίστιν χωλεύσαντες, καὶ τὴν εὐσεβῆ τρίβον καταλιπόντες. οὕτω καὶ διὰ Ἱερεμίου τοῦ προφήτου φησὶν ὁ Θεός. πῶς ἐστράφης μοι εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία· ἐγὼ δὲ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. καὶ τὸ μὲν τὴν οἰκείαν δείκνυσι φυτουργίαν, τὸ δὲ τὴν ἐκείνων ἀχαριστίαν ἐλέγχει. τὸ δὲ ἐπαλαιώθησαν, καὶ ἐχώλαναν, ἀτιμωθήσονται καὶ ἐντραπήσονται ὁ Σύμμαχος εἴρηκε· καὶ μαρτυρεῖ τῇ προρρήσει τὸ τέλος· πλήρεις γάρ εἰσιν ἀτιμίας, βδελυροὶ πᾶσιν ὁρώμενοι. μζ'. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου· καὶ ὑψωθήτω ὁ Θεός τῆς σωτηρίας μου. Μνημονεύσας τῆς Ἰουδαίων ἀντιλογίας, αἰνίττεται τὸ πάθος, καὶ τὴν μετὰ τὸ πάθος ἀνάστασιν. καὶ ἐπειδὴ Ἰουδαῖοι εἰώθασι τὸν ἐσταυρωμένον νεκρὸν καλεῖν, αὐτὸς βοᾷ ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου. καὶ οὐ μόνον ζῇ, ἀλλὰ καὶ εἰς οὐρανοὺς ἀνελήλυθε, καὶ τοῖς βουλομένοις παρέχει τὴν σωτηρίαν. μή. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ· ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. μθ'. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με· καὶ ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με. Ὁ ταῦ-

τα τοίνυν ἐργασάμενος μακροῖς ὕστερον χρόνοις, φύσει καὶ μὲ τῶν ἀδίκως με πολεμούντων· καὶ ὃν ὑπέταξάς μοι λαὸν, ἀποφανεῖς εὐπειθῆ. ν'. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι Κύριε· καὶ τῷ ὀνόματί σε ψαλῶ. Διὰ γὰρ τῶν μικρὸν ὕστερον κληθησομένων ἐθνῶν, ἐν ἁπάσαις σε ταῖς κατὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαις ὑμνήσω. ἔστι δὲ ταύτης τῆς προφητείας τὸ τέλος ἰδεῖν· ἐν ἁπάσαις γὰρ καὶ πόλεσι, καὶ κώμαις, καὶ ἀγροῖς, καὶ ἐρημίαις, καὶ ὄρεσι, καὶ βουνοῖς· καὶ ἐν γῇ, καὶ ἐν θαλάττῃ· καὶ ἐν οἰκουμένῃ, καὶ ἐν ἀοικήτῳ, ὁ θεσπέσιος Δαβὶδ δι' εὐσεβῶν σωμάτων τὸν Θεὸν ὑμνεῖ. νά. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτοῦ· τῷ Δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. Σύ με γὰρ χρίσας εἰς βασιλέα, οὐ μόνον σώζεις, ἀλλὰ καὶ περίβλεπτον ἀποφαίνεις· ταύτης δὲ τῆς προνοίας ἐκ ἐμὲ μόνον, ἀλλὰ καὶ τὰς ἐμὰς ἀξιώσεις παῖδας· ἀλλὰ καὶ ἕως αἰῶνος τῷ σπέρματί μου φυλάξεις τὴν περιφάνειαν. τοῦτο δὲ Ἰουδαϊκῶς μὲν νοούμενον, τὴν προφητείαν ἐλέγχει. μέχρι γὰρ τῆς αἰχμαλωσίας τοῦ Δαβὶδ τὸ γένος εἰς βασιλείαν διήκνεσεν. μετὰ δὲ τὴν ἐκεῖθεν ἐπάνοδον, μόνος Ζοροβάβελ ἡγεμονεύσας, τῆς ἡγεμονίας οὐ κατέλιπε κληρονόμους· εἰ τοίνυν ἀληθὴς ἡ προφητεία, ὥσπερ οὖν ἀληθής· τὸ γὰρ τῆς ἀληθείας αὐτὴν ἀπεκάλυψε πνεῦμα· λείπεται νοεῖν τὸ σπέρμα τοῦ Δαβὶδ, τὸ αἰώνιον ἔχον τὴν περιφάνειαν, τὸν ἐκ Δαβὶδ κατὰ σάρκα γεννηθέντα δεσπότην Χριστὸν, αἰώνιον ἔχοντα βασιλείαν καὶ δόξαν· καὶ ἔχοντα μὲν ταύτην πρὸ τῶν αἰώνων, ὡς ποιητὴν καὶ Θεόν· εὐληφότα δὲ πάλιν ὡς ἄνθρωπον, ἐπὶ ἐσχάτου τῶν ἡμερῶν· διὸ δὴ καὶ διὰ τοῦ θεσπεσίου Ἰεζεκιὴλ ὁ τῶν ὅλων ἔφη Θεός· δώσω αὐτοῖς Δαβὶδ τὸν βασιλέα αὐτῶν· καὶ πάλιν, καὶ Δαβὶδ ὁ βασιλεὺς ἐν μέσῳ αὐτῶν. Δαβὶδ δὲ αὐτὸν ὠνόμασεν, ὡς ἐκ τῆς τοῦ Δαβὶδ ὁσφύος κατὰ σάρκα βλαστήσαντα· τοῦτο δὲ καὶ ὁ μακάριος Ἡσαΐας βοᾷ· ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. ταῦτα μεμαθηκὼς ὁ μακάριος Ματθαῖος, ἔτω τῆς εὐαγγελικῆς ἤρξατο συγγραφῆς, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ.

ΕΡΜΗΝ. ΤΟΥ μ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Τῶν θείων νόμων ἐδη τρία παρὰ τοῦ μακαρίου διδασκόμεθα Παύλου· τὸν μὲν γὰρ δι' ἁπλῶν γραμμάτων ἔφη διὰ τῆς κτίσεως καὶ τῆς φύσεως τοῖς ἀνθρώποις δεδόσθαι· τὰ γὰρ ἀόρατα αὐτοῦ, φησιν, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. καὶ πάλιν· ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ· οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. τὸν δὲ διὰ τοῦ μεγάλου Μωσέως ἐν γράμμασι παρεχῶδαι. τῶν παραβάσεων γάρ φησι χάριν ὁ νόμος προσετέθη, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου· οἶδε δὲ καὶ τρίτον μετὰ τούτους τεθέντα, τὸν τῆς χάριτος. ὁ γὰρ

νόμος

νόμος φησὶ τῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τῦ θανάτου· σύμφωνα τούτοις καὶ ὁ μακάριος Δαβὶδ ἐν τῷδε τῷ ψαλμῷ τοὺς ἀνθρώπους παιδεύει, καὶ κατὰ τὴν αὐτὴν τάξιν. πρῶτον μὲν τὸν ἐν τῇ κτίσει κηρύττοντα τὸν δημιουργόν· εἶτα τὸν διὰ Μωσέως δοθέντα, τοῦ δημιουργοῦ πλείονα γνῶσιν τοῖς προσέχειν ἐθέλουσιν ἐντιθέντα· μετὰ τῦτον, τὸν τῆς χάριτος, τέλεον τὰς ψυχὰς ἀποκαθαίροντα, καὶ τῆς παρέσης ἐλευθεροῦντα φθορᾶς· ἓ δὴ χάριν, καὶ εἰς τὸ τέλος ἡμᾶς ὁ ψαλμὸς παραπέμπει, τὴν καινὴν ἐν τῷ τέλει διαθήκην προαγορεύων. β'. Οἱ οὐρανοὶ διηγῦνται δόξαν Θεῦ· ποίησιν δὲ χειρῶν αὐτῦ ἀναγγέλλει τὸ στερέωμα. Ἀρκεῖ φησι καὶ μόνον φαινόμενον τῶν οὐρανῶν τὸ κάλλος καὶ μέγεθος, τῦ δημιουργῦ τὴν δύναμιν κηρύξαι· εἰ γὰρ ὁ μεγίστην καὶ καλλίστην οἰκοδομίαν θεώμενος, τὸν οἰκοδόμον θαυμάζει· καὶ ὁ σκάφος ὁρῶν εὖ καὶ καλῶς κατεσκευασμένον, τὸν ναυπηγὸν ἐννοεῖ· καὶ τῇ θεωρίᾳ τῆς εἰκόνος ἡ τοῦ ζωγράφου συνεισέρχεται μνήμη· πολλῷ δήπουθεν ἡ κτίσις ὁρωμένη πρὸς τὸν δημιουργὸν ποδηγεῖ τὲς ὁρῶντας· οὐρανῦ δὲ καὶ στερεώματος ἐμνημόνευσεν ἀκολόθως τῇ τῦ μεγάλυ Μωσέως διδασκαλίᾳ. καὶ γὰρ ἐκεῖνος πρῶτον εἶπε γεγενῆθαι τὸν οὐρανὸν, εἶτα διηγεῖται καὶ τὴν τῦ στερεώματος δημιουργίαν· ὃν πάλιν οὐρανὸν οὐρανῶν προσηγόρευσε, φησι. τὸ δὲ πληθυντικὸν ὄνομα τῶν οὐρανῶν ξενιζέτω μηδένα· ἔθος γὰρ τῇ γραφῇ ποτὲ μὲν ἑνικῶς, ποτὲ δὲ πληθυντικῶς ὀνομάζειν. καὶ ἑνικῶς μὲν ὁ μακάριος ὀνομάζει Δαβίδ· οὐρανὸς γάρ φησι τῦ οὐρανῦ τῷ Κυρίῳ· καὶ πάλιν, τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις. πληθυντικῶς δὲ πάλιν ὁ αὐτὸς, αἰνεῖτε αὐτὸν φησιν οἱ οὐρανοὶ τῶν οὐρανῶν. τὴν αὐτὴν δὲ ἔχει σημασίαν τὸ, ὁ οὐρανὸς τῦ οὐρανῦ τῷ Κυρίῳ· ὁ μὲν γὰρ ὁρώμενος οὐρανὸς, οἷόν τις ὄροφος κατεσκευάσθη τῇ γῇ· ὁ δὲ ἀνώτερος τοῦτο ἔστι τέτω, ὅπερ ἔτος τῇ γῇ. διὰ δὴ τῦτο οὐρανὸς οὐρανῦ καλεῖται, καὶ οὐρανοὶ οὐρανῶν ὀνομάζονται· ἔστι δὲ ἰδεῖν καὶ πόλεις παρ' ἡμῖν διπλῆν τὴν ὀνομασίαν ἐχέσας. καὶ γὰρ καὶ Ταρσὸν λέγομεν καὶ Ταρσὸς, τὴν μίαν πόλιν. καὶ Θήβην, καὶ Θήβας, τὴν αὐτὴν πόλιν. οὕτω Μυκήνην τε καὶ Μυκήνας ἐκάλουν οἱ παλαιοὶ, μίαν πόλιν εἰδότες τὴν πληθυντικῶς ὀνομαζομένην. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ διὰ τὲς πολλοὺς οὐρανοὺς ἀριθμεῖν πειρωμένους. γ'. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα· καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Καὶ γὰρ ἡ τεταγμένη νυκτὸς καὶ ἡμέρας διαδοχὴ, τὲς ὑπὸ τῦ δημιουργῦ τεθέντας ὑποδείκνυσιν ὅρους, οὓς παραβαίνειν ἡ ἄψυχος οὐκ ἀνέχεται κτίσις. πρὸς γὰρ τὴν χρείαν τῶν ἀνθρώπων ἡμέρα καὶ νὺξ αὐξανόμεναί τε καὶ μειόμεναι, καὶ παρ' ἀλλήλων τὸν χρόνον δανειζόμεναι, καὶ πάλιν ἀλλήλαις τὸ χρέος ἐκτινύουσαι, τὴν ἐφεξῶσαν αὐταῖς ὑποδεικνύουσι προμήθειαν. τὸ δὲ ἐρεύγεται ῥῆμα, καὶ ἀναγγέλλει γνῶσιν, καὶ διηγοῦνται δόξαν, οὐκ

ἔμψυ-

ἔμψυχα εἶναι διδάσκει τὰ ὁρώμενα· ἀλλὰ προσωποποιία τις ἐστὶ, παιδεύουσα πάντας ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὸν ἀόρατον ποδηγεῖσθαι Θεὸν, καὶ ἐκεῖνῳ προσφέρειν τὴν ὑμνῳδίαν. δ'. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐκ ἀκούονται αἱ φωναὶ αὐτῶν. ε'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· οὐ ῥήσεσιν, οὐδὲ λόγοις, ὧν οὐκ ἀκούονται αἱ φωναί· ἀλλ' εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ ἦχος αὐτῶν· ἢ κατὰ τὸν Ἀκύλαν, ὁ κανὼν αὐτῶν. Ἔτε γὰρ λόγους, ἔτε ῥήματα προφέρουσαι, ἀλλὰ τὸν κανόνα, καὶ τὴν οἰκείαν τάξιν ὑποδεικνῦσαι, πᾶσαν τὴν γῆν καὶ θάλατταν εἰς τὴν θείαν καλοῦσιν ὑμνῳδίαν. ς'. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. ζ'. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ· καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ. Καὶ ταῦτα σαφέστερον οἱ τρεῖς ἡρμήνευσαν. ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα φησὶν ἐν αὐτοῖς· τουτέστιν ἐν τοῖς οὐρανοῖς. Ἕτω γὰρ καὶ ὁ μέγας ἐδίδαξε Μωσῆς· καὶ ἐποίησεν ὁ Θεὸς τὰς δύο φωστῆρας τοὺς μεγάλους· καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς. αὐτὸ τοῦτο καὶ ὁ θεῖος ἔφη Δαβὶδ, ὅτι ἔθετο τὸ σκήνωμα ἐν τοῖς οὐρανοῖς τῷ ἡλίῳ· ὥστε αὐτὸν ἐπ' ἐκείνων ὀχούμενον, καὶ κατὰ μὲν τὸ κάλλος μιμεῖσθαι νυμφίον ἐκ παστάδος προϊόντα μετὰ πολλῆς εὐπρεπείας· κατὰ δὲ τὸ τάχος, γίγαντά τινα μετὰ πολλῆς διατρέχοντα ῥώμης καὶ ἰσχύος· „μη„δενος ἐμποδὼν ἱσταμένου, καὶ τῆς ἐπὶ „τὰ πρόσω πορείας πειρωμένου κωλύειν· „οὕτω καὶ οὗτος ἀνίσχει μὲν ἀπὸ τῆς „ἕω, ἐν μιᾷ δὲ ἡμέρᾳ τὸν ἐρανὸν δια„τρέχει τὴν ἑσπέραν καταλαμβάνει, „παντὶ ζώῳ μεταδιδοὺς τῆς οἰκείας θερ„μότητος.„ καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. τῆς θέρμης ἐνταῦθα ἀντὶ τοῦ φωτὸς ἐμνημόνευσε. μείζονα δεικνὺς τὴν ἐνέργειαν τοῦ χειροποιήτου φωτός· ὅτι καὶ πόρρωθεν ὄντας δυνατὸν ἀπολαῦσαι τῆς θέρμης. τὸ γὰρ χειροποίητον φῶς ἐχ οἷόν τε μὴ πελάζοντας τοῦτο ποιῆσαι· ὁ δέ γε ἥλιος καὶ πόρρωθεν ἀφεὶς ἀκτῖνας τῆς θέρμης συν τῷ φωτὶ μεταδίδωσιν. ἀπόχρη καὶ ταῦτα δεῖξαι τοῖς ἀνθρώποις τὸν ποιητήν· ἀλλ' ὅμως καὶ νάμον ἔδωκεν εἰς βοήθειαν, ἐπιστρέψαι τοὺς πλανωμένους δυνάμενον. η'. Ὁ νόμος [γάρ φησιν] Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστὴ, σοφίζουσα νήπια. θ'. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς. ι'. Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. τὰ κρίματα Κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. ια'. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Νόμον καὶ μαρτυρίαν, καὶ δικαιώματα, καὶ ἐντολὴν, καὶ κρίματα,

ματα, τὸν Μωσαϊκὸν νόμον καλεῖ· ἕτω γὰρ καὶ αὐτὸς ὁ νόμος ἑαυτὸν ὀνομάζει· ποτὲ μὲν γὰρ λέγει· ταῦτα τὰ δικαιώματα, καὶ τὰ κρίματα, ἃ ἔδωκε Κύριος Μωσῆ. καὶ ἀλλαχοῦ· Φυλάξεις τὸν νόμον Κυρίου τοῦ Θεοῦ σου, καὶ τηρήσεις τὰς ἐντολὰς αὐτοῦ· καὶ καλεῖται μὲν νόμος, ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων, καὶ διατάττων. μαρτυρία δὲ, ὡς τοὺς ἁμαρτάνοντας. διαμαρτυρόμενος, καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς· δικαιώματα δὲ, ὡς διδάσκων τὸ δίκαιον, καὶ ἀπαγορεύων τὸ ἄδικον, καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους· ἐντολὴ δὲ, ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς· κρίματα δὲ, ὡς τὰς θείας ψήφους ὑποδεικνύς, καὶ διδάσκων τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσιν δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται· λέγει τοίνυν, ὅτι ὁ νόμος τοῦ Θεοῦ, μώμου παντὸς ἐλεύθερος ὢν, τὰς τῶν ἀνθρώπων ἐπιστρέφει ψυχὰς, καὶ ἀμώμους αὐτὰς ἀπεργάζεται. δεδιτλομένη δὲ ἡ μαρτυρία τοὺς ἀτελεῖς καὶ νηπίους σοφίζει· εὐφραίνει δὲ τὴν καρδίαν τὰ δικαιώματα, τῆς δικαιώσεως τὴν αἰτίαν ὑποδεικνῦντα· ἡ ἐντολὴ δὲ φωτίζει τῆς διανοίας τὸ ὀπτικὸν, διδάσκουσα τί τὸν τῶν ὅλων θεραπεύει Θεόν· ἡ εὐλάβεια μέν τοι, καὶ ὁ τοῦ Θεοῦ φόβος, τὴν τούτων ὑποτιθέμενος φυλακὴν, τῶν αἰωνίων ἀγαθῶν προξενεῖ τὴν ἀπόλαυσιν· εἰκότως δὲ τὸν τοῦ Θεοῦ φόβον ἁγνὸν προσηγόρευσε, τουτέστι μέμψεως καθαρόν· ὡς τοῦ ἀνθρωπείου φόβου ψεγομένου, καὶ δειλίας προσηγορίαν ἔχοντος· τὰ δὲ κρίματα ἀληθινὰ, καὶ δεδικαιωμένα ὠνόμασεν· ἃ τε δὴ καὶ τιμὰς καὶ τιμωρίας ἐνδίκους ἐπιφέροντα τοῖς ἀνθρώποις. ταῦτα ἓν ἔφη καὶ χρυσοῦ καὶ λίθων τιμίων τιμιώτερα, καὶ μέλιτος εἶναι γλυκύτερα· ἀλλ' οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀληθῶς ἀνθρώποις, ὧν ὁ βίος οὐ παραβάλλεται τοῖς ἀλόγοις κτήνεσι, κατὰ τὴν αὐτοῦ τοῦ προφήτου φωνήν. ιβ'. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά. Ἐπὶ τίνι κέρδει, σαφέστερον δίδαξον. ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Μεγίστη, φησὶν, ἀντίδοσις πρόκειται τοῖς ταῦτα φυλάττειν προαιρουμένοις. καὶ ἐπειδήπερ εἴρηκε τοῦ Θεοῦ φυλάττειν τὰ κρίματα, εἰς νοῦν λαβὼν τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τοῦ ῥήματος τὸ ὑπέρογκον λογισάμενος, εὐθὺς ἐπήγαγε· ιγ'. Παραπτώματα τίς συνήσει; ἀπὸ τῶν κρυφίων μου καθάρισόν με. Κἂν γὰρ προθυμίαν πολλὴν φυλάξαι βουληθῶ τοῦ Θεοῦ τὰς ἐντολὰς, ὑπὸ τῆς φυσικῆς ἀσθενείας εἰς πολλὰ παρὰ γνώμην καθέλκομαι. καί τινα μὲν ἀγνοῶν πλημμελῶ· τινὰ δὲ ὑπὸ τῶν προσπιπτουσῶν μοι νικώμενος περιστάσεων. κἂν διαφύγω δὲ τῶν ἔργων τὴν μαρτυρίαν, ῥύπου με παντὸς ἀναπιμπλῶσιν οἱ λογισμοί. διὰ τοῦτο ἱκετεύω σε τὸν καθᾶραι δυνάμενον, καὶ βοῶ, ἀπὸ τῶν κρυφίων μου καθάρισόν με. ιδ'. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Οὐ γὰρ μόνον με οἱ λογισμοὶ κυκλοῦσιν· ἀλλὰ καὶ τῶν δαιμόνων τὸ στῖφος πολιορκεῖ· καὶ οἱ μὲν ἔξωθεν ἐπιβουλεύουσιν, οἱ δὲ συμπράττουσιν ἔνδοθεν. εἰκότως δὲ

αὐτοὺς ἀλλοτρίους ὠνόμασεν, ὡς δυσμενεῖς καὶ πολεμίους, καὶ παντελῶς ἀρνησαμένους τὴν πρὸς ἡμᾶς οἰκειότητα. Ἐὰν μή μου κατακυριεύσουσι, τότε ἄμωμος ἔσομαι· καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. ιέ. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Τῆς δὲ σῆς ἐπικουρίας ἀπολαῦσαι ποθῶ· ἵνα τὰς τούτων ἐπιβουλὰς διαφθεῖρας, μόνου σοι παντὸς ἐλευθέραν τὴν ψυχὴν παρασήσω· καὶ τῶν προεπλασμένων παρὰ σοῦ λαβὼν τὴν συγγνώμην, αἰώνιόν σοι προσενέγκω τὴν ὑμνῳδίαν, τῶν σῶν λογίων δηνεκῆ τὴν μελέτην ποιούμενος. διὰ τούτων μέν τοι τὴν καινὴν διαθήκην προαγορεύει, καὶ τοῦ βαπτίσματος τὴν χάριν, καὶ τὴν τοῦ παναγίου πνεύματος δωρεάν· ὑφ' ἧς καὶ τῶν προεπταισμένων τὴν ἄφεσιν λαμβάνουσιν οἱ πιστεύοντες· καὶ εἰς τὸν ἔπειτα χρόνον ἱκανὴν βοήθειαν ἔχοντες, καὶ τῶν ἐπανιστα μένων παθῶν, καὶ τῶν ἐπιβούλων καὶ πονηρῶν περιγίνονται πνευμάτων. τούτοις ἐπιφέρει, Κύριε βοηθέ μου, καὶ λυτρωτά μου. Ἁρμόδιον τῷ ψαλμῷ τὸ ἀκροτελεύτιον τεθεικὼς, Κύριον μὲν ἐκάλεσεν, ὡς ποιητὴν καὶ δημιουργόν· λυτρωτὴν δὲ, ὡς διὰ τῆς παλιγγενέσεως τοῦ παναγίου βαπτίσματος, τῆς μὲν προτέρας ἐλευθερούντα φθορᾶς, καὶ τῆς τῶν δαιμόνων δουλείας λυτρούμενον, ἀφθαρσίαν δὲ καὶ ἀθανασίαν δωρούμενον· καὶ ταῦτα δὲ κἀκεῖνα ὁ ψαλμὸς περιέχει· καὶ τὰ μὲν πρῶτα τὴν δημιουργίαν διδάσκει καὶ πρόνοιαν· τὰ δὲ μέσα, τὸν νόμον· τὰ δὲ τελευταῖα, τὴν χάριν. παρεπτώματα γάρ φησι τίς συνήσει; καὶ ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· καὶ, Κύριε βοηθέ μου, καὶ λυτρωτά μου. τούτων δὲ τῶν ἀγαθῶν χορηγὸς ἡ καινὴ διαθήκη.

ΕΡΜΗΝ. ΤΟΥ ριθ' ΨΑΛΜΟΥ.

ρά. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Τοῦ Σενναχηρεὶμ ἐπιστρατεύσαντος τῇ Ἰουδαίᾳ ποτὲ, καὶ στρατιὰν μεγίστην εἰς πολιορκίαν τῆς Ἱερουσαλὴμ ἀποστείλαντος, ἧς ἐστρατήγει Ῥαψάκης, καὶ γράμματα τῷ Ἐζεκίᾳ πέμψαντος βλασφημίας ἁπάσης καὶ δυσσεβείας μεστά· ὁ μακάριος Ἐζεκίας, ἀνὴρ εὐσεβείᾳ πάσῃ κοσμούμενος, ταύτην λαβὼν τὴν ἐπιστολὴν, καὶ τὸν προφήτην Ἡσαΐαν εἰς συναγωγὴν παραλαβὼν, ἔδραμεν εἰς τὸν θεῖον νεὼν, καὶ τὴν ἐπιστολὴν ἀναπτύξας, ὑπέδειξε τῷ Θεῷ, τὴν τῶν πολεμίων διάσκων ἀσέβειαν, καὶ παρακαλῶν τῆς γεγενημένης ἕνεκα βλασφημίας δεῖξαι τοῖς Ἀσσυρίοις τὴν οἰκείαν ἰσχύν. ταῦτα πρὸ πολλῶν γενεῶν ὁ μακάριος προαγορεύει Δαβὶδ, ὑπὸ τοῦ παναγίου φωτιζόμενος πνεύματος. καὶ τὸν παρόντα λέγει ψαλμὸν, τὸν λαὸν ὑποδεικνὺς τῷ βασιλεῖ συνευχόμενον, καὶ παρακαλοῦντα δεκτὴν αὐτοῦ γενέσθαι τὴν ἱκετείαν. β'. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. γ'. Ἐξαποστεί-

ποσείλαι βοήθειαν ἐξ ἁγίου· καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Ἐπειδὴ γὰρ εἰς τὸν θεῖον νεὼν ἔδραμεν ὁ θαυμάσιος Ἐζεκίας τὴν βλάσφημον κατέχων ἐπιστολὴν, ἱκετεύουσι δεχθῆναί τε αὐτῷ τὴν ἱκετείαν, καὶ τῆς ἐκεῖθεν ἐπικουρίας τυχεῖν. ἅγιον ἐνταῦθα τὸν νεὼν προσηγόρευσεν. δ'. Μνησθείη Κύριος πάσης θυσίας σου· καὶ τὸ ὁλοκαύτωμά σου πιαν ά τω. Ἐπειδὴ καὶ ἐν τῷ τῆς εἰρήνης καιρῷ τῆς θείας ἐπεμελεῖτο λατρείας, εἰκότως ταῦτα περὶ αὐτῷ διεξίασι, παρακαλοῦντες τὸν τῶν ὅλων Θεὸν ἀπιδεῖν εἰς τὴν τοῦ βασιλέως εὐσέβειαν· καὶ τῶν πολλῶν καὶ παντοδαπῶν ἱερείων μνησθῆναι, καὶ δοῦναι πάλιν εἰρήνην, ἵνα πλείοσιν αὐτὸν ἐξιλεώσηται θύμασι· τὸ γὰρ ὁλοκαύτωμά σου πιανάτω, οὕτως ὁ Σύμμαχος ἡρμήνευσεν, καὶ τὴν ἀναφορά σου πλείονα ποιήσῃ· τουτέστι τὴν ἀπὸ τῆς εἰρήνης ἄδειαν δοὺς, παράσχῃ σοι καιρὸν, εἰς τὸ πλείοσιν αὐτὸν θυσίαις ἐξιλεώσασθαι. ε'. Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου· καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Τὸν δίκαιον φησι κριτὴν ἱκετεύομεν, τῇ τῆς ψυχῆς σου καθαρότητι κατάλληλον τὴν ἀντίδοσιν δοῦναι. ς'. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου· καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. ζ'. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματα τῆς καρδίας σου. Σοῦ γὰρ τὰς αἰτήσεις λαμβάνοντος, καὶ ἡμεῖς κοινωνήσομεν τῆς εὐφροσύνης, περιφανεῖς καὶ περίβλεπτοι τῇ τοῦ Θεοῦ δυνάμει γιγνόμενοι. νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ· ἐπακούσεται αὐτῷ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. δι' αὐτῶν φησὶ μεμαθήκαμεν τῶν πραγμάτων, ὡς τῷ Θεῷ θαρρήσας ὁ ἡμέτερος βασιλεὺς, τεύξεται τῆς σωτηρίας· καὶ ἐν τῷ κάτω νεῷ προσφέρων τὰς ἱκετείας, ἄνωθεν δέχεται τὴν βοήθειαν. ἐπειδὴ γὰρ ἔδειξεν αὐτὸν προσευχόμενον κάτω, δείκνυσιν ἄνωθεν βοηθούμενον. ἐν δυνασείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. μέγιστον γὰρ σωτηρίας ἡ τῆς αὐτοῦ δεξιᾶς δύναμις, ἣν τοῖς προσιοῦσιν ὀρέγει. δεξιὰν δὲ πάλιν ἐνταῦθα ἀνθρωπίνως εἶρηκε, τὴν θείαν οὕτως ὀνομάζων ἐνέργειαν. ή'. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα θ'. Αὐτοὶ συνεποδίθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Ἐκεῖνοι, φησὶν, ἵπποις καὶ ἅρμασι θαρρήσαντες οὐδεμιᾶς ἐκεῖθεν ὠφελείας ἀπώναντο· ἀλλ' ἀοράτως συμποδισθέντες κατέπεσον· ἡμεῖς δὲ τὴν θείαν ἐπικαλεσάμενοι συμμαχίαν, τῆς σωτηρίας προφανῶς τετυχήκαμεν. καὶ οἱονεὶ καταπεπτωκότων τῷ φόβῳ τῶν πολεμίων, ὑπέρτεροι τῶν δυσμενῶν ἀπεφάνθημεν. ι'. Κύριε σῶσον τὸν βασιλέα· καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. Τοιγάρτοι τοσαύτης ἀπολαύσαντες ἀντιλήψεως, καὶ ἡμᾶς αὐτοὺς, καὶ τὸν ἡμέτερον βασιλέα ταύτης μεταλαγχάνειν διηνεκῶς ἱκετεύομεν. Δέσποτα.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ ρ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Μετὰ τὴν νίκην ἐκείνην τὴν λαμπρὰν καὶ περιφανῆ, καὶ τῶν Ἀσσυρίων τὸν ἀόρατον ὄλεθρον, ὁ μακάριος ἠρέμησεν Ἐζεκίας. καὶ διὰ τοῦ προφήτου Ἡσαΐου μαθὼν, ὡς τεθνήξεται, δάκρυσι θερμοῖς ἱλεωσάμενος τὸν Θεὸν, καὶ τῆς νόσου τὴν ἀπαλλαγὴν ἔλαβε, καὶ πέντε καὶ δέκα ἐνιαυτῶν ζωῆς ἐπαγγελίαν ἐδέξατο. πάλιν τοίνυν ὁ θεῖος Δαβὶδ, ὡς ἐκ προσώπου τοῦ λαοῦ, καὶ τοῦτον ἔγραψε τὸν ψαλμὸν, ἐπὶ τῇ τοῦ βασιλέως ὑγείᾳ τὸν Θεὸν ἀνυμνῶν. β΄. Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς· καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. γ΄. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ· καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Δυνατὸς ὢν φησι καὶ φιλάνθρωπος, εὐμενῶς ἐδέξω τοῦ βασιλέως ἡμῶν τὴν προσευχήν· καὶ πάσας αὐτῷ δέδωκας τὰς αἰτήσεις. μᾶλλον δὲ μείζους τῶν αἰτήσεων δωρεὰς ἐδωρήσω. τοῦτο γὰρ ἐπήγαγεν. δ΄. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Τὴν βασιλείαν γὰρ οὐκ αἰτηθεὶς παρέσχες αὐτῷ· οἰκείᾳ δὲ φιλοτιμίᾳ τῷ βασιλικῷ στεφάνῳ τὴν κεφαλὴν αὐτοῦ κατεκόσμησας. ε΄. Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Ἔλαβε φησὶν ὅπερ ἱκέτευσε, καὶ τετύχηκε ζωῆς ἣν ἐπόθησε. τὸ γὰρ εἰς αἰῶνα αἰῶνος καὶ τὸν μέλλοντα βίον παραδηλοῖ, „τὸν τοῖς ἁγίοις ὑπερεπισμένον,„ ὃς τὸ ἀνώλεθρον ἔχει. ε΄. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν. Οὐ γὰρ μόνον σωτηρίαν αὐτῷ δεδώρησαι, ἀλλὰ καὶ περιφανῆ καὶ ὑψηλὸν πεποίηκας αὐτὸν, καὶ περίβλεπτον, τῷ τε τῶν πολεμίων παραδόξῳ θανάτῳ, καὶ τῷ τὸν ἥλιον τὴν ἐναντίαν δραμεῖν. οὕτω δὲ τοῦτο πανταχοῦ γῆς καὶ θαλάττης ἐγένετο γνώριμον, ὡς τῶν Βαβυλωνίων τὸν βασιλέα δῶρα πέμψαι τοῖς πάλαι δῶρα τοῖς Ἀσσυρίοις παρέχουσι. τοῦ γὰρ Ἐζεκίου χάριν ὑπέλαβε τοῦτο δεδρακέναι ἢ πεπονθέναι τὸν ἥλιον, τῷ τῶν Ἀσσυρίων θανάτῳ χρώμενος τεκμηρίῳ. ζ΄. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα τοῦ αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Καὶ ἐν ἁπάσαις δέ φησι ταῖς γενεαῖς ἀοίδιμος ἔσαι, καὶ πολυθρύλλητος, τοσαύτην ἐχέχως παρὰ σοὶ παῤῥησίαν. τὸ γὰρ μετὰ τοῦ προσώπου σου, παρὰ τῷ προσώπῳ σου τέθεικεν ὁ Σύμμαχος. εὐφροσύνην τοίνυν ἔξει, φησὶ, καὶ διηνεκῆ θυμηδίαν, τοῦ σοῦ προσώπου, τουτέστι, τῆς σῆς εὐμενείας τυγχάνων. αἴτιον δὲ τούτων αὐτῷ γέγονε τὸ ἐπί σοι πεποιθέναι. τοῦτο γὰρ ἐπήγαγεν· η΄. Ὅτι βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ. Κρείττων ἐστὶ τῶν πολεμούντων τῆς σῆς χάριτος ἀπολαύων· ἀπολαύει δὲ ταύτης, ἀνθρώπῳ μὲν ὐδενὶ θαῤῥῶν, τῇ δὲ σου ἐλ-

πίδι

πίδι. θ'. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὑροι πάντας τοὺς μισοῦντάς σε. Τοῦτο σαφέστερον ὁ Σύμμαχος εἶρηκε, καταλήψεται ἡ χείρ σου πάντας τοὺς ἐχθρούς σου· ἡ δεξιά σου εὑρήσει πάντας τοὺς μισοῦντάς σε. ἔχεται δὲ τῆς ἀκολουθίας τὰ εἰρημένα. οὐ μάτην γὰρ ὁ βασιλεὺς τῇ σῇ ἐλπίδι τεθάρρηκεν· ἀλλ' εἰδὼς ὡς τῶν πολεμίων ἁπάντων „κρείττων„ ἡ σὴ δεξιὰ καὶ τοὺς τε ταχυτάτους „καταλήψεται, τούς τε δυνατωτάτους„ καταλῦσαι δυνήσεται. δεξιὰν δὲ, καὶ χεῖρα, πάλιν τὴν ἐνέργειαν εἶπεν. ι'. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ. ιά. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ῥᾴξόν σοι, φησὶ, κλίβανου δίκην ἐξάψαι αὐτοὺς, καὶ καταναλῶσαι ὡς ὕλην εὕρηκεν ἐν πυρί· καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἐκείνων ἐγγόνους· τούτους γὰρ καὶ σπέρμα καὶ καρπὸν προσηγόρευσεν· ὥστε πᾶσαν αὐτῶν ἐξαλειφθῆναι τὴν μνήμην. τὸ δὲ εἰς καιρὸν τοῦ προσώπου, ἀντὶ τοῦ, ἐν τῷ τῆς ὀργῆς σου καιρῷ, ὅταν τοῦτο δοκιμάσῃς γενέσθαι, καὶ ἐπιτήδειον εἶναι κρίνῃς τὸν τῆς τιμωρίας καιρόν. ιβ'. Ὅτι ἔκλιναν εἰς σὲ κακά. Ἐπειδὴ κατά σου τὴν γλῶτταν ἐκίνησαν, καὶ βλασφήμοις λόγοις ἐχρήσαντο. Διελογίσαντο βουλὰς ἃς οὐ μὴ δύνωνται στῆναι. ἕνια μέν τοι τῶν ἀντιγράφων στῆναι· ὁ δὲ Σύμμαχος οὕτως εἶρηκεν, ἐλογίσαντο ἐννοίας ἀδυνάτους. προλέγει δὲ διὰ τούτου τὰς βλασφήμους τοῦ Ἀσσυρίου φωνάς· μή σε ἀπατάτω ὁ Θεὸς ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, ὅτι ῥύσεται τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου. περὶ τούτων λέγει τῶν ῥημάτων, ὅτι ἐλογίσαντο ἐννοίας ἀδυνάτους· ἢ ἐλογίσαντο βουλὰς, ἃς οὐ μὴ δύνωνται στῆναι· προσδοκήσαντες καθάπερ τῶν εἰδώλων, οὕτω καὶ τοῦ ὄντος Θεοῦ περιέσεσθαι. ιγ'. Ὅτι θήσεις αὐτὲς νῶτον. Ὁ δὲ Σύμμαχος ἔτω, ὅτι θήσεις αὐτὲς ἀποστρόφους. τοὺς γὰρ τὴν τοῦ ἀγγέλου διαφυγόντας πληγὴν, εἰς φυγὴν τρέψεις, καὶ τὰ νῶτα δοῦναι καταναγκάσεις· ἵνα ἀπελθόντες τὰ γεγενημένα κηρύξωσιν. ταῦτα δὲ προρρητικῶς τέθεικεν ὁ προφήτης, ὡς μηδέπω γεγενημένα. Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. Τοῦτό τινες μεθ' ὑπερβατοῦ ἔφασαν εἶναι, καὶ νενοήκασιν οὕτως· ἐν τοῖς περιλοίποις αὐτῶν ἑτοιμάσεις τὸ πρόσωπόν σου, ἀντὶ τοῦ, καὶ τοῖς καταλειφθεῖσι, καὶ διαφυγοῦσιν ἐπάξεις τὴν τιμωρίαν. δυνατὸν δὲ καὶ τῇ αὐτῇ συνθήκῃ χρωμένους, τὴν αὐτὴν ἔννοιαν προσαρμόσαι. ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. τὰς γὰρ ὑπολοίπους σοι τιμωρίας ἐπαγαγεῖν αὐτοῖς εὐπετές σοι καὶ ῥᾴδιον· καὶ τοὺς φεύγοντας, καὶ νῶτα δεδωκότας, καὶ ἡγουμένους διαπεφευγέναι τὸν θάνατον, ἀντιστρέψαι, καὶ στῆσαι, καὶ κολάσαι σοι δυνατόν. ιδ'. Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Οὐ ταπεινὸς ὢν ὁ Θεὸς ὑψοῦται, οὐδὲ ὃ μὴ ἔχει προσλαμβάνει· ἀλλ' ὅπερ ἔχει δείκνυσιν· εἰκότως

τοίνυν εἶπεν, ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου. δείκνυται γάρ σου τὸ ὕψος διὰ τῆς ἀῤῥήτου δυνάμεως, ἣν ἡμεῖς ᾄδοντες καὶ ὑμνοῦντές σε διατελέσομεν, τὰς σὰς θαυματουργίας διεξιόντες.

ΕΡΜΗΝ. ΤΟΥ κα΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς ψαλμὸς τῷ Δαβίδ Οὗτος ὁ ψαλμὸς τοῦ Δεσπότου Χριστῦ προαγορεύει τὰ τῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν. καὶ ἡ ἐπιγραφὴ δὲ τῦτο δηλοῖ. „εἰς τὸ „τέλος γὰρ ὑπὲρ τῆς ἑωθινῆς ἀντιλή„ψεως· τὸ μὲν εἰς τὸ τέλος, κεῖται, ἵνα „τὴν οἰκονομίαν ἐννοῇς τὴν ἐπὶ συντε„λείᾳ τῶν αἰώνων γεγενημένην παρ' αὐ„τοῦ.„ ἀντίληψις γὰρ ἑωθινὴ τοῦ σωτῆρος ἡμῶν ἐπιφάνεια, ἡ δίκην ὄρθρε τοῖς ἐν σκότῳ καθημένοις ἐπιλάμψασα. Φῶς γὰρ ἀληθινὸν ὁ Δεσπότης. ἀνίσχον δὲ τὸ φῶς, τὸν ὄρθρον ἀποτελεῖ, οὗ φανέντος ἐλύθη τὸ σκότος, „καὶ „ἡ διαβολικὴ ἀχλύς· ἡ γὰρ κακία πολ„λαχῦ τῆς γραφῆς διὰ τῦ σκότους ἐν „αἰνίγματι νοεῖται. τινὲς δὲ ἀντίληψιν „ἑωθινὴν λέγουσι τὸν τῆς ἀναστάσεως „τῦ σωτῆρος καιρόν.„ εἰς αὐτὸν τοίνυν εἴρηται ὁ ψαλμός. μᾶλλον γὰρ πιστευτέον τοῖς ἱεροῖς ἀποστόλοις, καὶ αὐτῷ τῷ σωτῆρι χρωμένῳ σαφῶς τῷ τῦ ψαλμῦ προοιμίῳ, ἢ τοῖς παρερμηνεύειν ἐπιχειρῦσιν. β΄. Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; Τῷ ἱκρίῳ δὲ προσηλωμένος ταύτην ὁ Δεσπότης προήκατο τὴν φωνὴν, αὐτῇ χρησάμενος τῇ Ἑβραίων φωνῇ, ηλὶ, ηλὶ λεμὰ σαβαχθανί; πῶς τοίνυν οἷόν τε τῆς αὐτῆς τῆς ἀληθείας παραγράψασθαι μαρτυρίαν; ἐγκαταλελεῖφθαι δὲ λέγει, ὡς ἁμαρτίας μὲν ἐδεμιᾶς ὑπ' αὐτῦ γενομένης, τοῦ δὲ θανάτε κεκρατηκότος, ὃς κατὰ τῶν ἡμαρτηκότων τὴν ἐξυσίαν ἐδέδεκτο. ἐγκατάλειψιν τοίνυν καλεῖ, οὐ τὸν τῆς ἡνωμένης θεότητος χωρισμὸν, ὥς τινες ὑπειλήφασιν, ἀλλὰ τὴν γεγενημένην τῦ πάθους συγχώρησιν. παρῆν γὰρ ἡ θεότης καὶ παχύσῃ τῇ τῦ δέλε μορφῇ, καὶ συνεχώρησε παθεῖν, πάσῃ τῇ φύσει μηχανωμένη τὴν σωτηρίαν. αὐτὴ μέντοι πάθος ἐκεῖθεν ἐκ εἰσεδέχετο· πῶς γὰρ οἷόν τε ἦν τὴν ἀπαθῆ φύσιν παθεῖν; λέγει δὲ ταῦτα ὁ Δεσπότης Χριστὸς ὡς ἄνθρωπος, καὶ ἐπειδὴ ἀπαρχὴ τῆς ἀνθρωπείας φύσεως ἦν, ὑπὲρ ἁπάσης τῆς φύσεως ἐν τοῖς ἑπαγομένοις ποιεῖται τὰς λόγυς. μακρὰν ἀπὸ τῆς σωτηρίας μυ οἱ λόγοι τῶν παραπτωμάτων μυ. ἰσέον δὲ, ὡς τῶν παραπτωμάτων ἐδεὶς τῶν ἄλλων ἑρμηνευτῶν ἐμιημόνευσεν· ἀλλ' ὁ μὲν Ἀκύλας, βρυχήματός μυ, ὁ δὲ Σύμμαχος, ὀδυρμῶν μυ, ὁ δὲ Θεοδοτίων, βοήσεώς μυ. ἵνα δὲ μὴ δόξωμεν τοῖς ἄλλοις ἑρμηνευταῖς ἐνταῦθα κεχρημένοι, ἐκ περιοίας τὰς ἑτέρως τὸν ψαλμὸν ἑρμηνευκότας ἐλέγχειν, τῇ τῶν ἑβδομήκοντα ἑρμηνείᾳ χρησόμεθα. ταύτῃ γὰρ κἀκεῖνοι τῇ ῥήσει προσεχηκότες ἐκ ἔφασαν ἁμαρτεῖν τὸν ψαλμὸν τῷ Κυρίῳ. πῶς γάρ φησιν οἷόν τε ἦν τὸν ἐχ ἡμαρτηκότα λέγειν, μακρὰν ἀπὸ τῆς σωτηρίας μυ οἱ λόγοι τῶν παραπτωμάτων μυ; ἀκηκόασιν τοίνυν Ἰωάννε τῦ πάνυ βοῶντος· ἴδε ὁ ἀμνὸς τοῦ

Θεῦ,

Θεῷ, ὁ ἄιρων τὴν ἁμαρτίαν τῦ κόσμυ· τοῦ δὲ θεσπεσίυ Παύλου λέγοντος, τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη ἐν αὐτῷ. καὶ πάλιν· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τῦ νόμυ, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· τοιγαρῶν ὥσπερ δικαιοσύνης ὑπάρχων πηγὴ, τὴν ἡμετέραν ἁμαρτίαν ἀνέλαβε, καὶ εὐλογίας ὢν πέλαγος, τὴν ἐπικειμένην ἡμῖν ἐδέξατο κατάραν, καὶ σαυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας· ἔτω καὶ τὰς ὑπὲρ ἡμῶν ἐποιήσατο λόγυς. εἰ γὰρ τὴν ὡρισμένην ἡμῖν παιδείαν ὑπῆλθεν ἑκών· παιδεία γὰρ εἰρήνης ἡμῶν ἐπ' αὐτὸν, ἢ φησιν ὁ προφήτης· πολλῷ μᾶλλον τοῖς ὑπὲρ ἡμῶν ἀνθ' ἡμῶν ἐχρήσατο λόγοις, καὶ βοᾷ· μακρὰν ἀπὸ τῆς σωτηρίας μυ οἱ λόγοι τῶν παραπτωμάτων μυ. μὴ ἀποβλέψης, φησὶν, εἰς τὰ τῆς φύσεως πλημμελήματα· ἀλλὰ δὸς τὴν σωτηρίαν διὰ τὰ ἐμὰ παθήματα· καὶ ἐπειδὴ τὸ πάθος ἀνθρωπίνως οἰκονομῶν πολλάκις προσηύξατο παρὰ τὸν τῦ πάθυς καιρὸν, πάτερ, λέγων, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τῦτο ἀπ' ἐμῦ· καὶ ἀθυμῶν ἔλεγε, περίλυπός ἐστιν ἡ ψυχή μυ ἕως θανάτυ· εἰκότως καὶ ὁ ψαλμὸς ταῦτα προαγορεύων ἔφη γ'. Ὁ Θεός μυ κεκράξομαι ἡμέρας πρός σε, καὶ ἐκ εἰσακέσῃ, καὶ νυκτὸς, καὶ ἐκ εἰς ἄνοιαν ἐμοί. Ἡ κατὰ τὰς λοιπὰς, καὶ νυκτὸς, καὶ οὐ σιγή· νύκτωρ φησὶ καὶ μεθ' ἡμέραν διηνεκῶς βοῶντος, καὶ σιγᾶν ἐκ ἀνεχομένυ, ἐκ ἀκήκοας, ἀλλὰ τῷ πάθει παρέδωκας· ἀλλ' ὅμως οἶδα τὸ τῆς οἰκονομίας μυστήριον· τῦτο γὰρ παρεδήλυ τὸ, ἐκ εἰς ἄνοιαν ἐμοί. γενόμενα γὰρ ὡς ἐ μάτην ἀνεβάλυ τὴν τῆς αἰτήσεως δόσιν, ἀλλὰ μέγα τι καὶ σωτήριον ἐκ τῦ πάθυς οἰκονομῶν. δ'. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τῦ Ἰσραήλ. Τὸ δὲ πάντων παραδοξότατόν φησιν, ὅτι σῦ ἐν τῷ ἁγίῳ τῦτω σώματι κατοικῦντος, ἐνεργεῖται τὸ πάθος· ἔπαινον δὲ Ἰσραὴλ αὐτὸν ὀνομάζει, ὡς ὑπὸ τῶν οἰκείων θεραπευθῶν ἐπαινέμενον καὶ ὑμνέμενον· ἀντὶ γὰρ τῦ ἔπαινος, ὕμνος οἱ ἄλλοι τεθείκασιν ἑρμηνευταί. ε'. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν. Δείκνυσι τῆς ἐλπίδος τὸ κέρδος. ἤλπισαν καὶ ἐρρύσω αὐτύς. ς'. Πρός σε ἐκέκραξαν, καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ ἐ κατηχύνθησαν. Καί τοι φησὶν οἶδα σαφῶς, ὡς ἅπαντες ἡμῶν οἱ πατέρες τῇ σῇ βοηθείᾳ θαρρήσαντες, οὐκ ἐψεύσθησαν τῆς ἐλπίδος· καὶ εἰς ἐπικουρίαν σε καλέσαντες τῆς σῆς προνοίας ἀπήλαυσαν. ζ'. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπυ, καὶ ἐξουθένημα λαυῦ. Ἐγὼ δέ, φησι, δίκην σκώληκος, εὐτελής τε ὤφθην, καὶ καταγέλαστος ἐγενόμην. τινὲς δὲ διὰ τοῦ σκώληκος ἔφασαν παραδηλοῦσθαι καὶ τὴν ἐκ παρθένου γέννησιν· οὐκ ἐκ συνουσίας γὰρ οὗτος ἔχει τὸ εἶναι. ἐγὼ δὲ ἡγοῦμαι τὴν εὐτέλειαν διὰ τοῦ σκώληκος ἐνταῦθα μόνον παραδηλοῦσθαι τεκμαιρόμενος. φησὶ γάρ· ἡ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. θ'. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Καὶ ταῦτά ἐστιν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις προσκείμενα· πολλοὶ γάρ φησι κινοῦντες τὰς κεφαλὰς ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται

σῶσαι· καὶ τῶν λῃστῶν θάτερος ἔλεγεν, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς. καίτοι καὶ τὸ, ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτὸν, ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔστιν εὑρεῖν. ι'. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ιά. Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. Ταῦτα καὶ ὁ μακάριος προεθέσπισεν Ἡσαΐας· εἰρηκὼς γάρ, ὅτι ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ἐπήγαγε, βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακόν. ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ ὁ μακάριος τοίνυν Δαβὶδ, τῷ τοῦ Δεσπότου Χριστοῦ κεχρημένος προσώπῳ φησὶν, ὅτι σύ με καὶ διέπλασας ἐν μήτρᾳ, καὶ ἐκεῖθεν πάλιν ἐξήγαγες, καὶ ἔτι τιθηνούμενος, καὶ τὴν μητρῴαν ἔλκων θηλὴν, τῆς σῆς κηδεμονίας τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. ιβ'. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. Καὶ γὰρ τότε τῶν μαθητῶν αὐτὸν κατελελοίπει χορός· εἶτα προλέγει τῆς θλίψεως τὰ εἴδη. ιγ'. Περιεκύκλωσάν με μόχοι πολλοὶ ταῦροι πίονες περιέσχον με. ιδ'. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. Καλεῖ δὲ ταύρους, τοὺς ἱερέας καὶ γραμματέας, τὴν τοῦ λαοῦ πεπιστευμένους ἀρχὴν, καὶ πολλῇ θρασύτητι κεχρημένους· μόχους δὲ, τοὺς ὑπ' αὐτοὺς τεταγμένους· πίονας δὲ αὐτοὺς ὀνομάζει, ὡς τοῖς ὑπ' αὐτοῦ χορηγηθεῖσιν ἐντρυφήσαντας ἀγαθοῖς. οὕτω γὰρ καὶ ὁ μέγας προεῖρηκε Μωσῆς· καὶ ἔφαγεν Ἰακὼβ, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Κύριον τὸν ποιήσαντα αὐτόν· καὶ μέντοι καὶ ὁ μακάριος Ὡσηὲ, δαμάλει αὐτὸν ἀπεικάζει θρασυνομένῃ· ὡς δάμαλις γὰρ παροιστρῶσα παροίστρησεν Ἐφραίμ· οὕτω δὲ τὸν λαὸν προσηγόρευσεν· οὕτω δὲ καὶ Ἐφραίμ φησι δάμαλις δεδιδαγμένη ἀγαπᾶν νεῖκος· τουτέστιν, ἐριστικὴ καὶ φιλόνεικος· νεῖκος γὰρ οὐ τὴν νίκην, ἀλλὰ τὴν φιλονεικίαν καλεῖ. καὶ δεικνὺς τὴν μετὰ ταῦτα ταπείνωσιν ἐπήγαγεν· ἐγὼ δὲ ἐπιβήσομαι ἐπὶ τὸ κάλλος τοῦ τραχήλου αὐτῆς. τὸν γαῦρον αὐτῆς αὐχένα ταπεινώσω, καὶ τὸν τῆς δουλείας ἐπιθήσω ζυγόν· τοιγαροῦν καὶ ὁ ψαλμὸς προδιαγράφει τὰς τῶν ἀρχιερέων, καὶ γραμματέων, καὶ Φαρισαίων ἐπαναστάσεις, εἰ ταύρων θρασύτητα, καὶ λεόντων μανίαν μιμούμενοι περιεστοίχιζον τὸν Δεσπότην Χριστόν. ιε'. Ὡσεὶ ὕδωρ ἐξεχύθη πάντα τὰ ὀστᾶ μου. Ὀστᾶ καλεῖ τοὺς ἱεροὺς ἀποστόλους· ἐπειδὴ καὶ σῶμα τὴν ἐκκλησίαν καλεῖ· ἰσχὺς δὲ τοῦ σώματος τὰ ὀστᾶ. ὑπὸ τούτων γὰρ τὸ μανὸν καὶ διαῤῥέον τοῦ σώματος φέρεται· ἐσκορπίσθησαν δὲ ἅπαντες κατὰ τὸν τοῦ πάθους καιρὸν, δίκην ὕδατος τῇδε κἀκεῖσε διαιρεθέντες. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος, ἐν μέσῳ τῆς κοιλίας μου. ις'. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Καὶ

Καὶ ταῦτα πάντα γεγένηται παρὰ τὸν τοῦ πάθους καιρόν. ἡ καρδία μὲν γὰρ τῇ δειλίᾳ, ὡς ὁ κηρὸς τῷ πυρὶ, διελύθη, καὶ ἡ ἰσχὺς τὴν προτέραν ἐνέργειαν οὐκ ἐδείκνυ· καὶ μέντοι καὶ ἡ γλῶσσα ἀκίνητος ἔμενε. καὶ διδάσκουσιν ἡμᾶς οἱ θεσπέσιοι εὐαγγελισταὶ, ὅτι πολλάκις ἐρωτηθεὶς οὐδὲν ἀπεκρίνατο. παρεδόθη δὲ καὶ τῷ τάφῳ μετὰ τὸ πάθος, ὅπερ χοῦν θανάτου ὠνόμασεν, ἅτε δὴ χωννυμένων τῶν θαπτομένων. ιζ'. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί· συναγωγὴ πονηρευομένων περιέχον με. Μετὰ τοὺς Ἰουδαίους, τοῦ ἐξ ἐθνῶν μνημονεύει στρατοῦ· τούτοις γὰρ αὐτὸν ἐκεῖνοι παραδεδώκασιν. διὸ καὶ τὴν τάξιν ἡ προφητεία τῶν πραγμάτων ἐφύλαξεν. εἰκότως δὲ ταύρους μὲν ἐκείνους, κύνας δὲ τούτους ὠνόμασεν· „οἱ μὲν γὰρ ὑπὸ „τὸν τοῦ νόμου ζυγὸν ἦσαν· εἰ καὶ προ„φανῶς τὸν νόμον παρέβαινον· οἱ δὲ κα„τὰ νόμον ἦσαν ἀκάθαρτοι. οὕτω δὲ καὶ „ὁ Κύριος τὴν Χαναναίαν ὠνόμασεν.„ οὐκ ἔστι γὰρ καλὸν φησι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. ἀλλ' ὅμως μετὰ τὸ πάθος, οἱ πάλαι κύνες, διὰ πίστεως εἰς τὴν τῶν υἱῶν μεταβεβήκασι τάξιν· οἱ δὲ πάλαι τὴν υἱῶν ἐσχηκότες κηδεμονίαν, τὴν κυνῶν προσηγορίαν ἐδέξαντο, ἅτε δὴ κυνῶν δίκην κατὰ τοῦ Δεσπότου λυτήσαντες. περὶ τούτων ὁ μακάριος Παῦλος βοᾷ· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. ὁ μέντοι προφητικὸς λόγος κύνας προσαγορεύσας ἔφη· συναγωγὴ πονηρευομένων περιέχον με. εἶτα διηγεῖται τὰ ὑπ' αὐτῶν τολμηθέντα. Ὤρυξαν χεῖράς μου, καὶ πόδας μου. ιη'. Ἐξηριθμησαν πάντα τὰ ὀστᾶ μου. Καὶ τοῦτο δῆλόν ἐστι, καὶ σαφὲς, καὶ τοῖς λίαν Φιλονεικοῦσιν. ἀκούομεν γὰρ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις αὐτοῦ τοῦ Κυρίου πρὸς τοὺς ἁγίους αὐτοῦ λέγοντος μαθητὰς, Βλέπετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· καὶ μέντοι καὶ τῷ Θωμᾷ τῶν ἥλων τοὺς τύπους ὑπέδειξε, καὶ τὴν ἀπὸ τῆς λόγχης πληγήν. τὸ δὲ ἐξηριθμησαν πάντα τὰ ὀστᾶ μου, τοῦτο δηλοῖ, ὅτι οὕτω με διέτειναν προσηλοῦντες, ὥς τε ῥᾴδιον εἶναι τῷ βουλομένῳ καὶ τὸν τῶν ὀστῶν ἀριθμὸν διαγνῶναι. αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με. ἀντὶ τοῦ, ἐπιτωθάζοντες καὶ γελῶντες. ιθ'. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔλαβον κλῆρον. Καὶ τοῦτο δὲ σαφῶς ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκει. κ'. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες. κα'. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου. καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. κβ'. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Ἐπειδὴ φησιν οὐδεμίαν ἀνθρωπίνην ἔχω βοήθειαν, τῆς σῆς ἀντιλήψεως τύχοιμι, καὶ ῥυσθείην ἀπό τε τούτων, ἀπό τε τοῦ διὰ τούτων ἐνεργοῦντος, καὶ δίκην κυνὸς καὶ λέοντος ἐπιόντος· λέοντα γὰρ καλεῖ, καὶ κύνα, καὶ μονοκέρωτα, τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν· τουτέστι τὸν διάβολον, ὃς καὶ παρὰ τὸν τοῦ πάθους καιρὸν θηρὸς αὐτῷ δίκην ἐπῆλθε, τὸν θάνατον ἐπαγόμενος.

τοῦ τοδὲ καὶ ὁ Κύριος εἴρηκεν ἐν τοῖς θείοις εὐαγγελίοις· νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. καὶ πάλιν· ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν· ἀλλ' ὅμως καὶ μηδὲν εὑρὼν ὧν ἐπεζήτει, ἐπεζήτει δὲ τῆς ἁμαρτίας τοὺς μώλους, ἀναιδῶς καὶ λίαν ἀδίκως τῷ θανάτῳ παρέδωκεν. αὐτὸς δὲ τῆς ἀδικίας ἠνέχετο, λῦσαι τὸν κοινὸν μηχανώμενος θάνατον. κγ'. Διηγήσομαι τὸ ὄνομά σε τοῖς ἀδελφοῖς μου. ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶνταῦθεν δῆλον, ὡς ἀνθρωπίνως ταῦτα ἐφθέγγετο, ἅτε δὴ καὶ ἀνθρωπίνως ὑπομένων ἅπερ ἐφθέγγετο. ἀδελφοὺς γὰρ καλεῖ τοὺς εἰς αὐτὸν πεπιστευκότας. ἀδελφοὶ δέ εἰσιν, ὡς ἀνθρώπου. ὡς γὰρ Θεὸς, Δεσπότης καὶ Κύριος· ὡς δὲ ἄνθρωπος, καὶ ἀδελφὸς ὀνομάζεται. μονογενὴς γάρ ἐστι καὶ πρωτότοκος· καὶ τὸ μὲν ἁρμόττει ὡς Θεῷ καὶ Κυρίῳ· „τὸ δὲ ὡς ἀνθρώπῳ.„ ἢ γὰρ Θεὸς, μόνος γεγέννηται, καὶ μονογενὴς ὀνομάζεται· ἢ δὲ ἄνθρωπος, καὶ πρωτότοκος κέκληται· καὶ μάρτυς ὁ ἀπόστολος λέγων, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. ταῦτα τοίνυν φησὶ τοῖς ἐμοῖς διηγησάμενος ἀδελφοῖς, δι' αὐτῶν σε ὑμνήσω, παρασκευάζων ἐκείνους τῶτον ὑφαίνειν τὸν ὕμνον· εἶτα πληροῖ τὴν ὑπόσχεσιν. κδ'. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. κε'. Φοβηθήτω δὴ ἀπ' αὐτῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ. Ἐπειδὴ γὰρ ἡ ἐκκλησία καὶ ἐξ ἐθνῶν καὶ ἐξ Ἰουδαίων συνέστηκε, καὶ τούτους κἀκείνους εἰς τὸν ὕμνον ἐγείρει. τοὺς μὲν ἀπὸ τῦ προπάτορος ὀνομάζων, Ἰακὼβ τε καὶ Ἰσραὴλ, τοὺς δὲ ἀπὸ τῆς ἀρετῆς, ὡς ἀρκούσης ἀντὶ γένους κοσμῆσαι· οὕτω δὲ καὶ Ἰουδαίους τοὺς ἐξ ἐθνῶν τῷ νόμῳ προσιόντας ἔθος ἦν ὀνομάζειν· καὶ τῦτο ἡμᾶς ἡ τῶν πράξεων ἱστορία διδάσκει· δημηγορῶν γὰρ ὁ θεῖος ἀπόστολος οὕτως ἔφη· ἄνδρες Ἰσραηλῖται, καὶ οἱ ἐν ὑμῖν φοβέμενοι τὸν Θεόν. ὅτι δὲ ἐξεδένωσεν, ἐδὲ προσώχθισε τῇ δεήσει τῦ πλωχοῦ, ἐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. ὑμνήσατέ φησι τὸν αἴτιον τῆς σωτηρίας ταύτης ὑμῖν γενόμενον, τὸν τὴν εὐτελεστάτην ὑμῶν φύσιν οὐκ ἀναχόμενον παριδεῖν, ἀλλ' εἰσακούσαντα, καὶ διὰ τῆς ἐμῆς ἀναστάσεως ὑμῖν τὴν σωτηρίαν πραγματευσάμενον· μετὰ ταῦτα παραδηλοῖ ἣν ὡς Θεὸς ἔχει πρὸς τὸν Πατέρα ἰσότητα. ἐπήγαγε γάρ· κς'. Παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι. Ὥσπερ γὰρ ἐγὼ δῆλόν σε τοῖς ἀνθρώποις ποιῶ, ἵνα καὶ σὺ πάντας ἀνθρώπους διδάσκεις τὴν αὐτήν μοι προσφέρειν τιμὴν, νῦν μὲν λέγων, ἵνα μου ἐστὶν ὁ υἱὸς ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε· νῦν δὲ, καὶ ἐδόξασά σε, καὶ πάλιν δοξάσω. οὕτω τὴν περὶ αὐτοῦ γνῶσιν ἀπεκάλυψε τῷ Πέτρῳ, ἵνα τῷ Παύλῳ, οὕτω διὰ τούτων πάλιν ἀνθρώποις· ἐκκλησίαν γὰρ μεγάλην, τὴν μέχρι τῶν τερμάτων τῆς γῆς διήκουσαν προσηγόρευσε. τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβεμένων αὐτόν. εὐχὰς ἐνταῦθα ἃ προσευχὰς λέγει, ἀλλὰ τὰς ὑποχέσεις. ταύτην

τὴν γὰρ καὶ ὁ νόμος τὴν διαίρεσιν οἶδεν· εὔξῃ εὐχὴν Κυρίῳ, ἀντὶ τοῦ, ἐὰν ὑπόσχῃ τί τῷ Θεῷ. ἐπειδὴ τοίνυν ὑπέσχετο ἄνω διὰ τῶν εἰς αὐτὸν πιστευόντων ὕμνον ὑφαίνειν, σαφέστερον ἐνταῦθα διδάσκει, ὅτι ταῖς ἐπαγγελίαις ἐπιθήσει τὸ πέρας, ἵνα δι' αὐτῶν τῶν πραγμάτων οἱ τὰ θεῖα λόγια μελετῶντες μάθωσι τὴν τῶν λόγων ἀλήθειαν· ἐπειδὴ δὲ ἐκκλησίας ἐμνημόνευσεν, ἀναγκαίως τὰ περὶ ταύτης ποιεῖται θεσπίσματα, καὶ τῶν ἐθνῶν ἁπάντων προαγορεύει τὴν κλῆσιν· αὐτοὺς γὰρ πένητας ὀνομάζει, ὡς πάλαι τῆς εὐσεβείας οὐκ ἐχθηκότας τὸν πλοῦτον, ἀλλὰ τῇ τῆς ἀγνοίας δεδουλευκότας πενίᾳ. κζ'. Φάγονται πένητες, καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσιν Κύριον οἱ ἐκζητοῦντες αὐτόν. Οὐ πάντες, οὐδὲ γὰρ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ, ἀλλ' οἱ τὸν θεῖον εἰσδεξάμενοι πόθον· τούτους ἅτε δὴ πεινῶντας καὶ διψῶντας, κορεσθήσεσθαι ἔφη τῆς ἀθανάτου τροφῆς ἀπολαύσαντας· τὴν δὲ θείαν τροφήν, καὶ τὴν πνευματικὴν ἴσμεν διδασκαλίαν, καὶ τὴν μυστικὴν καὶ ἀθάνατον εὐωχίαν, ἣν οἱ μεμυημένοι γινώσκουσι. ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. καὶ γὰρ ἔτι φθαρτὸν περικείμενοι σῶμα, τῇ ἐλπίδι τῆς ἀναστάσεως ψυχαγωγούμενοι, προσμένουσι τὴν ζωὴν τὴν αἰώνιον. κή. Μνηθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς. Καλῶς τὸ μνηθήσονται τέθεικεν· ἐπειδὴ ὑπὸ τοῦ Θεοῦ τὸ εἶναι δεξάμενοι, τοῦ δημιουργήσαντος ἐπελήθησαν· πάντα μέντοι τὰ πέρατα τῆς γῆς, οὐχ ἓν ἔθνος, οὐδὲ δύο, ἀλλ' ἐκ πάντων τῶν κατὰ τὴν οἰκουμένην προσδραμοῦνται μυρίοι, καὶ δέξονται προθύμως τὴν τῆς θεογνωσίας ἀκτῖνα. καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. καὶ διδάσκων ὡς οἰκεία τοῦ Θεοῦ ἡ δεσποτεία, καὶ οὐκ ἀλλοτρία, τέθεικεν· κθ'. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Οὐ γὰρ μόνον Ἰουδαίων Θεὸς ὁ Θεὸς, ὡς ἐκεῖνοι νομίζουσιν, ἀλλὰ πάσης τῆς τῶν ἀνθρώπων φύσεως ποιητής. οὕτω καὶ ὁ ἀπόστολος ἔφη· ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. λ'. Ἔφαγον καὶ προσεκύνησαν αὐτῷ πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Οἱ γὰρ φαγόντες καὶ ἐμπλησθέντες, χάριν ὁμολογοῦντες περὶ τῆς ἀθανάτου τροφῆς, προσκυνήσουσιν ὡς Θεὸν τὸν τούτων γενόμενον χορηγόν· καὶ ἐπειδὴ ἐν τῷ προτέρῳ στίχῳ τῶν πιόνων ἐμνημόνευσε μόνων, ἅτε δὴ τοιούτων ὑπὸ τῆς θείας ἐκείνης γεγενημένων τροφῆς, εἰκότως εἶπεν, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν, οἱ μὲν ἑκόντες, οἱ δὲ ἄκοντες, καὶ οἱ μὲν πόθῳ, οἱ δὲ φόβῳ, ταύτην τῷ Θεῷ προσοίσουσι τὴν προσκύνησιν, κατὰ τὴν ἀποστολικὴν ἐκείνην φωνήν· ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. λά. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ. καὶ τὸ σπέρμα μου δουλεύ-

σει

σει αὐτῷ. Σπέρμα δὲ τὸ δεσπότου Χριστοῦ, οἱ διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας ἀναγεννώμενοι, καὶ τὸ τῆς υἱοθεσίας δεχόμενοι χάρισμα. διὸ τὴν μὲν αὐτοῦ ψυχὴν αὐτῷ ζῆν, ἀλλ' οὐ δουλεύειν εἴρηκε, τὸ δὲ σπέρμα δουλεύειν· ἡ γὰρ ληφθεῖσα φύσις ἠνώθη τῇ λαβέσῃ θεότητι, καὶ τῆς αὐτῆς δόξης μετέλαχε καὶ τιμῆς. λβ'. Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. Οὐ περὶ ταύτης, φησὶ, λέγω τῆς γενεᾶς, καθ' ἣν ἐγὼ ὁ Δαβὶδ ταῦτα προαγορεύω, ἀλλὰ περὶ τῆς ἐσομένης, καὶ τοῦ τεχθησομένου λαοῦ, ὃν αὐτὸς ὁ τῶν ὅλων συνεστήσατο Κύριος. ὁ μὲν οὖν ταῦτα προηγόρευσεν ἅπαντα. ἐγὼ δὲ τὴν Ἰουδαίων ἐμβροντησίαν θρηνῶ, ὅτι τοῖς θείοις λογίοις διηνεκῶς ἐντυγχάνοντες, τὴν ἐν τούτοις διαλάμπουσαν οὐ συνορῶσιν ἀλήθειαν, ἀλλ' εἰς τὸν Δαβὶδ εἰρῆσθαι τὸν ψαλμὸν ἀποφαίνονται, τοῦ βοῶντος ἀκούοντες, ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ, λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος· μηνθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς· καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. καὶ ἔφαγον, καὶ προσεκύνησαν αὐτῷ πάντες οἱ πίονες τῆς γῆς· τούτων γὰρ εἶδεν ἐπὶ τοῦ Δαβὶδ ὀρῶμεν γεγεννημένον, οὐδὲ ἐπί τινος τῶν ἐκ Δαβίδ. μόνος δὲ ὁ Δεσπότης Χριστὸς, ὁ ἐκ Δαβὶδ κατὰ σάρκα, ὁ ἐνανθρωπήσας Θεὸς λόγος, ὁ ἐκ Δαβὶδ λαβὼν τὴν τοῦ δούλου μορφήν. πᾶσαν γὰρ γῆν καὶ θάλασσαν τῆς θεογνωσίας ἐπλήρωσε, καὶ πέπεικε τοὺς πάλαι πλανωμένους, καὶ τοῖς εἰδώλοις προσφέρουσι τὴν προσκύνησιν, ἀντὶ τῶν ὄντων τὸν ὄντα προσκυνῆσαι Θεόν. ἀλλὰ τοὺς πρὸς τοὺς Ἰουδαίους λόγους καταλιπόντες, ἐπὶ τοὺς παρόντας ἀγῶνας, καὶ ἐπὶ τὴν τῶν λοιπῶν ψαλμῶν ἑρμηνείαν βαδίσωμεν.

ΕΡΜΗΝ. ΤΟΥ κβ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. „ᾄδεται ὁ προκείμενος „ψαλμὸς ἐκ προσώπου τῶν ἐθνῶν ἀγαλ„λομένων ἐπὶ τῷ ποιμαίνειν αὐτά· καὶ „μὴν καὶ τὴν μυστικὴν ἐξηγοῦνται εὐω„χίαν ἣν παρέθηκεν αὐτοῖς ὁ ποιμαί„νων αὐτούς.„ Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. Τὴν αὐτὴν ἔχει καὶ ταῦτα τοῖς προειρμηνευθεῖσι διάνοιαν. εἰρηκὼς γὰρ ἐν τῷ πρὸ τούτου ψαλμῷ, φάγονται πένητες, καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· καὶ πάλιν, ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς· ὑποδείκνυσιν ἐνταῦθα τὸν τῆς τοιαύτης τροφῆς χορηγόν· καὶ καλεῖ τὸν τροφέα ποιμένα· οὕτω γὰρ καὶ ὁ δεσπότης Χριστὸς ἑαυτὸν προσηγόρευσεν· ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· οὕτως ἑαυτὸν καὶ διὰ Ἰεζεκιὴλ ἐκάλεσε τοῦ προφήτου· κἀνταῦθα τοίνυν ἅπαντες οἱ τῆς σωτηρίου τροφῆς ἀπολαύσαντες βοῶσι, Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. παντοδαπὴν γὰρ ἀπόλαυσιν ἀγαθῶν ὁ ποιμὴν ἔτοιμος τοῖς ὑπ' αὐτοῦ ποιμαινομένοις χαρίζεται. β'. Εἰς τό-

πον χλόης, ἐκεῖ με κατεσκήνωσεν. Ἐπειδὴ ποιμένα τὸν τῶν ἀγαθῶν προσηγόρευσε χορηγὸν, εἰκότως καὶ τῆς τῶν προβάτων τροφῆς τροπικῶς ἐμνημόνευσε. χλόην δὲ ἐνταῦθα τὴν ἱερὰν τῶν θείων λογίων διδασκαλίαν καλεῖ. πρότερον γὰρ ἐκτρέφει τοῖς λόγοις, καὶ τότε τὴν μυστικωτέραν προσφέρει τροφήν. ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. τὸ τῆς παλιγγενεσίας ὕδωρ αἰνίττεται, ἐν ᾧ βαπτιζόμενος ὁ τῆς χάριτος ἐφιέμενος, ἀποδύεται μὲν τὸ γῆρας τῆς ἁμαρτίας, νέος δὲ ἀντὶ γεγηρακότος ἀποτελεῖται. γ'. Τὴν ψυχήν μου ἐπέστρεψεν· ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης. Τούτων δέ μοι φησὶ μεταδέδωκε, πρότερόν με τῆς πλάνης ἐλευθερώσας, καὶ τὴν εὐθεῖαν ὁδὸν παρασκευάσας ὁδεύειν. ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. ἅπαντα δὲ ταῦτα τῆς αὐτοῦ δῶρα φιλοτιμίας. οὐ γὰρ διὰ τὴν ἡμετέραν ἀρετὴν ἀπελαύσαμεν τούτων. τοιοῦτον τοίνυν ἐπίκουρον ἔχων, καὶ πρόμαχον, ἐδὲ αὐτὰς δείσω τὰς θανάτου πύλας, ἀλλὰ παντὸς θανάτου καταφρονήσω. τοῦτο γὰρ ἐπήγαγεν. δ'. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Προσέθηκε δὲ τούτοις καὶ ἕτερα. ἡ ῥάβδος σε, καὶ ἡ βακτηρία σε, αὕτη με παρεκάλεσαν. τῇ μὲν γὰρ ὑπερείδει μου τὴν ἀσθένειαν, τῇ δὲ ποδηγεῖ πρὸς τὴν εὐθεῖαν ὁδόν· ἐκ ἂν δέ τις ἁμάρτοι, τὸν σωτήριον οὕτως ὀνομάζων σταυρόν. τῇ γὰρ τούτου σφραγῖδι καὶ μνήμῃ τῶν πολεμίων δαιμόνων ἀπαλλαττόμεθα, καὶ πρὸς τὴν ἀληθῆ ποδηγούμεθα τρίβον. „Καὶ τοῦτό ἐστι τὸ, ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὕτη με παρεκάλεσαν· ἀπὸ γὰρ δύο ῥάβδων συναγόμενος γίνεται σταυρός· τῇ μὲν ὀρθῇ βακτηρίᾳ ἡμᾶς τοὺς εἰς αὐτὸν πιστεύοντας στηρίζων καὶ εὐθύνων καὶ ἀσθενοῦντας ἐνισχύων. τῇ δὲ πλαγίᾳ ὡς ῥάβδῳ κατὰ τῶν δαιμόνων χρώμενος.„ ε'. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου· καὶ τὸ ποτήριόν σε μεθύσκον με ὡσεὶ κράτιστον. Δῆλα ταῦτα τοῖς μεμυημένοις, καὶ ἑρμηνείας ἐδεμιᾶς δεόμενα. ἴσασι γὰρ καὶ τὸ πνευματικὸν ἔλαιον, ᾧ τὴν κεφαλὴν ἐπιάνθησαν· καὶ τὴν κρατύνουσαν, ἀλλ' οὐ διαλύουσαν μέθην· καὶ τὴν μυστικὴν τροφὴν, ἣν προτίθησιν ἡμῖν ὁ πρὸς τῷ ποιμαίνειν καὶ νυμφίος γενόμενος· τούτοις δὲ φησι τοῖς ἀγαθοῖς εἰστιασάς με, τῶν δυσμενῶν ἀνιωμένων καὶ τρυχομένων, ὅτι οἱ πάλαι σοφίσι δουλεύοντες, τοσαύτης μεταβολῆς τετυχήκασιν. ς'. Καὶ τὸ ἔλεός σε καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν. Τούτων δὲ πρόξενος τῶν ἀγαθῶν ἡ ἄρρητός σε φιλανθρωπία, τὴν ἡμετέραν ἱκετείαν οὐκ ἀναμείνασα, ἀλλὰ καθάπερ τινας φεύγοντας καταδιώξασά τε, καὶ φθάσασα, καὶ μεταδοῦσα τῆς σωτηρίας, καὶ τὴν ἐν τοῖς θείοις οἴκοις παραχοῦσα διαγωγὴν, ἔν τε τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι. τοῦτο γὰρ παρεδήλωσεν εἰρηκώς, εἰς μακρότητα ἡμερῶν, τοῦτ' ἔστιν ἀεὶ, καὶ διηνεκῶς. τοῦτο

το δὲ τοῖς αἰῶσιν ἐκείνοις ἁρμόττει, οἳ πέρας οὐκ ἔχουσιν.

ΕΡΜΗΝ. ΤΟΥ κγ'. ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ. Ἐν ἐνίοις ἀντιγράφοις εὗρον, τῆς μιᾶς τῶν σαββάτων· ἐν δέ γε τῷ ἑξαπλῷ τοῦτο οὐ πρόσκειται. πλὴν ἵνα μηδὲ τοῦτο καταλίπωμεν ἀνερμήνευτον, εἰδέναι χρὴ ὡς τὴν δεσποτικὴν ἀνάστασιν προσημαίνει, μεθ' ἣν πᾶσα γῆ καὶ θάλασσα τὰς τῆς θεογνωσίας ἀκτῖνας ἐδέξατο· οὕτω δὲ καὶ ὁ ψαλμὸς προαγορεύει, καὶ πρὸς τούτῳ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ Δεσπότου. τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. ἐπειδὴ γὰρ ὑπελάμβανον Ἰουδαῖοι μόνης αὐτὸν δεσπόζειν τῆς Παλαιστίνης, καὶ μόνων αὐτῶν προμηθεῖσθαι, μόνων αὐτῶν ὄντα Θεὸν, εἰκότως ὁ προφητικὸς διδάσκει λόγος, ὅτι πάσης δεσπόζει τῆς οἰκουμένης. δεσπόζει δὲ αὐτῆς, οὐχ ἁρπάσας τὴν ἐξουσίαν, οὐδὲ ἄλλον τινὰ τῆς δεσποτείας ζητήσας· ἀλλ' αὐτὸς αὐτὴν δημιουργήσας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών. β'. Αὐτὸς γὰρ ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. Διὰ τούτων δὲ, οὐ μόνον τὴν δημιουργίαν, ἀλλὰ καὶ τὴν πρόνοιαν δείκνυσι· φύσει γὰρ ἡ γῆ οὖσα ξηρὰ, ἀναλογοῦσαν νοτίδα δεδώρηται, ἔξωθεν μὲν καὶ διὰ μέσου τοῖς μεγίστοις αὐτὴν συνάψας πελάγεσι, ποταμοὺς δὲ ὅτι μάλιστα πλείστους, καὶ μεγίστους, καὶ μέντοι καὶ πηγὰς, ἐν μέσαις ταῖς ἠπείροις, τοὺς μὲν διατρέχειν ἀεὶ, τὰς δὲ ἀναβλυστάνειν παρασκευάσας. οὕτω καὶ τοῦ Θεοῦ τὴν δεσποτείαν ὑποδείξας, καὶ τῶν ἐθνῶν τὴν ἐπίγνωσιν προθεσπίσας, τὴν περὶ τῆς ἀρετῆς προσφέρει παραίνεσιν, εἰς ἐρώτησιν καὶ ἀπόκρισιν πάλιν σχηματίσας τὸν λόγον. γ'. Τίς (γάρ φησιν) ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ὄρος δὲ ἐνταῦθα, οὐ τὸ ἐπίγειον λέγει τὸ τῆς Σιὼν, ἀλλὰ τὸ ἐπουράνιον, ὅπερ ὁ μακάριος ὑπέδειξε Παῦλος, προσεληλύθατε λέγων Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ· ἐπειδὴ γὰρ προεδίδαξεν, ὅτι ποιητής ἐστι καὶ δημιουργὸς ὁ τῶν ὅλων Θεὸς, εἰκότως τὴν πρὸς αὐτὸν φέρουσαν ὁδὸν δείκνυσι, καὶ ποιεῖται τὴν ἀπόκρισιν πρὸς τὴν ἐρώτησιν. δ'. Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ. ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Προσήκει, φησὶ, τὸν εἰς ἐκεῖνο τὸ ὄρος ἀναβῆναι ποθοῦντα, καὶ λογισμῶν ἀτόπων τὴν ψυχὴν, καθαρεύειν, καὶ πράξεων τοιουτοτρόπων ἐλευθέρας ἔχειν τὰς χεῖρας. τὰς γὰρ δὴ χεῖρας, ἀντὶ πράξεων τέθεικε· διὰ δὲ τῆς καρδίας, τὰς ἐνθυμήσεις ἠνίξατο. τῇ μὲν γὰρ βουλευόμεθα, ταῖς δὲ πράττομεν. προσήκει δὲ φησι τὸν τοιοῦτον μηδενὸς τῶν ξεόντων καὶ φθειρομένων ἐφίεσθαι· ταῦτα γὰρ ἐκάλεσε μάταια· ἔστω γὰρ αὐτὰ καὶ ὁ ἐκκλησιαστὴς ὀνομάζει, ματαιότης λέγων ματαιοτήτων, τὰ πάντα ματαιότης· καὶ ἐπειδὴ καὶ δόλος καὶ παράβασις ὅρκων τῇ φιλοχρηματίᾳ συνέζευκται, εἰκότως καὶ ταῦτα μετ' ἐκείνης ἀπαγορεύει· καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ· εἶτα δείκνυσι τὸν

τῶν

τῶν κατορθωμάτων τούτων καρπόν. ε΄. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ. Κομιδῇ δὲ προσφυῶς τὴν ἐλεημοσύνην τῇ εὐλογίᾳ συνέζευξε· καὶ γὰρ αἱ νομιζόμεναι ἀντιδόσεις διὰ μόνην τὴν θείαν φιλανθρωπίαν τοῖς ἀνθρώποις παρέχονται· πᾶσαι γὰρ τῶν ἀνθρώπων αἱ δικαιοσύναι, ἐδὲν πρὸς τὰς ἤδη δεδομένας ὑπὸ τοῦ Θεοῦ δωρεὰς ἀποχρῶσι, μήπου γε δὴ πρὸς τὰς ἐσομένας, εἰ καὶ λογισμὸν ἀνθρώπινον ὑπερβαίνουσιν. ς΄. Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. Οἱ κατὰ ταύτας, φησὶ, τὰς ὑποθήκας βιοῦν προαιρούμενοι, τῷ ὄντι ποθοῦσι τῆς ἀρετῆς τὸν νομοθέτην ἰδεῖν, ὃς πάλαι ποτὲ καὶ τὸν μέγαν Ἰακὼβ τῆς οἰκείας ἐπιφανείας ἠξίωσεν. ἐν μὲν οὖν τῷ ἑνδεκάτῳ ψαλμῷ περὶ γενεᾶς ἑτέρας „ὁ προ„φήτης διαλεγόμενος „ πάσῃ κακίᾳ καὶ πονηρίᾳ συζώσης ἠντιβόλει τὸν Θεὸν λέγων· σὺ Κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα· ἐνταῦθα δὲ τἀναντία θεσπίζει· αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον· μετὰ γὰρ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, πᾶσα ἡ γῆ καὶ θάλασσα τῷ θείῳ πειθθεῖσα κηρύγματι, κατέλιπε μὲν τοὺς πατρώους θεοὺς, τοῦ δὲ Ἰακὼβ ἐπιζητεῖ τὸν Θεόν. οὕτω προαγορεύσας τῆς οἰκουμένης τὴν σωτηρίαν, διδάσκει λοιπὸν τοὺς τῇ πίστει προσεληλυθότας, ὡς οὐ μόνον ἀνέξη τοῦ θανάτου καταλύσας τὸ κράτος ὁ Δεσπότης Χριστὸς, ἀλλὰ καὶ εἰς οὐρανοὺς ἀνελήλυθεν. ἐπειδὴ γὰρ ὁ πρῶτος καὶ εἰκοστὸς ψαλμὸς τὰ τῶν σωληρίων παθημάτων εἶχε θεσπίσματα, καὶ τῆς τῶν ἐθνῶν σωτηρίας τὴν προφητείαν, εἰκότως πάλιν ἐνταῦθα τῶν ἐθνῶν μνημονεύσας, καὶ τὴν τούτων ἐπίγνωσιν χρησμῳδήσας, καὶ τὴν δεσποτικὴν ἀνάληψιν προδιαγράφει, καὶ δείκνυσιν ἡμῖν ἀγγέλων χορούς, τοὺς μὲν ἡγεμένους τοῦ Δεσπότου Χριστοῦ, τοὺς δὲ ἄνωθεν πυνθανομένους, καὶ μαθεῖν ἐφιεμένους τί τὸ παράδοξον θέαμα. ζ΄. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. η΄. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ. θ΄. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι· καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. ι΄. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Καί μοι θαυμαζέτω μηδεὶς ἄγνοιαν ἀκούων τῶν ἀοράτων δυνάμεων· ἔτε γὰρ προῖσασιν, οὔτε ἴσασιν ἅπαντα· μόνη δὲ ἡ θεία Φύσις ταύτην ἔχει τὴν γνῶσιν. ἄγγελοι δὲ καὶ ἀρχάγγελοι, καὶ αἱ ἄλλαι τῶν ἀοράτων δυνάμεων συμμορίαι, τοσαῦτα ἴσασιν, ὅσα διδάσκονται· οὐδὴ χάριν καὶ ὁ θεῖος ἀπόστολος περὶ αὐτῶν διαλεγόμενος ἔφη, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις, ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. εἰ δὲ καὶ διὰ τῶν κατὰ τὴν ἐκκλησίαν τὴν θείαν σοφίαν κατέμαθον ἀκριβέστερον, οὐδὲν ἀπεικὸς ἀγνοεῖν τὰς ἄνω δυνάμεις „καὶ „τῆς ἀναλήψεως τοῦ Χριστοῦ τὸ μυστήριον „

Φύσιν ἀνθρωπίνην ὁρώσας, καὶ τὴν ἐν αὐτῇ κεκρυμμένην ἀθεωμένας θεότητα· εἰ δὲ τοῦτο μὴ δοίη τις, ἐκ τῶν ἡρμηνευμένων ἐν τῷδε τῷ ψαλμῷ λαβέτω τὴν προκειμένην λύσιν. καὶ γὰρ ἄνω ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τὴν περὶ τῆς ἠθικῆς ἀρετῆς εἰσήγησιν ἐσχημάτισεν, εἰπών· τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; οὕτως ἐρωτήσας, ἐπήγαγε τὴν ἀπόκρισιν· ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ, καὶ τὰ ἑξῆς. τοιοῦτον καὶ ἐνταῦθα ἡγεῖσθαι εἶναι τοῦ λόγου τὸ σχῆμα, καὶ τοὺς ἐρομένους μὴ ἀγνοοῦντας ἔρεσθαι νομίζεσθαι, ἀλλὰ πάντας ἀνθρώπους τῷδε τῷ κηρύγματι τοῦ ἀνίοντος διδάσκειν τὴν δεσποτείαν. διὸ φασὶν αἱ ἀποκρινόμεναι δυνάμεις, δόξης αὐτὸν εἶναι βασιλέα, ὡς τὴν παρὰ πάντων νομιζόμενον δόξαν, καὶ τὴν ἀληθῆ καὶ μόνιμον ἔχοντα βασιλείαν. καλοῦσι δὲ αὐτὸν καὶ Κύριον κραταιὸν, καὶ δυνατὸν ἐν πολέμῳ. κατέλυσε γὰρ τῆ διαβόλου τὴν πικρὰν τυραννίδα, καὶ τῶν ὑπ' ἐκείνου τελούντων δαιμόνων τὴν ἀπάτην διέλυσεν· αἰωνίους δὲ πύλας ἀνοιγῆναι παρακελεύονται, ὡς μηδέποτε τῇ φύσει τῶν ἀνθρώπων ὑπανοιγείσας. οὐδεὶς γὰρ ἐκείνας τῶν ἀνθρώπων διεπέρασε πώποτε, ἀλλ' ὁ ἐνανθρωπήσας Θεὸς λόγος, τὴν ἡμετέραν ἀναλαβὼν ἀπαρχὴν, ἀνήγαγέ τε εἰς οὐρανοὺς, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν τοῖς ὑψηλοῖς, ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ὁ δὲ μέγας Ἠλίας ἀνελήφθη μὲν, ἀλλ' ἐκ εἰς τὸν ἐρανὸν, ἀλλ' ὡς εἰς τὸν ἐρανόν· ἔτω τῆς πρότερας πεύσεως καὶ ἀποκρίσεως γενομένης, αὖθις αἱ μὲν πυνθάνονται, αἱ δὲ ἀποκρίνονται, καὶ μανθάνουσιν ὡς ὁ τῶν δυνάμεων Κύριος αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης, τουτέστιν ὁ ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ πάσης τῆς ὁρατῆς καὶ γενητῆς Φύσεως, ποιητὴς ἐστι καὶ δημιουργός.

ΕΡΜΗΝ. ΤΟΥ κδ'. ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ. Ὁ ψαλμὸς οὗτος προσευχῆς ἔχει σχῆμα· διά τοι τοῦτο, ὡς εἰκὸς, οὐδὲ ψαλμὸν ἡ ἐπιγραφὴ προσαγορεύει. τινὲς δὲ τῶν συγγραφέων τῆς αἰχμαλωσίας προαγορευτικὸν ἔφασαν εἶναι, καὶ ὡς ἐξ ἐκείνων εἰρημένον ἡρμήνευσαν, τῷ τέλει μόνῳ προσεχηκότες· λύτρωσαι γάρ φησιν ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. ἐγὼ δὲ ἡγοῦμαι τοῦτον εἰρῆσθαι τὸν ψαλμὸν ὑπὸ τοῦ μακαρίου Δαβὶδ, ἡνίκα πολλὰς ἔσχε πολεμίων ἐπαναστάσεις· οὗ δὴ χάριν, καὶ παλαιῶν καὶ νέων ποιεῖται μνήμην ἁμαρτημάτων, καὶ τούτων ἀπαλλαγῆναι παρακαλεῖ. εἰσηγεῖται δὲ καὶ παραίνεσιν ἀνθρώποις ὠφέλιμον. „ἁρμόζει δὲ μάλιστα ὁ προκείμενος ψαλμὸς „τοῖς ἐξ ἐθνῶν κεκλημένοις, καὶ πολλὴν ἀκολουθίαν ἔχει πρὸς τὸν πρὸ „αὐτοῦ.„ Πρός σε Κύριε ἦρα τὴν ψυχήν μου. β'. Ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. γ'. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. Πάντοθεν ὑπὸ μυρίων περιστοιχιζόμενος δυσμενῶν, σοὶ

σοὶ τὴν ἐμαυτοῦ Δέσποτα προσφέρω ψυχὴν, καὶ τῆς σῆς βοηθείας ἐξήρτημαι, μὴ δυνηκῶς ἐν αἰσχύνῃ διάγειν, καὶ ἐπίχαρτος εἶναι τοῖς πολεμίοις, ἀντιβολῶν. καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν. δ'. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Ἔχω, φησὶ, τῆς ἐλπίδος ἐχέγγυον ἱκανὸν, τοὺς ἤδη σοι πεπιστευκότας, καὶ τῆς σῆς ῥοπῆς ἀπολαύσαντας. τούτων μὲν γὰρ εἴωθας προμηθεῖσθαι, καταισχύνειν δὲ τοὺς παρανομίᾳ συζῶντας. ἐπισημήνασθαι δὲ προσήκει, ὅτι οὐ τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς διακενῆς ἀνομοῦντας, αἰσχύνης ἔφησεν ἀναπίμπλασθαι. οὐ γὰρ πάντες πλημμελοῦσιν ὁμοίως· οἱ μὲν γὰρ ἢ ἐκ περιστάσεώς τινος, ἢ ἐκ φυσικῆς ὀλιγοθαίνουσιν ἀσθενείας· οἱ δὲ καὶ ἐφήδονται ταῖς παρανομίαις, καὶ ἐπινοοῦσιν ἑτέρας. Τὰς ὁδάς σου Κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. ε'. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Ἐγὼ δὲ πρῶτον μὲν ἱκετεύω τὰς σὰς ὁδοὺς διαγνῶναι, καὶ τὰς πρός σε φερούσας τρίβους μαθεῖν, ὥστε δυνηκῶς τὴν ἀπλανῆ σου καὶ ἀληθῆ πορείαν ὁδεύειν· ἔπειτα δι' αὐτῶν ἱκετεύω τῶν πραγμάτων μαθεῖν, ὅτι σωτὴρ ὑπάρχεις ἐμός· τὴν γὰρ παρά σου Φιλανθρωπίαν προσμένω δυνηκῶς. τὸ γὰρ ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ ἀεὶ τέθεικεν· καὶ διδάξαι βέλεται, ὡς οὐ νῦν μὲν ταύτην ἔχει τὴν γνώμην, νῦν δὲ ἑτέραν ἀντὶ ταύτης εἰσδέχεται. ς'. Μνήσθητι τῶν οἰκτιρμῶν σου Κύριε· καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν. ζ'. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου. Ἡμέρως, φησὶν, ἀεὶ καὶ φιλανθρώπως τοὺς ἀνθρώπους οἰκονομεῖς· ταύτης καὶ νῦν ἀπολαῦσαι τῆς ἀγαθότητος ἱκετεύω, καὶ μνήμην σοι γενέσθαι τῆς σῆς φιλανθρωπίας, μὴ τῆς ἐμῆς ἁμαρτίας· καὶ τὴν ἐμὴν δὲ μνήμην ποιούμενος Δέσποτα φιλοικτιρμόνως ποίησαι, μὴ δικαίως· τοῦτο γὰρ καὶ ἐν τοῖς ῥητοῖς παρεκάλεσε· κατὰ τὸ μέγα ἔλεός σου, μνήσθητί μου σύ· μὴ τῆς ἁμαρτίας μου, ἀλλ' ἐμοῦ μνήσθητι φιλανθρώπως „ τὸ δὲ, ἁμαρτίας νεό-„ τητός μὲ καὶ ἀγνοίας μὴ μνησθῇς, ταύ-„ την ἔχει τὴν διάνοιαν· φησὶ γὰρ τοῦ „ λαοῦ τοῦ ἐν Αἰγύπτῳ. καὶ γὰρ εἰδω-„ λολάτρησα ἐκεῖ· μὴ οὖν ἐκείνων τῶν „ ἁμαρτημάτων μνησθῇς, ἀλλὰ τῆς σῆς „ φιλανθρωπίας, δι' ἧς καὶ τότε ἀγνο-„ οῦντας φιλανθρωπίᾳ χρησάμενος ἠ-„ λέησας. „ Ἕνεκεν τῆς χρηστότητός σε Κύριε. οὐ γὰρ διὰ τὴν ἐμὴν ἀξίαν, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν, τούτου τυχεῖν ἱκετεύω. η'. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος. Οὐχ ἁπλῶς φησι τούτοις ἐχρησάμην τοῖς λόγοις, ἀλλ' εἰδὼς ὡς οὐ μόνον δίκαιος, ἀλλὰ καὶ φιλάνθρωπος ὁ Δεσπότης. τοῦτο δὲ πανταχοῦ ἡμᾶς ἡ θεία διδάσκει γραφή. τοιοῦτόν ἐστι τὸ, ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε. καὶ, ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ· καὶ, ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

θ'. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσε· διὰ τοῦτο ὑποδείξει ἁμαρτάνουσιν ὁδόν· ἀγαθότητι γὰρ χρώμενος, οὐκ εὐθὺς κολάζει τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τὴν εὐθεῖαν αὐτοῖς ὁδὸν ὑποδείκνυσι, καὶ τῆς μετανοίας ἐκπαιδεύει τὸν νόμον. καὶ μὲν δὴ καὶ τοὺς πραότητι καὶ ἁπλότητι κεχρημένους διακρίνειν διδάσκει τῶν πραγμάτων τὴν φύσιν, καὶ πάσας αὐτοῦ τὰς οἰκονομίας εἰδέναι παρασκευάζει· ἵνα μὴ ἐφόδιον ἀγνοίας ἡ ἁπλότης γενομένη, πολλὴν τὴν βλάβην ἐργάσηται· εἶτα τῶν εἰρημένων ὁδῶν τὴν φύσιν ὑποδείκνυσι. ι'. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. Οἱ γὰρ διηνεκῶς τοῖς ἱεροῖς ἐντρεφόμενοι λόγοις μανθάνουσιν ἀκριβῶς δι' ἐκείνων, ὡς πᾶσαι αἱ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν οἰκονομίαι ἐλέῳ καὶ ἀληθείᾳ συγκέκρανται· τοῖς μὲν γὰρ μεταμελομένοις ἐφ' οἷς ἐπλημμέλησαν, τὸν ἔλεον καὶ τὴν συγγνώμην ὀρέγει· τοὺς δὲ ἀηττήτους τῆς ἀρετῆς ἀθλητὰς ἀνακηρύττει καὶ στεφανοῖ, σὺν ἀληθείᾳ τὴν ψῆφον ἐκφέρων. καὶ μέν τοι καὶ τοῖς παρανομίᾳ συνεζηκόσι, καὶ μὴ μεταμελείᾳ χρησαμένοις, κατὰ τοὺς τῆς ἀληθείας ὅρους ἐπιφέρει τὰς τιμωρίας. ια'. Ἕνεκεν τοῦ ὀνόματός σου Κύριε· καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν. Ἐγὼ τοίνυν φησὶν, ἵλεών σε γενέσθαι ταῖς ἐμαῖς ἁμαρτίαις παρακαλῶ, οὐ διὰ τὴν σπουδαίαν μου μεταμέλειαν, ἀλλὰ δι' ἣν ἔχεις φιλανθρωπίας προσηγορίαν, καὶ ἐπειδὴ τοῦ σοῦ ὀνόματος τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. ιβ'. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο. ιγ'. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Ἐντεῦθεν εἰσηγεῖται, καὶ τὴν ὀνησιφόρον προσφέρει παραίνεσιν, καὶ τοῖς τὸν Κύριον φοβουμένοις τὴν παντοδαπὴν ἐπαγγέλλεται πρόνοιαν· καὶ ἐπειδὴ πολλοὶ καὶ διάφοροι τῆς εὐσεβείας οἱ βίοι, μοναδικοὶ καὶ κοινωνικοὶ, ἐρημικοὶ καὶ πολιτικοὶ, ἰδιωτικοὶ καὶ στρατιωτικοὶ, βασιλικοὶ καὶ ἀποχειροβιωτικοὶ, ναυτικοὶ καὶ γεωργικοὶ, καὶ οἱ ἄλλοι πολλοὶ καὶ διάφοροι· ἐν ἑκάστῳ δὲ βίῳ δυνατὸν ἀρέσαι Θεῷ· εἰκότως ὁ προφητικὸς ἔφη λόγος, τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο· ἀντὶ τοῦ, ἐν ἐκείνῳ τῷ βίῳ, ὃν βιοτεύειν ἐκεῖνος προαιρεῖται, τοὺς προσφυεῖς αὐτῷ καὶ ἁρμόζοντας θήσει νόμους. οὕτως ὁ θεῖος Ἰωάννης ὁ Βαπτιστὴς τελώναις μὲν ἐρομένοις τί δεῖ πράξαι, παρήνεσε μηδὲν πλέον τοῦ διατεταγμένου λαβεῖν. στρατιώταις δὲ, τὸ μηδένα διασεῖσαι, ἀλλ' ἀρκεῖσθαι τοῖς ὀψωνίοις, τουτέστι τῇ ἀφωρισμένῃ τροφῇ· οὕτως ὁ θεῖος ἀπόστολος, καὶ οἰκέταις καὶ δεσπόταις, καὶ παισὶ καὶ πατράσι, καὶ γυναιξὶ καὶ ἀνδράσι, καταλλήλους τέθεικε νόμους. τοῖς τούτοις τοίνυν πεπληρωκόσι τοὺς νόμους, ὁ προφητικὸς ὑπέσχετο λόγος τὴν ἐν ἀγαθοῖς τῆς ψυχῆς διατριβὴν, καὶ τὴν τοῦ σπέρματος εὐλογίαν· ἡ ψυχὴ γὰρ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. ἐπειδὴ

δὴ γὰρ ἡ παιδοποιΐα περισπούδαστός ἐστιν Ἰουδαίοις, καὶ τὸ κληρονόμους καταλιπεῖν, καὶ μέντοι καὶ νῦν τοῖς τὸν κοινωνικὸν βίον ἀσπαζομένοις τοῦτο αὐτὸ ἀξιέραστον· καὶ ἀπὸ τούτων ἐπὶ τὴν ἐργασίαν ἴέναι προτρέπει τῆς ἀρετῆς. ιδ'. Κραταίωμα Κύριος τοῖς Φοβουμένοις αὐτὸν, καὶ ἡ διαθήκη αὐτῦ δηλώσει αὐτοῖς. Τοῦτο σαφέστερον ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν, μυστήριον Κυρίου τοῖς Φοβουμένοις αὐτὸν, καὶ τὴν συνθήκην αὐτοῦ δηλώσει αὐτοῖς. αὐτοῦ δέ ἐστιν ἀκοῦσαι τοῦ Δεσπότου διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος, τὰ μυστήριά μου ἐμοῖ, καὶ τοῖς ἐμοῖς. ταῦτα γὰρ οὐχ ἁπλῶς ἅπασιν, ἀλλὰ τοῖς Φοβουμένοις ἀποκαλύπτει, καὶ τῶν θείων αὐτοῦ λογίων ὑποδείκνυσι τὸν σκοπόν· καὶ μέντοι κατὰ τὸ ἑβδομήκοντα, κραταίωμα Κύριός ἐστι τοῖς Φοβουμένοις αὐτόν· ἀηττήτους αὐτοὺς ἀποφαίνων καὶ κρείττους τῶν πολεμίων. ιε'. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ὀφθαλμοὺς πάλιν ἐνταῦθα τοὺς τῆς διανοίας λέγει, οὓς ἔφη ἔχειν πρὸς τὸν Θεόν· ὅτε δὴ γινώσκων σαφῶς, ὡς διὰ τῆς αὐτῦ κηδεμονίας τὰς ὑπὸ τῶν ἐχθρῶν κατεσκευασμένας ἐπιβουλὰς διαφεύξεται. ις'. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Τὸ μονογενὴς, μόνος ἡρμήνευσαν οἱ λοιποί· λέγει δὲ, ὅτι πάσης βοηθείας γεγύμνωμαι· διὸ δὴ τῆς σῆς τυχεῖν ἀντιλήψεως ἱκετεύω. ἄγαν δὲ ἐλεεινῶς, τὸ ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με τέθεικε· βλέπε μὲ, φησὶ, τὴν ἐρημίαν, καὶ τὴν τῶν ἐχθρῶν πολιορκίαν. πάντως γὰρ ἔτω θεασάμενος ἐλεήσεις. ιζ'. Αἱ θλίψεις τῆς καρδίας μὲ ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μὲ ἐξάγαγέ με. ιή. Ἴδε τὴν ταπείνωσίν μὲ, καὶ τὸν κόπον μὲ, καὶ ἄφες πάσας τὰς ἀνομίας μου. Πολλοῖς φησὶν ἀλγεινοῖς πανταχόθεν περισοιχίζομαι. ταύτην μὲ τοίνυν τὴν ταπείνωσιν, καὶ τὴν ταλαιπωρίαν, ταῖς ἐμαῖς ἀντιταλαντεύσας παρανομίαις, δὸς τὴν ἄφεσιν, καὶ τὴν συγγνώμην παράσχε. ιθ. Ἴδε τοὺς ἐχθρές μὲ, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Εἰ μὴ δοκῶ, φησὶν, ἄξιος εἶναι φιλανθρωπίας, τοσούτοις προσπαλαίων κακοῖς, τὴν ἄδικον γῆν τῶν πολεμίων ἀπέχθειαν θεασάμενος, φιλανθρωπίας μετάδος· εἰς σὲ γὰρ ἐπλημμέλησα, τὰς σὰς παραβεβηκὼς ἐντολάς· ἐκεῖνοι δὲ μηδὲν ἐγκαλεῖν ἔχοντες, πολεμοῦσιν ἀδίκως. κ'. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Εἰ γὰρ καί τινας τῶν σῶν παραβέβηκα νόμων· ἀλλ' οὖν τῆς σῆς ἐμαυτὸν οὐκ ἐχώρισα προμηθείας· διὸ καὶ ῥυσθῆναι τῶν πολεμούντων, καὶ φυλαχθῆναι παρακαλῶ. κά. Ἀκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε. Καὶ τοῦτο ἴδιον ἀρετῆς, τὸ μισεῖν μὲν τῶν φαύλων τὰς συνεσίας, τοὺς δὲ τὴν ἰσότητα τιμῶντας, καὶ εὐθύτητι χρωμένους, καὶ κακίας ἀπηλλαγμένους, συνήθεις ἔχειν καὶ φίλους· τοῦτο γὰρ καὶ ὁ προφήτης ἔφη πεποιηκέναι, ὅτε δὴ θεραπεύειν ἐν τούτῳ δὴ τὸν Δεσπότην ἡγέμενος. κβ'. Λύτρωσαι ὁ

Θεὸς

Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. Βασιλεῖ πρέπουσα ἡ προσενεχθεῖσα τῷ Θεῷ προσευχή. προσήκει γὰρ τὸν ἄρχειν τεταγμένον, πᾶσαν ποιήσασθαι τῶν ὑπηκόων κηδεμονίαν. διά τοι τοῦτο καὶ ὁ μακάριος Δαβὶδ, οὐ μόνον ὑπὲρ ἑαυτοῦ προσενήνοχε τὴν εὐχὴν, ἀλλὰ καὶ ὑπὲρ ἐγκεχειρισμένου λαοῦ· ἄλλως τε καὶ ἡ τοῦ εὖ καὶ καλῶς βασιλεύοντος σωτηρία κοινὴ τῷ λαῷ καθέστηκεν ὠφέλεια. ἔχει δὲ καὶ ἑτέραν ἔννοιαν τὸ ῥητόν· διήρητο ὁ Ἰσραὴλ, καὶ ἐπὶ τῷ Σαὰλ, καὶ ἐπὶ τῷ Μεμφιβοσθὲ, καὶ ἐπὶ τῷ Ἀβεσσαλώμ· εἰ τοίνυν φησὶ τῆς σῆς ῥοπῆς ἀπολαύσαιμι, καὶ κρείττων γενοίμην τῶν δυσμενῶν, καὶ αὐτὸς ὁ Ἰσραὴλ, ἐμφύλιον πόλεμον καταλύσας, εἰρήνης τεύξεται, καὶ τοῖς σοῖς ἀγαθοῖς ἐντρυφήσει.

ΕΡΜΗΝ. ΤΟΥ κε΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς τῷ Δαβίδ. Καὶ τοῦτον τὸν ψαλμὸν ὁ θεῖος Δαβὶδ εἰς ἑαυτὸν εἰρηκέναι δοκεῖ μοι· ἡγοῦμαι δὲ τοῦτον ἐκείνου προγενέστερον εἶναι. ὁ μὲν γὰρ ἁμαρτίας καὶ μεγάλης ἁμαρτίας ἐποιήσατο μνήμην· ἱλάσθητι γάρ φησι τῇ ἀνομίᾳ μου, πολλὴ γάρ ἐστιν. ἐνταῦθα δὲ τῆς οἰκείας ἀρετῆς τὰ εἴδη διέξεισιν· ὅθεν ἡγοῦμαι τούτοις αὐτὸν χρήσασθαι τοῖς λόγοις ὑπὸ τοῦ Σαὰλ διωκόμενον, καὶ παρὰ τοῖς ἀλλοφύλοις διάγειν ἠναγκασμένον· οὓς δυσσεβείας, καὶ δεισιδαιμονίας, καὶ πάσῃ παρανομίᾳ συζῶντας ὁρῶν, ἔφευγεν αὐτῶν τὰς συλλόγους, καὶ τὰς τοῖς δαίμοσιν ἐπιτελουμένας δημοθοινίας· διδάξει δὲ τοῦτο σαφέστερον ἡ τῶν ῥητῶν ἑρμηνεία. Κρῖνόν με Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. Ἁπλότητι φησὶ κεχρημένος, καὶ κακὸν οὐδὲν εἰς τὸν Σαὰλ δεδρακὼς, καὶ πικρῶς ἔτως ἐξελαυνόμενος σε γενέσθαι Δέσποτα κριτὴν τῆς ἐμῆς δίκης ἀντιβολῶ· σὲ γὰρ οἶδα Θεὸν, καὶ τῆς σῆς προνοίας τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα, καὶ θαῤῥῶ ὡς ἐκ ἔσομαι τοῖς διώκουσιν ὑποχείριος. β΄. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. πύρωσον τοὺς νεφροὺς μου, καὶ τὴν καρδίαν μου. Καντεῦθεν δῆλον ὡς τῆς ἁμαρτίας πρεσβύτερος ὁ ψαλμός. ὡς ἁπλότητι γὰρ καὶ ἀκακίᾳ συζῶν, καὶ πεῖραν ἐκ ἔχων τῆς ἁμαρτίας, τῶν ἐπικινδύνων ἀγώνων ἐφίεται. νεφροὺς δὲ καὶ καρδίαν τοὺς λογισμοὺς ὀνομάζει· καὶ τοῦτο πολλάκις εἰρήκαμεν. γ΄. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστίν. Δοκιμασθῆναι δὲ, καὶ χρυσίον δίκην πυρωθῆναι παρακαλῶ, ἐπειδὴ τῷ σῷ ἐλέει θαῤῥῶ, καὶ τὴν ἐντεῦθεν προσμένω βοήθειαν. ὑπὸ τούτου γὰρ ἐρειδόμενος καὶ εὑρέσησα ἐν τῇ ἀληθείᾳ σου. εἶτα τῆς εὐαρεστήσεως τὰ εἴδη διέξεισιν. δ΄. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος· καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. ε΄. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων· καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Οὕτω δὲ φησι τῆς σῆς περιόντα θεραπείας, ὅτι καὶ παρὰ δυσσεβέσιν ἀνθρώποις καὶ παρανόμοις γενόμενος, τὰς ἐκεῖθεν συλλόγους καὶ τὰς ἐπιβλαβεῖς αὐτῶν ἔφυγον συνουσίας. σημαίνει δὲ διὰ τούτων τὴν παρὰ τοῖς ἀλλοφύλοις διαγωγὴν, οἷς διὰ

διὰ τὴν Φυγὴν συνοικεῖν ἠναγκασμένος, ἔτε τῆς δυσσεβείας, ἔτε τῆς παρανομίας αὐτοῖς ἠνέχετο κοινωνήσας. ς'. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μὲ καὶ κυκλώσω τὸ θυσιαστήριόν σε Κύριε. ζ'. Τοῦ ἀκεῦσαί με φωνὴν αἰνέσεώς σε· καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Τέτων μὲν ἓν σφόδρα τὴν δεισιδαιμονίαν βδελύτομαι, πωθῶ δὲ τὸ σὸν ἰδεῖν θυσιαστήριον, Δέσποτα, καὶ τὰς σὰς ὑμνωδίας εἰσδέξασθαι τοῖς ὠσὶ, καὶ τῶν σῶν θαυμάτων τὰς μεγαλεργίας τὲς ἀγνοεῖντας διδάξαι. τὸ δὲ, νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μὲ, ἔοικε τῷ ὑπὸ τῦ Πιλάτου γεγενημένῳ, ὃς τῆς Ἰεδαϊκῆς μιαιφονίας κοινωνῆσαι μὴ βεληθεὶς, τὰς χεῖρας ἐνίψατο, καὶ τῷ ἔργῳ δεικνὺς τὸ πράγματος τὴν Φυγήν. ὡς ἀθῶος τοίνυν, φησὶ, καὶ μηδεμίαν πρὸς αὐτοὺς ἐχηκὼς κοινωνίαν, θαρρῶν ἀπονίψομαι καὶ τὰς χεῖρας. η'. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκε σε· καὶ τόπον σκηνώματος δόξης σου. θ'. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μὲ· καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. ι'. Ὧν εἰσὶν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἀντὶ τῆς εὐπρεπείας ὁ Σύμμαχος ἀνάκτορον ἔθηκεν· ἀντὶ δὲ ἀνδρῶν αἱμάτων, ἀνδρῶν μιαιφόνων. θᾶττον δὲ φησι τῆς μετὰ τούτων διαγωγῆς ἐλευθέρωσον, Δέσποτα, ποθοῦντά σου τὸν οἶκον, τὸν τὴν σὴν ἀποσίλβοντα χάριν· ἵνα μὴ δυσσεβέσιν ἀνθρώποις, καὶ δωροδόκοις, καὶ μιαιφόνοις, καὶ προϊεμένοις τὸ δίκαιον συναπόλωμαι. καὶ διὰ τούτων δὲ πάλιν τὲς αὐτὲς ἐδήλωσεν· οἶκον δὲ τὴν σκηνὴν ὠνόμασεν. οὐδέπω γὰρ ὁ θεῖος νεὼς ᾠκοδόμητο· διὸ καὶ ἐπήγαγε, τόπον σκηνώματος δόξης σε. ια'. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μὲ ἐπορεύθην· λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με. ιβ'. Ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι. Τέως δὲ καὶ τούτοις συνὼν, τῇ τῆς πίστεως ἁπλότητι κέχρημαι, καὶ πάσης ἑμαυτὸν κακίας ἐχώρισα, κἂν τῇ τῆς εὐσεβείας εὐθύτητι τὲς πόδας ἐρείσας, ἕστηκα τέως ἀσφαλῶς καὶ βεβαίως. ἀντιβολῶ δὲ εἰς τέλος ταύτην φυλάξαι τὴν στάσιν. ἔσαι δὲ τῦτο, εἰ τῆς μετὰ τούτων ἀπαλλαγείην οἰκήσεως. ἐν ἐκκλησίαις εὐλογήσω σε Κύριε. ἐντεῦθεν μάλιστα σαφέστερον μεμαθήκαμεν, ὡς εἰς αὐτὸν εἴρηται τὸν Δαβὶδ ὁ ψαλμός. ὑπέχετο γὰρ ἐν ἁπάσαις αὐτὸν ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις διὰ τῆς τῶν ψαλμῶν συγγραφῆς ὑμνῆσειν τε καὶ εὐλογήσειν, προφητικοῖς ὄμμασι τὴν τῆς οἰκουμένης προβλέπων μεταβολήν. ἔλαβε δὲ καὶ τὸ τέλος ἡ προφητεία. ἐν πάσῃ γὰρ γῇ καὶ θαλάσσῃ διὰ τῶν εὐσεβῶν στομάτων ὁ μέγας Δαβὶδ ἀνυμνεῖ τὸν εὐεργέτην Θεόν.

ΕΡΜΗΝ. ΤΟΥ κς' ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, πρὸ τοῦ χρισθῆναι. Ταύτην ἐν τῷ ἑξαπλῷ τὴν ἐπιγραφὴν οὐχ εὗρον, ἀλλ' ἐν ἑνίοις ἀντιγράφοις. ἐντεῦθεν δ' ὅμως ἔλαβόν τινες ἀφορμὴν τοῦ πάσας τὰς ἐπιγραφὰς, ὡς ἐκ ἀληθεῖς, ἐκβάλλειν· πῶς γάρ, φασι, οἷόν τε ἦν μηδέπω χρισθέντα τὸν Δαβὶδ, μηδὲ τοῦ παναγίου πνεύματος τὴν χάριν δεξάμενον, προφητικὰς γράψαι ψαλμούς·

ἄλλως τε καὶ νέος ὢν τηνικαῦτα, πρόβατα ποιμαίνων, ἐ βασιλείαν ἰθύνων, ἐδὲ ὑπό τινων διωκόμενος δυσμενῶν; ἔδει δὲ αὐτὸς συνιδεῖν, ὡς δὶς λέγει χριωθῆναι τὸν Δαβὶδ ἡ τῶν βασιλειῶν ἱστορία, μᾶλλον δὲ τρίς· πρῶτον μὲν ἐν τῇ Βηθλεέμ, ὑπὸ Σαμουὴλ τῦ προφήτε· δεύτερον δὲ ἐν Χεβρὼν, ὑπὸ τῆς Ἰούδα φυλῆς, μετὰ τὴν ἀναίρεσιν Σαὲλ. τὸ δὲ τρίτον, ὑπὸ πασῶν τῶν φυλῶν, μετὰ τὴν τελευτὴν τοῦ Μεμφιβοσθέ. λέγει δὲ οὕτως περὶ τῆς δευτέρας χρίσεως· καὶ ἐπηρώτησε Δαβὶδ διὰ Κυρίε λέγων· εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων τῆς Ἰούδαίας; καὶ εἶπε Κύριος πρὸς αὐτὸν, ἀνάβηθι· καὶ εἶπε Δαβὶδ, ποῦ ἀναβῶ; καὶ εἶπε εἰς Χεβρών. εἶτα διηγησάμενος ὁ ἱστοριογράφος, ὅπως ἀνῆλθεν, ἐπήγαγε· καὶ ἔρχονται ἄνδρες τῆς Ἰούδαίας, καὶ χρίεσιν ἐκεῖ τὸν Δαβὶδ, τῦ βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰούδα. περὶ δὲ τῆς τρίτης πάλιν οὕτως· καὶ παραγίνονται πᾶσαι αἱ φυλαὶ Ἰσραὴλ πρὸς Δαβὶδ εἰς Χεβρὼν, καὶ μετ' ὀλίγον· καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαβὶδ διαθήκην ἐν Χεβρὼν ἐνώπιον Κυρίε, καὶ χρίεσι τὸν Δαβὶδ εἰς βασιλέα ἐπὶ πάντα τὸν Ἰσραήλ· ὡς εἶναι δῆλον, ὅτι τὸν ψαλμὸν τῦτον εἴρηκε, πρὶν τὴν δευτέραν δέξασθαι χειροτονίαν, καὶ προφανῶς ἐγχειριδῆναι τὴν τῶν πραγμάτων οἰκονομίαν· τοίνυν διωκόμενος ὑπὸ τοῦ Σαοὺλ τούτοις ἐχρήσατο τοῖς λόγοις, ἡνίκα πρὸς Ἀβιμέλεχ εἰσῆλθε τὸν ἱερέα, καὶ ἐν τῇ τοῦ Θεοῦ σκηνῇ προσευξάμενος, καὶ τὴν ὑπὸ τῶν ἁγίων ἄρτων εὐλογίαν λαβὼν, διέφυγε τῦ πολεμοῦντος τὰς χεῖρας. τῦτο δὲ καὶ ἐν αὐτῷ τῷ ψαλμῷ λέγει, ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· τότε καὶ Δωὴκ ὁ Ἰδουμαῖος τὰς βασιλικὰς ἡμιόνους νέμων ἐκεῖ, τοῦ Δαβὶδ τὴν φυγὴν τῷ Σαὲλ κατεμήνυσε· διόπερ ἐν τῷ ψαλμῷ λέγει, ὅτι ἐπανέστησαν ἐπ' ἐμὲ μάρτυρες ἄδικοι· σαφέστερον δὲ ταῦτα ἡ κατὰ μέρος ἑρμηνεία διδάξει. Κύριος φωτισμός με καὶ σωτήρ με, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; Ὑπὸ σοῦ, φησι, φωτιζόμενος, καὶ τῷ νοερῷ σου φωτὶ καταυγαζόμενος, πάντων ὁμοῦ τῶν πολεμούντων καταφρονῶ. β'. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου· οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον. Οὐκ ἐψεύσθην, φησὶ, τῆς ἐλπίδος, οὕτω τῇ σῇ θαρρήσας ἐοπῇ. καὶ γὰρ φθάσαντές με οἱ δίκην θηρίων διώκοντες, καὶ θοίνην ὠμοβόρον ποιήσασθαι πειραθέντες, ἐμὲ μὲν οὐκ ἐλωβήσαντο, αὐτοὶ δὲ παναλεθρίαν ὑπέμειναν· τῦτο δὲ γεγενῆσθαι πολλάκις ἡ ἱστορία διδάσκει· καὶ ἅπαξ γὰρ, καὶ δὶς, ὑπὸ τῦ Σαὲλ θηρευθεὶς, τὰς ἄρκυας διέφυγε, μᾶλλον δὲ αὐτὸν ἀνεῖλεν ἄν, εἴπερ ἠθέλησε, τὸν διώκοντα· ἀλλὰ αὐτὸς μὲν τὴν οἰκείαν ἐπεδείξατο φιλοσοφίαν, ἐκεῖνος δὲ παρὰ τοῖς ἀλλοφύλοις ἔτισε τῆς πονηρίας ποινήν· πρόρρησις ἐστι τοίνυν τῶν ἐσομένων τὰ εἰρημένα. γ'. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Τοσαύτην, φησὶ, πεῖραν τῆς ἐπικουρίας λαβὼν, κἂν δὶς τοσοῦτοι, κἂν τρὶς, προσβαλεῖν μοι πειράσθωσι πολέμιοι, καταθαρρῶ

τῶν

τῶν δεινῶν, τῇ ἐλπίδι ταύτῃ καθωπλισμένος. δ'. Μίαν ἠτησάμην παρὰ Κυρίε, ταύτην ζητήσω· τὸ κατοικεῖν ἐν οἴκῳ Κυρίε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τὸ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. ε'. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ· ἐν πέτρᾳ ὕψωσέ με. Ἐγὼ δέ φησι τοσαύτης ἀπολαύσας εὐεργεσίας, οὐ πλοῦτον ζητῶ τὸν ἐμὸν εὐεργέτην, καὶ δυναστείαν, οὐδὲ βασιλείαν καὶ δόξαν, ἀλλὰ τὸ διηνεκῶς τῷ θείῳ προσεδρεύειν ναῷ, καὶ τὸ θεῖον ἐκεῖθεν κατοπτρίζεσθαι κάλλος, καὶ ἐπισκοπεῖν ἅπαντα τὰ κατὰ νόμον γινόμενα· πεῖραν γὰρ ἔχω τῆς ὠφελείας, ἤδη τὴν ἐκεῖθεν σωτηρίαν δρεψάμενος, καὶ τῶν διωκόντων τὰς χεῖρας διαφυγών· ταῦτα καὶ ἤτησεν ὁ μέγας Δαβὶδ, καὶ ἔλαβε παρὰ τοῦ μεγαλοδώρου Θεοῦ· αὐτὸς γὰρ καὶ τὴν θείαν ἐπανήγαγε κιβωτὸν, καὶ σκηνὴν ἑτέραν θαυμασιωτέραν ἐπήξατο, καὶ τὲς διαφόρους τῶν ψαλτῳδῶν χορὸς συνεζήσατο· καὶ ταῦτα ἐκ τῆς τῶν παραλειπομένων βίβλου μάθοι τὶς ἂν ἀκριβέστερον. τὸ δὲ μίαν ἠτησάμην παρὰ Κυρίου, ἀντὶ τοῦ, μίαν χάριν· οὕτω γὰρ νοητέον. ς'. Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου· ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ. Ἐνταῦθα ὁ χρόνος ἐνήλακται· τοῦτο δὲ καὶ ὁ Ἀκύλας ἐδίδαξεν· ἀντὶ γὰρ τοῦ ὕψωσε κεφαλήν μου, ὑψωθήσεται ἡ κεφαλή μου τέθεικεν. σημαίνει τοίνυν, ὅτι βασιλεύσει, καὶ περιγενήσεται τῶν δυσμενῶν, καὶ κυκλώσει αὐτοὺς ὁ νῦν ὑπ' αὐτῶν κυκλούμενος· καὶ τῷ Θεῷ προσοίσει, οὐ τὰς νομικὰς θυσίας ἐν τῇ σκηνῇ, ἀλλὰ τὴν τῆς αἰνέσεως θυσίαν, ἣν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις, διὰ τῶν τῷ Θεῷ πεπιστευκότων, νύκτωρ καὶ μεθ' ἡμέραν προσφέρει. ἔνια μέντοι τῶν ἀντιγράφων, θυσίαν αἰνέσεως ἔχει καὶ ἀλαλαγμοῦ. τὴν αὐτὴν δὲ ἔχει διάνοιαν. ἀλαλαγμὸς γάρ ἐστι πολεμικὴ φωνὴ, ὑπὸ τῶν θαρραλεωτέρων γινομένη κατὰ τῶν δειλιώντων· τοιουτότροπος δὲ καὶ ἡ ὑμνῳδία. εὐθυμούντων γάρ ἐστιν ἡ φωνὴ, καὶ τὸν Θεὸν ἀνυμνούντων. εὐθυμεῖ γάρ τις, φησὶν, ἐν ὑμῖν; ψαλλέτω. ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ. δῆλον κἀντεῦθεν, ὡς ἐνήλακται ἐν τοῖς προῤῥηθεῖσιν ὁ χρόνος. ὑπισχνεῖται γὰρ ἄσειν, καὶ τὸν ὕμνον προσοίσειν. ζ'. Εἰσάκουσον Κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα· ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Ἔλεον μὲν αἰτεῖ, οὐκ ἄδικον δὲ, ἀλλὰ καὶ μάλα δίκαιον. η'. Σοί φησιν εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω. Οὐ γὰρ λόγοις ἐχρησάμην ἀληθείας γεγυμνωμένοις, ἀλλὰ τῆς διανοίας συνομολογούσης τοῖς λόγοις τὸ ἔργον ἐπέθηκα. ἐξεζήτησέ σε τὸ πρόσωπόν μου. καὶ οὐκ ἀποχρήσει τὰ ἤδη γενόμενα· ἀλλὰ τοῦτο δράσω καὶ εἰς τὸν ἔπειτα χρόνον. τὸ πρόσωπόν σου, φησὶ, Κύριε ζητήσω. μὴ τοίνυν ἀπώσῃ με ποθοῦντα, μηδὲ τοῦ ποθουμένου στερήσῃς. θ'. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Τοῦτο ἐκ μεταφορᾶς τέθεικε τῶν ὀργιζομένων, καὶ τὲς προσιόντας ἀποστρεφομένων, καὶ εἰς ἑτέ-

ξαν ὁδὸν ἐκκλίνειν πειρωμένων. Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς μέ ὁ Θεὸς ὁ σωτήρ μου. τὸ μὴ ἀποσκορακίσῃς με, μὴ ἀποῤῥίψῃς με εἶπον οἱ ἄλλοι ἑρμηνευταί· ἀπὸ τῆς ἔξωθεν δὲ παιδείας οἱ ἑβδομήκοντα τοῦτο τὸ ὄνομα πεποιήκασι. τὸ γὰρ εἰς κόρακας ὕβρις τίς ἦν παρὰ τοῖς πάλαι ἀπό τινος μύθου γεγενημένη. ιγ'. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. Διωκόμενος γὰρ ὑπὸ τοῦ Σαοὺλ, πόῤῥω διάγειν τῶν γεγεννηκότων ἠνάγκαζο. ἀρκεῖς δέ φησι μοὶ ἀντὶ πάντων, ὦ Δέσποτα. ιδ'. Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σου· καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ. Ἀντὶ τοῦ νομοθέτησόν με, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων φώτισον εἰρήκασιν· ὁ δὲ Σύμμαχος, ὑπόδειξόν μοι τὴν ὁδόν σου. ἐπειδὴ πόῤῥω φησὶ διάγειν τῶν ὁμοφύλων ἠνάγκασμαι, αὐτός μοι γενοῦ καὶ νομοθέτης καὶ παιδαγωγὸς, ὑπόδεικνύς μοι τὴν πρός σε φέρουσαν τρίβον. ἕνεκεν τῶν ἐχθρῶν μου. ιε'. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με. Ταπεινοῦ φρονήματος ἔκγονα τὰ ῥήματα ταῦτα. λέγει γὰρ, ὅτι ἐγὼ μὲν τῆς σωτηρίας ἀνάξιος, ἀλλ' ὅμως ἠκισμαι παρὰ τοὺς νῦν πολεμοῦντας ἠδικημένως, ἀδίκως ἐλαύνομαι· μὴ παραδῷς τοίνυν τοῖς ἀδικοῦσι τὸν ἀδικούμενον. ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. ὁ δὲ Ἀκύλας τοῦτο σαφέστερον εἴρηκεν· ἀντέστησάν μοι μάρτυρες ψευδεῖς, καὶ ἐξεφάνη ἡ ἀδικία. αὐτοὶ μὲν γάρ φησι συκοφαντίαις ἐχρήσαντο κατ' ἐμοῦ, ἐγὼ δὲ λώβην οὐδεμίαν ἐντεῦθεν ἐδεξάμην διὰ τὴν σὴν βοήθειαν. ἀντεξράφη δὲ κατὰ τῶν ἀδίκων, καὶ τὰ πεμφθέντα παρ' αὐτῶν κατ' ἐμοῦ βέλη κατ' αὐτῶν πάλιν ἀνέστρεψε. τοῦτο δὲ ἀπὸ τῆς κοινῆς εἰλημμαι χρήσεως· εἰώθαμεν γὰρ καὶ ἡμεῖς περὶ τῶν ἐπιβουλευόντων μὲν, οὐ βλαπτόντων δὲ, λέγειν· ἑαυτὸν ἔβλαψεν, οὐκ ἐμέ· οὕτω καὶ ὁ μακάριος ἔφη Δαβὶδ· ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. ιγ'. Ἐγὼ δὲ πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. Οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον πρείττων ἔσομαι τῶν πολεμίων· ἀλλὰ καὶ τῶν προσδοκωμένων ἀγαθῶν ἐν ἀπολαύσει γενήσομαι· ἔστα προσφέρει πᾶσιν ἀνθρώποις παραίνεσιν. ιδ'. Ὑπόμεινον τὸν Κύριον. Καὶ πῶς τοῦτο γένοιτ' ἂν δυνατόν; ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. ὁ γὰρ, φησὶ, τῇ ἀνδρείᾳ καθοπλιζόμενος, καὶ διὰ ταύτης τῶν προσβαλλόντων παθημάτων περιγινόμενος, κρατύνεται καὶ νικᾷ, καὶ τὰς θείας ἐπαγγελίας προσμένει, ὧν μετὰ τῶ συνεργήσαντος σώματος γίνεται κληρονόμος· γῆν δὲ ζώντων καλεῖ τὸν προσδοκώμενον βίον, ὡς τῷ θανάτου κεχωρισμένον, καὶ φθορᾶς καὶ λύπης ἐλεύθερον.

ΕΡΜΗΝ. ΤΟΥ κζ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβίδ. „ᾄδει τὸν „ψαλμὸν ἐκ προσώπου τῶν πι„στευσάντων εἰς Χριστὸν διὰ δεήσεως εἰς „ἐπικράτειαν καλῶν τὸν Χριστόν· ἅμα δὲ „καὶ τῆς Ἰουδαίων ἀπονοίας κατάῤῥησιν „ἔχει καὶ εὐχὴν τοῦ χωρισθῆναι τῆς ἐ„κείνων χειρὸς, μᾶλλον δὲ καὶ τῆς μερί„δος.„ Πρός σε Κύριε κεκράξομαι, ὁ

Θεός

Θεός μου μὴ παρασκωπήσῃς ἀπ' ἐμοῦ· μήποτε παρασκωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἴρηται μὲν ὁ ψαλμὸς ὑπὸ τοῦ Δαβὶδ, ἡνίκα ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο, καὶ ὑπὸ τῶν δοκούντων εἶναι φίλων ἐπεβουλεύετο, καὶ μηνυόντων, καὶ κατάδηλον αὐτὸν τῷ Σαοὺλ πειρωμένων ποιεῖν· τοιοῦτος ἦν ὁ Δωὴκ, τοιοῦτοι οἱ Ζιφαῖοι, καὶ ἕτεροι πρὸς τούτοις πολλοί. ἁρμόττει δὲ καὶ ἅπασι, καὶ μέντοι καὶ οἱ πρὸ τούτου ψαλμοὶ, παντὶ τοιαύταις περιπίπτοντι συμφοραῖς. ἔνεστι γὰρ ὁμοίως τῷ μακαρίῳ Δαβὶδ, καὶ καρτερῆσαι τὸν βουλόμενον, καὶ τῷ Θεῷ δεηθῆναι, καὶ τῆς ἐκεῖθεν προμηθείας τυχεῖν· τὸ κεκράξομαι μέντοι τέθεικεν οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἐπὶ προθυμίας, καὶ συντόνου καὶ σπουδαίας εὐχῆς· τὸ δὲ μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, ἐκ μεταφορᾶς ἔλαβε τῶν ὑπό τινων παρακαλουμένων, καὶ πρὸς ἐδὲν ἀποκρίνασθαι βουλομένων· διό φησιν, ἐὰν παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ τῆς σῆς βοηθείας γυμνώσῃς με, παραυτίκα τῷ θανάτῳ παραδοθήσομαι· τοῦτον γὰρ ἐκάλεσε λάκκον· ἐπειδὴ λάκκῳ παραπλησίως ὁ τάφος ὀρύττεται. β'. Εἰσάκουσον Κύριε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί σε, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. Οὐδέπω μὲν ὁ ναὸς ᾠκοδόμητο· τὴν δὲ σκηνὴν ὀνομάζει ναὸν, ἐν ᾗ προσηύχετο, πόρρω μὲν ὢν κατὰ τὸ σῶμα, τὸν δὲ νοῦν ἐκεῖ παραπέμπων· οὕτω καὶ ὁ μακάριος Δανιὴλ ἐν Βαβυλῶνι προσευχόμενος, πρὸς τὴν Ἱερουσαλὴμ τετραμμένας ἀνεῴγνυ φωταγωγούς, οὐκ ἐκεῖ περιγεγράφθαι τὸ θεῖον ὑποπτεύων, ἀλλ' ἐκεῖ τὴν θείαν ἐπιφάνειαν γεγενῆσθαι μεμαθηκώς. γ'. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων τὴν ἀδικίαν μὴ συναπολέσῃς με, τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν· κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Μηδεμίαν ἔχειν κοινωνίαν μετὰ τῶν διπλόην κεχρημένων ὁ μακάριος ἱκετεύει Δαβίδ. βδελυρὸς γὰρ εἶναί φησι τοὺς ἕτερα μὲν φθεγγομένους, ἕτερα δὲ βουλευομένους. οὗ δὴ χάριν καὶ πρόσφορα τοῖς ἐπιτηδεύμασι βούλεται αὐτοὺς τρυγῆσαι τὰ ἐπίχειρα. φησὶ γάρ· δ'. Δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν· καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς· ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς. Μηδεὶς δὲ τὸν δίκαιον ἐπαρᾶσθαι τοῖς ἐχθροῖς νομιζέτω· ἐ γάρ ἐστιν ἀρὰς τὰ εἰρημένα, ἀλλὰ ψῆφος δικαίας. ἀπόδος γάρ φησι τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς· ταῖς οἰκείαις, φησὶν, ἐπιβουλαῖς περιπέσοιεν, αἷς κατ' ἀλλήλων κατῴδυσι· τοῦτο καὶ ἐν τῷ ἑβδόμῳ ψαλμῷ, ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. εἶτα τὴν αἰτίαν τῆς τιμωρίας διδάσκει. ε'. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ. Ταῦτα δέ φησι δεδρακάσιν, ἔτε λόγον, ἔτε ἔργον θεῖον μαθεῖν ἐθελήσαντες. διὸ δὴ καθαιρεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς. Λυσιτελὴς γὰρ τοῖς κακοῖς οἰκοδόμοις ἡ τῆς πονηρᾶς οἰκοδομίας κατάλυσις· καὶ ἐντεῦθεν μέντοι δῆλον, ὡς καὶ τὰ προειρημένα προαγορευτικῶς εἶπεν, ἐκ αὐτοῖς ἐπαρώμενος, ἀλλ'

λὰ τὰ ἐσόμενα προθεσπίζων· ὁ γὰρ εἶπε κάθελε, ἀλλὰ καθελεῖς, καὶ ὁ μὴ οἰκοδομήσεις. εἶτα πάλιν τῆς θείας ἀποκαλύψεως ἀπολαύσας, καὶ πόρρωθεν τὴν ἐσομένην βοήθειαν θεωρήσας, εἰς ὑμνῳδίαν τὴν γλῶτταν ἐκίνησεν. ς'. Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. ζ'. Κύριος βοηθός μου, καὶ ὑπερασπιστής μου. Καὶ δεικνὺς τὴν αἰτίαν τῆς ταχείας ἐπικουρίας, ἐπήγαγεν· Ὅτι ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου. Ἡ γὰρ εἰς αὐτὸν ἐλπὶς, πρόξενός μοι τῆς προμηθείας ταύτης ἐγένετο. διὸ δὴ τῆς διὰ τὴν φυγὴν κακοχίας ἀπαλλαγεὶς, ἀνέθηλά τε καὶ ἤνθησα, καὶ τὴν ἐκ τῆς εὐθυμίας εὐεξίαν ἀπέλαβον. Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Ἀντὶ τοῦ ἑκούσιον, ἀλλ' ἐθελούσιον αὐτῷ προσφέρω τὸν ὕμνον· ὅτω καὶ ἀλλαχοῦ φησὶν, ἑκουσίως θύσω σοι, καὶ πάλιν, τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε. η'. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ ἐστιν· καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστιν. Ὑμνῳδὲ αὐτὸν ὡς ἀγαθὸν Δεσπότην, ἰσχὺν, καὶ ῥώμην, καὶ σωτηρίαν, καὶ βασιλεῖ, καὶ λαῷ φιλοτίμως παρέχοντα· Χριστὸν γὰρ ἑαυτὸν ὡς βασιλέα καλεῖ. κοινὸν γὰρ τοῦτο τὸ ὄνομα καὶ βασιλέων, καὶ προφητῶν, καὶ ἱερέων ὑπῆρχε. θ'. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. Ταύτης τοίνυν, φησὶ, τῆς εὐλογίας καὶ σωτηρίας τῷ σῷ μετάδος λαῷ, ἰθύνων καὶ ποιμαίνων, καὶ ὑπερτέρους ἀποφαίνων τῶν πολεμίων. καὶ βασιλεῖ δὲ πρέπουσα ἡ ὑπὲρ τοῦ λαοῦ προσευχή· ἀξιάγασον δὲ καὶ τοῦτο τὸ μεγάλου Δαβὶδ, ὅτι καὶ διωκόμενος ὑπὸ τοῦ λαοῦ· συνεπολέμει γὰρ τῷ Σαοὺλ· τὴν ὑπὲρ αὐτῶν ἱκετείαν προσέφερε τῷ Θεῷ· προεώρα γὰρ αὐτῶν τὴν ἐσομένην μεταβολὴν, καὶ οὐχ ὁρῶν τὴν ἀδικίαν, ἀλλὰ τὴν ἐσομένην δουλείαν.

ΕΡΜΗΝ. ΤΟΥ κη' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβὶδ, ἐξόδου σκηνῆς. Οὐδὲ ταύτην εὗρον ἐν τῷ ἑξαπλῷ τὴν ἐπιγραφὴν, ἀλλ' ἔν τισιν ἀντιγράφοις· ἐντεῦθέν τινες τῶν συγγραφέων ὁρμώμενοι ᾠήθησαν τὸν μακάριον Δαβὶδ τοῦτον εἰρηκέναι τὸν ψαλμὸν, νικήσαντα τὸν κίβωτον ἐπανήγαγεν. οὐδεμίαν δὲ τοιαύτην διάνοιαν ἔχει τοῦ ψαλμοῦ τὰ ῥήματα· ἕτερα γὰρ ὁ ψαλμὸς προθεσπίζει. διπλῆν δὲ ὅμως ἔχει τὴν προφητείαν· τὴν μὲν ἁρμόττουσαν Ἐζεκίᾳ τῷ βασιλεῖ, τὴν δὲ τῷ πάντων ἡμῶν βασιλεῖ, ὃς τῶν εἰδώλων καταλύσας τὴν πλάνην, ταῖς ἀκτῖσι τῆς θεογνωσίας τὴν οἰκουμένην ἐφώτισεν· ἐγὼ δὲ τὴν μὲν εἰς τὸν Ἐζεκίαν προφητείαν συντόμως ἐρῶ, διὰ πλειόνων δὲ τὴν ἡμετέραν, ὡς μᾶλλον ἡμῖν προσήκουσαν. ὁ θαυμάσιος Ἐζεκίας τῶν Ἀσσυρίων περιγινόμενος, καὶ τῷ παραδόξῳ τῆς νίκης ἐπαγαλλόμενος, παρακελεύεται τῷ λαῷ θυσίαις ἀμείβεσθαι τὸν Θεὸν, καὶ ὕμνους αὐτῷ καὶ δοξολογίαν προσφέρειν, καὶ ἐν τῇ αὐλῇ αὐτοῦ τῇ ἁγίᾳ τὴν νενομισμένην λατρείαν ἐπιτελεῖν. ἐπειδὴ περ ὁ ναὸς ἄβατος ἦν τοῖς πολλοῖς, μόνοις δὲ εἰσιτητὸς ἦν τοῖς ἱερεῦσιν ἐκεῖ. εἶτα τούτων τὴν αἰτίαν διδά-

διδάσκει, τὴν θελατον πληγὴν τῶν Ἀσσυρίων ἐπιδεικνὺς, φωνῆς ὁμοῦ καὶ βροντῆς μεμνημένος· καὶ τροπικῶς πλῆθος ὑδάτων τῶν πολεμίων ὀνομάζων τὸ πλῆθος· εἶτα πάλιν κέδρους αὐτοὺς ἀποκαλεῖ, τὸ ὑψηλὸν καὶ πυκνὸν ἐνλεῦθεν παραδηλῶν· καὶ λέγει ταύτας μὲν συντριβῆναι, τὸν δὲ ἠγαπημένον λαὸν υἱῷ μονοκερώτων ἀπεικαθῆναι· ἅτε δὴ ἕνα προσκυνοῦντα Θεὸν, καὶ διὰ τούτου καταλύσαντα τῶν ἐπελθόντων δυσμενῶν τὰς πολλὰς μυριάδας· ἀλλὰ μὴν φησι καὶ δίκην φλογὸς αὐτοὺς διέκοψε καὶ διεσκέδασε, καὶ τὴν τῦ Θεοῦ ἔρημον συνέσεισε φάλαγγα, καὶ τὸν δρυμὸν μιμούμενον χῶρον διὰ τὴν τῶν ἐν αὐτῷ στρατοπεδευσαμένων πυκνότητα, τῶν ἐκεῖ καταλυσάντων ἐγύμνωσεν· ἡμᾶς δὲ τοὺς ἐλάφων δεξαμένους δειλίαν κατήρτισε, καὶ μένειν ἀντὶ τοῦ φεύγειν πεποίηκε. τούτου δῆτα χάριν, καὶ συντρέχειν ἅπαντας ἐν τῷ ναῷ δίκαιον, καὶ τῶν ὕμνων αὐτῷ προσφέρειν τὰς ἀντιδόσεις. τούτων γὰρ ἡμᾶς ἐλευθερώσας, παρασκευάσει καὶ τὰ τῶν περιβόλων ἔξω, τὰ ὑπὸ τῶν πολεμίων διαφθαρέντα, καὶ οἱονεὶ κατακλυθέντα, αὖθις ἀνοικοδομῆσαι καὶ κατοικῆσαι. ῥᾳδίως γὰρ ἅπαντα κατορθώσομεν τὸν αἰώνιον ἔχοντες βασιλέα, ὃς καὶ τὸ κρατεῖν ἡμῖν δέδωκε, καὶ τὴν εἰρήνην δεδώρηται. ὅτι μὲν οὖν εἰς τὸν μακάριον Ἐζεκίαν εἴρηται ὁ προκείμενος ψαλμὸς, ἡ ἑρμηνεία δεδήλωκεν· ἐπειδὴ δὲ τύπος τῆς νέας ἡ παλαιὰ, φέρε τῇ σκιᾷ παραθέντες τὸ σῶμα, τὴν ὁμοιότητα δείξωμεν. ἐκεῖ βασιλεὺς εὐσεβὴς, καὶ ἐνταῦθα Χριστὸς ὁ τῆς εὐσεβείας διδάσκαλος· ἐκεῖ λαὸς ἐκείνῳ πειθόμενος, καὶ ἐνταῦθα λαὸς ὑπὸ τούτου σωζόμενος· ἐκεῖ Ἀσσυρίων πόλεμός τε καὶ ὄλεθρος, καὶ ἐνταῦθα δαιμόνων ἐπανάστασις καὶ κατάλυσις. παρακελεύεται τοίνυν ἡ χάρις τῦ πνεύματος τοῖς ἱεροῖς ἀποστόλοις τοῖς ἔθνεσι κηρύξαι τὴν σωτηρίαν, καὶ τοὺς πειθομένους προσενεγκεῖν τῷ Θεῷ. υἱοὺς μὲν γὰρ Θεοῦ τοὺς ἀποστόλους καλεῖ, ὡς ἀδελφοὺς τῦ Χριστοῦ χρηματίσαντας. εἶπατε γάρ φησιν τοῖς ἀδελφοῖς μου, ὅτι προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν· υἱοὺς δὲ κριῶν, τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε δὴ φῦντας ἐξ ἀλόγων πατέρων. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν. β'. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτῦ· προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτῦ. Ὑμεῖς, φησὶν, οἱ τὸ θεῖον κήρυγμα πιστευθέντες, καὶ υἱοὶ κληθέντες Θεοῦ, μετὰ πάσης προθυμίας τὸ θεῖον πανταχοῦ διαπορθμεύσατε κήρυγμα, καὶ τοὺς ἐν ἀλογίᾳ τραφομένους λογικοὺς ἀποφήνατε, καὶ τούτους πρώτους τῷ Θεῷ προσενέγκατε· εἶτα διὰ τούτων τὸ σέβας καὶ τοὺς ὕμνους προσοίσατε, ἐν τοῖς θείοις οἴκοις τὸν εὐεργέτην γεραίροντες. ἔοικε ταῦτα καὶ τοῖς ὑπὸ τῦ σωτῆρος εἰρημένοις πρὸς τοὺς ἱεροὺς ἀποστόλους· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· καὶ ὁ ψαλμὸς γὰρ, μετὰ τὰ εἰρημένα, εὐθὺς τῶν ἱερῶν ὑδάτων ἀνέμνησε. γ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων· ὁ Θεὸς τῆς δόξης ἐβρόντησε. Προλέγει δὲ ὁ λόγος

γος τὴν οὐρανόθεν ἐνεχθεῖσαν παρὰ τὸν Ἰορδάνην Φωνήν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· Βροντὴν δὲ αὐτὴν προσηγόρευσεν, ὡς εἰς ἅπασαν διὰ τῶν ἱερῶν εὐαγγελίων δραμοῦσαν τὴν οἰκουμένην· οὕτως υἱοὺς βροντῆς τὴν ξυνωρίδα τῶν ἀποστόλων ἐκάλεσε, διὰ τὴν ὑπερφυᾶ καὶ θείαν τῆς θεολογίας φωνήν. Κύριος ἐπὶ ὑδάτων πολλῶν. οὐ γὰρ μόνος ὁ Ἰορδάνης ἐκείνην τὴν χάριν ἐδέξατο, ἀλλ' ἐν ἁπάσῃ γῇ καὶ θαλάσσῃ τὸ τοῦ βαπτίσματος ἐπιτελεῖται μυστήριον, τῆς θείας ἐπικλήσεως ἁγιαζούσης τῶν ὑδάτων τὴν φύσιν· ἐντεῦθεν τὴν χορηγηθεῖσαν δύναμιν τοῖς ἀποστόλοις προαγορεύει. δ'. Φωνὴ Κυρίου ἐν ἰσχύϊ· Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. Σύμφωνα τούτοις ἡμᾶς καὶ τῶν πράξεων ἡ ἱστορία διδάσκει. μανθάνομεν γὰρ ἐκεῖθεν, ὅπως ἀναλαμβανόμενος ὁ Δεσπότης Χριστὸς τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς παρηγγύησε λέγων· προσμείνατε ἐν τῇ πόλει ταύτῃ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους· καὶ μετὰ δέκα ἡμέρας ἐν τῇ τῆς Πεντηκοστῆς ἑορτῇ ἐγένετο Φωνὴ ἐκ τοῦ οὐρανοῦ, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ ἐγένετο ἐν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν· Φωνὴν δὲ λέγει τὴν χάριν τοῦ πνεύματος, τὴν ἰσχύος καὶ δυνάμεως τοὺς ἀποστόλους ἐμπλήσασαν, καὶ μεγαλοπρεπεῖς τοὺς εὐτελεῖς ἀποφήνασαν. εἶτα δείκνυσιν, ὁποῖα κατώρθωσαν τῇδε τῇ Φωνῇ κρατυνθέντες. ε'. Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου. Σημαίνει δὲ διὰ τούτων τῶν λόγων τὴν τῶν εἰδώλων κατάλυσιν. ἐπειδὴ γὰρ ὑψηλὰ ἦν πάλαι τὰ τῶν εἰδώλων τεμένη, καιρὸν ἐδέναι τοῖς σεβομένοις ὀρέγοντα, ταῖς τοῦ Λιβάνου κέδροις ἀπείκασε ταῦτα, αἱ ὑψηλαὶ μέν εἰσιν, ἐδώδιμον δὲ καρπὸν οὐ πεφύκασι φέρειν. ς'. Καὶ λεπτυνεῖ αὐτὰς, ὡς τὸν μόχον τοῦ Λιβάνου. Λίβανον δὲ καὶ τὴν Ἱερουσαλὴμ ὀνομάζει πολλάκις· διάνοιξον γάρ φησιν ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. μόχος δὲ Λιβάνου, ὁ ὑπ' αὐτῶν γενόμενος ἐν Χωρὴβ. ἐποίησαν γάρ φησι μόχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ· ἀλλ' ἐκεῖνον Μωσῆς ὁ νομοθέτης συνέτριψε, καὶ ἐλέπτυνεν· ἐκείνῳ τοίνυν λέγει παραπλησίως καὶ πάντα τῆς οἰκουμένης τὰ εἴδωλα λεπτυνθήσεσθαι, καὶ φροῦδα γενήσεσθαι. καὶ ὁ ἠγαπημένος, ὡς υἱὸς μονοκερώτων. ὁ δὲ πεπιστευκὼς λαὸς, καὶ τῆς πλάνης ἐκείνης ἀπαλλαγείς, καὶ ἀγαπητὸς τούτου χάριν καλούμενος, ἀήττητος ἔσαι καὶ ἄμαχος, ἅτε δὴ τῆς πολυθεΐας ἀπηλλαγμένος, καὶ τὴν μίαν προσβεύων θεότητα. ζ'. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. Πυροειδῆ γὰρ τοῦ παναγίου πνεύματος τὴν χάριν ὑποδεξάμενος ὁ τῶν ἱερῶν ἀποστόλων χορὸς, ἐφωτίζετο μὲν, οὐκ ἐκαίετο δέ. καὶ τῷ μέλλοντι δὲ βίῳ ἡ διπλῆ τοῦ πυρὸς ἐνέργεια μεριζομένη, φωτίσει μὲν τοὺς τῆς ἀρετῆς ἀθλητὰς, ἐμπρήσει δὲ τῆς κακίας τοὺς ἐραστάς· οὗ δὴ χάριν καὶ πῦρ ὀνομάζει, καὶ σκότος καλεῖται τῶν παρανόμων ἡ κόλασις, ὡς τῆς φωτιστικῆς ἐνεργείας οὐ φαινομένης ἐκεῖ. η'. Φωνὴ Κυρίου συσσείοντος ἔρημον,

καὶ

καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης. Ὁ δὲ Σύμμαχος ὁ συσσείοντος, ἀλλ' ἐκτοπίζοντος ἔρηκεν· καὶ μέντοι καὶ ὁ Ἀκύλας, ὠδίνοντος. περὶ δὲ ταύτης τῆς ἐρήμου καὶ Ἡσαΐας προαγορεύει· εὐφράνθητι λέγων ἔρημος διψῶσα· εὐφρανθήτω ἡ ἔρημος, καὶ ἀνθήτω ὡς κρίνον. ἔρημον δὲ ὀνομάζει τὰ ἔθνη, ὡς ἔρημα πάλαι γεγενημένα Θεῷ. ταῦτα δὲ ὁ μὲν θεσπέσιος Ἡσαΐας ἀνθήσειν, ὁ δὲ μακάριος Δαβὶδ ὠδινήσειν ἔφη καὶ τέξεσθαι. τοιῆτο δὲ ἔστι καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ κείμενον ἀλλαχῆ· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ταύτην τὴν ἔρημον ὁ Δεσπότης συσσείων· δηλοῖ δὲ τῷ Θεῷ τὴν ἐπιφάνειαν ὁ συσσεισμός· τεκεῖν παρασκευάσει τὴν σωτηρίαν, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποίησας ἐπὶ τῆς γῆς. τούτου χάριν καὶ κάδης αὐτὴν ὀνομάζει, τουτέστιν ἁγίαν. τοῦτο γὰρ ἑρμηνεύεται τὸ κάδης. ϛ'. Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς. Φύσις ταῖς ἐλάφοις τῶν ἑρπυστικῶν θηρίων καταφρονεῖν· ταύτην δὲ τὴν ἐξουσίαν καὶ τοῖς ἱεροῖς ἀποστόλοις ὁ Δεσπότης δέδωκε· δέδωκα γὰρ, φησὶν, ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· τούτῳ κρατυνθέντες τῷ λόγῳ, τοὺς ἀπατεῶνας τῆς οἰκουμένης ἐξήλασαν δαίμονας, καὶ τῶν εἰδώλων ἐγύμνωσαν τὴν ἀσθένειαν· καὶ τοῦτο ὁ προφητικὸς προηγόρευσε λόγος. Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς. τοῦτο γὰρ δὴ τὸ παράδοξον, ὅτι τῶν παντοδαπῶν θηρίων τὸ πλῆθος δι' ἐλάφων ἐκεράτισε, καὶ τῶν φιλοσόφων τὴν ἀκαρπίαν δι' ἀγραμμάτων διήλεγξε, καὶ τοῦ διαβόλου τὴν τυραννίδα διὰ ἁλιέων κατέλυσε. δρυμοὺς δὲ προσηγόρευσε τὰ τῶν εἰδώλων τεμένη, ὡς ἄκαρπα παντελῶς· τοιοῦτοι γὰρ οἱ δρυμῶνες, ἢ οἱ δρυμοὶ, οὓς ἐκκόπτειν εἰώθοτες οἱ ἄριστοι γηπόνοι, καὶ τὴν ὑπ' αὐτῶν νεμομένην γυμνοῦντες γῆν, τὰ κάρπιμα φυτεύουσι δένδρα, καὶ τὰ ἐδώδιμα καταβάλλουσι σπέρματα. τοῖο δεδράκασι καὶ οἱ τῆς οἰκεμένης γεωργοί. προῤῥίζα γὰρ ἀνασπάσαντες τὰ τῶν εἰδώλων τεμένη, τὰς θείας ἀντ' ἐκείνων ἐκκλησίας ἐφύτευσαν. διὰ τοῦτο ἐν τῷ ναῷ αὐτοῦ πᾶς τὶς λέγει δόξαν. ὑπὸ τῆς παραδόξου ταύτης μεγαλουργίας εἰς ὑμνῳδίαν διεγειρόμενος. ι'. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. Τὴν γὰρ τῷ χειμάῤῥῳ τῆς ἀνομίας καταποντισθεῖσαν οἰκουμένην οἰκοδομήσει, καὶ νεργήσει, καὶ νέαν κτίσιν ἐργάσεται· διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ, εἴτις ἐν Χριστῷ καινὴ κτίσις· τοῦτο δὲ φησι ποιήσας, οὐκ ἐάσει λοιπὸν χώραν λαβεῖν τὴν ἀσέβειαν, ἀλλ' εἰς αἰῶνα βασιλεύσει. ιά'. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ. Διὰ τούτων δὲ προηγόρευσε καὶ τὰς τῶν ἀσεβῶν ἐπαναστάσεις, καὶ τῶν νικηφόρων μαρτύρων τὴν νίκην, καὶ τὴν μετὰ ταῦτα παραχεθεῖσαν ταῖς ἐκκλησίαις εἰρήνην. Κύριος ἰσχὺν τῷ λαῷ αὐ-

τοῦ δώσει, τουτέστιν ἐν τῷ τοῦ πολέμου καιρῷ· καὶ εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ, τὸν μακρὸν πόλεμον καταλύσας.

ΕΡΜΗΝ. ΤΟΥ κθ΄ ΨΑΛΜΟΥ.

α΄. Ψαλμὸς ᾠδῆς τῷ ἐγκαινισμοῦ τοῦ οἴκου, εἰς τὸ τέλος, τῷ Δαβίδ. Οὔτε τὸν θεῖον νεὼν ὁ μακάριος ἐδείματο Δαβὶδ, οὔτε τῷ δειμαμένῳ ἁρμόττει τὸ ψαλμοῦ τὰ ῥητά· ἐγκαινισμὸν τοίνυν οἶκόν καλεῖ, τὴν τῆς ἀνθρωπίνης Φύσεως νεουργίαν· ἣν ὁ δεσπότης Χριστὸς ἐπετέλεσε τὸν ὑπὲρ ἡμῶν καταδεξάμενος θάνατον, καὶ καταλύσας τὸν θάνατον, καὶ τῆς ἀναστάσεως ἡμῖν δεδωκὼς τὰς ἐλπίδας. εἴρηται δὲ καὶ εἰς τὸν μακάριον Ἐζεκίαν οὗτος αὐτὸς ὁ ψαλμός· μετὰ γὰρ τῶν Ἀσσυρίων ἀναίρεσιν, καὶ τὴν τῆς ἀῤῥωστίας ἀπαλλαγὴν, ἑορτὴν ὡς εἰκὸς μεγίστην ἐπετέλεσε, τῷ Θεῷ χάριν ὁμολογῶν, ὅτι καὶ αὐτοῖς ἐδωρήσατο σωτηρίαν, καὶ τὸν ἅγιον αὐτοῦ ναὸν τῶν πολεμίων πυρὸς ἠλευθέρωσεν· ἐπειδὴ τοίνυν ἐγκαινίων ἐῴκει τὰ τελούμενα παννυχίδες, εἰκότως καὶ ταύτην ἐδέξατο τὴν ἐπιγραφήν. Ἰτέον μέν τοι, ὡς τῷ Ἐζεκίᾳ κατὰ τύπον ἁρμόττει· πάσῃ δὲ τῇ Φύσει τῶν ἀνθρώπων κατ' αὐτὴν τὴν ἀλήθειαν. ὥσπερ γὰρ ἐκεῖνος ὑψηλὸν εἰσεδέξατο Φρόνημα· τοῦτο γὰρ ἡ τῶν παραλειπομένων ἐδίδαξεν ἱστορία· τοῦ θανάτου τὴν ψῆφον ἐδέξατο, χάριτι δὲ θείᾳ τετύχηκε τῆς ζωῆς· οὕτως Ἀδὰμ ὁ προπάτωρ, Θεὸς ἔσεσθαι προσδοκήσας, καὶ μέγα κατὰ τὸ πεποιηκότος Φρονήσας, παρεδόθη μὲν θανάτῳ· τῇ δὲ θείᾳ Φιλανθρωπίᾳ τῆς ἀναστάσεως ἔτυχεν. β΄. Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με· καὶ οὐκ εὐφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. Λαβὼν γὰρ τὴν ἡμετέραν ἀπαρχὴν ὁ Δεσπότης, πᾶσαν δι' αὐτῆς τὴν Φύσιν τῆς σωτηρίας ἠξίωσε, καὶ ἐπίχαρτον γενέσθαι τοῖς ἐχθροῖς καὶ πολεμίοις οὐκ ἔασε δαίμοσιν. γ΄. Κύριε ὁ Θεός μου ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με. δ΄. Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου· ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Ταῦτα τῆς ἀνθρωπίνης Φύσεως διηγουμένης ἀκούομεν· τὸ μέντοι ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με, τῷ μὲν Ἐζεκίᾳ ἁρμόττει κατὰ τὸν πρόχειρον νοῦν, τῇ δὲ ἀνθρωπείᾳ Φύσει οὐκ ἔτι. οὔτε γὰρ αὕτη τὸν Θεὸν ἱκέτευσε, καὶ τῆς Φθορᾶς τὴν ἐλευθερίαν ἐζήτησεν· ὀδυρμοῖς δὲ καὶ ὀλοφυρμοῖς χρωμένη διετέλει, τὸν μὲν θάνατον ὁρῶσα, τὴν δὲ ἀνάστασιν οὐ προσμένουσα. τὰ δάκρυα τοίνυν καὶ τοὺς ὀδυρμοὺς, τοὺς ἐπὶ τοῖς ἀῤῥωστοῦσι καὶ τελευτῶσι γιγνομένους, τέθεικεν ἀντὶ προσευχῆς, τὴν ἄφατον τοῦ Θεοῦ Φιλανθρωπίαν δεικνὺς, ὅτι καί τοι μὴ καλούμενος, ἀλλ' ὁρῶν μόνον τοὺς θρήνους, ᾤκτειρε τὰ γινόμενα, καὶ τὸν θάνατον ἔλυσε· καὶ ἐνταῦθα γὰρ πάλιν λάκκον τὸν θάνατον προσηγόρευσε. ε΄. Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. ς΄. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. Εἰκότως τοῖς ὁσίοις ἀπονέμει τὸν ὕμνον, καὶ τὴν ὁμολογίαν τῆς χάριτος· ἐπειδὴ γὰρ ἅπασιν ἀνθρώποις ἔδωκε τῆς ἀναστάσεως δῶρον, οὐ πάντες δὲ τῆς χάριτος

λος ἄξιοι, ἁρμοδίως λὲς ἀξίες εἰς λὲς ὕμνες ἀφιερῶ. ἀρίστην δὲ κομιδῆ πεποίηται καὶ τὴν ἄλλην διαίρεσιν· τὴν γὰρ ὀργὴν ἀπέτεμε τῷ θυμῷ· ὀργὴν γὰρ τὴν παιδείαν καλεῖ· τὴν δὲ ζωὴν, τῷ θελήματι· τοῦτο γάρ τοι βέλεται, οὐκ ἐκεῖνο. ἐκεῖνο γὰρ ἡμεῖς ἐπισπώμεθα· ὁ γὰρ Θεὸς φησι θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τῷ κόσμου· ἀκούομεν δὲ καὶ αὐτοῦ λέγοντος διὰ Ἰεζεκιὴλ τοῦ προφήτου· μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν; τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός· καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. τοῦτο δὲ οὕτω συνέβη καὶ ἐπὶ τοῦ Ἐζεκίου, καὶ ἐπὶ τῆς κοινῆς σωτηρίας. οἱ γὰρ Ἀσσύριοι ταῖς ἀπειλαῖς ἐκείναις χρησάμενοι, καὶ εἰς κλαυθμὸν τὴν πόλιν κινήσαντες, νύκτωρ ἐδέξαντο τὴν πληγὴν, καὶ ἔωθεν, οὓς δακρύειν ἠνάγκασαν, εὐθυμίας ἐνέπλησαν. καὶ ὁ θεῖος Ἡσαΐας τοῦ θανάτου τὴν ψῆφον ἑσπέρας τῷ Ἐζεκίᾳ κομίσας, ὑπὸ τὴν ἕω πάλιν ἤνεγκεν αὐτῷ τὰ τῆς ζωῆς εὐαγγέλια· οὕτω καὶ ἐπὶ τῆς κοινῆς ἐγένετο σωτηρίας. τῶν γὰρ ἱερῶν ἀποστόλων, καὶ τῶν σὺν αὐτοῖς πεπιστευκότων, ὀδυρομένων τὸ Κυρίου τὸ πάθος, ἦκον αἱ γυναῖκες ὑπὸ τὴν ἕω, τῆς ἀναστάσεως τὴν εὐφροσύνην κομίζουσαι. ζ'. Ἐγὼ δὲ εἶπον ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Τοῦτο καὶ ὁ Ἀδὰμ ἤλπισε, τῷ παραδείσῳ πρὸ τῆς ἀπάτης ἐμπολιτευόμενος, καὶ ὁ Ἐζεκίας νενικηκὼς τὸν Ἀσσύριον· καὶ διδάσκει τοῦτο σαφῶς τῶν παραλειπομένων ἡ βίβλος, λέγουσα ὑψωθῆναι τὴν καρδίαν Ἐζεκίου τοῦ βασιλέως. ἡ. Κύριε ἐν τῷ θελήματί σου παρέχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. Ὁμοίως ἁρμότει καὶ ταῦτα καὶ τῷ Ἐζεκίᾳ, καὶ πάσῃ τῶν ἀνθρώπων τῇ φύσει· καὶ γὰρ ἐκεῖνος διὰ ἀρετὴν τῆς θείας προνοίας ἀπέλαυσε, καὶ τῶν Ἀσσυρίων ἐκράτησε· καὶ πάλιν τῆς θείας χάριτος γυμνωθεὶς, νόσῳ περιέπεσε, καὶ τὸ τῆς τελευτῆς ἐδέξατο δέος· καὶ ὁ Ἀδὰμ δὲ ἐν τῷ παραδείσῳ, καὶ τῷ τῆς ἀρετῆς ἐκεκόσμητο κάλλει, καὶ κρείττων ἦν τῆς φθορᾶς· τῆς δὲ θείας προνοίας διὰ τὴν παράβασιν γυμνωθεὶς, τὴν ἀπὸ τῆς βιοτῆς ὑπέμεινε ζάλην. τοῦτο δὲ σαφῶς λίαν ὁ Σύμμαχος τέθεικε· Κύριε ἐν τῇ εὐδοκίᾳ σου ἔστησας τῷ προπάτορί μου κράτος· ὡς εἶναι δῆλον, ὅτι ταῦτα τῆς ἀνθρωπείας φύσεως τὸ πρόσωπον φθέγγεται πρὸς τὸν Δεσπότην Χριστὸν, τῆς ζωῆς αὐτῇ τὸ μέγα δωρησάμενον δῶρον. θ'. Πρὸς σὲ Κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι. ι'. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Τούτοις καὶ ὁ μακάριος Ἐζεκίας ἐχρήσατο τοῖς λόγοις, ὡς καὶ ἡ τετάρτη τῶν βασιλειῶν ἱστορία διδάσκει, καὶ τοῦ θειοτάτου Ἡσαΐου ἡ προφητεία· καὶ μέντοι καὶ ἡ ἀνθρωπεία φύσις, εἰ καὶ μὴ πᾶσα βεβόηκεν, ἀλλὰ διὰ τῶν ἁγίων βεβόηκε πρὸς τὸν Θεὸν, τούτοις κεχρημένη τοῖς λόγοις, ὅτι δίκαιον ὑμνεῖν σε τὸν ποιητὴν, καὶ

λόγοις εὐγνώμοσιν ἀμείβεσθαί σου τὰς χάριτας. τοῦτο ζώντων ἴδιον· οἱ γὰρ εἰς χοῦν καὶ κόνιν διαλυόμενοι, καὶ τὸ σωματικὸν ἔργον ἀπολέσαντες, πῶς ἂν δυνηθεῖεν τὰς σὰς ἄδειν εὐεργεσίας; κά. Ἤκουσε Κύριος, καὶ ἠλέησέ με, Κύριος ἐγενήθη βοηθός μου. ιβ. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. ιγ. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. Καὶ Ἐζεκίας σάκκον περιζωσάμενος προσήνεγκε τῷ Θεῷ τὴν κατὰ τῶν Ἀσσυρίων εὐχήν· καὶ ἡ ἀνθρωπεία Φύσις τὸ πένθιμον περιεβέβλητο χῆμα· καὶ νῦν δέ τινες τῶν ἀνοήτων, τοὺς τεθνηκότας ὀλοφυρόμενοι, ἐπὶ σάκκου καθήμενοι, κακῶς τῶν προφητικῶν ῥημάτων ἐπαίειν οὐκ ἐθέλουσι, διαῤῥήδην βοώντων· διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην, καὶ ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· καθάπερ γὰρ ὁ Ἐζεκίας τῶν πεντεκαίδεκα ἐνιαυτῶν τὴν ἐπαγγελίαν δεξάμενος εὐφροσύνης ἐνεπλήσθη πολλῆς, οὕτω δίκαιον ἡμᾶς τὴν ἐλπίδα δεξαμένους τῆς ἀναστάσεως, μὴ θρηνεῖν τοὺς τελευτῶντας, ἀλλ' ἐκείνην μετ' εὐθυμίας προσμένειν. τὸ δὲ, ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἵνα ᾄδῃ σε δόξα, καὶ οὐ μὴ ἀποσιωπήσῃ· ἀντὶ τοῦ, προσήκει ταύτης ἕνεκα τῆς εὐεργεσίας δικαίως ᾄδειν σε καὶ ὑμνεῖν τοὺς τοσαύτης δόξης τετυχηκότας, ἐν μηδενὶ καιρῷ σιωπῶντας. καὶ ἡ κατάνυξις δὲ σιγὴν ἐμποιεῖ. οἱ ἑβδομήκοντα τοίνυν ἀντὶ σιγῆς τεθείκασι τὴν κατάνυξιν· δόξης δὲ ὁ μὲν Ἐζεκίας τετύχηκε, τοσούτων δι' αὐτὸν μυριάδων θεήλατον δεξαμένων πληγήν, καὶ μέντοι καὶ τοῦ ἡλίου ἀναστρέψαντος· ἡμεῖς δὲ πολλῆς εὐκλείας ἔχεμεν ἀφορμὴν, τοσαύτην περὶ ἡμᾶς τοῦ Θεοῦ τῶν ὅλων ἐπιδεξαμένου φιλοστοργίαν. οὕτω γάρ φησιν ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Κύριε ὁ Θεός μου εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι. οὐ γὰρ μόνον κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, ὕμνους σοι προσοίσω διηνεκῶς, τὰς ὑπερφυεῖς σου καὶ ἀῤῥήτους διηγούμενος δωρεάς.

ΕΡΜΗΝ. ΤΟΥ λ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ, ἐκστάσεως. Τοῦτο δὲ ἔστε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς λοιποῖς εὗρον ἑρμηνευταῖς, ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων. αἰνίττεσθαί δέ μοι τὰ κατὰ τὸν Οὐρίαν δοκεῖ. λέγει γὰρ ἐν αὐτῷ τῷ ψαλμῷ· ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου, ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου· τουτέστιν, ᾠήθην ἡμαρτηκὼς τῆς σῆς γεγυμνῶσθαι προνοίας. εἰρῆσθαι δὲ ἔοικεν ὁ ψαλμὸς οὗτος ὑπὸ τοῦ μακαρίου Δαβὶδ, καθ' ὃν καιρὸν ὑπὸ τοῦ Ἀβεσσαλὼμ ἐδιώκετο· καὶ τοῦτο σαφέστερον ἡ τῶν ῥητῶν ἑρμηνεία διδάσκει. β. Ἐπί σοι Κύριε ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Ἀισχύνη με, φησὶν, ἡ ἁμαρτία περιέβαλε πολλὴ· ἱκετεύω δὲ μὴ μέχρι πολλοῦ ταύτην ἐπιμεῖναί μοι, διὰ τὴν ἐπὶ σοί μοι γεγενημένην

Franckesche Stiftungen zu Halle

νημένην πεποίθησιν. ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, καὶ ἐξελοῦ με. μὴ εἰς τὴν ἐμὴν φησιν ἀποβλέψῃς ἁμαρτίαν, ἀλλ' εἰς τὴν τῶν διωκόντων με παρανομίαν· ταύτῃ γὰρ τῇ δικαίᾳ ψήφῳ χρησάμενος, τῶν ἐπικειμένων ἀπαλλάξεις με συμφορῶν. γ'. Κλῖνον πρὸς μὲ τὸ οὖς σου· τάχυνον τοῦ ἐξελέσθαί με. Ἀκούσας μου τῆς ἱκετείας, ταχεῖαν δὸς τὴν βοήθειαν. γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς, τοῦ σῶσαί με. δ'. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σύ. Ταῦτα καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ εἶπε ψαλμῷ, τὴν παντοδαπὴν τοῦ Θεοῦ κηδεμονίαν παραθηλῶν· τὸ δὲ κραταίωμά μου, Ἀκύλας καὶ Σύμμαχος, πέτρα μου ἡρμήνευσαν. ἔοικε δὲ ὁ προφητικὸς λόγος τῷ εὐαγγελικῷ συμφωνεῖν, ὃς τὸν φρόνιμον ὑποδείκνυσιν ἐπὶ τῆς πέτρας τὴν οἰκίαν οἰκοδομήσαντα, ἣν οὔτε πνευμάτων, ἔτε ὑετῶν καὶ ποταμῶν προσβολὴ διὰ τὸ στερρὸν ἐλωβήσατο. καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. τὸ δὲ διαθρέψεις ὁ Σύμμαχος τημελήσεις με τέθεικεν· λέγει δὲ, ὅτι παντοδαπῆς με προνοίας ἀξιώσεις, διὰ τὸ ὄνομά σου ἐφ' ᾧ πέποιθα. διὰ πάντων δέ γε τῶν ἑρμηνευομένων ῥητῶν τὸ μέτριον αὐτοῦ τοῦ Φρονήματος μεμαθήκαμεν· οὐ γὰρ ᾔτησε διὰ τὴν οἰκείαν ἀρετὴν τῆς θείας ἐπικουρίας τυχεῖν, ἀλλὰ διὰ τὸ τοῦ Θεοῦ ὄνομα, καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ ὅτι ἐπ' αὐτῷ ἤλπισεν. ε'. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι· ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου Κύριε. Τὴν βουλὴν τοῦ Ἀχιτόφελ διὰ τούτων ἐδήλωσεν, ἣν εἰσηγήσατο κατ' αὐτοῦ, ὡς καὶ ἤδη προειρήκαμεν. ς'. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας. Πολλαῖς πολλάκις περιπεσῶν συμφοραῖς, τέτων διὰ τῆς σῆς ἠλευθερώθην ῥοπῆς· ἓ δὴ χάριν τὴν ἐμαυτοῦ ψυχὴν τῇ σῇ παρατίθημι προμηθείᾳ. χεῖρας γὰρ πάλιν ἐνταῦθα τὴν προμηθείαν ὀνομάζει. ζ'. Ἐμίσησας πάντας τοὺς διαφυλάσσοντας μάταιότητας διακενῆς. Ἐκεῖνοι μὲν οὖν, φησὶν, οὐ σοὶ τεθαῤῥήκασιν, ἀλλὰ τοῖς ματαίοις αὐτῶν κέχρηνται λογισμοῖς· εἰώθασι δὲ τοὺς τοιούτους παντελῶς ἀποτρέφεσθαι. ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα. η'. Ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Καὶ γὰρ ἐν συμφοραῖς ὢν τὴν σὴν ἐπικουρίαν καλῶ, καὶ ταύτης ἀπολαύων, τῇ σῇ φιλανθρωπίᾳ τῶν ἀγαθῶν ἀνατίθημι τὴν αἰτίαν. ὅτι ἐπεῖδες τὴν ταπείνωσίν με, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. θ'. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Οὐ διήμαρτον δὲ τούτοις ἀεὶ χρησάμενος τοῖς λογισμοῖς· ἐνέδραις γὰρ πολεμίων πολλάκις, καὶ λόχοις περιπεσὼν, καὶ εἴσω τῶν περιταθέντων μοι δικτύων γενόμενος, διέφυγον τοὺς θηρεύοντας. τοῦτο γὰρ εἶπεν, οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν. διδάσκει δὲ καὶ ἡ ἱστορία, ὅτι πολλάκις καταληφθεὶς ὑπὸ τοῦ Σαοὺλ, καὶ μέντοι καὶ ἐν τῷ σπηλαίῳ καθειρχθεὶς, τὰς ἐκείνου χεῖρας διέφυγε· καὶ ἄλλοτε τοὺς Γεθαίους, παραπληξίαν σχηματισάμενος. ι'. Ἐλέησόν

με Κύριε ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου. ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου. Τοῦτο ὁ Σύμμαχος οὕτως εἴρηκεν· ἐθολώθη διὰ παροργισμὸν ὁ ὀφθαλμός μου· παροργίσας γάρ σε διὰ τῆς ἁμαρτίας, δακρύειν διηνεκῶς ἀναγκάζομαι· καὶ μὲν δὴ καὶ ἡ ψυχή μου ζάλης καὶ θορύβου ἐμπέπλησται· γαστέρα δὲ ἐνταῦθα τὸ τῶν λογισμῶν ταμιεῖον ἐκάλεσεν· οἱ λογισμοὶ γάρ, ἀλλ' οὐχ ἡ γαστὴρ, ἐταράττετο. ιά. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. Πάντα μου, φησὶ, τὸν βίον εἰς ὀδύνας καὶ δάκρυα δεδαπάνηκα. ἠσθένησεν ἐν πλωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. καὶ ἡ ἔνδεια δὲ, καὶ τῶν ἀναγκαίων ἡ σπάνις, κατέτηξέ μου τὸ σῶμα· ταύτης δὲ τῆς ἐνδείας καὶ ἡ ἱστορία μέμνηται, καὶ φησὶν, Οὐνησβὶ ὁ τῶ Ναὰς υἱὸς, ὁ Ἀμμανίτης, καὶ Βερζελλεὶ ὁ Γαλααδίτης, ἤνεγκαν πυροὺς καὶ κριθὰς, καὶ ἄλευρον· καὶ κύαμον, καὶ φακὸν, καὶ ἕτερά τινα τῷ Δαβὶδ προσήνεγκαν καὶ τῷ λαῷ, ὅτι ἔλεγον τὸν λαὸν πεινᾶν καὶ ἐκλελῦσθαι διψήσαντα ἐν τῇ ἐρήμῳ. ιβ. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ ἐχθροί μου, φησὶν, ἐν εὐθυμίᾳ, ἐγὼ δὲ καταγέλαστός εἰμι, καὶ τοῖς ὁμόροις ἐπίχαρτος, καὶ τοῖς γνωρίμοις ἐπίφοβος. καὶ σαφέστερον τοῦτο διδάσκων ἐπήγαγεν· οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ. δεδίασι γὰρ συγγενέσθαι μοι, ἵνα μὴ τοῖς ἐμοῖς ἐχθροῖς περιπέσωσιν. ιγ. Ἐπελήθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. Ἀπέγνωσάν με, φησὶν, ἅπαντες, δίκην σκεύους ἀπολωλότος, καὶ νεκρὸ τάφον οἰκοῦντος. „Ἔδειξε τὴν ὑπερβο-„λὴν τῆς ἐπιλησμονῆς ἀπὸ τῆς τοῦ „σκεύους ἀτιμίας· ὥσπερ γὰρ, φησὶν, „ἀπολλύμενον ἐκεῖνο ταχέως τῆς τῶν „ἀπολωλεκότων ἐξορίζεται μνήμης διὰ „τὸ εὐτελὲς, οὕτω κἀγὼ λελόγισμαι „αὐτοῖς ὡς οὐδὲν ὢν οὐδὲ γεγονώς ποτε „λόγου τινος ἄξιος.„ ιδ. Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ταῦτα δὲ οὐ τοπάζων λέγω, ἀλλὰ ταῖς ἀκοαῖς τὰ ὀνείδη δεξάμενος. σημαίνει δὲ διὰ τούτων καὶ τὰς τοῦ Σεμεεὶ λοιδορίας. ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. ιε. Ἐγὼ δὲ ἐπὶ σὲ Κύριε ἤλπισα· εἶπον σὺ εἶ ὁ Θεός μου. ις. Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ἐκεῖνοι μὲν ἓν ἀθροισθέντες τὸν ἐμὸν κατῄδουσι θάνατον, ἐγὼ δέ σε Θεὸν οἶδα καὶ πρύτανιν. τοῦτο γὰρ λέγει ἐν ταῖς χερσί σου οἱ κλῆροί μου, ἢ ὡς οἱ λοιποὶ, ἐν ταῖς χερσί σου οἱ καιροί μου· ἀντὶ τοῦ, σὺ ἀποκληροῖς ὡς ἐθέλεις ἑκάστῳ καὶ ἀθυμίας καὶ θυμηδίας, καὶ μεταβάλλεις ταῦτα πάλιν πρὸς τὸ δοκοῦν· καιροὺς γὰρ, ἢ κλήρους, καλεῖ τὰς τῶν πραγμάτων μεταβολὰς, πλοῦτον καὶ πενίαν, δουλείαν καὶ δεσποτείαν, εἰρήνην καὶ πόλεμον, καὶ τἆλλα τὰ τοιαῦτα ὁμοίως. ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. εἶτα δείκνυσι καὶ τὸν τῆς λυτρώσεως τρόπον. ιζ. Ἐπίφανον τὸ πρόσωπόν σε ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει

σου.

σου. Τῆς γὰρ σῆς μοι γενομένης ἐπιφανείας, τὰ σκυθρωπὰ παραυτίκα λυθήσεται. ιή. Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε, αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου. Καὶ ἐντεῦθεν μανθάνομεν, ὡς πολλὴν διαφορὰν ἁμαρτία πρὸς ἀσέβειαν ἔχει. διὸ καὶ ὁ μέγας παρακαλεῖ Δαβὶδ, αὐτὸν μὲν τῆς διὰ τὴν ἁμαρτίαν γεγενημένης αἰσχύνης ἀπαλλαγῆναι, τοὺς δὲ δυσσεβείᾳ συζῶντας, μετ' αἰσχύνης τῷ θανάτῳ παραπεμφθῆναι. ιθ. Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Τοῦ Ἀχιτόφελ ἐνταῦθα προλέγει τὸν θάνατον, ὃς φίλος ὢν τῷ Δαβὶδ καὶ σύμβουλος, τὸν παλαιὸν ἐγύμνωσε δόλον, καὶ κατὰ τῷ μηδὲν ἠδικηκότος τὴν γλῶτταν ἐκίνησεν· ὑπερηφανίαν δὲ καὶ ἐξουδένωσιν τὴν συμβουλὴν ἐκείνην εἰκότως ἐκάλεσεν· ἐπειδὴ παῖδα κατὰ τοῦ πατρὸς διήγειρεν εἰς σφαγήν. κ΄. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. Πάλιν τὸ, ὡς, ἐνταῦθα οὐ παραβολικῶς, ἀλλ' ἐπιτατικῶς τέθεικε. διόπερ Ἀκύλας καὶ Σύμμαχος οὕτως ἡρμήνευσαν· τί πολὺ τὸ ἀγαθόν σου, ὃ ἔκρυψας ἀπόθετον τοῖς φοβουμένοις σε. ταύτην δὲ τὸ ῥητὸν τὴν διάνοιαν ἔχει· τῶν φοβεμένων σε, φησὶ, Δέσποτα, τοὺς μὲν μισθοὺς καὶ τὰ ἔπαθλα κρύπτεις· καὶ ταῦτα πολλὰ ὄντα, καὶ μεγάλα, καὶ θαυμαστά· ἰδρῶσι δὲ καὶ ταλαιπωρίαις προσπαλαίειν ἐᾷς. ἀλλ' ὅμως ἔστιν ὅτε καὶ γυμνοῖς τὰ βραβεῖα, παραθαρρύνων τοὺς ἀθλητάς· τοῦτο γὰρ ἐπήγαγεν. ἐξεργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. εἶτα τὴν γινομένην αὐτῶν κατὰ μέρος διέξεισι πρόνοιαν. κά. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. Ἀρκεῖ σε, φησὶν, ἡ ἐπιφάνεια· τοῦτο γὰρ καλεῖ πρόσωπον· πάσης αὐτοὺς ταραχῆς καὶ ζάλης ἀνθρωπίνης ἐλευθερῶσαι, καὶ ἀποληφθέντας ἐν μέσῳ καθάπερ τινὶ καλύψαι σκηνῇ, καὶ ἀφανεῖς ἀποφῆναι. ταύτης δὲ καὶ αὐτὸς τῆς προνοίας ἀπήλαυσεν ὑπὸ τοῦ Σαοὺλ διωκόμενος. ἐν μέσοις γὰρ ὑποληφθεὶς τοῖς δεινοῖς, τῆς σωτηρίας τετύχηκεν. ἔτως ὁ μέγας Ἐλισσαῖος κυκλώσαντας τὰς Σύρες διέφυγεν, ἀχλὺν αὐτῶν τοῖς ὀφθαλμοῖς ἐπιπάσσας· καὶ ἕτερα δὲ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ. κβ΄. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάσωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. Ὁ δὲ Σύμμαχος οὕτως εἴρηκε τοῦτο· εὐλογητὸς Κύριος ὁ παραδοξάσας τὸ ἔλεος αὐτοῦ ἐμοὶ, ὡς ἐν πόλει περιπεφραγμένῃ· οὕτω γάρ με, φησὶ, περιέβαλέ τε καὶ περιέφραξε τῇ οἰκείᾳ φιλανθρωπίᾳ, ὡς πόλιν ὀχυρῷ περιβόλῳ περιφράττουσιν οἱ οἰκήτορες. κγ΄. Ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου, ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου· διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεως μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ὤμην δὲ φησι, τῇ ἁμαρτίᾳ περιπεσὼν, πόῤῥω τῆς σῆς γεγενῆσθαι κηδεμονίας· ἀλλὰ τοὺς ταπεινοὺς

νούς μου θεασάμενος λόγους, οὐ παρεῖδες δεόμενον. ἔκλασιν δὲ εἰκότως τὴν ἁμαρτίαν ἐκάλεσε· τὴν γὰρ τῆς δικαιοσύνης ὁδεύων ὁδὸν ἐξέστη μὲν ἐκείνης, καὶ ἐξετράπη· προσέπταισε δὲ, καὶ περιέπεσε τοῖς ὠμοβόροις λῃσταῖς. καὶ τοῦτο αὐτὸ δείκνυσι τὴν τοῦ Δαβὶδ ἀρετήν. οὐ γὰρ ἐθὰς ἦν τῆς ἁμαρτίας, ἀλλ' ἔξω μικρὸν τῆς οἰκείας γενόμενος προαιρέσεως, τὸν ὄλισθον ἐκεῖνον ὑπέμεινεν. ἐντεῦθεν ἐπὶ παραίνεσιν μεταφέρει τὸν λόγον, ἐκ τῶν κατ' αὐτὸν τὴν θείαν ὑποδεικνὺς φιλανθρωπίαν καὶ πρόνοιαν. κδ'. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Προσήκει, φησὶν, ὑμᾶς ἅπαντας, τὲς τὴν θείαν ὁδὸν ὁδεύειν προαιρουμένους, ἐκθύμως ἀγαπᾶν τῶν ὅλων τὸν πρύτανιν, οἷόν τινι κανόνι τῇ ἀληθείᾳ χρώμενον, καὶ τοὺς ἄμετρον ἀλαζονείαν κεκτημένους κολάζοντα. ἐχ ἁπλῶς γὰρ εἶπε, τοῖς ποιοῦσιν ὑπερηφανίαν, ἀλλὰ τοῖς περισσῶς ποιοῦσιν. ἱκανὸν γὰρ καὶ τὲτο τὴν θείαν ἀγαθότητα δεῖξαι. Φέρει μὲν γὰρ τοὺς οὕτω πως μείζονι φρονήματι κεχρημένους· τοὺς δὲ τυφουμένους, καὶ ἁπλήστως ἐξογκουμένους, ταῖς καταλλήλοις παραδίδωσι τιμωρίαις. κέ. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. Ταῦτα τοίνυν εἰδότες οἱ τῇ ἐλπίδι τῇ θείᾳ τὸν παρόντα διαπλέοντες βίον, κρατύνατε τῇ ἀνδρίᾳ τὰς ὑμετέρας ψυχὰς, καὶ τοῖς τοῦ κυβερνήτου πείθεσθε νεύμασι, φερομένοις ὡς ἂν ἐκεῖνος ἰθύνῃ. αὕτη δὲ καὶ ἡμῖν ἁρμόδιος ἡ παραίνεσις, τὴν δι' ἐλπίδος παραψυχὴν κεκτημένοις.

ΕΡΜΗΝ. ΤΟΥ λά ΨΑΛΜΟΥ.

ά. Τῷ Δαβὶδ συνέσεως. Τῆς αὐτῆς ἔχεται καὶ οὗτος ὁ ψαλμὸς διανοίας· καὶ οὗτος γὰρ μετὰ τὴν ἁμαρτίαν ἐν ἐκείναις ἐρρήθη ταῖς συμφοραῖς· τοῖς δὲ προφητικοῖς ὀφθαλμοῖς προορῶν τῆς καινῆς διαθήκης τὴν χάριν, καὶ τὴν διὰ τοῦ παναγίου βαπτίσματος χορηγουμένην τοῖς πιστεύσιν ἄφεσιν, μακαρίζει τούτους, ἅτε δὴ δίχα πόνων τὴν τῶν ἁμαρτάδων δεχομένους ἀπαλλαγήν· καὶ φησιν ἀρξάμενος τοῦ ψαλμοῦ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. β'. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Ὀδυρμοῖς ἐγὼ καὶ δάκρυσι θαμινοῖς διὰ τὴν ἁμαρτίαν προστετηκὼς, καὶ παντοδαπαῖς συμφοραῖς ταύτης χάριν περιπεσὼν, ζηλωτοὺς ἐκείνους καὶ μακαρίους ἀποκαλῶ, τοὺς ἀταλαιπώρως τῇ τοῦ Δεσπότου φιλανθρωπίᾳ τῶν ἁμαρτημάτων δεξαμένους τὴν ἄφεσιν. τοσαύτη γὰρ περὶ αὐτοὺς χρῆται φιλοτιμία, ὡς μὴ μόνον ἀφεῖναι, ἀλλὰ καὶ καλύψαι τὰς ἁμαρτίας, καὶ μηδὲ ἴχνη τούτων καταλιπεῖν. γ'. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. Ἡνίκα τὴν ἁμαρτίαν ἐκείνην εἰργάσατο, οὐ παραχρῆμα τοῖς τῆς μετανοίας φαρμάκοις ἐχρήσατο, ἀλλὰ μετὰ τὸν ἔλεγχον τοῦ Νάθαν. τοῦτο τοίνυν ἐνταῦθα βοᾷ· ἐπειδὴ παραυτίκα δεξάμενος

μενος τὴν πληγὴν, ἐχ ὑπέδειξα τὸ ἕλκος τῷ ἰατρῷ, ἀλλ' ἐσίγησα τοῦτο κρύψαι περῶμενος, κατεγήρασα βοῶν, καὶ τῆς ἁμαρτίας κατηγορῶν. δ'. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου. Ὀλοφύρομαι δὴ, καὶ ποτνιῶμαι, ταῖς παντοδαπαῖς παιδείαις καὶ τιμωρίαις βαλλόμενος· τὸ γὰρ, ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐκ μεταφορᾶς τέθεικε τῶν τῇ χειρὶ παιόντων, καὶ ἐπιμενόντων μέχρι πολλοῦ. ἐξράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. οὐκ ἄδικος δέσε, φησὶν, ἡ παιδεία, ἀλλὰ καὶ μάλα δικαία. αἰτία γάρ μοι τῶν κακῶν ἡ ἁμαρτία, ἣν ἀντὶ ϛαφυλῆς μὲν ἐβλάϛησα· κεντέμαι δὲ δεινεκῶς ὑπ' αὐτῆς· ἄκανθαν γὰρ τὴν ἁμαρτίαν ἐκάλεσε, καὶ ὡς ἄχρηϛον βλάϛημα, καὶ ὡς κεντῶν πεφυκός. ε'. Τὴν ἁμαρτίαν ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπον ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆλες τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου. Εὐθὺς μὲν ἁμαρτήσας ἐσίγησα· ἀλλὰ μετὰ ταῦτα τὴν κατ' ἐμοῦ κατηγορίαν νύκτωρ καὶ μεθ' ἡμέραν πεποίημαι. ἐκ δὲ τῆς κατηγορίας μεγάλους ἐδρεψάμην καρπούς· ἔδωκας γάρ μοι τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· ἐπισημήνασθαι δὲ προσήκει, ὅτι οὐκ ἔφη ἀφῆκας μοι τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀσέβειαν τῆς ἁμαρτίας· τουτέϛιν, οὐ πρὸς ἀξίαν με τῆς παρανομίας ἐκόλασας, ἀλλὰ τὴν μὲν ὑπερβολὴν τῆς ἁμαρτίας συνεχώρησας, συμμέτρῳ δὲ παιδείᾳ τὴν θεραπείαν ἐπέθηκας· τοῦτο καὶ ἡ ἱϛορία διδάσκει. εἰρηκότι γὰρ τῷ Δαβὶδ, ἡμάρτηκα τῷ Κυρίῳ, ἀπεκρίνατο ὁ Νάθαν, καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς. ἠπείλησε μέν τοι παντοδαπῶν ἐμπλήσειν τὴν οἰκίαν συμφορῶν· οὕτω κἀνταῦθα, καὶ σὺ ἀφεῖλες τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου. ἔδει με, φησὶν, ἐκεῖνα τετολμηκότα εὐθὺς κατὰ τὸν νόμον θανάτῳ παραδοθῆναι· ἀλλὰ φιλανθρωπίᾳ χρησάμενος θανάτῳ μὲν ἀ παρέδωκας, μελείαις δὲ παιδείαις ἰάτρευσας. ϛ'. Ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. Καιρὸν εὔθετον λέγει τῆς καινῆς διαθήκης τὴν πολιτείαν, ἐν ᾗ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ταῖς τοῦ Δαβὶδ ὑμνῳδίαις οἱ πεπιϛευκότες γεραίρουσι τὸν Θεόν· τοῦτο τοίνυν ἐνταῦθα προαγορεύει καὶ φησι τῷ Δεσπότῃ, ὅτι οὐ μόνος ὑπὲρ ταύτης ἀντιβολῶ σε τῆς ἁμαρτίας, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν οἰκουμένην τὴν θεογνωσίαν δεξάμενοι, ταύτην ὑπὲρ ἐμοῦ προσοίσουσι τὴν εὐχήν· καὶ γάρ πως ἐοίκαμεν τὰ τοῦ Δαβὶδ φθεγγόμενοι ῥήματα, τὴν ἐκείνου γλῶτταν ἀναλαμβάνειν ἐπὶ τῷ τὸν Θεὸν ἀνυμνεῖν. πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιεῖσι. τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· περὶ τούτου προσεύξεται πᾶς ὅσιος, καιρὸν εὑρὼν, ὥϛε ἐπικλύζοντα ὕδατα πολλὰ πρὸς αὐτὸν μὴ ἐγγίσαι. ὁ σπουδαῖον σοι προσφέρων τὴν ἱκετείαν παντοδαπῆς ἀπολαύσεται προμηθείας, ὥϛε κἂν διαφόροις συμφοραῖς περιπέσῃ, δίκην αὐτὸν ὑδάτων περικλυζούσαις, περιγενέσθαι τούτων, καὶ κρείττονα δειχθῆναι τῶν λυπηρῶν. ζ'. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί

με ἀπὸ τῶν κυκλωσάντων με. Ἐκεῖνα περὶ τῆς ἁμαρτίας εἰρηκὼς, ἱκετεύει τῶν διὰ ταύτην ἐπενεχθέντων ἀπαλλαγῆναι κακῶν· καὶ μέντοι καὶ τυγχάνει τῆς ἀποκρίσεως. λέγει γὰρ πρὸς αὐτὸν ὁ Κύριος· η'. Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Ἐκτραπέντα, φησὶ, καὶ ἐπιγνόντα τὴν πλάνην, ἐπανάξω πάλιν εἰς τὴν εὐθεῖαν ὁδὸν, καὶ γνῶσίν σοι ταύτης καὶ εἴδησιν ἐνθήσω· μεταδώσω δέ σοι καὶ τῆς προτέρας εὐνοίας· τοῦτο γὰρ εἶπεν, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου· ἐκ μεταφορᾶς τῶν φιλικῶς περὶ τινὰ διακειμένων, καὶ ἀποβλέπειν εἰς αὐτὸν ἐθελόντων διηνεκῶς· ὥσπερ γὰρ ὁ ὀργιζόμενος τὸ πρόσωπον δοκεῖ ἀποστρέφειν, ἔτω τὴν οἰκείαν εὐμένειαν διὰ τοῦ προσέχειν δηλοῖ· διὸ καὶ ἐτέρωθι ὁ προφήτης ἔφη, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· καὶ πάλιν, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ αὐτὸς ὁ Θεὸς διὰ Ἱερεμίου τοῦ προφήτου, ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. ἐντεῦθεν ὁ προφητικὸς παραινεῖ λόγος, τοῖς μὲν παρανομίᾳ συζῶσι, μὴ μιμεῖσθαι τὴν τῶν κτηνῶν ἀλογίαν· τοῖς δὲ δικαίοις, τὴν θείαν εὐφροσύνην ἔχειν ἀεί. λέγει δὲ οὕτως· θ'. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Ἐγὼ μὲν ὑμῖν, φησὶ, παραινῶ τὴν τούτων μὴ ζηλοῦν ἀλογίαν. εἰ δὲ μὴ πείθεσθε, δέξεσθε χαλινὸν καὶ κημὸν τούτοις παραπλησίως. διὰ δὲ τούτων τὰς παιδείας δηλοῖ οὗ χάριν ἐπήγαγεν· ι'. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ. Οὕτω ταύτην τούτοις εἰσενεγκὼν τὴν εἰσήγησιν, ἐπὶ τὸν ἕτερον μεταβαίνει χορόν. τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει. ἅπαντες γὰρ ἄνθρωποι, εἰ καὶ τοῖς τῆς ἀρετῆς κοσμοπίζονται κατορθώμασι, τῆς θείας προσδέονται χάριτος· διὸ δὴ καὶ ὁ θεῖος ἀπόστολος βοᾷ· χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον. ια'. Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Μηδεὶς τοίνυν ἐπὶ τοῖς οἰκείοις κατορθώμασιν ἀγαλλέσθω, ἀλλ' ἐπὶ τῷ Θεῷ μέγα φρονείτω, καὶ τὴν ἐντεῦθεν θυμηδίαν καρπούσθω. καὶ τοῦτο τοῖς ἀποστολικοῖς ἔοικε ῥητοῖς, ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω, καὶ ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. διὰ τοῦτο καὶ πνεύματι πραότητος παιδεύειν παρεγγυᾷ· σκοπῶν, φησὶ, σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.

ΕΡΜΗΝ. ΤΟΥ λβ' ΨΑΛΜΟΥ.

Ἀνεπίγραφος παρ' Ἑβραίοις. Τέτο οἱ ἑβδομήκοντα τεθείκασι, τὸν ψαλμὸν ἑρμηνεύσαντες. μὴ ζητήσῃς, φησὶν, ἑρμηνείαν ἐπιγραφῆς· ἐπιγραφὴν γὰρ ἔχ εὕρομεν. εἴρηται δὲ ὁ ψαλμὸς ἔτος ὑπὸ τῦ μακαρίυ Δαβὶδ, εἰς τὴν κατὰ τὸν θαυμάσιον Ἐζεκίαν ὑπόθεσιν· ἐχημάτισαι δὲ ὡς ἐξ αὐτῦ τῦ Ἐζεκίυ, εἰς ὑμνωδίαν τὸν λαὸν παρετρύνοντος, μετὰ τὴν παράδοξον νίκην καὶ τῶν Ἀσσυρίων τὸν ὄλεθρον. α'. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. Πολλαχοῦ τὸ ἀγαλλιᾶσθε

ὁ μὲν

ὁ μὲν Ἀκύλας, αἰνεῖτε· καὶ ὁ Σύμμαχος ὁμοίως ἡρμήνευσεν, τοῖς εὐθέσι πρέπει αἴνεσις. τοῖς τὸν Θεὸν ἐπεγνωκόσι, καὶ πλάνης ἀπηλλαγμένοις, ἁρμόττει τὸν Θεὸν δηνεκῶς ἀνυμνεῖν· ἔτα διδάσκει καὶ πῶς αὐτὲς προσήκει τὴν ὑμνωδίαν ποιεῖσθαι. β'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. γ'. ᾄσατε αὐτῷ ᾆσμα καινὸν, καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ταῦτα δὲ πάντα κατὰ τὴν νομικὴν ἐπετελεῖτο λατρείαν· καὶ γὰρ κιθάραις, καὶ κυμβάλοις, καὶ τυμπάνοις, καὶ ἑτέροις μουσικοῖς ὀργάνοις ἐκέχρηντο. ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος βοὴ, κατὰ τῶν φευγόντων ὑπὸ τῶν νικώντων γινομένη. ἁρμόττει δὲ καὶ ἡμῖν τὰ εἰρημένα πνευματικῶς νοέμενα· καὶ δυνατὸν ἡμᾶς εὔηχον καὶ παναρμόνιον ὄργανον ἡμᾶς αὐτὲς ἀποφῆναι, καὶ διὰ τῶν αἰσθητηρίων ἁπάντων τῶν αἰσθητῶν τε καὶ νοητῶν τὸν Θεὸν ἀνυμνῆσαι. δ'. Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίε, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Δικαίως, φησὶν, ἅπαντα πρυτανεύει ὁ τῶν ὅλων Κύριος· καὶ προὔθηκεν ἡμῖν τῶν ἔργων αὐτῦ τὴν θεωρίαν, πιστεύειν παρακαλῶν, ἀλλ' ἐ πολυπραγμονεῖν, πῶς γεγένηται. ε'. Ἀγαπᾷ ἐλεημοσύνην, καὶ κρίσιν ὁ Κύριος. Τὰ μὲν γὰρ ὑπ' αὐτῦ γινόμενα, ἀπεριέργως ἅπαντας ἄνευ τινὸς διχονοίας, παρακελεύεται δέχεσθαι· βίε μέν τοι ἐπιμελεῖσθαι, καὶ τῦτον ἐλέῳ καὶ κρίσει κατακοσμεῖν. τῦ ἐλέες Κυρίε πλήρης ἡ γῆ. μιμεῖσθαί φησι προσήκειν τὸν ποιητήν· ὥσπερ γὰρ αὐτὸς ἐλέῳ κεχρημένος οἰκονομεῖ, καὶ τὲς ἠδικημένες οἰκτείρει· ἔτω δεῖ καὶ ἡμᾶς τοῖς μὲν ἀδίκοις ἀπονέμειν τὴν κρίσιν, τοῖς δὲ ἠδικημένοις, τὸν ἔλεον. καὶ γὰρ ὁ Φιλάνθρωπος ἡμῶν Δεσπότης τῇ μὲν κρίσει κατὰ τῶν Ἀσσυρίων ἐχρήσατο· ἡμᾶς δὲ Φειδῦς καὶ Φιλανθρωπίας ἠξίωσεν. ἔτω τὰ περὶ τῆς θείας προνοίας διεξελθὼν, ἐπὶ τὴν δημιεργίαν μεταφέρει τὸν λόγον, καὶ διδάσκει ὡς δημιεργήσας τὰ σύμπαντα, πρυτανεύει τὰ σύμπαντα, καὶ προμηθεῖται ὡς ποιημάτων οἰκείων, ἐκ ἀλλοτρίων. ς'. Τῷ λόγῳ Κυρίε οἱ ἐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τῦ ςόματος αὐτῦ πᾶσα ἡ δύναμις αὐτῶν. Οὐ πόνε φησὶν ἐδεήθη, καὶ χρόνε δημιεργῶν, ἀλλ' ἤρκεσιν αὐτῷ λόγος εἰς ποίησιν· εἶπε γὰρ, γενηθήτω ςερέωμα, καὶ ἐγένετο ἔτως. γενηθήτωσαν φωςῆρες ἐν τῷ ςερεώματι τῦ ἐρανῦ, καὶ ἐγένετο ἔτως. τὸ μὲν ἓν ἐξ ἐπιπολῆς νόημα ἡ τοῦ γράμματος ἐπιφάνεια τῦτο δηλοῖ· τῦτο γὰρ τοῖς πάλαι ἥρμοττεν Ἰεδαίοις. ἡ δὲ ἀληθὴς θεολογία τὸν Θεὸν ἡμῖν ὑποδείκνυσι λόγον σὺν τῷ παναγίῳ πνεύματι, καὶ τὲς ἐρανὲς, καὶ τὰς ἐρανίες πεποιηκότα δυνάμεις. καὶ τὴν εὐαγγελικὴν διδασκαλίαν προλαμβάνει ἡ προφητεία. καὶ ὥσπερ ὁ θεσπέσιος Ἰωάννης, ὁ τῆς βροντῆς υἱὸς, πᾶσαν τὴν οἰκεμένην ἐδίδαξεν, ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτῦ ἐγένετο, καὶ χωρὶς αὐτῦ γέγονεν ἐδὲ ἕν, ὃ γέγονεν. ἔτως ὁ μακάριος Δαβὶδ προκηρύττει λέγων, τῷ λόγῳ Κυρίε οἱ ἐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τῦ ςόματος αὐτῦ

πᾶσαι αἱ δυνάμεις αὐτῶν. ἐκ ἀπονέμει δὲ τῷ μὲν Θεῷ λόγῳ τὴν τῶν οὐρανῶν δημιουργίαν, τῷ δὲ παναγίῳ πνεύματι τὴν τῶν δυνάμεων ποίησιν· ἀλλὰ καὶ ταῦτα κἀκεῖνα τὸν Θεὸν λόγον καὶ τὸ ἅγιον Πνεῦμα πεποιηκέναι φησί· δυνάμεις δὲ οὐρανῶν οἱ μὲν τοὺς κατ' οὐρανὸν φωστῆρας, οἱ δὲ τὰς ἀοράτους ἔφασαν εἶναι δυνάμεις. ἐμοὶ δὲ τὸ δεύτερον ἀληθέστερον εἶναι δοκεῖ. δημιουργὸν γὰρ ὑπαδεικνὺς τὸν Θεὸν, οὐκ ἂν μόνης τῆς ὁρωμένης ἐμνημόνευσε κτίσεως. ζ. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης· τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Πᾶσαν μὲν γὰρ τῶν ὑδάτων τὴν φύσιν, ὥσπερ ἐν ταμιείοις τισὶ τοῖς ἀφωρισμένοις χωρίοις καθειργμένην ἔχει· ἕλκει δὲ ταύτην εἰς τὸν ἀέρα μετέωρον, ὅτ' ἂν θέλῃ, καὶ ὡς ἐν ἀσκῷ τινὶ ταῖς νεφέλαις συνάγει. διὸ λέγει· ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς· καὶ αὖθις δὲ πάλιν ἡ θεία γραφή· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς. η'. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ· ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. θ'. Ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Τῶν οὐρανῶν μνημονεύσας, καὶ τῶν ἀοράτων δυνάμεων, ἔπειτα τῆς τῶν ὑδάτων οὐσίας, ἄγει καὶ τὴν γῆν εἰς μέσον, καὶ τοὺς ταύτην κατοικοῦντας, ποιήματα αὐτοῦ εἶναι διδάσκων, καὶ παρεγγυῶν δεδιέναι καὶ τρέμειν τὸν ποιητὴν, καὶ τοῖς αὐτοῦ νεύμασι πείθεσθαι· τὸ γὰρ σαλευθήτωσαν, ὁ μὲν Σύμμαχος εὐλαβείσθωσαν, ὁ δὲ Ἀκύλας ὑποσαλήσονται εἴρηκε, τῷ ἐπιόντι χρόνῳ τὴν τῆς οἰκουμένης παραπέμψας εὐλάβειαν. ἐδὲ γὰρ ἡνίκα τέσδε τὰς λόγους ἐποιήσατο, ταύτην ἔχον οἱ ἄνθρωποι, ἀλλὰ μετὰ τὴν ἐνανθρώπησιν, καὶ τὸ πάθος, καὶ τὴν ἀνάστασιν τοῦ Δεσπότου Χριστοῦ. ι'. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν· καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. ια'. Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Διπλῆν ἔχει τὴν ἑρμηνείαν τὰ εἰρημένα· ἢ γὰρ μόνον τῶν Ἀσσυρίων, καὶ τοῦ Σενναχηρεὶμ, καὶ τοῦ Ῥαψάκου διεσκέδασε τὰς βουλὰς· καὶ τῆς οἰκείας βουλῆς τὴν δύναμιν, καὶ τὴν ἀλήθειαν ἔδειξεν· ἀλλὰ καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν τὰς κατὰ τῶν ἀποστόλων ἐπαναστάσεις διέλυσε, καὶ τῆς οἰκείας δυνάμεως τὸ κράτος δῆλον πεποίηκεν ἅπασι· τοῦτο γὰρ ὁ προφητικὸς ἠνίξατο λόγος, εἰπών, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. τῶν δύο γενεῶν ἡ μνήμη διδάσκει καὶ τὰ τηνικαῦτα γενόμενα, καὶ τὰ μετὰ ταῦτα ἐσόμενα. ιβ'. Μακάριον τὸ ἔθνος, ὃ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ· λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. Δεῖ, φησὶ, μακαρίζειν, οὐ τοὺς πλέον κομῶντας, ἀλλὰ τοὺς τῷ Θεῷ πεποιθότας, καὶ τῆς παρ' αὐτοῦ ξοπῆς ἀπολαύοντας· ἐκλεκτὸς δὲ λαὸς κληρονομίαν Θεοῦ προσαγορευόμενος, πάλαι μὲν ὁ Ἰουδαϊκὸς, μετὰ δὲ ταῦτα, ὁ ἐκ τῶν ἐθνῶν ἐκλεγεὶς, καὶ τῆς πίστεως τὰς ἀκτῖνας δεχόμενος· αἴτησαι γάρ φησι, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ιγ'. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶ-

δε

δε πάντας τὲς υἱὲς τῶν ἀνθρώπων. ιδ'. Ἐξ ἑτοίμε κατοικητηρίε αὐτῦ ἐπέβλεψεν ἐπὶ πάντας τὲς κατοικῦντας τὴν γῆν. Ταῦτα καὶ ἐν τῷ τρίτῳ καὶ δεκάτῳ ἔφη ψαλμῷ, τὴν αὐτὴν ποιέμενος πρόῤῥησιν. καὶ ἐπειδὴ εἶπεν ἐπέβλεψεν, ἵνα μή τις αὐτὸν ἀγνοεῖν οἰηθῇ τὰ παρὰ τῶν ἀνθρώπων τολμώμενα, εἰς καιρὸν ἐπήγαγεν· ιε'. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν· ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν. Εἶπον φησὶν ἐπιβλέψαι τὸν τῶν ὅλων Θεὸν, ἐχ ὡς ἀγνοῦντα, καὶ μαθεῖν ἐφιέμενον, ἀλλ' ὡς κρίνοντα, καὶ δικάζοντα. πῶς γὰρ οἷόν τε ἀγνοεῖν τῆς ψυχῆς τὰ κινήματα τὸν ταύτην πεποικότα; τὰς καρδίας γὰρ ἐπὶ τοῦ λογικοῦ τέθεικεν. ις'. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰχύος αὐτοῦ. ιζ'. Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Δι' αὐτῶν μεμαθήκαμεν τῶν πραγμάτων, ὡς οὐ δεῖ θαῤῥεῖν, οὐ ῥώμῃ σώματος, οὐκ ἀνδρείᾳ ψυχῆς, οὐχ ἵππων ὀξύτητι, οὐχ ὑπηκόων πλήθει· ἐν τούτοις γὰρ ἅπασιν ὁ Σενναχηρεὶμ πλουτῶν, ἐδὲν ἐντεῦθεν ὠπώνατο, ἀλλὰ τὴν παναλεθρίαν ἐδέξατο· τί οὖν ποιητέον, ὑπόδειξον ὦ προφῆτα. ιη'. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ. ιθ'. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν· καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἁπάντων, φησὶ, τῶν ἀγαθῶν πρόξενος ἡ εὐσέβεια· τὴν γὰρ θείαν προμήθειαν ἐφέλκεται, αὕτη δὲ καὶ θάνατον τὸν ἐπιόντα κωλύει, καὶ ἔνδειαν· χαρίζεται δὲ τῶν ἀγαθῶν τὴν φοράν· εἰκὸς δὲ ἐπὶ τῆς πολιορκίας ἐκείνης, ἐν σπάνει γενέσθαι τῶν ἀναγκαίων τοὺς καθειργμένους. εἶτα τῷ τῶν πολεμίων ὀλέθρῳ καὶ ταύτης ἀπαλλαγῆναι τῆς συμφορᾶς. κ'. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ· ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστίν. κα'. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν· καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Τοσούτων τοίνυν ἀγαθῶν ἀπολαύσαντες, βεβαίαν ἔχομεν εἰς τὸν Θεὸν τὴν ἐλπίδα· καὶ τὴν παρ' αὐτοῦ βοήθειαν προσμενοῦμεν ἀεί. αὐτὸς γὰρ ἡμῖν καὶ τὴν παροῦσαν θυμηδίαν δεδώρηται· εἶτα εἰρηκὼς ὅτι ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν, ἱκετεύει λαβεῖν ἰσόμετρον τῇ ἐλπίδι τὸν ἔλεον. κβ'. Γένοιτο (γάρ φησι) Κύριε τὸ ἔλεός σε ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Παῤῥησίας δὲ μεγίστης ὁ λόγος, καὶ τοῖς καθ' ἡμᾶς τολμηρός· τίς γὰρ οὕτως ἤλπισεν, ὡς θαῤῥαλέως εἰπεῖν, τῇ ἐμῇ ἐλπίδι τὸν ἔλεον μέτρησον; τοῦτο μέντοι καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ Δεσπότης ἐδίδαξεν· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· καὶ τὴν ἐλπίδα τοίνυν τελείαν καὶ γνησίαν κλησώμεθα, καὶ τὸν ἄλλον βίον τῇ ἐλπίδι κατάλληλον, ἵνα ἔλεον πολὺν καρπωσώμεθα.

ΕΡΜΗΝ. ΤΟΥ λγ' ΨΑΛΜΟΥ.

α'. Τῷ Δαβὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν. Τοῦ Σαοὺλ τὴν πικρὰν γνώμην καὶ βάσκανον θεασάμενος ὁ θεῖ-

ος Δαβὶδ, καὶ συμβούλῳ χρησάμενος τῷ θαυμασίῳ Ἰωνάθαν, ἀπέδρα, καὶ Νομβὰν τὴν πόλιν κατέλαβεν. ἐκεῖ τοίνυν Ἀβιμέλεχ τῷ ἱερεῖ συγγενόμενος, ἔκρυψε τὴν φυγήν, ἀπεστάλθαι δὲ εἴρηκεν ὑπὸ τοῦ βασιλέως εἰς τινα χρείαν σπουδαίαν, καὶ ζητήσας ἄρτους, ἑτέρους μὲν οὐχ εὗρε, μόνους δὲ τοὺς τοῖς ἱερεῦσιν ἀπονενεμημένους, καὶ τούτους ἔλαβεν, δεδωκότος τὲ ἱερέως παρὰ τὸ δόγμα τὲ νόμε. μόνοις γὰρ τοῖς ἱερεῦσιν ἀπονενέμητο ἡ τοιαύτη τροφή· ἀλλ' ὅμως προδιεγράφη τῆς χάριτος τὰ μυστήρια, καὶ προανεῴγει τοῖς πιστεύουσι τῆς θείας φιλοτιμίας ἡ θύρα· ἐκ ἔτι γὰρ μόνοις τοῖς ἱερεῦσιν ἀφώρισται ἡ θεία τροφή, ἀλλὰ πρόκειται τοῖς βουλομένοις ἡ τῶν θείων μετάληψις· ἔλαβε μέν τοι κατ' ἐκεῖνον τὸν καιρὸν ὁ μέγας Δαβὶδ καὶ τοῦ Γολιὰθ τὴν ῥομφαίαν, ἣν ὥσπερ ἀκροθίνιον ἐξ ἐκείνης τῆς παρατάξεως ἀνέθηκε τῷ Θεῷ· Ἀβιμέλεχ δὲ τὸν Ἀβιάθαρ προσηγόρευσε, ὡς διώνυμον· ἐπειδὴ τοίνυν φεύγων, ἐκ ἐγνώρισε τῷ ἱερεῖ τὴν φυγήν, ἀλλὰ βασιλικὴν ἔφη χρείαν ἐξανύειν τινά, ἠλλοιῶθαι τὸ πρόσωπον λέγεται, ὡς μὴ τῇ συνήθει χρησάμενος ἀληθείᾳ, „ἕτερον δὲ πρόσωπον ἀντὶ τοῦ εἰωθότος „ἀνειληφώς.„ τινὲς δὲ τῶν συγγραφέων ἑτέραν ἔδωκαν ὑπόθεσιν τῷ ψαλμῷ· ἔφασαν γὰρ ἠλλοιωκέναι τὸ πρόσωπον τὸν Δαβὶδ, ἡνίκα πρὸς τὸν Ἀγχοὺς εἰσελήλυθεν. εἶτα φοβηθεὶς τὰς τῶν ἀλλοφύλων ἐπιβουλὰς, κορυβαντιᾷν ἐσκήψατο, καὶ τούτῳ τῷ τρόπῳ τῆς σωτηρίας τετύχηκεν. ἀλλ' οὐδεμίαν ἔχει πρὸς τήνδε τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ συμφωνίαν τὰ ῥήματα· ἁρμόττει δὲ τοῖς εἰρημένοις, ὡς αὐτίκα σὺν Θεῷ φάναι δεχθήσεται. β'. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· διαπαντὸς ἡ αἴνεσις αὐτῦ ἐν τῷ στόματί μου. Καὶ φεύγων, φησὶ, καὶ διώκων, καὶ ἐν εὐκληρίᾳ καὶ δυσκληρίᾳ, τὸν ἐμὸν Δεσπότην ὑμνῶ. γ'. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. Αὐτὸς ἐμὲ καὶ πεποίηκε περιφανῆ, καὶ ποιήσει περίβλεπτον. ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν. δ'. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτῦ ἐπὶ τὸ αὐτό. Οὐκ ἀνέχεται μόνος ὑφῆναι τὸν ὕμνον, ἀλλὰ τὲς κοινωνὲς τῆς πραότητος κοινωνὲς ποιεῖται τῆς ὑμνῳδίας· εἶτα τῆς εὐχαριστίας ὑποδείκνυσι τὴν αἰτίαν. ε'. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ με, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με. Ἱκέτευσά φησιν αὐτὸν, καὶ κρειττων ἐγενόμην τῶν συμφορῶν. ς'. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Ὁ γὰρ μετὰ πίστεως αὐτῷ προσιὼν, φωτὸς ἀκτῖνας δέχεται νοερᾦ· οὕτω καὶ Μωσῆς ὁ μέγας τὸ ὁρώμενον πρόσωπον ἐδοξάσθη· τέτο καὶ ἤδη προείρηκεν ὁ Δαβίδ· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. οὕτω προτρέψας τὲς ὁμοτρόπες, ἀρχέτυπον αὐτοῖς προτίθησιν ἑαυτόν. ζ'. Οὗτος ὁ πτωχὸς ἐκέκραξε· καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ· καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῦ ἔσωσεν αὐτόν. Μάθετέ φησιν ἐκ τῶν κατ' ἐμὲ, θαῤῥεῖν τῷ τῶν ὅλων Θεῷ· εὐτελῆ γὰρ ὄντα με καὶ προβατέα, τῆς οἰκείας προμηθείας ἠξίωσε, καὶ κρείττονά τῶν

τῶν πολεμούντων ἀπέφηνεν. ἡ. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Τούτοις συμφωνεῖ καὶ τὰ ἀποστόλου τὰ ῥήματα· περὶ γὰρ τῶν ἀγγέλων οὕτω φησίν· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; οὕτω καὶ ὁ μακάριος Ἰακὼβ προσευχόμενος ἔφη· ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. ἔτω καὶ ὁ πατριάρχης Ἀβραὰμ πρὸς τὸν θαυμάσιον οἰκέτην ἔφη, Κύριος ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σε, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. ἔτως ὁ μακάριος λέγει Ζαχαρίας, ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. θ'. Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος, μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν. Εἰρηκὼς προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, προτρέπει καὶ γεύσασθε. τῇ πείρᾳ, φησὶ, μάθετε τὴν ἀγαθότητα τοῦ Δεσπότου· μακαρισμὸν γὰρ ἐντεῦθεν τρυγήσετε. ἰσέον μέν τοι ὡς τοῖς πάλαι Ἰουδαίοις ἡ εἰρημένη ἁρμόττει διάνοια. ὁ δέ γε ἐν τῷ βάθει τοῦ γράμματος κρυπτόμενος νοῦς, τῶν θείων μυστηρίων τὴν χάριν αἰνίσσεται· διὰ γὰρ τοῦ παναγίου βαπτίσματος ὁ εἰλικρὴς φωτισμὸς τοῖς προσιοῦσι προσγίνεται, καὶ τῆς ζωοποιοῦ τροφῆς ἡ γεῦσις τὴν ἀγαθότητα τοῦ σωτῆρος δείκνυσιν ἐναργῶς. τί γὰρ οὕτως αὐτοῦ σαφῶς τὴν φιλανθρωπίαν ὑποδείκνυσιν, ὡς σαυρὸς, καὶ τὸ πάθος, καὶ ὁ ὑπὲρ ἡμῶν γενόμενος θάνατος, καὶ τὸ γενέσθαι τῶν οἰκείων προβάτων τροφὴν ἐμοῦ, καὶ πηγήν; ι'. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. ια'. Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Σύμφωνα δὲ καὶ ταῦτα τοῖς ἄνω ῥηθεῖσι· παραινεῖ γὰρ τοῖς ἤδη τὸν ἁγιασμὸν διὰ τοῦ βαπτίσματος δεξαμένοις, φόβῳ τὴν ἀγάπην κεράσαι, καὶ τῶν ἀγαθῶν τὴν ἀφθονίαν ἀναμένειν παρὰ μόνου Θεοῦ. ὁ γὰρ πλοῦτος πολλὰς ἔχει μεταβολάς· καὶ ὁ σήμερον πλούσιος, εἰς πενίαν μετ' ὀλίγον μετέπεσε· καὶ Ἰουδαῖοι δὲ πάλαι τοῦ Θεοῦ τὴν κηδεμονίαν πλουτήσαντες, ἐπτώχευσαν, „καὶ ἐπείνασαν ἀπισήσαντες·„ τὰ δὲ πιστεύσαντα ἔθνη, παρὰ τοῦ Θεοῦ τῶν ἀγαθῶν τὴν ἀφθονίαν ἐδέξατο. ιβ'. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. ιγ'. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Καὶ προτεθεικὼς, οἷόν τι ἆθλον ἀξιέραστον, τὴν ζωὴν τὴν ἄλυπον, καὶ τὴν τριπόθητον, ἐπὶ τοὺς ἀγῶνας προτρέπει. ιδ'. Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σε τοῦ μὴ λαλῆσαι δόλον. ιε'. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Πρότερον ἀποτρέπει κακίας, εἶθ' οὕτω τὰ εἴδη τῆς ἀρετῆς μετιέναι κελεύει· καὶ πρῶτον μὲν τὴν γλῶτταν, ὡς εὐσλιβῆ μόριον, καθαρεύειν παντὸς δόλου καὶ πονηρίας παρεγγυᾷ· τῇ γλώττῃ δὲ τὰ χείλη συνάπτει, ὡς καὶ αὐτὰ συνεργοῦντα τοῖς ἐκείνης κινήμασι· δεύτερον τῆς κακίας ἀπαγορεύει τὴν πρᾶξιν· ἔκκλινον γάρ φησιν ἀπὸ κακοῦ. εἶτα

τὴν

τὴν ἀγαθὴν ἐνέργειαν νομοθετεῖ. ποίησον γάρ φησιν ἀγαθόν. τί δὲ τὸ κεφάλαιον τῶν ἀγαθῶν; ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν· ὁ γὰρ εἰρηνικὸς εἰρήνην πρὸς ἅπαντας ἀσπαζόμενος, οὔτε κρύβδην τὰ τοῦ πέλας ὑφαιρεῖται· οὐ μιαιφονίας κατατολμᾷ, οὐ γάμοις ἐπιβουλεύει, οὐ λέγει κακῶς, οὐ πράττει κακῶς· εὐεργετεῖ, προμηθεῖται, μεταδίδωσι, συνηγορεῖ, συγκινδυνεύει, συναγωνίζεται· τοιαύτη γὰρ ἡ εἰλικρινὴς ἀγάπη, καὶ γνησία φιλία. εἶτα πάλιν δείκνυσι τὸν τούτων καρπόν. ιε'. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Ἐποπτεύονται γάρ φησιν οἱ ταῦτα δρῶντες ὑπὸ τοῦ Δεσπότου Θεοῦ, καὶ αἰτοῦντες ἀγαθὰ τυγχάνουσι τῶν αἰτήσεων. ἔπειτα ἀπὸ τοῦ ἐναντίου τὰ εἰρημένα κρατύνει. ιϛ'. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ὁρᾷ δὲ φησι καὶ τοὺς τἀναντία τολμῶντας, καὶ τῆς παναλεθρίας κατ' αὐτῶν ἐκφέρει τὴν ψῆφον. ιή'. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν· καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. ιθ'. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πάρεστι φησὶ τοῖς δικαίοις ὁ Δεσπότης, καὶ τὰς τούτων ἀσμένως δέχεται προσευχάς. διαφερόντως δὲ κήδεται τῶν μετρίῳ φρονήματι κεχρημένων· τούτους γὰρ τῇ καρδίᾳ συντετριμμένους ἐκάλεσε. τοῦτο δὲ καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. κ'. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. καὶ. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Συγχωρεῖ μὲν γὰρ αὐτοὺς εἰς τὸ τῶν θλίψεων κατιέναι γυμνάσιον· ἐπαρκεῖ δὲ, καὶ κρείττους ἀποφαίνει τῶν προσπιπτουσῶν συμφορῶν, κρατύνων αὐτῶν τοὺς λογισμούς, καὶ σεσαγανοὺς ἐργαζόμενος· ὀστᾶ γὰρ τοὺς λογισμοὺς ἀπεκάλεσε· καθάπερ γὰρ ὑπὸ τῶν ὀστῶν, ὡς σεσημείων, τὸ λοιπὸν φέρεται σῶμα· οὕτω διὰ τῶν λογισμῶν ἡ ψυχὴ τὴν σωτηρίαν καρποῦται. κβ'. Θάνατος ἁμαρτωλῶν πονηρός· καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν. κγ'. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν. Οἱ μὲν οὖν τῆς ἀρετῆς ἐραστὰι, τοσούτων ἀγαθῶν ἀπολαύσουσιν· οἱ δὲ πονηρίᾳ συζῶντες προσφυᾶ δέξονται τὴν τελευτὴν τῇ ζωῇ· καὶ πονηρᾶς βιοτῆς πονηρὸν ἔσχε τὸ τέλος. οἱ δὲ τὸ Θεοῦ τὴν θεραπείαν ἑλόμενοι, καὶ τὴν εἰς αὐτὸν ἐλπίδα κτησάμενοι, τῆς παρ' αὐτοῦ τεύξονται σωτηρίας· ἅτε δὴ πλημμελήσαι παντελῶς εἰς τοὺς ὑπ' αὐτοῦ τεθέντας οὐκ ἀναχόμενοι νόμους.

ΕΡΜΗΝ. ΤΟΥ λδ' ΨΑΛΜΟΥ.

Ψαλμὸς τῷ Δαβίδ. Καὶ τοῦτον ὡσαύτως τὸν ψαλμὸν εἴρηκεν ὁ μακάριος Δαβὶδ, ὑπὸ τοῦ Σαοὺλ διωκόμενος· μέμνηται δὲ καὶ τῆς τοῦ Δωὴκ πονηρίας. αὐτὸς γὰρ ἐμήνυσε τῷ Σαοὺλ τὰ κατὰ τὸν Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πρόξε-

νος

νος τῆς πολλῆς ἐκείνης μιαιφονίας ἐγένετο· μέμνηται δὲ καὶ τῶν Ζιφαίων, καὶ τῶν ἄλλων, οἱ τῷ Σαοὺλ τὸν Δαβὶδ κατεμήνυον, ὡς αὐτὰ διδάξει τὰ ῥήματα. α'. Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με· πολέμησον τοὺς πολεμοῦντάς με. Καλὴ τῶν εἰρημένων ἡ τάξις, καὶ τῇ τε δικαίου πρέπουσα εὐχῇ. ἤτησε γὰρ πρότερον δικάσαι τὸν τῶν ὅλων Θεὸν, εἶθ' οὕτως ἐπαγαγεῖν τῆς τιμωρίας τὴν ψῆφον. β'. Ἐπιλαβοῦ ὅπλου, καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. γ'. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. Πολέμου μνημονεύσας, ἀναγκαίως καὶ τῶν ὅπλων τὰ εἴδη προστέθεικε, τῷ χήματι τῆς πανοπλίας ἐκδεματῶν τοὺς πονηρίᾳ συζῶντας. οὐδὲ γὰρ τοσούτοις ὅπλοις ἐκέχρητο ὁ Θεὸς κολάζων τοὺς ἀδικοῦντας· ἀρκεῖ δὲ αὐτῷ λόγος εἰς τιμωρίαν ἐχάτην. εἶπον τῇ ψυχῇ μου, σωτηρία σου ἐμὶ ἐγώ. ἀρκεῖ μοι ὁ σὸς λόγος εἰς σωτηρίαν. ἐπειδὴ γὰρ ὅπλων ὁ προφήτης ἐμνημόνευσεν, εἰκότως ἐδίδαξεν, ὡς οὐ χρήζει τοιούτων ὑπουργῶν ὁ Θεὸς, ἀλλὰ λόγῳ μόνῳ κἀκείνους κολάζει, καὶ τούτους εὐεργετεῖ. δ'. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Διαμάρτωσί φησιν, ὧν τυρεύουσι, καὶ γένηται αὐτοῖς αἰσχύνη τῆς πονηρίας ἐπικαρπία. ε'. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς. Τοῦτο καὶ ἐν τῷ πρώτῳ ψαλμῷ τέθεικεν· οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. ς'. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος, καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. Τρέψον αὐτοὺς εἰς φυγὴν, τοῖς ἀοράτοις ἀγγέλοις ἐπιτρέπων τὴν δίωξιν· οὕτως εὑρίσκομεν καὶ τοὺς Ἀσσυρίους ὑπ' ἀγγέλου ἀναιρεθέντας, καὶ τῶν Αἰγυπτίων τὰ πρωτότοκα ὁ ὀλοθρευτὴς διέφθειρε. σκότος δὲ καὶ ὀλίσθημα τὴν κατάπτωσιν λέγει. οἵτε γὰρ προσπλαίοντες, καὶ οἱ τὸν ὄλισθον ὑπομένοντες, καταπίπτουσιν· καὶ δεικνὺς τῆς εὐχῆς τὸ δίκαιον, ἐπάγει· ζ'. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν. μάτην ὠνείδισαν τὴν ψυχήν μου. Ἀδίκοις γάρ φησιν ἐπιβουλαῖς κέχρηνται κατ' ἐμοῦ. τὸ δὲ ὠνείδισαν, ὑπώρυζαν ὁ Σύμμαχος εἴρηκεν. αἰνίττεται δὲ τὸν κρύβδην κατασκευαζόμενον ὄλεθρον. η'. Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει· καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν· καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Οἷς κατασκευάζουσί φησι περιπέσοιεν, καὶ τοῖς οἰκείοις δικτύοις ἐμπέσοιεν· ἀπροσδόκητον ὑπομέναιεν θήραν. τοῦτο γὰρ εἶπε, παγὶς ἣν οὐ γινώσκει. θ'. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ· τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. ι'. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε Κύριε, τίς ὅμοιός σοι; Ἐγὼ δὲ καὶ θυμηδίαν καὶ εὐφροσύνην ἐπὶ τοῖς σοῖς ἀγαθοῖς καρπώσομαι Δέσποτα, καὶ διὰ πάντων μου τῶν μορίων μόνον σε εἶναι βοήσω Θεόν. τὸ γὰρ, τίς ὅμοιός σοι; τοῦτο δηλοῖ, ὅτι

μόνος ὑπάρχεις Θεὸς, κατὰ πάντων ἔχων τὸ κράτος. ῥυόμενος πλωχὸν ἐκ χειρὸς σερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. οὐκ ἐᾷς γὰρ ὑπὸ τῶν δυνατωτέρων πολιορκεῖσθαι τοὺς πενεστέρους· ἀλλὰ κἀκείνους ἄγχεις, καὶ τούτοις ἐπαμύνεις. ιά. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με. Συκοφαντίαν, φησὶν, ὑπέμενα, ἃ μηδὲ ἐλογισάμην, κατηγοροῦμενος. ἐπειδὴ γὰρ ὑπὸ τοῦ φθόνου βαλλόμενος ὁ Σαοὺλ, τυραννήσειν αὐτὸν ὑπώπλευε, καὶ τούτου χάριν πολεμῶν διετέλει· χώραν λαβόντες οἱ βασκαίνοντες, τὰς κατ' αὐτοῦ συκοφαντίας οὐκ ἔλεγον ῥᾳδίως. τούτους μάρτυρας ὀνομάζει ψευδεῖς· ἐκ τούτων ἦν ὁ Δωὴκ, ἐκ τούτων οἱ Ζιφαῖοι, καὶ ἕτεροι πρὸς τούτοις πολλοί. ιβ. Ἀνταπεδίδουν μοι πονηρὰ ἀντὶ τῶν ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ μὲν γὰρ τὸν Γολιὰθ ἀνεῖλον θρασυνόμενον, καὶ κατὰ παντὸς νεανιευόμενον τοῦ λαοῦ, καὶ ἀλλοφύλους κατηγωνισάμην πολλάκις, καὶ τοῖς πνευματικοῖς κρούμασι τῆς δαιμονικῆς αὐτὸν ἠλευθέρουν μανίας· αὐτὸς δέ μοι πολεμῶν οὐ παύεται, θανάτῳ παραδοῦναι καὶ λήθῃ βουλόμενος. ἀτεκνίαν γὰρ τὴν λήθην ὠνόμασεν, ὡς διὰ τῶν παίδων φυλαττομένης τῆς μνήμης. διὸ δὲ καὶ ὁ τῶν ὅλων Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου φησὶ, μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ἐγώ εἰμι ξύλον ξηρόν· ὅτι τάδε λέγει Κύριος τοῖς εὐνούχοις τοῖς ἐκλεγομένοις, ἃ ἐγὼ θέλω, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, ἐν τῷ τείχει μου τόπον θαυμαστὸν, καὶ ὄνομα ἀγαθὸν, κρεῖττον υἱῶν καὶ θυγατέρων. ιγ. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποσραφήσεται. Ἐντεῦθεν παιδευόμεθα πῶς δεῖ λύειν τὰς συμφοράς· σάκκον γὰρ φησιν ἀμπεχόμενος, καὶ νηστείᾳ κατατηκόμενος, τῷ Θεῷ τὴν ἱκετηρίαν προσέφερον· καὶ ἐδεχόμην τῆς αἰτήσεως τοὺς καρπούς· τὸ γὰρ, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποσραφήσεται, τοῦτο σημαίνει, ἀντὶ τοῦ, προσευχόμενος ἐδεχόμην παρὰ τοῦ Θεοῦ τὰς αἰτήσεις, καὶ τὸν κόλπον μου ἐπλήρου. ιδ. Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέσουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. Πᾶσαν αὐτῷ φησι θεραπείαν, ὡς ἀδελφῷ γνησίῳ προσέφερον, καὶ ἀχαίλοντος καὶ πενθοῦντος ἐμιμούμην ταπείνωσιν, οὐκ ἀναχόμενος μεγαφρονεῖν ἐπὶ τοῖς κατορθώμασι. τοῦτο καὶ ἡ ἱστορία διδάσκει. τοῦ γὰρ Σαοὺλ εἰρηκότος ἐκεῖ, σὺ τέκνον Δαβὶδ; ἀπεκρίνατο λέγων· δοῦλος σὸς Κύριέ μου βασιλεῦ. καὶ πάλιν· ἵνα τί διώκει ὁ Κύριός μου ὁ βασιλεὺς ὀπίσω κυνὸς τεθνηκότος, καὶ ὀπίσω ψύλλου ἑνός; ιε. Καὶ κατ' ἐμὲ ὑφράνθησαν, καὶ συνήχθησαν· συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Λυτοὶ δὲ μετὰ πλήθους ἐπῆσαν, ἀνελεῖν με προσδοκῶντες, καὶ ἐξαπιναίως προσέβαλλον, ἐλεῖν ἀγνοοῦντα πειρώμενοι. τὸ γὰρ, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων, ὅτως ἡρμήνευσεν ὁ Σύμμαχος, συνήγοντο κατ' ἐμοῦ πλῆκται, καὶ οὐκ

ἤδειν.

ἤδειν. διεχίθησαν, καὶ οὐ κατενύγησαν. καὶ διαμαρτόντες, φησὶ, τῆς ἐλπίδος, καὶ σκεδασθέντες, οὐ μετεμελήθησαν ἐφ' οἷς κακῶς ἐβουλεύσαντο· ἀλλ' αὖθις τοῖς αὐτοῖς ἐπεχείρησαν. ις'. Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ· ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Διὰ πάσης, φησὶν, ὧδευσαν πείρας τὸν οἰκεῖον θυμὸν ἐμπλῆσαι βουλόμενοι· ποτὲ μὲν γὰρ ἀπατηλοῖς χρώμενοι λόγοις ἀγρεύειν ἐπειρῶντο, ποτὲ δὲ λεόντειον ἐβρύχοντο φονῶντες. ιζ'. Κύριε πότε ἐπόψῃ; Τοῦτο δὲ οὐκ ἐγκαλῶν εἶπεν, ἀλλὰ ποθῶν τὴν βοήθειαν. πότε, φησὶν, ἐπιφάνῃ, καὶ ἐπαμύνεις ἠδικημένῳ; ιή. Ἀποκατάστησον τὴν ψυχήν μὲ ἀπὸ τῆς κακεργίας αὐτῶν. Κρείττονά μου τὴν ψυχὴν τῶν μηχανημάτων αὐτῶν ἀπόφηνον. ῥῦσαι ἀπὸ λεόντων τὴν μονογενῆ μου. εἰρηκὼς ἄνω, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν· ἴδιος δὲ τῶν λεόντων ὁ βρυχμός· εἰκότως αὐτοὺς καὶ λέοντας προσηγόρευσε, τὸ ὠμοβόρον καὶ θηριῶδες ἐξελέγχων τῆς γνώμης. τὴν μονογενῆ δέ μου ὁ Σύμμαχος τὴν μονότητά μου εἴρηκεν, ἀντὶ τοῦ, τὴν πάσης ἀνθρωπίνης ἔρημον βοηθείας. ιϑ'. Ἐξομολογήσομαί σοι Κύριε ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Τὸ δὲ ἐν λαῷ βαρεῖ, ὁ Σύμμαχος ἐν λαῷ παμπληθεῖ εἴρηκε. προῤῥησις δὲ ἦν αὕτη, καὶ προῤῥησις δεξαμένη τέλος. ἐν πάσῃ γὰρ γῇ καὶ θαλάσσῃ ὑμνεῖ τὸν Θεὸν καὶ διὰ τῶν πεπιστευκότων ὁ θεῖος Δαβὶδ· ἐκκλησίαν γὰρ πολλὴν, καὶ παμπληθῆ λαὸν, τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας καλεῖ. κ'. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως· οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς. Ἐνταῦθα πάλιν τῶν Σαοὺλ παροξυνόντων ἐποιήσατο μνήμην, ὡς φιλίαν μὲν ὑποκρινομένων, τὰ πολεμίων δὲ δρώντων. τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς σαφέστερον εἴρηκεν. κά. Ὅτι, ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν· καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. Φιλικοῖς γὰρ χρώμενοι λόγοις, ὡς ἐν γῇ τινι κρύπτειν τὴν ὀργὴν ἐπειρῶντο, δόλου πλήρη τὴν διάνοιαν ἔχοντες. κβ'. Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπον, εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Θεασάμενοι δέ με τῆς ἐπιβουλῆς αἰσθόμενον, ἐγύμνωσαν λοιπὸν τὴν κεκρυμμένην δυσμένειαν, μετὰ φωνῆς ἐφηδόμενοι ταῖς ἐμαῖς συμφοραῖς. κγ'. Εἶδες Κύριε, μὴ παρασιωπήσῃς, Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ. κδ'. Ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου ὁ Θεός μου, καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου. Κριτὴς εἶ Δέσποτα, ἐφορᾷς ἅπαντα, καὶ οὐδέν σου διαφεύγει τὴν ἐποψίαν· μὴ παρίδῃς τὰ πεπραγμένα, μηδὲ τῆς σῆς με προνοίας ἔρημον κατασήσῃς. ἀλλὰ δίκασον, καὶ δὸς τὴν ψῆφον ταχέως. τοῦτο δὲ καὶ τὰ ἑπαγόμενα δηλοῖ. κε. Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθροί μου. κς'. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν, μηδὲ εἴποιεν κατεπιόμεν αὐτόν. Εἰ γὰρ ἀναβάλῃ τὴν δίκην, ὦ Δέσποτα, ἐπιτωθάσουσι πάλιν ἐκεῖνοι, καὶ πρόφα-

σιν θυμηδίας τὰς ἐμὰς ὀδύνας ποιήσονται, καὶ οἰκείαν εὐημερίαν ἡγήσονται τὴν ἐμὴν δυσκληρίαν. κζ'. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Κατάλληλος ἡ αἰσχύνη τοῖς ἐπικερτομοῦσι τοῖς πέλας· διὸ τοῖς ἀλαζόσι καὶ μεγαλορρήμοσι ταύτην ὁ προφήτης ἐπηύξατο. κή. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου, καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Ἀγαλλόμενοι δὲ καὶ χαίροντες διατελέσοιεν οἱ τὰ ἀγαθά μοι βουλόμενοι, καὶ τῆς εἰρήνης τῆς ἐμῆς ἐφιέμενοι, καὶ ταύτης τυχόντα θεασάμενοι, σὲ τὸν Δεσπότην ὑμνήσαιεν. κθ'. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. Ἐγὼ δὲ τῆς σῆς προνοίας ἀπολαύσας, νύκτωρ καὶ μεθ' ἡμέραν τὰς σὰς ἐντολὰς μελέτην ποιήσομαι, καὶ διηνεκῶς σε τὰς εὐεργεσίας ὑμνήσω. τὸ γὰρ ὅλην τὴν ἡμέραν, πᾶσαν ἡμέραν ὁ Σύμμαχος εἴρηκε, τὸ διηνεκὲς διὰ τέτων σημαίνων. ὁ μὲν ἓν ψαλμὸς τοῦτο ἔχει τὸ τέλος. παρακαλῶ δὲ τοὺς ἐντευξομένους, μηδὲ μίαν βλάβην ἐκ τῆς τοῦ δικαίου δέξασθαι προσευχῆς, μηδὲ πρόφασιν εἰς τὰς κατὰ τῶν ἐχθρῶν ἀρὰς ἐντεῦθεν κομίζεσθαι· συνιδεῖν δὲ, ὡς νομικὴν πολιτείαν, οὐκ εὐαγγελικὴν ὁ προφήτης μετήει. ὁ δὲ νόμος διαγορεύει ἀγαπῆσαι τὸν πλησίον, καὶ τὸν ἐχθρὸν μισῆσαι. ὁ δὲ δεσπότης Χριστὸς τὴν τελειοτάτην δείκνυς ἀρετὴν, ἔφη, ἐρρέθη τοῖς ἀρχαίοις, ἀγαπήσεις τὸν πλησίον σε, καὶ μισήσεις τὸν ἐχθρόν σε· ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. συνῳδὰ δὲ τούτοις καὶ ὁ θεῖος ἀπόστολος ἔφη· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε. εἰς ταύτην τοίνυν τὴν διαφορὰν ἀποβλέποντες, γνῶτε τί μὲν ἁρμόττει τῷ νόμῳ, τί δὲ τῇ χάριτι. ἄλλως τε δὲ καὶ ὁ μακάριος Δαβὶδ ἐκ ἐπαρώμενος ταῦτα ἔλεγεν, ἀλλὰ προφητικῶς προὔλεγε τὰ πάντως ἐσόμενα. ὅτι δὲ καὶ αὐτὸς κατὰ τὴν εὐαγγελικὴν νομοθεσίαν ἐκ ἠμύνατο τοὺς ἀδικοῦντας, ἀκέσατε αὐτῷ λέγοντος, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενὸς, καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. καὶ ἐκ εἶπε μὲν ταῦτα, ἐκ ἔπραξε δέ. τοῖς γὰρ λόγοις τὸ πέρας ἐπέθηκε, καὶ σαφέστερα τῶν ῥημάτων τὰ πράγματα. δὶς μὲν γὰρ ὑποχείριον λαβὼν τὸν πολέμιον, ἐ μόνον αὐτὸς ἐκ ἀνεῖλεν, ἀλλὰ καὶ τὸς ἀνελεῖν βουληθέντας ἐκώλυσεν· ἐν πολέμῳ δὲ πεσόντα πικρῶς ὠλοφύρατο, καὶ τὸν μεμηνυκότα τὸν θάνατον, ὡς ἐφηδόμενον καὶ ἀνηρηκέναι νεανιευσάμενον, τῷ θανάτῳ παρέπεμψε. ταῦτα δὲ διεξελθεῖν ἠναγκάσθην διὰ τὸς ἐπαρωμένους, καὶ τὸν θεῖον Δαβὶδ εἰς μέσον παράγοντας, ἵνα τὴν μεγίστην τοῦ Δαβὶδ φιλοσοφίαν ἀρχέτυπον ἔχωσιν ὠφελείας.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ λε' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τῷ δέλῳ Κυρίε, τῷ Δαβίδ. Ἡνίκα τὸν Σαοὺλ ὁ θεῖος Δαβὶδ λαβὼν ὑποχείριον, ἐ μόνον αὐτὸς οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ τοὺς ἀνελεῖν πειραθέντας ἐκώλυσεν, ἡμέρας γενομένης, ἐπί τινος ἀκρωρείας γενόμενος, ἐπιμέμφεται τῷ Σαὲλ· καὶ τῆς δυσμενείας ἐλέγχει τὸ ἄδικον· διδάσκων ὡς καθεύδοντα νύκτωρ εὑρὼν, ἐχ ὡς πολέμιον ἀνεῖλεν, ἀλλ' ὡς εὐεργέτην διέσωσε· καὶ δείκνυσι τὸ πλερύγιον τῆς διπλοΐδος, καὶ τὸν φακὸν τὸ ὕδατος, καὶ τὸ δόρυ, ὅπερ εἰς ἀπόδειξιν εἰλήφει τῆς τῶν ῥημάτων ἀληθείας· πρὸς ταῦτα ὁ Σαὲλ ἀπεκρίνατο, ῥήμασι χρησάμενος κεχρωσμένοις εὐνοίᾳ, καὶ τὸ τῆς φιλίας προσωπεῖον περικειμένοις. προστέθεικε δὲ τοῖς λόγοις καὶ ὅρκους, σκηψάμενος μεταμέλειαν. τηνικαῦτα τοίνυν τὸν ψαλμὸν τέτον ὁ μακάριος ἔφη Δαβὶδ, κατηγορίαν ποιούμενος τῶν πονηρίᾳ συζώντων, καὶ τὴν διὰ πάντων διήκουσαν τῷ Θεῷ προμήθειαν ἀνακηρύτλων· ἀνέμιξε δὲ καὶ θεολογίαν τοῖς λόγοις, καὶ προφητείαν· ἃ δὴ χάριν καὶ ἡ ἐπιγραφὴ εἰς τὸ τέλος παραπέμπει τὸν ἐντυγχάνοντα. β'. Φησὶν ὁ παράνομος τῷ ἁμαρτάνειν ἐν ἑαυτῷ. Οἴεται, φησὶν ὁ κακία συντεθραμμένος, μηδένα θεωρεῖν τῆς ψυχῆς αὐτοῦ τὰ κεκρυμμένα βουλεύματα. τὸ γὰρ φησὶν ἀντὶ τῷ ἡγεῖται καὶ ὑπολαμβάνει τέθεικεν. ἐκ ἔστι φόβος Θεῷ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῷ. αἴτιον δὲ τῆς τοιαύτης ἀναλγησίας, τὸ μὴ δεδιέναι τὸν πάντα ἐφορῶντα Δεσπότην. γ'. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτῷ, τῷ εὑρεῖν τὴν ἀνομίαν αὐτῷ, καὶ μισῆσαι. „ Οὕτω, „ φησὶν, ἑαυτὸν διέτρεψεν καὶ τὸν φό- „ βον τῷ Θεῷ τῶν ἑαυτῷ ἀπέρριψεν ὀ- „ φθαλμῶν, ὡς τὴν ἀνομίαν αὐτῷ προ- „ φανῆ τυγχάνουσαν καὶ πᾶσιν ὁρᾶσθαι „ καὶ εὑρίσκεσθαι καὶ διὰ τέτο μίσους „ ἀξίαν εἶναι. ἀκάμπτως ἐξέδωκεν ἑαυ- „ τὸν τῇ ἀνομίᾳ. „ Ἐκὼν δὲ ταύτην ἔχει τὴν ἄγνοιαν, ὡς μὴ βουλόμενος λογισεῦσαι τὰ πεπραγμένα, καὶ μισῆσαι κακῶς πεπραγμένα. δ'. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος· ἐκ ἐβελήθη συνιέναι τῷ ἀγαθῦναι. ε'. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ· κακίᾳ δὲ οὐ προσώχθισεν. Λόγοις μὲν γὰρ κέχρηται τῆς ἀληθείας γεγυμνωμένοις, καὶ δόλῳ συμπεπλεγμένοις· συνιδεῖν δὲ τὸ πρέπον οὐ βέλεται, ἀλλὰ καὶ νύκτωρ πονηρὰ τυρεύει τῷ πέλας, καὶ μεθ' ἡμέραν πληρεῖν ἐπιχειρεῖ τὰ βουλεύματα. τούτου δὲ αἴτιον, τὸ μὴ βδελύτλεσθαι αὐτὸν, καὶ παντελῶς ἀποστρέφεσθαι τῆς πονηρίας τὰ εἴδη. τὸ γὰρ κακίᾳ οὐ προσώχθισεν, ἀντὶ τῷ ἐκ ἐβδελύξατο τέθεικεν· καὶ γὰρ τὰ εἴδωλα ποτὲ μὲν βδελύγματα, ποτὲ δὲ προσοχθίσματα ἡ θεία προσαγορεύει γραφή. τέτο δὲ ὁ Ἀκύλας, ἐκ ἀπέρριψεν ἡρμήνευσεν· „ ὁ δὲ Σύμμαχος, οὐκ ἀπεδοκίμασεν· „ ὁ δὲ Θεοδοτίων, ἐκ ἀπώσατο. ς'. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σε, καὶ ἡ ἀλήθειά σε ἕως τῶν νεφελῶν. ζ'. Καὶ ἡ δικαιοσύνη σε, ὡς ὄρη Θεῷ. Ἐκεῖνοι μὲν ἦν, ὡς μηδενὸς ἐφορῶντος, τοιαῦτα πράτλειν ἐπιχειροῦσι· σὺ δὲ Δέσποτα καὶ ἔλεον ἔχεις ἀμέτρητον, καὶ

ἀλήθειαν ἀτάθμητον, καὶ δικαιοσύνην ὄρεσι παραβαλλομένην μεγίστοις· χωρεῖ δὲ σε καὶ μέχρι τῶν ἀνθρώπων ἡ ἀλήθεια, διὰ τῶν προφητῶν, εἶτα διά τινων νεφελῶν, τὸν σωτήριον αὐτοῖς ὑετὸν χορηγοῦσα. τὰ κρίματά σου ἄβυσσος πολλή. τοσαύτην δὲ ἔχων ἀλήθειαν καὶ δικαιοσύνην, τίνος ἕνεκα μακροθυμεῖς, ἀγνοῶ· τὸ τῆς ἀβύσσε ἀθεώρητον μιμεῖταί σε τὰ κρίματα. καθάπερ γὰρ ἐκείνης ἀνθρώποις ἀθεώρητος ὁ βυθὸς, ἕτως ἀγέφικτος τῶν σῶν κριμάτων ἡ κατανόησις. ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε. καὶ τί τέτε τὸ αἴτιον; ἡ. Ὡς ἐπλήθυνας τὸ ἔλεός σε ὁ Θεός. Μέχρι γὰρ καὶ τῶν κτηνῶν ἡ σὴ διήκει φιλανθρωπία, καὶ οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τὰ διὰ τὸν ἄνθρωπον γεγενημένα τρέφεις, τὲς ἀνθρώπους καὶ διὰ τέτων εὐεργετῶν. οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σε ἐλπιῶσιν. πρόρρησιν ὁ λόγος ἔχει τῆς μετὰ τὴν ἐνανθρώπησιν τε σωτῆρος ἡμῶν γεγενημένης μεταβολῆς. ὃ γὰρ εἶπεν ἤλπισαν, ἀλλὰ ἐλπιῶσιν. θ'. Μεθυσθήσονται ἀπὸ τῆς πιότητος τε οἴκου σου, καὶ χειμάῤῥους τῆς τρυφῆς σε ποτιεῖς αὐτούς. Καταφεύξεται δὲ πρός σε τῶν ἀνθρώπων ἡ φύσις, ἀναβλαστάνουσαν ἐν τῷ οἴκῳ σε τῶν ἀγαθῶν τὴν φορὰν θεωρῆσα· αἰνίττεται δὲ διὰ τέτων, ὃ μόνον τῆς θείας διδασκαλίας τὰ νάματα, ἀλλὰ καὶ τῆς μυστικῆς τροφῆς τὴν ἀπόλαυσιν· χειμάῤῥῳ δὲ τῶν τοσούτων ἀγαθῶν τὴν χορηγίαν ἀπείκασε· πρῶτον μὲν διὰ τὸ μὴ ἐξ ἀρχῆς ταύτην τοῖς ἀνθρώποις δοθῆναι· ἔπειτα μέν τοι καὶ προτρέπων πάντας ἀνθρώπους προσελθεῖν καὶ πιεῖν, ὡς τοῦ ποταμοῦ οὐκ ἀενναὸς ὄντος, ἀλλὰ χειμάῤῥε, καὶ πρὸς καιρὸν φερομένε. οἱ γὰρ κατὰ τὸν παρόντα καιρὸν μὴ προσιόντες, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν τῶν ἱερῶν νομάτων ἐκ ἀπολαύσονται. καὶ δεικνὺς ὡς φύσει μὲν ἀένναός ἐστι τῶν ἀγαθῶν ἡ φορὰ, χειμάῤῥους δὲ πρὸς τὰς οἰκονομίας γίνεται, εἰς καιρὸν ἐπήγαγεν· ι. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. Ἐνταῦθα δὲ σαφῶς ἡμῖν ἀποκαλύπτει τὸ τῆς ἁγίας τριάδος μυστήριον. πηγὴν γὰρ ζωῆς, τὸν μονογενῆ τὲ Θεὲ λόγον ὠνόμασεν. οὕτω γὰρ καὶ αὐτὸς ἑαυτὸν διὰ Ἱερεμίε τε προφήτου καλεῖ· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς, καὶ ἐπορεύθησαν, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ ὐ δυνήσονται ὕδωρ συχεῖν· λέγει τοίνυν τὴν πηγὴν ταύτην παρὰ τῷ πατρὶ εἶναι, κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν τὴν λέγεσαν, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. ἐν τῷ Φωτί σου ὀψόμεθα Φῶς. ὑπὸ γὰρ τε παναγίε πνεύματος, Φωτιζόμενοι τὰς τε μονογενες σε θεωρεμεν ἀκτῖνας. ὐδεὶς γάρ Φησι δύναται εἰπεῖν Κύριον Ἰησᾶν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. καὶ ἡμῖν ὁ Θεὸς ἐπεκάλυψε διὰ τε πνεύματος αὐτε. μεμαθήκαμεν τοίνυν ἀκριβῶς διὰ τῶν προφητικῶν λόγων τὰς τρεῖς τῆς μιᾶς θεότητος ἰδιότητας. ιά. Παράτεινον τὸ ἔλεός σε τοῖς γινώσκσί σε· καὶ τὴν δικαιοσύνην σε τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοιγάρτοι διηνεκῶς τῆς ἡμέρε σε καὶ δικαίας μετάδος κηδεμονίας, τῆς θεογνωσίας ἠξιωμένοις, καὶ ἀγαθὰ πράττειν προαιρεμένοις. ἀμφότερα γὰρ περὶ τῶν

τῶν αὐτῶν εἴρηκε, κατὰ τὸ οἰκεῖον ἰδίωμα τῇ διαιρέσει χρησάμενος. οὐ γὰρ ἄλλες λέγει τοὺς εἰδότας αὐτὸν, ἄλλους δὲ τοὺς εὐθεῖς τῇ καρδίᾳ, οὐδὲ τοῖς μὲν τὸν ἔλεον, τοῖς δὲ τὴν δικαιοσύνην ἐζήτησεν· ἀλλὰ τὴν τελείαν ἀρετὴν ἐν ἀληθέσι δόγμασι καὶ πράγμασιν ἀγαθοῖς ὁρισάμενος, τοῖς ταύτην κεκτημένοις τὸν ἔλεον καὶ τὴν δικαιοσύνην ἐπήγγειλεν. ιβ'. Μὴ ἐλθέτω μοι ποῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με. ιγ'. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι. Τὸ ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ὅπου πίπτουσιν οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὠθοῦνται καὶ οὐ δυνήσονται στῆναι. αἰτεῖ δὲ ὁ προφήτης τῆς Φύσεως τὰ μέτρα φυλάττειν, καὶ τῆς εὐθείας ὁδοῦ μὴ παρατρεπῆναι ταῖς τῶν παρανόμων ἐπιβουλαῖς· ἅτε δὴ γινώσκων τῆς ἐναντίας ὁδοῦ τὸ τέλος. οἱ γὰρ εἰς ἐκεῖνό φησι καταπίπτοντες, ἀνασῆναι λοιπὸν, καὶ εἰς τὴν ἑτέραν βραμεῖν οὐ δυνήσονται. τούτοις ἔοικε τὰ εἰρημένα ἐν τῷ ἕκτῳ ψαλμῷ· ὅτι οὐκ ἐστὶν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι.

ΕΡΜΗΝ. ΤΟΥ λϛ' ΨΑΛΜΟΥ.

ἀ. Ψαλμὸς τῷ Δαβίδ. Μὴ παραζήλε ἐν πονηρευομένοις· μηδὲ ζήλε τοὺς ποιοῦντας τὴν ἀνομίαν. Τῇ πείρᾳ μαθὼν ὁ θεῖος Δαβὶδ, ὅσων ἀγαθῶν πρόξενος ἡ πραότης, καὶ ὅτι τῶν ἀδικίαν συζώντων καὶ ἀλαζονείᾳ χρωμένων, τὸ τέλος ἀνιαρὸν καὶ τῷ βίῳ κατάλληλον· ἐμεμαθήκει δὲ ταῦτα ἐκ τε τῶν κατὰ τὸν Σαὺλ καὶ τὸν Ἀβεσσαλὼμ, καὶ τῶν ἄλλων, ὅσοι τούτων δεδράκασι παραπλήσια· παραίνεσιν εἰσφέρει πᾶσιν ἀνθρώποις· φέρειν μὲν καλῶς παρακαλῶν τὰ προσπίπτοντα λυπηρὰ, τὰς δὲ τῶν πονηρῶν ἀνθρώπων εὐημερίας, καὶ εὐπραξίας, μὴ μακαρίας νομίζειν, ἀθλίας δὲ μᾶλλον ἀποκαλεῖν· οὗ δὴ χάριν εὐθὺς ἀρξάμενος τοῦ ψαλμοῦ, φησὶ, μὴ παραζήλε ἐν πονηρευομένοις, μηδὲ ζήλε τες ποιοῦντας τὴν ἀνομίαν. τὸ δὲ μὴ παραζήλε ὁ μὲν Σύμμαχος, μὴ φιλονείκει· ὁ δὲ Θεοδοτίων, μὴ παρερεθίζε ἡρμήνευσεν· ἀντὶ τε, μὴ παροξύνε εἰς μίμησιν τῶν παρανομίᾳ συζώντων, τὴν προσγενομένην αὐτοῖς εὐκληρίαν θεώμενος. καὶ δεικνὺς τῆς εὐποτμίας τὸ πρόσκαιρον, εὐθὺς ἐπήγαγεν· β'. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ταῦτα καὶ ὁ μακάριος Ἡσαΐας ἔφη· πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπε ὡς ἄνθος χόρτε· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα Κυρίε μένει εἰς τὸν αἰῶνα. τῦτο δὲ καὶ ὁ μακάριος ἔφη Δαβίδ· γ'. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλήτῳ αὐτῆς. δ'. Κατατρύφησον τῦ Κυρίου, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σε. Διὰ πάντων ἐδίδαξε τῆς εἰς Θεὸν ἐλπίδος τὸ κερδαλέον· ὁ γὰρ εἰς αὐτὸν φησιν ἐλπίζων, καὶ ὑπ' αὐτῦ ποιμαινόμενος, τῶν ὑπ' αὐτῦ χορηγημένων ἀπολαύσεται. διαφερόντως δὲ τεύξονται τῦτων οἱ τρυφὴν ἡγέμενοι τὴν διηνεκῆ

γνεκῆ πρὸς αὐτὸν ὁμιλίαν. ε'. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σε, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. ς'. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σε, καὶ τὸ κρίμα σε, ὡς μεσημβρίαν. Τῷ Θεῷ φησι καὶ σαυτὸν, καὶ τὰς σὰς πράξεις ἀνάθε, καὶ τὴν παρ' αὐτῷ πρόσμενε ῥοπήν. αὐτὸς γὰρ οἶδα δικαστὴς ἐξοίσει δικαίαν τὴν ψῆφον, καὶ ἀνακηρύξει σε, καὶ λαμπρὸν ἀπεργάσεται, ὡς εἶναι δῆλον ἅπασι, καθὼς τῆς μεσημβρίας τὸ φῶς. ζ'. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν. Ταῦτα τοίνυν εἰδὼς, πείθου τῷ Θεῷ κυβερνῶντι, καὶ αὐτῶν παρ' αὐτοῦ τὰ ἀγαθὰ διατέλει. μὴ παραζήλῃ ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ· ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. Κἂν τινα ἴδῃς πονηρὰ προαιρούμενον, καὶ τῷ σκοπῷ μὴ διαμαρτάνοντα, ἀλλὰ κατὰ ῥᾳθυμίαν φερόμενον, μὴ δυσχέραινε, μηδὲ δυσφόρει, ὡς μηδενὸς τὴν κτῆσιν ἰθύνοντος. τοῦτο γὰρ δηλοῖ τὰ ἐπαγόμενα· η'. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν. μὴ παραζήλῃ ὥστε πονηρεύεσθαι. θ'. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται. Μὴ ἴδῃς αὐτῶν τὴν εὐημερίαν, ἀλλὰ πρόσμενον τὸ τέλος, καὶ ὄψει τὸν ὄλεθρον. οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. ι'. Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλὸς, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. ια'. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ καταῤῥυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Εὖ γὰρ ἴσθι, ὅτι οἱ μὲν τῆς θείας ἐλπίδος σφᾶς αὐτοὺς ἀναρτήσαντες, καὶ τὸν ἐπιεικῆ προαιρούμενοι βίον, ἐν ἀπραγμοσύνῃ καὶ εἰρήνῃ διατελέσουσι, τρυφὴν ἔχοντες μόνιμον τῇ συνειδότος τὴν καθαρότητα. οἱ δὲ τῇ προσκαίρῳ εὐημερίᾳ θαῤῥοῦντες ταχεῖαν δέξονται τὴν μεταβολὴν, καὶ λήθη παραδοθήσονται παντελεῖ. ιβ'. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον. καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. ιγ'. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτὸν, ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. Καὶ διὰ τούτων παραψυχὴν τοῖς ἀδικουμένοις προσφέρει. δείκνυσι γὰρ τὸν μὲν παράνομον, λυτῶντα καὶ μεμνότα κατὰ τῶν τὸν ἀπράγμονα βίον ἀσπαζομένων· τὸν δὲ δίκαιον κριτὴν καταγελῶντα τῆς ἐγχειρήσεως· ἅτε δὴ τὴν ταχεῖαν αὐτῶν τελευτὴν προορῶντα. ιδ'. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ, ἐνέτειναν τόξον αὐτῶν, τοῦ καταβαλεῖν πλωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. ιε'. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη. Τὴν αὐτὴν ἔχει τοῖς προειρημένοις καὶ ταῦτα διάνοιαν. διδάσκει γὰρ ὡς παντοδαπῆς μὲν ὁ ἁμαρτωλὸς κατὰ τῶν οὐδὲν ἠδικηκότων κέχρηται μηχανεῖς, ταῖς δὲ οἰκείαις περιπαρήσεται πάγαις. καὶ ῥομφαίαν γὰρ καὶ τόξον κέκληκε τὰς διαφόρους ἐπιβουλάς. ἔοικε ταῦτα τοῖς ἐν τῷ ἑβδόμῳ εἰρημένοις ψαλμῷ· λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ιϛ'. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλῆτον ἁμαρτωλῶν πολύν. Ἀμεινόν φησι μετὰ δικαιοσύνης αὐτάρκεια, παρανόμῳ πλάτει καὶ περιουσίας ἀδίκου. εἶτα δείκνυς τὴν ἀμφοτέρων ἐπικαρπίαν, φησίν· ιζ'. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστη-

ρίζει

ρίζει δὲ τὰς δικαίας ὁ Κύριος. Βραχίονας τροπικῶς τὴν δύναμιν ἀπεκάλεσεν. ἐπειδὴ διὰ τέτων ἐργάζεσθαι πεφύκασιν ἄνθρωποι. προσφυῶς δὲ ἄγαν τὸ ὑποστηρίζει τὰς δικαίας, τέθεικεν. ὑπὸ δαιμόνων γὰρ καὶ ἀνθρώπων ὠθέμενοι, ὑπὸ δὲ τῆς θείας ἐρειδόμενοι χάριτος, ἵστανται, καὶ τῶν ἐπιόντων περιγίνονται δυσχερῶν. ιή. Γινώσκει Κύριος τὰς ὁδὰς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. ιθ'. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. Πάσης ἀπολαύσει προνοίας οἱ ἀμεμπτον βίον αἱρέμενοι. κἂν γὰρ συμφορᾶις περιπέσωσι κρείττοις ἀποφαίνονται τέτων· καὶ κοινῆς γενομένης ἐνδείας, παρὰ τῷ Θεῷ δέχονται τὴν αὐτάρκειαν, καὶ πρὸς τέτοις τῶν αἰωνίων ἀπολαύσεσιν ἀγαθῶν. λιμὸν δὲ ἡγεῖται ἐνταῦθα παραδηλοῦσθαι τὸν πάλαι Ἰουδαίοις ἀποληθέντα· ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν· οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. κ'. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται· οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτὸς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. Ἡ τοῦ συνδέσμου ἐναλλαγὴ διαφορὰν προσώπων εἰργάσατο· καὶ ἄλλας μὲν ὑποβάλλει νοεῖν τὰς ἁμαρτωλὰς, ἄλλας δὲ ἐχθρὰς τοῦ Κυρίου. Ἀκύλας δὲ, καὶ ὁ Σύμμαχος, ἀντὶ τοῦ ΔΕ τὸν ΚΑΙ σύνδεσμον τεθεικότες, τὰς αὐτὰς ἔδειξαν ἁμαρτωλὰς, καὶ τοῦ Κυρίου ἐχθράς. λέγει δὲ ὅτι οἱ θεομισεῖς διὰ τὰς οἰκείας παρανομίας ἄνθρωποι, ὀλίγον ἀνθήσαντες χρόνον, καὶ δόξαντες εἶναι περιφανεῖς καὶ περίβλεπτοι, δίκην καπνοῦ διελύθησαν. κά. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει, καὶ δίδωσιν. Τοιοῦτος ἦν ὁ Σαοὺλ, ἀεὶ μὲν εὐεργετέμενος ὑπὸ τοῦ θειοτάτου Δαβὶδ, ἀμείψασθαι δὲ ἀγαθοῖς τὸν εὐεργέτην οὐκ ἀνεχόμενος. ὁ δὲ μακάριος Δαβὶδ, τὸν οἰκεῖον Δεσπότην μιμέμενος, ἀνατέλλοντα τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, εὐεργετῶν διετέλει. τοιοῦτοι ἦσαν οἱ Ἰουδαῖοι, τὰς παντοδαπὰς θεραπείας παρὰ τῶν ἱερῶν ἀποστόλων δεχόμενοι, καὶ τὴν μιαιφόνον ἐπιδεικνύμενοι γνώμην· ἀλλ' ὅμως οἱ θεῖοι ἀπόστολοι τὰς θείας αὐτοῖς δωρεὰς φιλοτίμως διένεμον. κβ'. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται. Τοῦτο τῷ πατριάρχῃ Ἀβραὰμ ὁ τῶν ὅλων Θεὸς ἐπηγγείλατο, εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι. κγ'. Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. κδ'. Ὅτ' ἂν πέσῃ οὐ καταῤῥαχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτῷ. Τέτο γάρ τοι χάριν εὐλογεῖ μὲν τὸν εὐλογοῦντα τὸν δίκαιον, τὸν δὲ καταρώμενον τοῖς ἴσοις ἀμείβεται· ἐπειδὴ αὐτὸς κατευθύνει τὰς τῶν δικαίων ὁδούς. ἀδύνατον γὰρ δίχα τῆς αὐτοῦ χάριτος ἀμέμπτως ὁδεῦσαί τινα τὴν τῆς ἀρετῆς ὁδόν. συνεργεῖ μέντοι τοῖς τοῦτον ἔχουσι τὸν σκοπόν· καὶ χρεία κατὰ ταὐτὸν συνδραμεῖν εἰς τὴν κτῆσιν τῆς ἀρετῆς προθυμίαν ἀνθρωπίνην, καὶ θείαν προμήθειαν. ἔτω γὰρ κἂν ὀλισθήσῃ ποτὲ ὁ τήνδε τὴν πορείαν ποιέμενος, τῆς θείας ἀντιλήψεως τεύξεται. ἔτως ὁ μακά-

ριος προσπλάσας Δαβὶδ, καὶ κατενεχθῆναι κινδυνεύσας εἰς γῆν, ὑπὸ τῆς θείας χάριτος ἀνωρθώθη. κέ. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον· οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. κς'. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. Καὶ νέος ὢν, καὶ εἰς γήρας ἐλθὼν, οὐκ οἶδα θεασάμενος δίκαιον τῆς θείας ἔρημον προνοίας γενόμενον. ὁ γάρ τοι δίκαιος κριτὴς, οὐ μόνον αὐτῶν, ἀλλὰ καὶ τῶν ἐξ αὐτῶν φυομένων πᾶσαν ποιεῖται κηδεμονίαν. ἔτω τῷ Ἰσραὴλ καὶ ταῦτα παρανομοῦντος, διὰ τὴν προγονικὴν ἀρετὴν προυνοήθη. ἔτω τῷ Σολομῶντος ἠσεβηκότος ἠνέχετο διὰ τὴν πατρῴων Φιλοθείαν. τὸ δὲ ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, τὰς παντοδαπὰς τοῦ δικαίου εὐεργεσίας δηλοῖ, τὰς διὰ χρημάτων, τὰς διὰ πραγμάτων, τὰς διὰ λόγων καὶ συμβολῶν. ταῦτα δὲ ποιῶν, ἐλεεῖ μὲν τοὺς ἀπολαύοντας· δανείζει δὲ τῷ τῶν Θεῷ· ὁ γὰρ ἐλεῶν φησι πλουτίζει, δανείζει Θεῷ, ὡς τὸ αὐτὸ ἔλεον εἶναι καὶ δάνεισμα. κζ'. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνωσον εἰς αἰῶνα αἰῶνος. Ταῦτα τοίνυν εἰδότες ἅπαντες ἄνθρωποι, καὶ μεμαθηκότες τῆς ἀρετῆς καὶ τῆς κακίας τὰ ἐπίχειρα, φεύγετε μὲν τῆς κακίας τὰ εἴδη, ὁδεύσατε δὲ τὴν ἐναντίαν ὁδὸν, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσητε. κή. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείπει τοὺς ὁσίους αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα φυλαχθήσονται. ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. κθ'. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς. Ὀρθῇ καὶ δικαίᾳ κρίσει χρώμενος τῶν ὅλων ὁ Κύριος προσφυεῖς τοῖς ἐπιτηδεύμασι τὰς ἀντιδόσεις ποιήσεται· καὶ τοὺς μὲν τῆς δικαιοσύνης ἐραστὰς πάσης ἀξιώσει κηδεμονίας· τοὺς δὲ ταναντία προαιρουμένους ἀνασπάσει προῤῥίζους. ἔτω τοὺς ἑκατέρων δείζας καρπὸς, διδάσκει λοιπὸν, πῶς ἔνεστι τὴν τῷ Θεῷ φίλην κατορθῶσαι δικαιοσύνην. λ'. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. λα'. Ὁ νόμος τοῦ Θεοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται διαβήματα αὐτοῦ. Προσήκει φησὶ, καὶν τῇ γλώττῃ, καὶν τῇ διανοίᾳ τὰ θεῖα λόγια περιφέρειν, καὶ τὴν τούτων μελέτην ποιεῖσθαι διηνεκῶς. ἔτω γὰρ τὸ πρακτέον μανθάνων ὁ τῆς ἀρετῆς ἐραστὴς, ἀτρεμὴς μενεῖ καὶ ἀσάλευτος, τῶν καταβαλεῖν ἐπιχειρούντων περιγινόμενος. ταῦτα καὶ ἐν τῷ πρώτῳ ἔφη ψαλμῷ· ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ τὰ ἑξῆς. λβ'. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ θανατῶσαι αὐτόν. λγ'. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλείπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδὲ μὴ καταδικάσηται αὐτὸν ὅταν κρίνηται αὐτῷ. Διαφόρως τὰ αὐτὰ λέγει, τῇ πλείονι μελέτῃ μονιμωτέραν κατασκευάζων τὴν μνήμην. λέγει δὲ ὡς οὐ περιόψεται τὸν δίκαιον ὁ Δεσπότης ἐπιβουλευόμενον ὑπὸ τῶν πονηρῶν, οὐδὲ συμψηφιεῖται αὐτοῖς τὰ τοιαῦτα τολμῶσιν, ἀλλ' ὑπερπηδήσας παρασκευάσει

τὰ

τὰ δίκτυα. ταύτης ἀπέλαυσεν Ἀβραὰμ τῆς προνοίας, διὰ ἁρπαγείσης τῆς Σάρρας· ταύτης ὁ Ἰσαὰκ αὐτὸ τοῦτο παθών· ταύτης ὁ Ἰακὼβ ὑπ' ἀδελφοῦ καὶ κηδεστοῦ φθονηθείς· ταύτης ὁ Ἰωσὴφ ὑπὸ φθόνου καὶ συκοφαντίας πολεμηθείς. καί τι δεῖ καταλέγειν πάντας; ῥᾴδιον γὰρ τοῖς φιλομαθέσι, καὶ τὰ πάλαι συλλέξαι, καὶ θεωρῆσαι τὰ νέα. λδ'. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε, τοῦ κατακληρονομῆσαι τὴν γῆν, ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. Ταῦτα τοίνυν μεμαθηκὼς, τὴν θείαν πρόσμενε ψῆφον, καὶ τοὺς κειμένους φύλαττε νόμους. ἔτω γὰρ καὶ ἐν τῷ παρόντι βίῳ γενήσῃ περίβλεπτος, καὶ ἐν τῷ μέλλοντι τῶν μονίμων ἀγαθῶν ἀπολαύσῃ, καὶ ὄψει τῶν ἁμαρτωλῶν τὸ τρισάθλιον τέλος. εἶτα ἐπειδὴ πολλοὺς ἀνιᾷ τὸ μὴ νῦν ὁρᾶν τῶν ἀδίκων τὴν τιμωρίαν, ἀλλ' ἀναμένειν χρόνον μακρὸν, εἰκότως ἀπὸ τῶν γεγενημένων πίστου τὰ μέλλοντα. λε'. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου. λϛ'. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Εἶδε γὰρ ὁ μέγας Δαβὶδ, καὶ τῆς τοῦ Σαοὺλ βασιλείας τὸ τέλος, καὶ τῆς τῶ Ἀβεσσαλὼμ τυραννίδος τὸν ὄλεθρον, καὶ Ναὰς τοῦ Ἀμμανίτου καὶ τὴν ὑπερηφανίαν καὶ τὴν ἀπώλειαν, καὶ τῶ ἀλλοφύλου Γολιὰθ σὺν τῷ τύφῳ τὸν θάνατον· καὶ ἄλλων αὖ πρὸς τούτοις ἐκ ὀλίγων καὶ τὴν ἀλαζονείαν, καὶ τὴν ὑπερηφανίαν, καὶ τὴν πανωλεθρίαν. εἰκότως τοίνυν τοῖς ἀκάρποις δένδροις τὴν ἐκείνων εὐημερίαν ἀπείκασε. Φρέδδες δὲ ἔφη γενηθῆναι ἐμόνον αὐτὸς, ἀλλὰ καὶ τὸς ἐκείνων τόπες. διὰ τούτων δὲ τὴν μνήμην ἐδήλωσεν. εἶτα πάλιν εἰσήγησιν εἰσφέρει καὶ συμβολήν. λζ'. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἔφη· φύλασσε ἁπλότητα, καὶ ὅρα εὐθύ, ὅτι ἔστι μέλλοντα ἀνθρώπῳ εἰρηνικῷ. μὴ ἀποβλέψῃς, φησὶν, εἰς τὰ παρόντα λυπηρὰ, ἀλλὰ προσδέχου τὰ μέλλοντα. ἔστι γὰρ καιρὸς, ἐν ᾧ τοῖς ἁπλότητι καὶ εὐθύτητι κεχρημένοις ἀποδοθήσεται ὁ προσήκων μισθός. λή. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό. τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσεται. Τοῦτο πάλιν ὁ Σύμμαχος ἔτως εἴρηκεν· οἱ δὲ ἀθετοῦντες ἐξαλειφθήσονται ὁμοῦ, τὰ ἔσχατα τῶν ἀνόμων ἐκκοπήσεται. ἐν ἐκείνῳ, φησὶ, τῷ καιρῷ, καὶ οὗτοι τὰ ἐπίχειρα δέξονται, καὶ κοινὸν ὑπομενοῦσιν ὄλεθρον. λθ'. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίῳ, καὶ ὑπερασπισὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως. μ'. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτὸς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Οἱ δὲ τῆς δικαιοσύνης ἐργάται τῆς θείας ῥοπῆς ἀπολαύσονται, καὶ σωτηρίας τεύξονται, καὶ τῶν ἀδικεῖν πειρωμένων περιγενήσονται, ἅτε δὴ ἀκραιφνῆ τὴν περὶ αὐτῶν ἐλπίδα κτησάμενοι.

ΕΡΜΗΝ. ΤΟΥ λζ' ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, εἰς ἀνάμνησιν περὶ τοῦ σαββάτου. Τὴν

σπουδαίαν μετάνοιαν τοῦ θειοτάτου Δαβὶδ τὸ τῆς ἐξομολογήσεως κηρύττει διάφορον. ἐν πολλοῖς γὰρ ψαλμοῖς μέμνηται τῆς ἁμαρτίας, τὸ ἕλκος ἐκ ἀνεχόμενος, ἀλλὰ καὶ τὴν νόσον, καὶ τὴν θεραπείαν εἰς μέσον προτίθησι, διδασκαλίας ὑπόθεσιν τοῖς ἀνθρώποις προσφέρων· καὶ τούτῳ τοιγαροῦν τῷ ψαλμῷ, καὶ τῆς ἁμαρτίας μέμνηται, καὶ τῆς διὰ τὴν θεραπείαν τῆς ἁμαρτίας ἐπενεχθείσης παιδείας. ἐπηνέχθη δὲ αὐτῷ πολλὰ καὶ διάφορα δυσχερῆ· τὸ Ἀμνὼν ἡ σφαγή, ἡ τὸ Ἀβεσσαλὼμ τυραννὶς, Ἀχιτόφελ ὁ σύμβουλος κατ' αὐτὸ βουλευόμενος, Σεμεεὶ λοιδορούμενος, καὶ τὰ ἄλλα, ὅσα ἡ ἱστορία διδάσκει. β'. Κύριε μὴ τῷ θυμῷ σε ἐξελέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Τοῦτο καὶ τὸ ἕκτον ψαλμὸν προοίμιον ἐποιήσατο, παρακαλῶν ἰατρικῶς μὴ δικαστικῶς παιδευθῆναι, μὴ δριμυτέροις, ἀλλ' ἠπίοις φαρμάκοις ἰατρευθῆναι. γ'. Ὅτι τὰ βέλη σε ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Τοῦτο, φησὶν, ἃ μάτην ἀντιβολῶ, ἀλλ' ὁρῶν ἐπιφερομένας μοι νιφάδας βελῶν, καὶ τὴν χεῖρά σε λίαν ἐπικειμένην, καὶ σφόδρα με μασιγοῦσαν. τὸ γὰρ, ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σε, ἐκ μεταφορᾶς τέθεικε τῶν αἰκιζομένων, καὶ πολλὰς ἐπιφερόντων πληγάς. δ'. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου. ἐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Νυττόμενός φησι τῇ τιμωρίᾳ τῆς ἁμαρτίας ἀναμιμνήσκομαι· ἡ δὲ αὐτῆς μνήμη θρήνους μοι, καὶ ὀδυρμοὺς ἐργάζεται· ἐκ δὲ τούτων κακουχία μοι καὶ ταλαιπωρία προσγίνεται. ε'. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. ς'. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, καὶ ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. ζ'. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Κατέκαμψέ με, φησὶ, τὸ βαρὺ τῆς ἁμαρτίας φορτίον, ἀνιᾷ δέ με καὶ τῶν σεσηπότων ἐκείνων τραυμάτων ἡ δυσοσμία, ἃ τὴν φρόνησιν ἀποβαλὼν καὶ τῇ ἀφροσύνῃ δουλεύσας εἰσεδεξάμην. ἔδη χάριν πάσης θυμηδίας ἐξερημένος, ἀχαίλω καὶ ἀλύω δι' ἡνεκῶς, καὶ τῆς σκυθρωπότητος μεταβολὴν οὐχ εὑρίσκω. η'. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ ἐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Διὰ τῶν ψοῶν τὴν ἐπιθυμίαν ἠνίξατο. ταύταις γὰρ ἔγκεινται οἱ νεφροὶ, δι' ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι. λέγει τοίνυν, ὅτι τούτων αἴτιόν μοι γεγένηται τῶν κακῶν τὸ μὴ εἰς δέον, ἀλλ' εἰς ἀσωτίαν, τῇ ἐπιθυμίᾳ προσχρήσασθαι. θ'. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Ἐξ ἐκείνης, φησὶ, τῆς ἐπιθυμίας ἐτρύγησα τὸ κύπτειν εἰς γῆν, καὶ διηνεκῶς ὀλοφύρεσθαι διὰ τὰς πικρὰς τῆς καρδίας ὀδύνας. τούτου χάριν τῆς ἐπιθυμίας μεταβαλὼν τὴν ἐνέργειαν, ὑπουργὸν αὐτὴν κατέστησα τῷ θείου βλήματος. τοῦτο γὰρ ἐπήγαγε· ι'. Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου. Ἐπειδὴ γὰρ ἅπαξ ἐχρησάμην αὐτῇ κακῶς, ἀεὶ τοῖς σοῖς αὐτὴν ἐπιλάγμασιν ἀναθήσω. καὶ ὁ στεναγμός

μου

μου ἀπό σου ἐκ ἀπεκρύβη. ιά. Ἡ καρδία μου ἐταράχθη· ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ ἐκ ἔστι μετ' ἐμοῦ. Ὁρᾷς με, φησὶ, Δέσποτα τοὺς ὀδυρμοὺς, καὶ τὰ δάκρυα, ὁρᾷς με κλονέμενον, καὶ τῆς ἰσχύος γεγυμνωμένον, καὶ τὸ φωτὸς τοῦ συνήθους ἐξερημένον, καὶ μεσούσης ἡμέρας ὡς ἐν σκότῳ διάγοντα. δύο δὲ κατὰ ταὐτὸν διὰ τούτων σημαίνει, καὶ τὴν τῆς ἀθυμίας ὑπερβολὴν, δι' ἣν οὐδὲ τὸ φῶς εἶναι δοκεῖ φῶς, καὶ τῆς θείας κηδεμονίας τὴν γύμνωσιν· ἣν φῶς ὀφθαλμῶν εἰκότως ὠνόμασεν. ιβ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ ἔστησαν· καὶ οἱ ἐγγίζά μου ἀπὸ μακρόθεν ἔστησαν. Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· οἱ φίλοι καὶ οἱ ἑταῖροί με ἐξεναντίας ἐν τῇ πληγῇ μου ἀντέστησαν. οἱ μὲν γάρ φησι τῶν φίλων, τὴν ἐμὴν θεασάμενοι πληγὴν, τὰ πολεμίων ἔδρασαν, καὶ προφανῶς μοι ἀντέστησαν· οἱ δὲ δείσαντες ἐχωρίσθησαν, τῆς οἰκείας μοι συμμαχίας οὐ μεταδόντες. ἀνίτλεται δὲ διὰ τοῦ προτέρου τὸν Ἀχιτόφελ, οὐ μόνον χωρισθέντα, ἀλλὰ καὶ τὰς ὀλεθρίους εἰσενεγκόντα βελάς. καὶ ἄλλοι δὲ, ὡς εἰκὸς, ταῦτα δεδράκασιν ἐκείνῳ· μᾶλλον δὲ τὸ πλεῖον τῇ Ἰσραὴλ, καὶ αὕτη δὲ ἡ τῆ Ἰούδα Φυλὴ σὺν τῷ Ἀβεσσαλὼμ ἐστρατεύσατο. αὐτίκα τοίνυν μετὰ τὴν τῆ πατραλοίᾳ σφαγὴν, ἀλλήλοις παρεκελεύοντο φθάσαι τὰς ἄλλας Φυλὰς, καὶ ἐπαναγαγεῖν εἰς τὰ βασίλεια τὸν βασιλέα Δαβίδ. ιγ. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου. καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητα, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Γεγυμνωμένον με τῶν φίλων οἱ πολέμιοι θεασάμενοι τὰς κατ' ἐμοῦ ῥάπλοντες διετέλουν ἐπιβουλὰς, τῆς ἐμῆς σφαγῆς ἐφιέμενοι. ιδ. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος ἐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. ιε. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Τοῦτο ἡ ἰσορία διδάσκει σαφέστερον. καὶ γὰρ τῇ Ἀβεσσαλὼμ τῇ πατρὸς αἰτιωμένου τὰς ψήφους, καὶ πρὸς ἑαυτὸν ἑλκομένου τῶν δικαζομένων τοὺς ἡττωμένους, ὁ μακάριος ἐμακροθύμει Δαβίδ. καὶ τοῦ Σεμεεὶ λοιδορουμένου, καὶ γλώττῃ καὶ χειρὶ βάλλοντος, σιγῶν τὰς ὕβρεις ἐδέχετο· καὶ τὸν Ἀβεσσὰ πειραθέντα δίκας τὸν ἀλιτήριον πράξασθαι διεκώλυεν, εἰρηκὼς, ἄφετε αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος προσέταξεν αὐτὸν καταρᾶσθαι τὸν Δαβίδ. ις'. Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα, σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου. ιζ. Ὅτι εἶπον μή ποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρήμονησαν. Ταύτῃ δέ φησι χρώμενος τῇ καρτερίᾳ διετέλουν εἰς σὲ τὴν ἐλπίδα ἔχων, καὶ σοὶ τὴν ἐμαυτοῦ κρίσιν διδοὺς, καὶ ἱκετεύων, μὴ ἐπίχαρτος γενέσθαι τοῖς πολεμίοις, μηδὲ τὴν ἐμὴν ἧτταν πρόφασιν αὐτοῖς ἀλαζονείας γενέσθαι. ιή. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος· καὶ ἡ ἀλγηδών με ἐνώπιόν με ἐστὶ διὰ παντός. Ἄξιόν με, φησὶ, μαστίγων ἡ ἁμαρτία πεποίηκε· διόπερ ἑαυλὸν ὑποτίθημι ταῖς τιμωρίαις·

ἐφίεμαι γὰρ τῆς θεραπείας ταῖς τῆς ἁμαρτίας ὀδύναις κεντούμενος. ιθ'. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Διὰ δὲ τοῦτο καὶ κατήγορος ἐμαυτοῦ γίνομαι, καὶ πᾶσαν φροντίδα τῆς ὑγιείας ποιήσομαι. κ'. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ. καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. κά. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν. Σοὶ γάρ φησι μόνῳ ἥμαρτον Δέσποτα, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. ἐκεῖνοι δὲ πολλὰς πολλάκις παρ' ἐμοῦ εὐεργεσίας δεξάμενοι, τοῖς ἐναντίοις ἀμείβονται, καὶ μείζονά μου προσεκτήσαντο ῥώμην. ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. πάλιν τὸν Ἀβεσσαλὼμ διὰ τούτων παραδηλοῖ τὰς κρίσεις αὐτοῦ διαβάλλοντα, καὶ ἀδίκους ἀποκαλοῦντα. καὶ ἐπειδὴ υἱὸς ἦν πατροκτόνος γενέσθαι Φιλονεικῶν, εἰκότως ἐπήγαγε· καὶ ἀπέρριψάν με τὸν ἀγαπητὸν, ὡς νεκρὸν ἐβδελυγμένον. ὃν γὰρ ἀγαπᾷν ἔδει κατὰ τοὺς τῆς Φύσεως νόμους, τοῦτον ὡς δυσώδη νεκρὸν ἐμυσάττετο. ἁρμόττει δὲ τοῦτο καὶ τῷ ἀχαρίστῳ λαῷ, ὃς μυρίας εὐεργεσίας παρὰ τοῦ Δαβὶδ δεξάμενος, καὶ τῶν ἀλλοφύλων δι' αὐτοῦ κρείττων γενόμενος πολλάκις, ἀγνώμων ἐδείχθη περὶ τὸν εὐεργέτην. κβ'. Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. κγ'. Πρόσχες εἰς τὴν βοήθειάν μου Κύριε τῆς σωτηρίας μου. Ὑπὸ τοσούτων φησὶ περικλυζόμενος ἀλγεινῶν, σὲ τὸν ἐμὸν Θεὸν καὶ Δεσπότην ἀντιβολῶ, μὴ γυμνώσαί με τῆς συνήθους προνοίας, ἀλλὰ μεταδοῦναί μοι ὁπῆς, καὶ σωτηρίαν χαρίσασθαι.

ΕΡΜΗΝ. ΤΟΥ λή ΨΑΛΜΟΥ.

Εἰς τὸ τέλος, τῷ Ἰδιθούμ· ᾠδὴ τῷ Δαβίδ. Τινὲς τῶν συγγραφέων τῷ Ἰδιθὼμ ἀνέθεσαν τὸν ψαλμὸν, καὶ ἔφασαν αὐτὸν γεγραφέναι τοῦτον. ἡ δὲ ἐπιγραφὴ τοὐναντίον διδάσκει, ὅτι τοῦ μὲν Δαβὶδ ὁ ψαλμὸς, τῷ δὲ Ἰδιθούμ, ὡς τὸν τῶν ᾀδόντων πεπιστευμένῳ χορὸν, εἰς τὸ ψάλλειν ἐδόθη. εἰς τὸ τέλος δὲ ἡμᾶς παραπέμπει, ἐπειδὴ τῆς ἀνθρωπίνης Φύσεως τραγῳδεῖ τὴν εὐτέλειαν, καὶ τὸ ταύτης ὑποδείκνυσι τέλος. εἴρηκε δὲ τοῦτον τὸν ψαλμὸν ὁ μέγας Δαβὶδ, ὑπὸ τοῦ Ἀβεσσαλὼμ διωκόμενος, καὶ ὑπὸ τοῦ Σεμεεὶ λοιδορούμενος, καὶ πρὸς τὸν προτεταγμένον πολλὴν ἔχει τὴν συμφωνίαν. β'. Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. ἔθεμην τῷ στόματί μου Φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. γ'. Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. Φεύγοντα τὸν μέγαν Δαβὶδ τοῦ πατραλοίου παιδὸς τὴν τυραννίδα, ὁ Σεμεεὶ κατὰ τὴν ὁδὸν ὑπαντήσας, καὶ βώλοις ἔβαλλε, καὶ λόγοις ἐλοιδόρει τὸν ἄνδρα, παράνομον καὶ ἄνδρα αἱμάτων ἀποκαλῶν. ἀλλὰ τῇ συνήθει Φιλοσοφίᾳ χρώμενος ὁ θεῖος Δαβὶδ, οὐ μόνον αὐτοὺς οὐκ ἠμύνατο, ἀλλὰ καὶ τῶν στρατηγῶν ἕνα πειραθέντα κατακοντίσαι διεκώλυσεν, εἰρηκὼς, ἄφετε αὐτὸν, διότι καταρᾶται μοι· διότι Κύριος εἶπεν αὐτῷ κακολογεῖν τὸν Δαβὶδ,

Δαβὶδ, καί τις ἐρεῖ αὐτῷ, τί πεποίηκας ἕτως; ὅπως ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῶσῃ μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτῆ ἐν τῇ ἡμέρᾳ ταύτῃ. πολλὴν τοίνυν συμφωνίαν πρὸς τήνδε τὴν ἱστορίαν ἔχει τῆδε τοῦ ψαλμῷ τὰ ῥήματα. πολλὴν γάρ φησι προμήθειαν τῆς γλώττης ἐποιήσατο· εὐόλισθον τῆτο διαφερόντως τὸ μόριον ἐπισάμενος, καὶ οἷον τινι τειχίῳ ταύτην ἀεὶ περιβάλλων. οὐχ ἥκιστα δὲ, ἡνίκα Σεμεεὶ ἀδὲν ἠδικημένος ἀντέξη· αὐτὸν γὰρ ἁμαρτωλὸν, ὡς ἄδικον ὀνομάζει. τηνικαῦτα γὰρ ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. σφόδρα δὲ ταῦτα ἔοικε τοῖς ἐν τῇ ἱστορίᾳ ὑπ' αὐτῆ εἰρημένοις, ἄφετε αὐτὸν καταράσασθαι, ὅτι Κύριος προσέταξεν αὐτῷ κακολογεῖν τὸν Δαβίδ· εἴπερ ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ ἐξελῆταί με σήμερον ἐκ χειρὸς τῶν ἐχθρῶν μου. τῆτο καὶ ταῦθα λέγει, ὅτι κωφῷ ἐώκειν παντελῶς ἐκ ἀκόοντι, καὶ ἐταπείνωσα ἐμαυτὸν, τὸ ἐντεῦθεν κέρδος προσμένων. καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. ὑπ' ἐκείνου, φησὶ, λοιδορέμενος, τῆς ὑπ' ἐμοῦ τολμηθείσης ἁμαρτίας ἦλθον εἰς μνήμην, καὶ ταῖς ἐντεῦθεν ἀκίσιν ἐβαλλόμην, λογιζόμενος ὅτι ταύτης ἕνεκα καὶ λοιδορῆμαι, καὶ τυραννοῦμαι, καὶ τῶν βασιλειῶν ἐξελαθεὶς, φεύγειν ἀναγκάζομαι. καὶ ταῦτα δὲ πολλὴν ἔχει πρὸς τὴν ἱστορίαν συγγένειαν. τὸ γὰρ, Κύριος προσέταξεν αὐτῷ κακολογεῖν τὸν Δαβὶδ, μνήμην ἔχει τῆς ἁμαρτίας, ἐπειδὴ διὰ ταύτην ἡ παιδεία γεγένηται. δ'. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Τῆτο ὁ Σύμμαχος ὕτως ἡρμήνευσεν· ἐξεθερμάνθη ἡ καρδία μου ἐντός μου, ἐν τῷ ἀναπολεῖν με, ἀνεκαύμην πυρί. ἀναμιμνησκόμενος, φησὶ, τῆς ἁμαρτίας μου, τῷ τῆς ἀθυμίας ἐνεπιμπράμην πυρί. ε'. Ἐλάλησα ἐν γλώσσῃ μᾳ, γνώρισόν μοι Κύριε τὸ πέρας μου· καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν· ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Πρὸς μὲν ἕν τὸν λοιδορούμενον ἀπεκρινάμην ἀδέν, τὸν δὲ τῶν ὅλων ἱκέτευσα Κύριον, δῆλόν μοι ποιῆσαι τῆς ζωῆς μᾳ τὸ τέλος, σφόδρα τῆς τελευτῆς ἐφιέμενος. ς'. Ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ ἀδὲν ἐνώπιόν σε. Τοῦτο πάλιν ὁ Σύμμαχος ὕτως ἡρμήνευσεν· ἰδὲ ὡς σπιθαμὰς ἔδωκας τὰς ἡμέρας μᾳ, καὶ ἡ βίωσίς μου ὡς ἀδὲν ἀντιπρύς σου. ἐφίεμαι δὲ τελευτῆς, οὐ μακρόβιον τὴν ἀνθρωπείαν ἐπισάμενος φύσιν. ἡ γὰρ ἡμετέρα βιοτὴ ἀδὲ συνεσάναι δοκεῖ τῇ σῇ παραβαλλομένη ζωῇ. σὺ μὲν γὰρ ἀναρχος καὶ ἀπέραντος, ὁ δὲ ἡμέτερος βίος οἷόν τισι σπιθαμαῖς καὶ παλαισταῖς ἐκμετρεῖται. διὰ τύτου δὲ παρεδήλωσε τὸ ὀλιγοχρόνιον τῆς ἀνθρωπείας ζωῆς. ἔτω καὶ ἑτέρωθι λέγει, ὅτι χίλια ἔτη ὑπὸ ὀφθαλμοῖς σε Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥ τις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. καὶ ἀλλαχοῦ τῶν ὐρανῶν καὶ τῆς γῆς μνημονεύσας, αὐτοὶ φησὶν ἀπολῶνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σε ὐκ ἐκλείψει. πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρω-

ἄνθρωπος ζῶν. ὥστε πᾶσα, φησὶ, τῶν ἀνθρώπων ἡ φύσις, καὶ οἱ πλουτοῦντες, καὶ οἱ πενόμενοι, ἀτιμῷ ἐοίκασι διαλυομένῳ, καὶ εἰκῇ καὶ μάτην οἰκοδομοῦσι, φυτεύουσι, πλοῦτον καὶ περιουσίαν ἀθροίζουσιν. ζ'. Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. Οὐδὲν φησι τῶν ἐν εἰκόνι γεγραμμένων οἱ ζῶντες διαφέρουσιν ἄνθρωποι· ὁμοίως γὰρ καὶ τούτων κἀκείνων ἡ φύσις ὑποῤῥεῖ τῷ χρόνῳ, καὶ διαφθείρεται. ἀλλ' ὅμως ἐδὲν ἧττον διαταράττονται φιλονεικοῦντες, διαμαχόμενοι, πολεμοῦντες, ἐμπορευόμενοι· καὶ ζάλης ἅπας ὁ βίος μεστὸς, τέλος ἔχων τὸν θάνατον. σὺν πόνῳ δὲ πολλῷ καὶ ἱδρῶτι τὸν πλοῦτον ἀθροίζοντες, τὸν ἐσομένοις ἐκ ἴσασι κληρονόμον. τοῦτο δὲ καὶ ὁ μακάριος Δαβὶδ καὶ ἐκ τῶν καθ' ἑαυτὸν κινούμενος γέγραφε. τοῖς γὰρ ἐκ τῶν πολέμων λαφύροις, καὶ τῷ παρὰ τῶν ἀλλοφύλων φερομένῳ δασμῷ, μεγίστην καὶ περιφανῆ λίαν ἀποφήνας τὴν βασιλείαν, ἠγνόει τῷ παιδὸς τὴν δυσσεβῆ καὶ παράνομον γνώμην. εἶτα θεασάμενος αὐτὸν ἐγκρατῆ τῶν βασιλείων γινόμενον, καὶ τὸν ἀποκείμενον σφετερισάμενον πλοῦτον, τὴν θαυμασίαν ἀφῆκε φωνὴν, πλὴν μάτην ταράσσεται, θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. η'. Καὶ νῦν τίς ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. Πᾶσιν ἐκείνοις ἐῤῥῶσθαι φράσας, τὴν παρὰ σοῦ προσμένω βοήθειαν. τὴν δὲ ὑπόστασιν Ἀκύλας παραδοκίαν εἴρηκε· ἀντὶ τοῦ, σε παραδοκῶ περισκοπῶν, τὴν σὴν εὐμένειαν ἀναμένω· εἶτα τὴν αἰτίαν τῶν ἀλγεινῶν ὑποδείκνυσιν. θ'. Ἀπὸ πασῶν τῶν ἀνομιῶν ῥῦσαί με. Καὶ τῇ Σεμεεὶ πάλιν φέρει τὴν μνήμην. ὄνειδος ἄφρονι ἔδωκάς με. σφόδρα καὶ τοῦτο τοῖς ἐν τῇ ἱστορίᾳ εἰρημένοις συμβαίνει· Κύριος εἶπεν αὐτῷ κακολογεῖν τὸν Δαβίδ. καὶ τὰ ἐπαγόμενα δὲ ὁμοίως τοῖς εἰρημένοις ἀκόλουθα. ι'. Ἐνωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας. Σοῦ γάρ φησι συγχωρήσαντος, πεπαρῴνηκεν ἐκεῖνος· καὶ ὁ μὲν ἐῴκει μάτην, σὺ δὲ δι' ἐκείνης τὴν παιδείαν ἐπέφερες. διό τοι τοῦτο, σιγῶν ἐδεξάμην τὰς μάστιγας, ἐκεῖνον μὲν παροῶν, σὲ δὲ ὁρῶν παιδεύοντα. προσφυῶς δὲ μάλα καὶ τὰ ἐπαγόμενα τέθεικεν. ιά'. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου. ιβ'. Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σε ἐγὼ ἐξέλιπον. Ἱκετεύω τοίνυν καὶ ἀντιβολῶ σε Δέσποτα, παῦσον λοιπὸν τὴν παιδείαν· τῷ πλήθει γὰρ τῶν μαστίγων κατηναλώθην. ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. οὐκ εἰκῇ, φησὶ, καὶ μάτην κέχρησαι ταῖς παιδείαις, ἀλλὰ διελέγχων τὰ ἐπταισμένα, καὶ ἰατρικῶς τέμνων, καὶ ἐξάγων τὸν κεκρυμμένον ἰχῶρα· καὶ ταῖς μὲν ἐκ τῆς θεραπείας κατατήκεις ὀδύναις, ὑγίειαν δὲ πραγματεύῃ τοῖς τεμνομένοις. πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος. ταῦτα τοίνυν παρ' ἐμαυτῷ λογιζόμενος, εἰς οὐδὲν δέον ὁρῶ τοὺς ἀνθρώπους ὑπὲρ προσκαίρων ταρατομένους πραγμάτων. ιγ'. Εἰσάκουσον τῆς προσ-

ευχῆς μου Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου· μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. ιδ'. Ἄνες μοι, ἵνα ἀποψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω. Ἱκετεύω σέ φησι Δέσποτα, εἰσάκουσον ποτνιωμένου καὶ μετὰ δακρύων ἀντιβολοῦντος· οὐδὲ γὰρ κατοικῶ τὴν γῆν, ἀλλὰ παροικῶ, καὶ τοῖς πατράσι παραπλησίως, ὀλίγον βιώσας χρόνον, τὸν θάνατον δέξομαι· μικρᾶς τοίνυν ἀνακωχῆς μοι μεταδος, ἵνα ὀλίγας γοῦν ἡμέρας δίχα ὀδύνης βιώσω, πρὶν τόνδε τὸν βίον ὑπεξελθεῖν· ἐξελθὼν γὰρ οὐκ ἀναῤῥέψω. τοῦτο γὰρ εἶπεν, οὐκέτι ὃ μὴ ὑπάρξω, τουτέστι πρὸς τὸν φθαρτὸν τοῦτον ἐκ ἀναῤῥέψω βίον. θαυμάσαι δὲ ἄξιον, τὸν μέγαν Δαβὶδ ἐν βασιλείᾳ, καὶ πλούτῳ, καὶ δυναστείᾳ, πάροικον ἑαυτὸν ἀποκαλοῦντα καὶ παρεπίδημον, καὶ τῇ εὐκληρίᾳ θαῤῥῆσαι μὴ ἀναχόμενον· τῷ ὄντι γὰρ σοφίας μεστὰ τὰ ῥήματα, καὶ τὴν φύσιν τῶν ὄντων ἐπισταμένης, καὶ τοῦτο χάριν τῆς παρούσης εὐημερίας καταφρονούσης.

ΕΡΜΗΝ. ΤΟΥ λθ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τῷ Δαβὶδ ψαλμός. Τινὲς εἰς τὸν μακάριον Ἱερεμίαν τοῦτον ἔλαβον τὸν ψαλμὸν, τινὲς εἰς τὸν θαυμάσιον Δανιήλ· ἐπειδὴ κἀκεῖνος καὶ οὗτος εἰς λάκκον ἐβλήθησαν, μέμνηται δὲ λάκκου τοῦ ψαλμοῦ τὸ προοίμιον· καὶ τῷ ἑνὶ προσεχηκότες ῥητῷ, εἰς ἐκείνην ἐτράποντο τὴν διάνοιαν. τινὲς δὲ τοῖς οἰκήσασι τὴν Βαβυλῶνα δουλαλώτοις ἁρμόττειν ἔφασαν τὸν ψαλμόν. ἐγὼ δὲ τυπικῶς μὲν εἰς τὰ συμβεβηκότα τῷ Δαβὶδ τοῦτον συγγεγράφθαι νομίζω· ἀναφέρεσθαι δὲ καὶ εἰς ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν, ὑπὸ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὰς τῆς ἀναστάσεως δεξαμένην ἐλπίδας· εἰς δὲ ταύτην ἡμᾶς ποδηγεῖ τὴν διάνοιαν ὁ θεσπέσιος Παῦλος, ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ῥητῶν ἐνίων μνηθείς. β'. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. γ'. Καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. Ἁρμόττει δὲ καὶ τῷ μακαρίῳ Δαβὶδ τὰ ῥήματα. σύμφωνα γάρ ἐστι τῷ προτεταγμένῳ ψαλμῷ. ἐν ἐκείνῳ μὲν γὰρ ἔλεγεν, εἰσάκουσον τῆς προσευχῆς μου Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου· μὴ παρασιωπήσῃς, καὶ ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω. ἡ ἀνωτέρω δὲ ἔφη· καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. ἐνταῦθα δὲ, ὡς τῆς ἱκετείας δεχθείσης, καὶ τῆς αἰτήσεως δοθείσης, ὑπομένων, φησὶν, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. ἀπεγραμμένος γὰρ τὴν ἁμαρτίαν, εὐμενές μοι πρόσωπον ἔδειξε, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. καί τι πεποίηκεν εἰσακούσας; καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. οὕτω δὲ τοὺς μεγίστους κινδύνους σύνηθες ἀνομάζειν τῇ θείᾳ γραφῇ, καθὰ καὶ ἤδη προειρήκαμεν. τῶν δὲ κινδύνων ἀπαλλάξας, τί σοι πάλιν κεχάρισται; καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. οὐ γὰρ εἴασέ με

με κλονεῖσθαι καὶ περιφέρεσθαι, ἀλλ' ἑδραίαν μοι τὴν στάσιν εἰργάσατο. ἐπὶ ταύτῃ γάρ φησι πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ἅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ κατεύθυνε τὰ διαβήματά μου. ἀκωλύτως με τρέχειν εἰς τὴν τῆς δικαιοσύνης ὁδὸν παρεσκεύασε. τῆς γὰρ πλάνης ἐλευθερώσας, τὴν εὐθεῖαν ὑπέδειξε τῆς ἀληθείας ὁδόν. δ'. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν. Ἀνὶ γὰρ ἧς δυσσεβὲς τῶν εἰδώλων λατρείας τὸν ὄντα Θεὸν ἐδιδάχθην ὑμνεῖν, καὶ προσφέρειν ᾆσμα, ἃ παλαιὸν, ἀλλὰ καινὸν, καὶ ταῖς καιναῖς εὐεργεσίαις συμβαῖνον. ἐκέτι γὰρ θρηνῳδῶν ἱκετεύω, ἀλλ' ἐπὶ ταῖς εὐεργεσίαις ὑμνῶ. ταῦτα μὲν οὖν, ὡς ἔφην, τυπικῶς ἁρμόττει τοῖς τοῦ Δαβὶδ παθήμασι, καὶ ταῖς εἰς αὐτὸν γεγενημέναις εὐεργεσίαις. ἁρμόττει δὲ διαφερόντως τῇ φύσει τῶν ἀνθρώπων, εἰς αὐτὸν κατενεχθείσῃ τὸν τῆς ἁμαρτίας πυθμένα, καὶ τῷ θανάτῳ παραπεμφθείσῃ, καὶ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως ἀνιμηθείσῃ, καὶ δεξαμένῃ τῆς ἀναστάσεως τὰς ἐλπίδας, λέγειν, ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι· καὶ εἰσήκουσέ μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας. λάκκος δὲ ταλαιπωρίας εἰκότως ὁ θάνατος ἐκλήθη, φθορᾶς ὑπάρχων μεστός. πηλὸς δὲ ἰλύος, ἡ ἁμαρτία, ὡς δυσοσμίαν ἀφιεῖσα πολλὴν, καὶ τὸν εὐθυτενῆ τῶν ἀνθρώπων ἐπέχουσα δρόμον. ὄψονται πολλοὶ, καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. ἐπειδὴ εἰς τῶν τῆς σωτηρίας ἀπολελαυκότων τὸ πρόσωπον ταῦτα διέξεισιν, εἰκότως ὁ προφήτης ἔφη, ὅτι οἱ μηδέπω γεγευμένοι τῶν ἀγαθῶν, θεωροῦντες καὶ φοβηθήσονται, ὡς ἤδη μὴ προσεληλυθότες, καὶ τῇ ἐλπίδι κρατυνθέντες, τῆς παρὰ τοῦ Θεοῦ τεύξονται σωτηρίας. ε'. Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς. Τῶν ματαιοτήτων τούτων ἐμνημόνευσεν ὁ προφήτης, καὶ ἐν τῷ πρὸ τούτου ψαλμῷ· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. καὶ πάλιν, πλὴν μάτην ταράσσεται· κἀνταῦθα τοίνυν μακαρίζει τὸν τῶν μὲν παρόντων καταφρονήσαντα, τὴν ἐλπίδα δὲ τὴν θείαν ἀντὶ πάντων κτησάμενον. ς'. Πολλὰ ἐποίησάς σου Κύριε ὁ Θεός με τὰ θαυμάσιά σε, καὶ τοῖς διαλογισμοῖς σε οὐκ ἔστιν ὁμοιωθήσεταί σοι. ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Νικᾷ, φησὶν, ἀριθμὸν, καὶ πᾶσαν διήγησιν, τὰ ὑπὸ τῆς σῆς δυνάμεως γενόμενα θαύματα. οὐ γάρ ἐστιν ὁ τὰ ὅμοιά σοι δράσαι δυνάμενος. μέγιστα μὲν γὰρ καὶ περικαλλῆ σου τὰ ποιήματα. νικᾷ δὲ τοὺς ἀνθρωπίνους ἐπαίνους τὰ καθ' ἕκαστον καιρὸν ὑπὸ τῆς σῆς προμηθείας οἰκονομούμενα, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐπὶ Μωσοῦ, τὰ ἐπὶ Ἰησοῦ, τὰ ἐπὶ Σαμουὴλ, καὶ τὰ τούτων πρεσβύτερα, τὰ κατὰ τὸν Ἀβραὰμ, τὰ κατὰ τὸν Ἰσαὰκ, τὰ κατὰ τὸν Ἰακὼβ, ἢ διὰ δουλείας τοῦ Ἰωσὴφ βασιλεία, καὶ τὰ ἄλλα, ἵνα μὴ καθ' ἕκαστον διεξέρχωμαι· ἀλλὰ τὸ νῦν γεγενημένον τούτων ἁπάντων θαυμασιώτερον. ἐδὲ γὰρ ἑνὸς ἀνδρὸς, ἢ

ἑνὸς

ένος ἔθνος, ἀλλὰ τῶν ἐθνῶν ἁπάντων πραγματεύη τὴν σωτηρίαν, καὶ τὴν νομικὴν λατρείαν καταπαύσας, τῇ τῶν Ἰουδαίων ἀσθενείᾳ συμβαίνουσαν, τὴν καινὴν ἔδωκας χάριν, τὴν λογικὴν λατρείαν νομοθετῆσαν. ζ'. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. η'. Τότε εἶπον, ἰδὲ ἥκω. Τούτοις ἡ ἀποστολικὴ συνάδει παραίνεσις· παρακαλῶ ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν. ἀντὶ γὰρ τῶν νομικῶν ἱερείων τὰ ἡμέτερα μέλη καθιεροῦν ὁ Δεσπότης προσέταξε. ταύτην δέ σου φησὶ τὴν χάριν ἰδὼν, ἐμαυτόν σοι προσήγαγον, λέγων, ἰδοὺ πάρειμι. ταύτην μέντοι τὴν φωνὴν ὁ μακάριος λαμβάνει Παῦλος εἰς τὸν δεσπότην Χριστὸν, καὶ μάλα εἰκότως. τῆς γὰρ ἡμετέρας φύσεώς ἐστιν ἀπαρχὴ, καὶ πρώτω πρέπει τὰ ἡμέτερα λέγειν, καὶ ἐν αὐτῷ προτυπῶν ἃ παρ' ἡμῶν προσήκει γενέσθαι. ἵνα πρῶτος τῷ βαπτίσματι προσελήλυθεν, ἡμῖν ὑποδεικνὺς τὴν τοῦ βαπτίσματος χάριν· ἵνα ἔνιψε τῶν ποδας τῶν μαθητῶν, ταπεινοφροσύνης ἡμῖν ἀρχέτυπον προτιθείς. διὰ τοῦτο πρὸς τὸν Ἰωάννην ἔφη· ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. ἁρμόττει τοίνυν αὐτῷ καὶ τὰ ἡμέτερα λέγειν, ὡς κεφαλὴ σώματος, ὡς πολλῶν ἀδελφῶν πρωτοτόκω κατὰ τὴν σάρκα. ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. ἄνωθεν φησὶν ἐν ταῖς προφητικαῖς βίβλοις ταῦτα περὶ ἐμοῦ προηγόρευται. τὴν κεφαλίδα, εἴλημα εἰρήκασιν Ἀκύλας καὶ Σύμμαχος. ἔτω δὲ τὰς θείας γραφὰς μέχρι καὶ τήμερον Ἰουδαῖοι κατασκευάζειν εἰώθασι. θ'. Τοῦ ποιῆσαι τὸ θέλημά σε ὁ Θεός μου ἠβουλήθην· καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. Προσελθών σοι, φησὶ, πᾶσαν ἔχω σπουδὴν τὰς σὰς πληροῦν ἐντολὰς, καὶ κατὰ τὸ σὸν πολιτεύεσθαι θέλημα. τὸ δὲ, ἐν μέσῳ τῆς κοιλίας μου, ἐκ μεταφορᾶς εἴρηκε τῶν εὖ περὶ τινὰ διακειμένων, καὶ ἔνδον ἐφιεμένων ἐμβαλεῖν τὸν ποθούμενον. ταῦτα δὲ οὔτε τῷ Ἱερεμίᾳ, οὔτε τῷ Δανιὴλ, οὔτε τῷ μακαρίῳ ἁρμόττει Δαβίδ. τοῦ νόμου γὰρ κρατοῦντος, ὁλοκαυτώματα καὶ θυσίαι προσεφέροντο τῷ Θεῷ. ὁ δὲ προφητικὸς λόγος, ἐκβαλὼν πάντα τὰ τοιαῦτα, τὴν λογικὴν θυσίαν ὑπέδειξεν. ἣ δὴ χάρις, τυπικῶς ἔφην ἁρμόττειν τῷ Δαβὶδ τὸν ψαλμόν· ἐπειδὴ κἀκεῖνος προφητικῶς προεώρα τὰ μέλλοντα, καὶ κατ' ἐκεῖνα ζῆν ἐπεθύμει. ἀληθῶς δὲ τοῖς τῆς σωτηρίας ἀξιωθεῖσιν ἔθνεσι, καὶ τῆς πλάνης ἀπαλλαγεῖσιν. ι'. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε σὺ ἔγνωσας. ια'. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. οὐκ ἔκρυψα τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Καὶ ὁ μακάριος Δαβὶδ ὑπισχνεῖται ἐν ἐκκλησίᾳ μεγάλῃ, τῇ κατὰ πᾶσαν τὴν οἰκουμένην ὑπὸ τῆς θείας χάριτος συλλεγείσῃ, τὴν τοῦ Θεοῦ δικαιοσύνην κηρύττειν, καὶ τὴν τῆς προφητείας ἀλήθειαν, καὶ τὴν ἀξιάγαστον σωτηρίαν,

καὶ τὸν ἀμέτρητον ἔλεον. καὶ αὕτη ἡ σεσωσμένη Φύσις ταύτην ὑπὲρ τῆς σωτηρίας ὑπιχνεῖται τὴν ἀντίδοσιν δώσειν, τὸ συντρέχειν εἰς ἐκκλησίαν, καὶ τὰ χείλη κινεῖν εἰς ὑμνῳδίαν, καὶ τῷ Θεῷ τὴν δικαίαν κρίσιν ἀνακηρύττειν, καὶ τὴν ἄῤῥητον διεξιέναι κηδεμονίαν, καὶ τῶν προφητικῶν ὑποχέσεων ὑποδεικνῦναι τὸ ἀληθές. τὸ δὲ, ἀπὸ συναγωγῆς πολλῆς, ὁ Σύμμαχος ἐν πληθύϊ, ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, ἐν ἐκκλησίᾳ μεγάλῃ τεθείκασιν· ὡς εἶναι δῆλον, ὅτι περὶ τῆς αὐτῆς εἴρηκεν ἐκκλησίας. ιβ'. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὸς οἰκτιρμός σε ἀπ' ἐμοῦ· τὸ ἔλεός σε, καὶ ἡ ἀλήθειά σε διὰ παντὸς ἀντελάβοντό μου. Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τῷ Θεῷ ἐκκλησία, δεῖται πάλιν τῆς αὐτῆς προμηθείας, διὰ τὰς παντοδαπὰς τῶν ἀνθρώπων καὶ δαιμόνων ἐπαναστάσεις, ὧν ἐν τοῖς ἑξῆς τὴν μνήμην πεποίηται. ιγ'. Ὅτι περιέχον με κακὰ, ὧν ἐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ ἐκ ἠδυνήθην τῷ βλέπειν. ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. Μηδεὶς δὲ ἀνάρμοστα τοῖς ἡρμηνευμένοις ἡγείσθω τὰ εἰρημένα· καὶ γὰρ οἱ τρεῖς παῖδες τῆς ἄκρας ἀρετῆς ἐπειλημμένοι, καὶ τὸν νικηφόρον ἀναδησάμενοι ξέφανον, ἐν τῇ καμίνῳ προσευχόμενοι ἔλεγον, ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ ἀπέστημεν ἀπὸ τῶν ἐντολῶν σε, καὶ ἐκ ἐφυλάξαμεν τὰ δικαιώματά σου. Ἔτως ὁ θαυμάσιος Δανιὴλ, οὕτως ὁ θεσπέσιος Ἱερεμίας, ἔτως ὁ θεῖος Ἡσαΐας, οὕτως ὁ σοφώτατος Παῦλος. Χριστὸς γὰρ φησιν Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλὸς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν, ἐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος. οὕτω τοίνυν ταῖς παρὰ τῶν δυσσεβῶν τριημυίαις βαλλομένη ἡ τῷ Θεῷ ἐκκλησία, ἐ μεγαφρονεῖ, ὡς ἀγωνιζομένη, ἀλλὰ ἁμαρτίαις καὶ πλημμελείαις ἀνατίθησι τὰ γινόμενα, καὶ τῆς παρὰ τοῦ σωτῆρος ἐπικουρίας ἀπολαῦσαι παρακαλεῖ. ἄλλως τε ἐδὲ ἐκ τελείων πᾶσα συνέστηκεν ἡ τῷ Θεῷ ἐκκλησία· ἀλλ' ἔχει καὶ τὲς ῥᾳῳθύμη συζῶντας, καὶ τὸν ἀνειμένον βίον ἀσπαζομένες, καὶ ἡδοναῖς δουλεύειν αἱρεμένες. καὶ ἐπειδὴ ἕν ἐσι σῶμα, ὡς ἐξ ἑνὸς προσώπε καὶ ταῦτα κἀκεῖνα προφέρεται. ιδ'. Εὐδόκησον Κύριε τῷ ῥύσασθαί με, Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες. ιε'. Καταισχυνθείησαν, καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν με, τοῦ ἐξάραι αὐτήν. Οὐ γὰρ τρῶσαι βούλονται, ἀλλὰ τῷ αἰωνίῳ παραπέμψαι θανάτῳ. ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά. τρέψον αὐτοὺς εἰς φυγὴν, καὶ διαμαρτεῖν ὧν ἐφίενται παρασκεύασον· κακὰ γάρ μοι κατλύουσιν. ις'. Κομισάθωσαν αἰσχύνην παραχρῆμα οἱ λέγοντές μοι εὖγε, εὖγε. Καὶ τοῖς ἐπιτωθάζουσι δὲ καὶ ἐπιγελῶσί μοι, γενέσθω τούτοις καιρὸς ἡ αἰσχύνη. ιζ'. Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε, καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σε διαπαντός. Τοὺς δὲ ζητοῦντάς σε, φησὶ, καὶ ὑμνοῦντας, καὶ διαπαντὸς ἀγαπῶντας, δηνεκοῦς ἔμπλησον εὐφροσύνης, καὶ τῆς σῆς ἀγάπης μεταβολὴν μὴ δεχόμενοι, μὴ δεξάσθωσαν

σαν θυμηδίας μεταβολήν. οὐ γὰρ τοῖς ἁπλῶς ἀγαπῶσιν ἤτησε τὴν θυμηδίαν, ἀλλὰ τοῖς ἀεὶ καὶ διηνεκῶς ἔχουσι τὸν ἀξιέραστον ἔρωτα. ιή. Ἐγὼ δὲ πλωχός εἰμι καὶ πένης, Κύριος φροντιεῖ μου· βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ Κύριε, μὴ χρονίσῃς. Ὥσπερ ἁμαρτιῶν ἐμνημόνευσεν ἄνω, οὕτω καὶ πλωχὸν ἑαυτὸν ἀποκαλεῖ, ὡς βοηθείας σπανίζοντα, καὶ τῆς θείας δεόμενον ἐπικουρίας· καὶ ταύτης ὅτι τάχιστα ἱκετεύει τυχεῖν. ἁρμόττει δὲ ταῦτα διαφερόντως τῷ μακαρίῳ Δαβὶδ. ἡγοῦμαι γάρ, ὅτι τὴν πρόρρησιν ἐκείνην θεασάμενος, καὶ τὴν φιλοτιμίαν τῆς χάριτος, πλωχὸν ἑαυτὸν καὶ πένητα προσηγόρευσε, καὶ τῆς θείας καὶ αὐτὸς ἀπολαῦσαι προνοίας ἱκέτευσεν. ἀντιβολεῖ δὲ μὴ χρονίσαι τὴν τεθεσπισμένην σωτηρίαν, μηδὲ εἰς μακρους ἀναβληθῆναι χρόνους, ἀλλὰ τάχιστα τοῖς ἀνθρώποις ταύτην παραχεθῆναι.

ΕΡΜΗΝ. ΤΟΥ μ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ. Τινὲς μὲν τῷ Δαβὶδ ἀνέθεσαν, τινὲς δὲ τῷ Ἐζεκίᾳ τὸν παρόντα ψαλμόν· ἐκ ἐᾷ δὲ ἡμᾶς τὸ θεῖον εὐαγγέλιον οὐδέτερον δέξασθαι. ὁ γὰρ Δεσπότης Χριστὸς διαλεξίν τινα πρὸς τοὺς ἱερεῖς ποιησάμενος μαθητὰς, ἐπήγαγε καὶ ταῦτα· εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε ταῦτα. οὐ περὶ πάντων ὑμῶν λέγω, οἶδα οὓς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε, ὅτι ἐγώ εἰμι. τοῦ Κυρίου τοίνυν λέγοντος, ἵνα ἡ γραφὴ πληρωθῇ· καὶ δεικνύντος τὸν παρόντα ψαλμὸν αὐτῷ καὶ οὐκ ἄλλῳ τῳ προσήκοντα, θρασὺ νομίζω καὶ τολμηρὸν, ἄλλην αὐτῷ καὶ μὴ προσήκουσαν ὑπόθεσιν διαπλάσαι. β΄. Μακάριος ὁ συνιὼν ἐπὶ πλωχὸν καὶ πένητα. Τὸ καὶ πένητα ἐν ἑνίοις εὗρον ἀντιγράφοις· οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τῷ Σύρῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς. πτωχὸν μέν τοι καλεῖ τὸν τῶν ὅλων Κύριον. ἐπειδὴ πλούσιος ὤν, ὡς φησὶν ὁ θεῖος ἀπόστολος, δι' ἡμᾶς ἐπλώχευσεν, ἵνα ἡμεῖς τῇ ἐκείνου πλωχείᾳ πλουτήσωμεν· καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. καὶ ὁρατῶν καὶ ἀοράτων δεσπόζων, οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ γεννηθεὶς ἐκ παρθένου, διὰ σπάνιν κλίνης ἐπὶ φάτνης ἐτέθη. μακαρίζει τοίνυν ὁ προφητικὸς λόγος τὸν ταύτην συνιέναι τὴν πλωχείαν δυνάμενον, καὶ εἰς δύναμιν ἀνυμνῆσαι προθυμούμενον τὸν ταύτην ἀναδεξάμενον· εἶτα δείκνυσι τοῦ μακαρισμοῦ τοὺς καιρούς. ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. τὴν δὲ πονηρὰν ἡμέραν κακώσεως ἡμέραν ὁ Σύμμαχος ἑρμήνευσεν. αἰνίττεται δὲ, ὡς οἶμαι, τὴν τῆς κρίσεως ἡμέραν, φοβερὰν οὖσαν, καὶ τῶν παρανόμων κακωτικήν· καὶ ὑπισχνεῖται τὴν εἰλικρινῆ γνῶσιν τῆς πλωχείας ἐκείνης τῶν τῆς φοβερᾶς αὐτὸν ἡμέρας ἀπαλλάξαι κακῶν. γ΄. Κύριος διαφυλάξαι αὐτὸν καὶ ζήσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Οὐ μόνον δὲ τῶν μελ-

λόγων ἀγαθῶν ἀπολαύσει, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον τῆς θείας τεύξεται προμηθείας, περιφανής τε γενόμενος καὶ περίβλεπτος, καὶ τὰς τῶν δυσμενῶν διαφεύγων ἐπιβουλάς. καὶ ἐπειδὴ τὸν φθαρτὸν ἔχοντα σῶμα εἰκὸς καὶ νόσῳ περιπεσεῖν, ὑπισχνεῖται καὶ τὴν ταύτης ἀπαλλαγήν. δ'. Κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Πάσης αὐτὸν, φησὶν, ἀπαλλάξει τῆς ἀῤῥωστίας, καὶ εἰς ὑγιείαν τὴν νόσον μεταβαλεῖ. τὸ γὰρ, ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ τὴν κοίτην, ἀντὶ τοῦ μετέβαλες τέθεικεν. οὕτω τοῦ συνιέντος τὴν ἀξιάγαστον ἐκείνην πλωχείαν τὰς ἀντιδόσεις διεξελθὼν, ὑποδείκνυσιν ἡμῖν, τίς ὁ ταύτην ἐχθρὸς, καὶ πῶς αὐτὴν μετελήλυθεν, αὐτὸν εἰσάγων διδάσκοντα, καὶ τὰ καθ' ἑαυτὸν διηγούμενον. ε'. Ἐγὼ εἶπα Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Ἐγὼ δέ εἰμι, φησὶν, ὁ πλωχὸς, ὁ τὴν ἑκούσιον πλωχείαν ἀναδεξάμενος, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὰ τῶν ἀνθρώπων οἰκειούμενος πάθη, ὁ ἁμαρτίαν μὲν μὴ πεποιηκὼς, τὴν δὲ ὑπὲρ τῆς ἀνθρωπείας φύσεως, ὡς ἀπαρχὴ τῆς φύσεως, εἰσφέρων παράκλησιν. ἐπισημήναθαι δὲ προσήκει, ὡς ὁ Σύμμαχος οὐκ εἶπεν, ὅτι ἥμαρτόν σοι, ἀλλὰ, καὶ εἰ ἥμαρτόν σοι. ς'. Οἱ ἐχθροί μου εἶπον κακά μοι, πότε ἀποθανεῖται, καὶ ἀπολεῖται ὄνομα αὐτοῦ; Ἐχθροὺς τοὺς Ἰουδαίους καλεῖ, βασκαίνοντας καὶ τὸν θάνατον καταλύοντας, τοῦτο δὲ καὶ ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκει. καὶ συμβούλιον γάρ φησιν ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ἐντεῦθεν ἐπὶ τὸν Ἰούδαν μεταφέρει τὴν πρόῤῥησιν. ζ'. Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν· μάτην ἐλάλει ἡ καρδία αὐτοῦ· συνήγαγεν ἀνομίαν ἑαυτῷ· ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει. Οὕτω δὲ καὶ οἱ θεῖοι ἡμᾶς διδάσκουσιν εὐαγγελισταὶ, ὅτι τοῖς μὲν Ἰουδαίοις εἶπε, τί μοι δίδοτε, κἀγὼ ὑμῖν αὐτὸν παραδώσω; ἐζήτει δὲ καιρὸν, ὥστε παραδοῦναι αὐτόν. ταῦτα καὶ ἡ πρόῤῥησις λέγει, καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν μάτην· ἐξεπορεύετο ἔξω καὶ ἐλάλει· εἰσιὼν γὰρ καὶ ἐξιὼν συνετύρευεν ἐκείνοις τὸν θάνατον· εἶτα τὴν κακὴν αὐτῶν συμφωνίαν προλέγει. ζ'. Ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. η'. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ. Τούτοις δὲ μαρτυρεῖ τῶν πραγμάτων τὸ τέλος. ἡσυχῇ γὰρ πρὸς ἀλλήλους διαλεγόμενοι, τῆς ἐπιβουλῆς ἐπεζήτουν τὸν τρόπον. εἶτα τυραννίδος γραφὴν ἐποιήσαντο, εἰρηκότες τῷ Πιλάτῳ, ὡς βασιλέα μὲν ἑαυτὸν ἀποφαίνει, κωλύει δὲ δίδοναι τῷ Καίσαρι φόρον. τοῦτο καὶ ἡ προφητεία λέγει· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, ἀντὶ τοῦ, παρανομίας κατηγορίαν ἐποιήσαντο κατ' ἐμοῦ. μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; κἂν τὸν θάνατον ὑπομείνω, φησὶν, οὐκ ἀνίσταμαι πάλιν, καὶ σκεδάννυμι τοὺς τοῦτον κατασκευάσαντας; καὶ τοῦτο ἔοικε τῷ εὐαγγελικῷ ῥητῷ, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καὶ πάλιν· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς χεῖρας

ρας ἁμαρτωλῶν, καὶ ἀποκτενῶσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται· διὸ δὴ εἰκότως ὕμνον τὸν θάνατον προσηγόρευσεν. ι΄. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μὲ, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Τοῦτο ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων σαφέστερον εἰρήκασι· καί γε ἀνὴρ εἰρήνης μὲ, ᾧ ἐπεποίθησα. ὁ δὲ Σύμμαχος ἔτως· ἀλλὰ καὶ ἄνθρωπος ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν. ἐ γὰρ μόνον οἱ ἐχθροί μὲ κατεσκεύασάν μοι τὸν θάνατον, ἀλλὰ καὶ ὁ συνών μοι ἄνθρωπος, καὶ τὴν εὔνοιαν, καὶ τὴν εἰρήνην ὑποκρινόμενος, ὁμοτράπεζος ὢν μοι, καὶ σύσσιτος, ὃν εἶχε δόλον ἐγύμνωσε. δόλον γὰρ τὴν πλέγναν ὠνόμασεν, ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων, καὶ τῇ πλέγνῃ τοὺς συνθέοντας πλαίειν καὶ πίπλειν μηχανωμένων. τοῦτο καὶ Ἡσαῦ ἀπατηθεὶς ὑπὸ τοῦ Ἰακὼβ, ἔφη· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτῷ Ἰακὼβ, ἐπλέγνικε γάρ με ἤδη δεύτερον τοῦτο· τότε πρωτοτόκιά μου εἴληφε, καὶ τὴν εὐλογίαν μου. ια΄. Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ιβ΄. Ἐν τούτῳ ἔγνων ὅτι θεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μὲ ἐπ' ἐμέ. Καὶ ταῦτα πάντα ὡς ἀπὸ τῆς ληφθείσης εἰρηται φύσεως, περὶ ἣν καὶ τὸ πάθος ἐγένετο. ἔτω καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, ἀκέομεν τοῦ Δεσπότου Χριστοῦ προσευχομένε, πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. καὶ πάλιν· πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. ιγ΄. Ἐμὲ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σε εἰς τὸν αἰῶνα. Ἁρμόττει καὶ ταῦτα τῇ τε δέλε μορφῇ, ἣν ὁ μονογενὴς τοῦ Θεοῦ ἀνέλαβεν. οὐ γὰρ δήπου ἀγγέλων ἐπελάβετο, ἢ φησιν ὁ θεῖος ἀπόστολος, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπελάβετο, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. ἐπειδὴ τοίνυν πάσης κακίας ἡ ληφθεῖσα φύσις ἐλευθέρα διέμενεν, εἰκότως λέγει, ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβε, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σε εἰς τὸν αἰῶνα. βεβαίαν γὰρ ἐδεξάμην τὴν ἕνωσιν, καὶ ἄτμητος ἡ συνάφεια, καὶ ἡ δόξα αἰώνιος. ιδ΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο. Ταῦτα ὁ θεσπέσιος προαγορεύσας προφήτης, καὶ τὴν ἄῤῥητον τοῦ Δεσπότε φιλανθρωπίαν θαυμάσας, καὶ συνιεὶς ἐπὶ τὸν τὴν ἐθελουσίαν πτωχείαν ἀναδεξάμενον, ὕμνον αὐτῷ διὰ τῆς γλώττης προφέρει, ἵνα τὸ μακάριον καὶ αὐτὸς κομίσηται τέλος· εἰκότως δὲ μετὰ τὰ πάθη ὕμνον προσήνεγκε, διδάσκων ὡς οὐ μόνον ἄνθρωπος ὁ προφητευόμενος, ἀλλὰ καὶ Θεὸς προαιώνιος, ἀνώλεθρον ἔχων τὸ εἶναι, καὶ ἀτελεύτητον.

ΕΡΜΗΝ. ΤΟΥ μα΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. Ἡμαρτηκότα τὸν λαὸν Βαβυλωνίοις παρέδωκεν ὁ Θεὸς, ἑβδομηκοντοῦτιν αἰχμαλωσίαν αὐτῶν καταψηφισάμενος. ὡς ἐκ προσώπου οὖν τούτων εἰρηται ὁ ψαλμὸς, ὀλοφυρομένων καὶ τὴν ἐλευθερίαν ποθούντων. ἐπειδὴ γὰρ ἦσαν ἐν αὐτοῖς εὐσεβεῖς, ὡς ὁ θεῖος

θεῖος Δανιὴλ, ὡς ὁ θαυμάσιος Ἰεζεκιὴλ, ὡς οἱ καλλίνικοι μάρτυρες Ἀνανίας, Ἀζαρίας, καὶ Μιζαὴλ, θερμῶς μάλα τὸν Θεὸν ἀγαπῶντες, καὶ τὴν ἔννομον αὐτοῦ λατρείαν ποθοῦντες· τὸ τούτων ὁ προφητικὸς λόγος ἀναλαβὼν πρόσωπον, ἃ χρὴ παρ' ἐκείνων ἐν τῷ τῆς συμφορᾶς ῥηθῆναι καιρῷ, πρὸ πολλῶν γενεῶν προδιδάσκει, ἵνα τῇ προρρήσει ψυχαγωγῶνται, καὶ τῇ διδασκαλίᾳ παιδεύωνται. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται, ἐπειδὴ μετὰ πλείστην χρόνου περίοδον τὰ λεγόμενα τέλος ἐλάμβανε. πρόσκεινται δὲ καὶ εἰς σύνεσιν, ἐπειδὴ ταύτης μάλιστα δεῖ τοῖς περιπίπτουσι συμφοραῖς. β'. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Φασὶ τὰς ἐλάφους τὰ ἰοβόλα θοινᾶσθαι θηρία, καὶ σφοδρότερον ἐντεῦθεν εἰς δίψαν ἐκκαίεσθαι, καὶ θερμότερον τῶν ὑδάτων ὀρέγεσθαι. Βαβυλωνίοις τοίνυν οἱ προειρημένοι συνόντες, ἀνδράσι δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶσι, καὶ ἀτεχνῶς τοῖς ἐρπυστικοῖς ἐοικόσι θηρίοις, εἰκότως ταῖς ἐλάφοις παραπλησίως διψᾷν ἔλεγον τὸν Θεὸν, τὴν ἐκεῖθεν ποθοῦντες ἀπαλλαγὴν, καὶ προσμένοντες τὴν θείαν ῥοπήν. γ'. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; Ποθῶ δὲ φησι, καὶ διψῶ τὴν τοῦ ζῶντος Θεοῦ μου λατρείαν. τὸ γὰρ ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ, τὸ λατρεύειν αὐτῷ κατὰ τὸν νόμον λέγει· τῇ δὲ Ἱερουσαλὴμ ἡ τοιαύτη περιώρισται λατρεία. καὶ ταῦτα οὐ μόνος ὁ μακάριος διδάσκει Μωσῆς, ἀλλὰ καὶ οἱ τρεῖς μακάριοι μάρτυρες, Ἀνανίας, Ἀζαρίας, καὶ Μιζαὴλ, ἐν τῇ καμίνῳ τὸν Θεὸν ἀντιβολοῦντες. μάλα δὲ ἁρμοδίως ἰσχυρὸν καὶ ζῶντα τὸν Θεὸν ὀνομάζουσι, τοῖς ἀψύχοις καὶ ἀκινήτοις τῶν Βαβυλωνίων εἰδώλοις προσέχοντες. δ'. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός· ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; ε'. Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. Νύκτωρ, φησὶ, καὶ μεθ' ἡμέραν ὀλοφυρόμενος κόρον ἐκ ἔλαβον, ἀλλ' οἷόν τινα τροφὴν ποιοῦμαι τὰ δάκρυα, τὰ περὶ σοῦ ὀνείδη δεχόμενος. οἱ γὰρ δυσμενεῖς ἐπιτωθάζουσί μοι, τὴν σὴν κηδεμονίαν προσφέροντες ὡς ἀσθενῆ, καὶ τῆς αὐτῶν ῥώμης περιγενέσθαι μὴ δυνηθεῖσαν. τοιγάρτοι ταῦτα διηνεκῶς λογιζόμενος, ἄπαυστον ἔχω τὸν θρῆνον. τὸ γὰρ, ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, τοῦτο σημαίνει, ἀντὶ τοῦ, διεχύθην καὶ ἐκινήθην εἰς ὀδυρμούς. ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἦχου ἑορτάζοντος. σκηνὴν καλεῖ τὴν τοῦ Θεοῦ σκέπην. μετὰ τὰ σκυθρωπὰ τοίνυν, τὰ θυμήρη διαγορεύει, καὶ προδιδάσκει ὡς τάχιστα τῆς ἀνακλήσεως τεύξονται, καὶ ὑπὸ τῆς θείας ποδηγούμενοι χάριτος, εἰς τὴν ποθουμένην ἐπανήξουσι γῆν, καὶ τὸν θεῖον ἀνοικοδομήσουσιν οἶκον, καὶ τὰς συνήθεις ἐπιτελέσουσι πανηγύρεις, καὶ τὸν ἑορταστικὸν ἦχον, καὶ τὴν πνευματικὴν μελῳδίαν ταῖς ἀκοαῖς εἰσδέξονται. προθεσπίζει

ζει δὲ καὶ ὁ μακάριος Ἡσαΐας, ὡς μετὰ πλείσης ἐπανήξουσι τιμῆς, ἐν λαμπίναις ἡμιόνων ὀχέμενοι, καὶ σκιαδίοις σκεπόμενοι, καὶ τῆς ἀκτῖνος τὸ λυπεῖν ἀποθέμενοι. τοῦτο δὲ καὶ ὁ Ἀκύλας ἠνίξατο, εἰστελεύσομαι ἐν συσκίῳ, παραβιβάζων αὐτοὺς ἕως οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ αἰνέσεως καὶ εὐχαριστίας ὄχλου ἑορτάζοντος. χορεύοντες, φησὶ, καὶ τὸν σωτῆρα Θεὸν ἀνυμνοῦντες, καὶ σκιᾶς κατὰ τὴν πορείαν ἀπολαύοντες, οὕτω τὸν θεῖον οἶκον καταληψόμεθα, ὡς ἐν πομπῇ τινι ποιούμενοι τὴν ἐπάνοδον. ταύτης ἀκούσαντες τῆς προρρήσεως, σφᾶς αὐτὸς ψυχαγωγοῦσι λέγοντες· ϛ'. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἱνατί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, ζ'. Καὶ ὁ Θεός μου. Ταύτας, φησὶν, ὦ ψυχὴ, δεξαμένη τὰς ὑποχέσεις, παῦσαι μὲν ἀλύουσα καὶ ἀχάλλουσα· τῇ δὲ ἐλπίδι στηριζομένη, πρόσμενον τὸ τῆς προρρήσεως τέλος· ἐν ᾧ τὴν γεγενημένην ὁρῶσα σωτηρίαν, ὕμνες προσοίσεις τῷ σεσωκότι Θεῷ. πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνηθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ. Ἠθοποιία τίς ἐστι τῆς ψυχῆς πρὸς ἑαυτὴν διαλεγομένης. ἐπειδὴ γὰρ εἶπε, παῦσαι ἀθυμοῦσα τῶν ἀγαθῶν δεξαμένη τὰς ὑποχέσεις, ἀποκρίνεται πρὸς ταῦτα λέγουσα, ὅτι οὐ μάτην ἀλύω, καὶ τοῖς εἰρημένοις κέχρημαι θρήνοις. ἡ γὰρ μνήμη τῆς πατρῴας γῆς κινεῖ μοι τὰ δάκρυα· γῆν γὰρ Ἰορδάνε τὴν γῆν τῆς ἐπαγγελίας. καλεῖ. καὶ Ἑρμωνιείμ, τὸ ὄρος τὸ Ἑρμών. διὰ δὲ τοῦ ὄρους καὶ τὸ ποταμοῦ, πᾶσαν ἐκείνην τὴν γῆν παρεδήλωσεν. οὕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν· ἡ ψυχή μου κατατήκεται, ὅταν ἀναμμνήσκομαί σου ἀπὸ γῆς Ἰορδάνου, καὶ ἀπὸ Ἑρμωνιείμ ὄρους μικροτάτου. ἡ. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρακτῶν σου. πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Ἐν ἐκείνῃ δὲ, φησὶ, διάγων τῇ γῇ, πλήθει δυσμενῶν παρεδόθην, καὶ ὡς ἐν ἀβύσσῳ τινὶ ὑποβρύχιος ἐγενόμην. ἀβύσσους γὰρ καλεῖ, τὰ στρατιωτικὰ τάγματα, καὶ τὴν τῶ πλήθους ὑπερβολὴν ὕδασιν ἀμετρήτοις ἀπεικάζει· καὶ τὰ ὑπὸ τούτων γεγενημένα, τῷ πάλαι κατακλυσμῷ, ὃς τὴν οἰκουμένην διέφθειρεν ἅπασαν. καὶ ταῦτα σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ἄβυσσος ἀβύσσῳ ἀπήνταε, ἀπὸ ἤχου τῶν κρουνῶν σου. σὺ γὰρ αὐτοὺς ἐπήγαγες, ποινήν με τῆς παρανομίας εἰσπραττόμενος. αἱ καταιγίδες σου καὶ τὰ κύματά σου ἐπάνω μου παρῆλθον ἐπειδὴ γὰρ ἀβύσσῳ τὴν στρατιὰν ἀπείκασεν, ἐπέμεινε τῇ τροπῇ, καὶ τὰς γεγενημένας τῆς στρατιᾶς προσβολὰς, κύματα καὶ καταιγίδας ἐκάλεσε. διὰ ταῦτα, φησὶν, ὀδυνῶμαι. ἡ γὰρ τούτων μνήμη κεντεῖ με. ἀλλ' ὅμως τὴν σὴν φιλανθρωπίαν ἔχω παραψυχήν. τοῦτο γὰρ ἐπήγαγεν· θ'. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί. προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου. Ἀεὶ, φησὶ, χορηγούμενον ὑπὸ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισάμενος, καὶ νύκτωρ τοῦτο ἐμαυτῷ λογιζόμενος,

ᾄδω καὶ ὑμνῶ τὸν οὕτω τῶν καθ' ἡμᾶς προμηθούμενον. προσφέρω δὲ αὐτῷ καὶ δεήσεις, ταύτης τυχεῖν τῆς φιλανθρωπίας ἀντιβολῶν. εἶτα διδάσκει καὶ τῆς προσευχῆς τὰ ῥήματα· ί. Ἐρῶ τῷ Θεῷ, ἀντιλήπτωρ μου εἶ. διατί με ἐπελάθου, καὶ ἵνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν; ια. Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου· ἐν τῷ αὐτούς λέγειν μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; Ταῦτα, φησί, πρὸς τὸν ἐμὸν λέγων Δεσπότην, τῆς σῆς ἀεὶ προνοίας τετύχηκα. τί δήποτέ με νῦν ταύτης ἐγύμνωσας, ὡς ἀπαύστως ἀλύειν τε καὶ θρηνεῖν, διὰ τὰ παρὰ τῶν δυσμενῶν ὀνείδη; αἰκιζόμενοι γάρ με, καὶ πληγαῖς καὶ δεσμοῖς τὰ ὀστᾶ μου συντρίβοντες, ἐπιπερτομοῦσι λέγοντες, ποῦ ἐστιν ὁ Θεός σου; διὰ τὴν σὴν ἀσθένειαν ταῦτά με πάσχειν ὑπολαμβάνοντες. τὸ δὲ ἐπελάθου μου, τουτέστι τῆς σῆς μοι προνοίας ἀ μεταδίδως. λήθη γὰρ πάθος ἀνθρώπινον, ἴδιον δὲ Θεοῦ ἀπάθεια. ιβ. Ἵνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνατί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. Μὴ ἀπαγορεύῃς, φησὶν, ὦ ψυχή, τὴν σωτηρίαν· ἔχεις γὰρ σωτῆρα Θεόν· ἔτι τὴν ἐλπίδα κεκτημένη βεβαίαν, σβέσον τὴν ἀθυμίαν, καὶ δέξαι παραψυχήν.

ΕΡΜΗΝ. ΤΟΥ μβ' ΨΑΛΜΟΥ.

α. Ψαλμὸς τῷ Δαβὶδ. ἀνεπίγραφος παρ' Ἑβραίοις. Κρῖνόν μοι ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. Ἀνεπίγραφός ἐστιν ὁ ψαλμὸς παρ' Ἑβραίοις, ὡς τὴν αὐτὴν ἔχων τῷ προτεταγμένῳ διάνοιαν. ἀντιβολοῦσι δὲ τὸν Θεὸν οἱ τοὺς προειρημένους ποιησάμενοι λόγους, δικάσαι αὐτοῖς καὶ Βαβυλωνίοις, ὠμότητι πολλῇ κεχρημένοις, καὶ θηριώδει γνώμῃ· διὸ καὶ ἔθνος αὐτοὺς ἀνόσιον ὀνομάζουσι. καὶ μὲν δὴ καὶ τὸν τούτων βασιλέα, ἄνδρα δόλιόν τε καὶ ἄδικον. ταῦτα δὲ περὶ αὐτοῦ καὶ ἡ τοῦ θαυμασίου Δανιὴλ προφητεία διδάσκει. β. Ὅτι σὺ ὁ Θεὸς κραταίωμά μου. ἵνατί ἀπώσω με; καὶ ἵνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν; Πάλιν τὴν αὐτὴν προσφέρουσι δέησιν, λιπαροῦντες ἀπαλλαγῆναι τῆς τῶν πολεμίων ὠμότητος, δι' ἣν σκυθρωποὶ καὶ κατηφεῖς ἦσαν ἀεί. τὸ δὲ, ἵνατί, οὐχ ὡς ἐγκαλοῦντες λέγουσιν, ἀλλ' ὡς αὐτοὶ τῆς τῶν ἄλλων παρανομίας οὐ κοινωνήσαντες, καὶ σὺν ἐκείνοις ἔρημοι τῆς ἄνωθεν προνοίας γενόμενοι· κοινὴν δὲ ὅμως ὑπὲρ ἁπάντων ποιοῦνται τὴν ἱκετείαν. γ. Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. Ἐνταῦθα τὸν χρόνον ἐνήλλαξεν οἱ ἑβδομήκοντα, καὶ ὡς γεγενημένα εἰρήκασι τὰ ἐσόμενα· οἱ δὲ ἄλλοι σαφεστέραν ἐποιήσαντο τὴν ἑρμηνείαν· ἀπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου, αὕτινα ὁδηγήσει με, καὶ ἄξει με εἰς τὸ ὄρος τὸ ἅγιόν σου, καὶ εἰς τὰς σκηνώσεις σου. τῆς θείας ἐπικουρίας ἀπολαῦσαι παρακαλῶ. διὰ ταύτης με γὰρ δυνατὸν

καὶ

καὶ τῆς πικρᾶς ἀπαλλαγῆναι δουλείας, καὶ εἰς τὴν γῆν τὴν πατρῴαν ἐπανελθεῖν, καὶ ἐν τῷ ἀφιερωμένῳ ναῷ τὴν νενομισμένην λατρείαν προσενεγκεῖν. σκηνώματα γὰρ τοῦ Θεοῦ, τὸν ναὸν προσηγόρευσεν. ὄρος δὲ ἅγιον, τὴν Σιών. Φῶς δὲ καὶ ἀλήθειαν, τὴν δικαίαν καὶ σωτήριον ἐπιφάνειαν. ὥσπερ γὰρ σκότος τὰς συμφορὰς ὀνομάζει, οὕτω φῶς τὴν τούτων ἀπαλλαγήν. αὐτοῦσι δὲ μετὰ τῆ φωτὸς τὴν ἀλήθειαν· ἄτε δὴ κρῖναι τὸν Θεὸν αὐτοῖς καὶ Βαβυλωνίοις ἐξαιτήσαντες· καὶ σαφῶς εἰδότες, ὡς ἀληθείᾳ καὶ μὴ μακροθυμίᾳ χρώμενος ὁ Θεὸς, ἐκείνων μὲν καταψηφιεῖται, αὐτοὺς δὲ τῆς ἐκείνων δουλείας ἐλευθερώσει. δ΄. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου. ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς, ὁ Θεός μου. Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἵνα ἔλθω πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὴν εὐφροσύνην τῆς εὐθυμίας μου, καὶ ἐξομολογήσομαί σοι ἐν ψαλτηρίῳ ὁ Θεὸς, ὁ Θεός μου. ἱμείρομαι δὲ τῆς ἐπανόδου, φησὶ, τὸ τριπόθητόν σου θυσιαστήριον ἰδεῖν ἐφιέμενος, καὶ δι' ἐκείνου σὲ τὸν Δεσπότην θεάσασθαι, ὃς εὐφροσύνης παντοδαπῆς, καὶ θυμηδίας ἀφορμάς μοι παρέχεις. ἐκεῖ δὲ μετὰ κιθάρας τὰς συνήθεις ὑμνῳδίας ποιήσομαι. ἐν Βαβυλῶνι γὰρ, ἐπὶ τῶν ἰτεῶν ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, παράβασιν τοῦ νόμου τὴν ἔξω τοῦ σοῦ τόπου λατρείαν ἡγούμενοι. ε΄. Ἵνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. Καὶ ἐντεῦθεν δῆλον, ὡς ἀμφότεροι οἱ ψαλμοὶ μίαν διάνοιαν ἔχουσι. σφίσι δὲ αὐτοῖς παρεγγυῶσιν οἱ τοῖς λόγοις τοῖς δε χρησάμενοι, τὰς χρηστοτέρας ἔχειν ἐλπίδας, καὶ νικῆσαι τῆς ἀθυμίας τὸ πάθος, καὶ προσμεῖναι τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν, ὡς ἀναμφιβόλως δοθησομένην.

ΕΡΜΗΝ. ΤΟΥ μγ΄ ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν. Καὶ οὗτος πραγμάτων ἐσομένων προρρήσιν ἔχων, ἀναμεῖναι τὸ τέλος παρεγγυᾷ. πρόσκειται δὲ τῇ ἐπιγραφῇ εἰς σύνεσιν, ἵνα συνιέντες ἐκεῖνοι τὰ γεγραμμένα, περὶ ὧν ὁ προφητικὸς προθεσπίζει λόγος, τὴν ἐντεῦθεν ἁρπάσωσιν ὠφέλειαν. προαγορεύει δὲ ὁ ψαλμὸς τὴν Μακεδονικὴν ὠμότητα, καὶ τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς δυσσεβῆ καὶ θηριώδη γνώμην, καὶ τὴν τῶν Μακκαβαίων ἀνδρείαν τε καὶ εὐσέβειαν. Ματταθίας γὰρ ὁ μακάριος καὶ τρισμακάριστος, καὶ τοῦτο πολλάκις ζήλῳ θείῳ μετὰ τῶν παίδων χρησάμενος, καὶ τὰς πολλὰς τῶν Μακεδόνων μυριάδας, καὶ τῶν ἐλεφάντων τὸ πλῆθος ἀθενὲς ἡγησάμενος, ὡς τῆς θείας ἔρημον προμηθείας, μετὰ ὀλίγων κατὰ τούτων στρατεύσας ἐνίκησε· καὶ τοὺς τῶν εἰδώλων ἀνασπάσας βωμοὺς, τὸν θεῖον νεὼν ἐξεκάθηρε, καὶ τὴν συνήθη λατρείαν τοῖς ὁμοφύλοις ἀπέδωκεν. οὐ μόνον δὲ αὐτὸς, ἀλλὰ καὶ οἱ τούτου παῖδες μετὰ τὴν τούτου τελευτὴν, προσευχόμενοι τοὺς πολεμίους

ἐτρέποντο, καὶ τῆς θείας ῥοπῆς ἀπολαύοντες ἴσων τὰ τρόπαια. ἐκ προσώπου τοίνυν αὐτῶν, ἡ προφητικὴ χάρις ὑπηγόρευσε τὸν ψαλμὸν, προδιδάσκουσα οἵοις αὐτοὺς ἐν τοῖς κινδύνοις προσήκει χρήσασθαι λόγοις. β'. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν, ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Αὐτόπται μὲν ἡμεῖς τῶν σῶν θαυμάτων οὐ γεγενήμεθα Δέσποτα, παρὰ δὲ τῶν ἡμετέρων μεμαθήκαμεν πατέρων, ὅσα θαύματα κατ' ἐκείνους εἰργάσω τοὺς χρόνους, τὰς πρὸς τοὺς ἡμετέρους προγόνους γεγενημένας ἐπαγγελίας πληρῶν. γ'. Ἡ χεὶρ σε ἐθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαοὺς, καὶ ἐξέβαλες αὐτούς. δ'. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς· ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου· ὅτι εὐδόκησας ἐν αὐτοῖς. Σὺ, φησὶν, ὦ Δέσποτα, τοὺς Χαναναίους μετὰ τῶν ἄλλων ἐθνῶν ἐντεῦθεν ἐξελάσας, τοὺς ἡμετέρους πατέρας ἀντ' ἐκείνων κατῴκισας. οὔτε γὰρ ῥώμῃ θαῤῥοῦντες, ἔτε πανοπλίᾳ χρώμενοι, τοσούτων ἀπεφάνθησαν κρείττους, ἀλλ' ὑπὸ τῆς σῆς σρατηγούμενοι χάριτος, τοὺς μὲν κατηκόντισαν, τοὺς δὲ δουλεύειν ἠνάγκασαν, ἐπειδὴ τῆς σῆς αὐτοὺς ἠξίωσας οἰκειότητος. τοῦτο γὰρ εἶπεν, ηὐδόκησας ἐν αὐτοῖς. δεξιὰν δὲ καλεῖ τὴν βοήθειαν· φωτισμὸν δὲ προσώπου, τὴν ἐπιφάνειαν. ε'. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου, ὁ ἐντελόμενος τὰς σωτηρίας Ἰακώβ. Ὁ αὐτὸς εἶ, φησὶ, καὶ νῦν Δέσποτα, ὁμοίως βασιλεύων, ὁμοίως κρατῶν, τὴν αὐτὴν δύναμιν ἔχων, ἀλλοίωσιν οὐδὲ μίαν ἡ σὴ δέχεται Φύσις. ἀρκεῖ σοι καὶ λόγος εἰς σωτηρίαν. νεῦσον, καὶ ταύτης ὁ λαὸς ἀπολαύσεται. οὕτως καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, ἔντειλαι περὶ τῆς σωτηρίας Ἰακώβ. ς'. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. Τὰ κερασφόρα ζῶα ὅπλον τὸ κέρας παρὰ τῆς Φύσεως ἔλαβον· ἡμεῖς δὲ κέρας σωτηρίας, καὶ νικηφόρον ὅπλον, τὸ σὸν ἔχομεν ὄνομα, καὶ τούτῳ χρώμενοι τῶν πολεμίων περιεσόμεθα. ζ'. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. η'. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς· καὶ τοὺς μισοῦντας ἡμᾶς κατήχυνας. Οὔτε γὰρ τόξοις, οὔτε ἄλλοις ὅπλοις θαῤῥῶ· πεῖραν γὰρ τῆς σῆς δυνάμεως ἔλαβον, διά σου τῶν ἐναντίων ἤδη κρατήσας. θ'. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Ἱκετεύομεν δὲ ἀεὶ τῆς σῆς ἀπολαῦσαι ῥοπῆς, καὶ διηνεκῶς τῶν σῶν εὐεργεσιῶν διεξιέναι τὸ πλῆθος. τὸ γὰρ ὅλην τὴν ἡμέραν, ἀντὶ τοῦ ἀεὶ τέθεικεν. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν. ἀντὶ γὰρ τοῦ ὅλην τὴν ἡμέραν, κατὰ πᾶσαν ἡμέραν τέθεικεν. ι'. Νυνὶ δὲ ἀπάσω καὶ κατήχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ταῦτα μὲν οὖν ἐν τοῖς ἄνω χρόνοις γεγένηται παρὰ σοῦ. ἐπὶ δὲ τοῦ παρόντος ἔσημοι τῆς

σῆς

σῆς ἀπεφάνθημεν προμηθείας, καὶ ἐν αἰχύνῃ διάγομεν ὑπὸ τῆς σῆς οὐ στρατηγουμένοι χάριτος. τὸ γὰρ, οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν, ἀντὶ τοῦ οὐ στρατηγεῖς ἡμῶν, καὶ συνήθως παρέχεις τῶν πολεμίων κρατεῖν. ιά'. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθρούς ἡμῶν· καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. Τῆς γὰρ σῆς προνοίας οὐκ ἀπολαύοντες, ἡμεῖς μὲν νῶτα διδόντες ἀποδιδράσκομεν· πορθοῦσι δὲ οἱ πολέμιοι τὰ ἡμέτερα. ιβ'. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Δίκην δὲ προβάτων ἐρήμων ποιμένος, ὑπὸ τῶν σῶν δαπανώμεθα πολεμίων· καὶ οἱ τὸν θάνατον διαφυγόντες, τῇδε κἀκεῖσε ἀπεμπολούμενοι, δουλεύειν ἀναγκαζόμεθα. ιγ'. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἀπέδου τὸν λαόν σου οὐχ ὑπάρξεως, καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν. τοιαῦτα καὶ διὰ τοῦ προφήτου Ἡσαΐᾳ φησὶν ὁ Θεός· ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποστασίου „ τῆς μη„ τρὸς ὑμῶν „; ἢ τίνι ὑπόχρεως ὢν πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἀνομίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἁμαρτίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν· καὶ πάλιν, δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. καὶ ὁ θεῖος ἀπόστολος· οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τῆς ἁμαρτίας. κἀνταῦθα τοίνυν οἱ θαυμάσιοι λέγουσιν ἄνδρες, ὅτι οὐδεμίαν τιμὴν παρὰ τῶν πολεμίων λαβὼν ἀπέδου ἡμᾶς, ἀλλὰ τῶν ἁμαρτιῶν ἕνεκα παραδέδωκας. ιδ'. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν· μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Γείτονας κύκλῳ κατοικοῦντας τοὺς ἀλλοφύλους καλεῖ, καὶ Ἰδουμαίους, καὶ Μωαβίτας, καὶ Ἀμμανίτας, καὶ τοὺς ἄλλους πλησιοχώρους, οἷς ἐπίχαρτοι γεγόνασι πολεμούμενοι. ιε'. Ἔθου ἡμᾶς εἰς παραβολὴν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Τὰς μεγάλας συμφορὰς καὶ διηγούμενοι καὶ ἀκούοντες, κινεῖν τὰς κεφαλὰς εἰώθαμεν, ὑπ' ἐκπλήξεως τοῦτο δρᾶν βιαζόμενοι. εἰώθαμεν δὲ καὶ πάθῃ πάθεσι παραβάλλειν, καὶ λέγειν ὅτι τοιαῦτα ἔπαθεν ὁ δεῖνα, οἷα ὁ δεῖνα. τοῦτο κἀνταῦθα ὀδύρονται, ὅτι παραβολὴ γεγενήμεθα τοῖς ἀνθρώποις, καὶ κινοῦσιν ἐφ' ἡμῖν τὰς κεφαλάς. οἱ μὲν ἐφηδόμενοι, οἱ δὲ τὴν ὑπερβολὴν τῶν γεγενημένων θαυμάζοντες. ιϛ'. Ὅλην τὴν ἡμέραν ἐντροπή μου κατεναντίον μου ἐστὶ, καὶ ἡ αἰχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. ιζ'. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ἐγὼ δὲ τοὺς μὲν πολεμοῦντας, τοὺς δὲ γελῶντας καὶ ἐπιτωθάζοντας βλέπων, αἰχύνης ἀναπίμπλαμαι, καὶ πᾶσαν ἡμέραν ὀδυνῶμαι. εἶτα τὴν οἰκείαν διεξίασιν ἀρετὴν οἱ τὰς Ἀντιόχου πάγας διαφυγόντες, καὶ τῆς ἀσεβείας τὰς ἄρκυς ὑπερπηδήσαντες. ιή. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου. ιθ. Καὶ οὐκ ἀπέστη

εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. Ὑπὸ τοσούτων δὲ περικλυσθέντες δεινῶν, ἐκ ἐδεξάμεθα λήθην τῶν σῶν ἐντολῶν, ἔτε παρεβήναι τὸν σὸν ἐτολμήσαμεν νόμον, οὐδὲ τῆς προτέρας ἐξετράπημεν γνώμης. Καὶ ἐξέκλιναν τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. κέ. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως. καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτε. Τὸ ἐξέκλιναν τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, οὐ μετεκλίθη τὰ ὑπορθοῦντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου. ἵνα δὲ καὶ τῶν ἑβδομήκοντα τὴν διάνοιαν ἑρμηνεύσωμεν, οὕτω νοήσωμεν. πολλοῖς ἡμᾶς φησὶ, καὶ παντοδαποῖς περιέβαλες ἀλγεινοῖς, ἅπερ ἱκανὰ ἦν καὶ ἐκτρέψαι τῆς ὁδοῦ σου· παρέδωκας δὲ καὶ εἰς δουλείαν ἡμᾶς δυσσεβέσιν ἀνθρώποις, ὠμότητι καθ' ἡμῶν κεχρημένοις, καὶ θανατηφόρους ἡμῖν τιμωρίας ἐπάγουσιν. σκιὰν γὰρ θανάτου τοὺς πρὸς θάνατον ἄγοντας κινδύνους ἐκάλεσεν. κά. Εἰ ἐπελαθόμεθα ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. κβ. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίθημεν ὡς πρόβατα σφαγῆς. Ταύτην ἐπεδείξαντο τὴν ἀρετὴν, οἱ Μακκαβαῖοι, καὶ οἱ περὶ τὸν Ματταθίαν, καὶ οἱ ἑπτὰ νεανίαι σὺν τῇ μητρὶ καὶ Ἐλεαζάρῳ τῷ ἱερεῖ. οὔτε γὰρ κολακείαις κατεθέλχθησαν, οὔτε τιμωρίαις ἐκάμφθησαν, ἀλλὰ τοῦ ἀληθοῦς Θεοῦ τὸ σέβας ἀνέπαφον διετήρησαν, καὶ τῶν εἰδώλων τὴν θεραπείαν ὡς μυσαρὰν ἐβδελύξαντο. καὶ ταῦτα φησὶ σὺ οἶδας Δέσποτα. σοὶ γὰρ οὐ μόνα τὰ πράγματα δῆλα, ἀλλὰ καὶ τὰ τῆς ἐννοίας κινήματα. ἐπισημήνασθαι δὲ προσήκει, ὅτι δυάδα προσώπων ὁ λόγος ἠνίξατο. εἰρηκὼς γὰρ, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας· ἐπήγαγε, ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ταύτην δὲ τὴν τῆς ἀντωνυμίας ἐναλλαγὴν καὶ ὁ Ἑβραῖος ἔχει, καὶ οἱ λοιποὶ τεθείκασιν ἑρμηνευταί. κγ. Ἐξεγέρθητι, ἱνατί ὑπνοῖς Κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. Ὕπνον τὴν μακροθυμίαν καλεῖ· καθάπερ γὰρ ὁ καθεύδων οὐκ αἰσθάνεται τῶν γιγνομένων, οὕτως ὁ μακροθυμίᾳ χρώμενος, καὶ παροινούμενος, καὶ προπηλακιζόμενος φέρει. ἀνάστασιν δὲ τὴν ἐπὶ τιμωρίαν κίνησιν ὀνομάζει. εἶτα τὰ αὐτὰ πάλιν ἑτέρως λέγει. κδ. Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πλωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν. Παροράᾳς, φησὶ, τὰ καθ' ἡμῶν γινόμενα, Δέσποτα, καὶ ἔοικας ἀποστρεφομένῳ, καὶ οὐ θεωμένῳ, ἀλλ' ἐπιλελησμένῳ, καὶ τούτου χάριν οὐ κηδομένῳ. ἡμεῖς δὲ πλωχεύομεν, τῆς ἐπικουρίας τὸν πλοῦτον οὐκ ἔχοντες. κέ. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Μέχρι τῆς γῆς αὐτῆς κατεκάμφθημεν, ὡς τὴν γαστέρα ἡμῶν αὐτῇ πελάσαι τῇ γῇ. διὰ δὲ τούτων τὴν πολλὴν σημαίνει ταπείνωσιν, καὶ τῶν πολεμίων τὸ κράτος. κς. Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. Οὐ δὴ χάριν ἀντιβολοῦμέν

σε,

σε, Δέσποτα, ἐπιφανῆναι, καὶ λῦσαι τὰς συμφορὰς, καὶ πρείττους ἀποφανῆναι τῶν δυσμενῶν. ταῦτα δὲ ἅπαντα προεῖπεν ἡ τοῦ πνεύματος χάρις, τοὺς ἐν ἐκείνοις τοῖς δεινοῖς ἐσομένους διδάσκουσα, καὶ γενναίως ἐνεγκεῖν τὰ προσπίπτοντα, καὶ παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτῆσαι τὴν τούτων ἀπαλλαγήν· ὅπερ δὴ καὶ δεδράκασιν οἱ θαυμάσιοι ἄνδρες ἐκεῖνοι· τοῖς γὰρ λόγοις τὸν Θεὸν ἱλεώσαντο, καὶ ὑπ' αὐτοῦ στρατηγούμενοι τοὺς πολεμίους ἐτρέψαντο, καὶ τὴν προτέραν ἐλευθερίαν ὁμοφύλοις προὐξένησαν.

ΕΡΜΗΝ. ΤΟΥ μδ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ, εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. Τὰ λυπηρὰ προειρηκὼς ὁ προφητικὸς λόγος ἐν τῷ πρὸ τούτου ψαλμῷ, τὰ θυμήρη λοιπὸν προαγορεύει, τοὺς ἀθυμοῦντας ψυχαγωγῶν, καὶ διδάσκων, ὅτι καὶ νικήσουσι, καὶ διαρκέσουσι, καὶ τῆς παρὰ τοῦ Θεοῦ τεύξονται βοηθείας, ἕως ἂν ἐξ αὐτῶν ὁ ἀγαπητὸς υἱὸς κατὰ σάρκα βλαστήσῃ, καὶ τὴν καινὴν ἀλλοίωσιν τοῖς ἔθνεσι πραγματεύσηται. ἀγαπητὸν γὰρ καλεῖ τοῦ Θεοῦ τὸν υἱόν· οὕτω γὰρ καὶ ὁ θεῖος Ἡσαΐας φησίν. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κεραΐ, ἐν τόπῳ πίονι. τοῦτο καὶ αὐτὸς ὁ πατὴρ εἰς τὸν υἱὸν ἀνεκήρυξεν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἔστω τὴν διὰ τοῦ ἁγίου βαπτίσματος ἀλλοίωσιν τοῖς ἔθνεσιν ἐδωρήσατο. περὶ τούτων δὲ ὁ ψαλμὸς προθεσπίζει· οἷς καὶ παρεγγυᾷ τῶν μὲν πατρῴων ἐπιλαθέσθαι θεῶν, τὸν δὲ ἀληθινὸν ἀληθῶς γεραίρειν Θεόν. τοὺς δὲ ἀλλοιωθησομένους ὁ μὲν Σύμμαχος ἄνθη κέκληκεν· Ἀκύλας δὲ καὶ ὁ Θεοδοτίων, κρίνα. ἄνθη δὲ καὶ κρίνα τοῦ ἦρος βλαστοί. ἔαρ δὲ πνευματικὸν, τῆ σωτῆρος ἡ παρουσία· ἐν ᾗ εὐφράνθη, κατὰ τὴν Ἡσαΐου προφητείαν, ἡ πάλαι ἔρημος, καὶ ἤνθησεν ὡς κρίνον. περὶ τούτων ἡ παροῦσα προφητεία προαγορεύει· πάντων ὑποδεικνῦσα φυτουργόν τε καὶ γεωργὸν, τὸν ἀλλοιώσαντα καὶ ἀποφήναντα καρποφόρον. β΄. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Πνευματικοῖς γὰρ ἐντρεφόμενος λόγοις, τοιαύτας ἐργασίας ἀναπέμπω, καὶ τοιούτους λόγους προΐεμαι. λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. ὃν ἀγαπητὸν ἡ προγραφὴ κέκληκε, βασιλέα καλεῖ τοῦ ψαλμοῦ τὸ προοίμιον. ἔργα δὲ τῆς προφητείας ὁ ἀληθὴς λόγος, ὁ τὰ ἐσόμενα προθεσπίζων· λέγει τοίνυν, ὅτι περὶ αὐτοῦ τοῦ βασιλέως ποιοῦμαι τοὺς λόγους. καὶ διδάσκων ὡς οὐκ ἀνθρωπίνοις, ἀλλὰ θείοις κέχρηται λόγοις, ἐπήγαγεν· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ἐδὲν φησὶ οἰκεῖον φθέγγομαι, ἐδὲ τῆς ἐμῆς διανοίας ᾠδὰς προσφέρω. ἑτέρας δὲ ὑπουργὸς ἐνεργείας ἡ γλῶττα. καὶ αὕτη μὲν μιμεῖται κάλαμον· ἡ δὲ χάρις τοῦ πνεύματος, γραμματέα ταχὺν, διὰ ταύτης ἃ βούλεται γράφουσα. ὅτως ὁ προφήτης τὸν δι' αὐτοῦ φθεγγόμενον ὑποδείξας, ἄρχεται τῆς προρρήσεως οὕτως. γ΄. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σου, διὰ τοῦτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Σὺ, φησὶν, ὃν ὠνόμασα βασι-

βασιλέα, ὃν διὰ τῆς προγραφῆς ἀγαπητὸν προσηγόρευσα, κάλλει μὲν νικᾷς τῶν ἀνθρώπων τὴν φύσιν, σοφίας δὲ προχέεις διὰ τῆς γλώσσης πηγάς· καὶ ταῦτα ἀπρόσκαιρα, ἀλλ' ἀϊδιώτια ἔχεις. ἰξέον δὲ, ὅτι ἀ τὰ θεῖα, ἀλλὰ τὰ ἀνθρώπεια τῷ Δεσπότῃ Χριστῷ ὁ προφητικὸς παρεδήλωσε λόγος. ἀ γὰρ ἂν ἀνθρώποις τὸν Θεὸν λόγον ἀπείκασεν, ἀδ' ἂν τοῦτον ἔφη παρὰ Θεοῦ δεδέχθαι τὴν εὐλογίαν. οὗτος γὰρ ἄβυσσος ἀγαθῶν εὐλογίαν τοῖς πιστοῖς ἀναβλύζουσα. τὰ ἀνθρώπεια τοίνυν διὰ τῶνδε τῶν λόγων τῷ Δεσπότῃ Χριστῷ προεθέσπισε. μηδεὶς δὲ ἀντικρὺς ἐναντία τοὺς προφήτας ἀλλήλοις εἰρηκέναι λεγέτω, Ἡσαΐᾳ ἀκόων βοῶντος· εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐκεῖνα γὰρ τὸν σαυρὸν καὶ τὸ πάθος προαναφωνεῖ, ἃ παρουσίας καὶ ὕβρεώς ἐστι μεσά. διὸ δὴ καὶ ἐπήγαγεν ὁ προφήτης· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη, καὶ τὰ ἄλλα ἑξῆς, τὰ τὸ πάθος μηνύοντα. ὁ δὲ ψαλμὸς κάλλος αὐτοῦ καλεῖ, οὐ τὸ τοῦ σώματος, ἀλλὰ τῆς ἀρετῆς καὶ πάσης δικαιοσύνης, τὸ ἁμαρτίας ἀ δεξάμενον σπίλον, τὸ πάσης κηλίδος ἐλεύθερον. δ'. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σε, δυνατέ. ε'. Τῇ ὡραιότητί σε καὶ τῷ κάλλει σε, καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε. Τὴν ὥραν διαγράψας, καὶ τὴν σοφίαν, ὑποδείκνυσι καὶ τὴν δύναμιν καὶ τὴν πανοπλίαν, ᾗ χρησάμενος τοὺς ἐναντίους κατέλυσε. καὶ τὸ πάντων ἡμᾶς παραδοξότατον πρᾶγμα διδάσκει. αὐτὴν γὰρ αὐτοῦ τὴν ὥραν, καὶ πανοπλίαν λέγει, καὶ δύναμιν. περίζωσαι γάρ φησι τὴν ῥομφαίαν σε ἐπὶ τὸν μηρόν σε, δυνατὲ, τῇ ὡραιότητί σε καὶ τῷ κάλλει σε. καὶ εἰρηκὼς, ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε, εὐθὺς ἐπήγαγεν· ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης. σαφῶς διὰ τούτων διδάσκων, ὡς ἡ ἀλήθεια, καὶ ἡ πραότης, καὶ ἡ δικαιοσύνη, καὶ κάλλος αὐτοῦ καὶ δύναμις καὶ πανοπλία ἐστι, καὶ νίκη. ἔστι δὲ ἀκοῦσαι αὐτοῦ τοῦ Κυρίου λέγοντος, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ πάλιν, ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. καὶ πρὸς τὸν θεσπέσιον Ἰωάννην· ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. καὶ διὰ τούτων τῷ ἀλάστορος τὴν τυραννίδα κατέλυσε, καὶ τὸν θάνατον ἔλυσε, καὶ τοῖς πεπιστευκόσι παρέχε τὴν σωτηρίαν. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. ἐπειδὴ γὰρ ῥομφαίας ἐμνημόνευσεν, ἀκολούθως καὶ δεξιᾶς ἐποιήσατο μνήμην· δεξιὰ δὲ αὐτοῦ, τὰ δεξιὰ βουλεύματα, οἷς κεχρημένος τὴν τῆς ἁμαρτίας ἐκ ἐδέξατο προσβολήν. ς'. Τὰ βέλη σε ἠκονημένα, δυνατέ. λαοὶ ὑποκάτω σε πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. Μεθυπέρβατά ἐστι τὰ ῥήματα. λέγει δὲ, ὅτι τοῖς ὀξέσι βέλεσι κατὰ τῶν πολεμίων χρώμενος, ἐκείνους μὲν εὐθυβόλως βαλεῖς, καὶ τὰς καρδίας αὐτῶν κατατρώσεις. τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους λαοὺς τὴν σὴν διδάξεις προσκύνησιν. τὰ βέλη σε γὰρ ἠκονημένα, δυνατὲ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. τούτων

δδ

δὲ τρωθέντων, λαοὶ ὑποκάτω σε πεσόντα, προσφέροντές σοι τὴν ὀφειλομένην προσκύνησιν. διὰ τέτων τὰ κατὰ τὴν ἐνανθρώπησιν γεγενημένα προαγορεύσας ὁ προφητικὸς λόγος, αὐτῷ τῷ ἐνανθρωπήσαντος Θεῷ λόγῳ μετὰ ταῦτα διδάσκει τὴν φύσιν. ζ'. Ὁ θρόνος σε ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἐπειδὴ ταπεινότερα τῆς θείας ἦν ἀξίας τὰ ἄνω εἰρημένα, ὡραΐος κάλλει παρὰ τὸς υἱὸς τῶν ἀνθρώπων, καὶ διὰ τέτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα, εἰκότως διὰ τέτων διδάσκει, ὅτι καὶ Θεός ἐστιν, καὶ αἰώνιος βασιλεὺς, καὶ ἔτε ἀρχὴν εἰληφὼς, ἔτε τέλος ληψόμενος. τοῦτο δηλοῖ τὸ αἰώνιον. διὸ δὴ καὶ ὁ Σύμμαχος αἰώνιον αὐτὸν προσηγόρευσεν, ὁ θρόνος σου, ὁ Θεὸς, αἰώνιος. διδάσκει δὲ καὶ τῆς βασιλείας τὸ δίκαιον. ῥάβδος γὰρ εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἔπειτα πάλιν ἐπὶ τὰ ἀνθρώπεια καταβαίνει. η'. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σε, ἔλαιον ἀγαλλιάσεως, παρὰ τὸς μετόχους σε. ἢ κατὰ τὸν Σύμμαχον, παρὰ τὸς ἑταίρους σου. μέτοχοι δὲ αὐτοῦ εἰσὶ, καὶ ἑταῖροι, καὶ ἀδελφοὶ, κατὰ τὴν ἀνθρωπότητα, οἱ πιστεύσαντες. οὕτω καὶ ὁ θεῖος ἀπόστολος λέγει, μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάν περ τὴν ἀπαρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν. καὶ πάλιν, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. οὕτω καὶ τῷ παναγίῳ κέχρισαι πνεύματι, ἐχ ὡς Θεὸς, ἀλλ' ὡς ἄνθρωπος. ὡς γὰρ Θεὸς, ὁμοούσιον ἔχει τὸ πνεῦμα· ὡς δὲ ἄνθρωπος, οἷόν τι χρίσμα λαμβάνει τοῦ πνεύματος τὰ χαρίσματα. ἕτω καὶ ἠγάπησε δικαιοσύνην, καὶ ἐμίσησεν ἀνομίαν. γνωμικῆς γὰρ ταῦτα αἱρέσεως, οὐ φυσικῆς δυνάμεως. ὡς δὲ Θεὸς, ῥάβδον εὐθύτητος ἔχει τὴν ῥάβδον τῆς βασιλείας. θ'. Σμύρνα, καὶ ϛακτὴ, καὶ κασσία ἀπὸ τῶν ἱματίων σε, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὐφράνάν σε. ί. Θυγατέρες βασιλέων ἐν τιμῇ σε. Ἀντὶ δὲ βάρεων ἐλεφαντίνων, Ἀκύλας καὶ Σύμμαχος, ἀπὸ ναῶν ἐλεφαντίνων εἰρήκασιν. ἱμάτιον δὲ αὐτοῦ τὸ σῶμα καλεῖ, ὥσπερ καὶ ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ καταπέτασμα τοῦτο προσαγορεύει. ἔχοντες γάρ φησι παῤῥησίαν, ἀδελφοὶ, εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι τοῦ Ἰησοῦ ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος αὐτοῦ, τετέστι, τῆς σαρκὸς αὐτοῦ. σμύρναν δὲ καλεῖ τὸ πάθος· νεκροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται· ϛακτὴν δὲ καὶ κασσίαν, τὴν ἀπὸ τοῦ πάθους εὐωδίαν· βάρεις ἐλεφαντίνας, ἢ κατὰ τὸν Σύμμαχον καὶ τὸν Ἀκύλαν, ναοὺς ἐλεφαντίνες, τὰς περικαλλεῖς καὶ λαμπρὰς ἐκκλησίας, ἃς ἄρχοντες καὶ βασιλεῖς πανταχοῦ γῆς καὶ θαλάσσης ἐδείμαντο. προλέγει τοίνυν, ὅτι τὸ μὲν πάθος κατὰ τὸ σῶμα γενήσεται, εὐωδίας δὲ πᾶσαν τὴν οἰκεμένην ἐμπλήσει, ὡς τὸς πάλαι πλανωμένους λαοὺς, ἐγεῖραι αὐτῷ εἰς κάλλος ἐξησκημένους ναοὺς, καὶ βασιλικῷ διαλάμποντας κόσμῳ. τῶν δὲ ἐκκλησιῶν τὴν πρόῤῥησιν ποιησάμενος, αἳ παῤῥησίᾳ καὶ νυμφώνων ἐπέχουσι τάξιν, εἰκότως καὶ τῆς νύμφης προαγορεύει τὸν

κόσμον, καὶ τὴν ὥραν, καὶ τὸ γένος, καὶ τὴν ἁρμόττουσαν αὐτῇ προσφέρει παραίνεσιν. παρέστη βασίλισσα ἐκ δεξιῶν σου, ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. διὰ τούτων καὶ τῷ κόσμῳ τὴν πολυτέλειαν καὶ τὴν ἄκραν αὐτῆς ὑποδείξας τιμὴν, τῷ τε βασίλιδα καλέσαι, καὶ τῷ στῆναι τὲ τοσούτου βασιλέως ἐκ δεξιῶν, εἰσηγεῖται καὶ παραινεῖ τὰ συμφέροντα. ιά. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου· καὶ ἐπιλάθου τὸν λαόν σου, καὶ τὸν οἶκον τὸν πατρός σου. Ταῦτα δὲ εὐδαιμόνως Ἰουδαίοις ἁρμόττει ἐπ' εὐσεβείᾳ προγόνων σεμνυνομένοις, δι' ὃν καὶ ἐπὶ πλεῖστον τῆς θείας κηδεμονίας ἀπέλαυσαν. Ἰουδαίοις γὰρ τῇ τῶν πατέρων ἀκολουθεῖν εὐσεβείᾳ κελεύει, ἐκ ἐπιλανθάνεσθαι τῶν πατέρων παρεγγυᾷ. ἡ δὲ ἐξ ἐθνῶν ἐκκλησία, πατέρας ἔχε καὶ προγόνους εἰδώλοις δεδουλευκότας. ταύτην τοιγαρῶν συμβουλεύει μηδὲν τῶν πατρώων ἐθῶν ἐν τῇ μνήμῃ καταλιπεῖν. καὶ θυγατέρα δὲ αὐτὴν ὀνομάζει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τὴν πνευματικὴν ἀναγέννησιν δεξαμένην. ὑπισχνεῖται δὲ αὐτῇ φυλαττούσῃ τὰς ὑποθήκας τοῦ βασιλέως τὸν ἔρωτα. ιβ. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Εἶτα καὶ τὴν αὐτῆς φύσιν, καὶ τὴν τοῦ βασιλέως ἀξίαν διδάσκει. Ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ. ιγ. Καὶ θυγάτηρ Τύρου ἐν δώροις. Οἱ μὲν ἕν ἄλλοι τρεῖς ἑρμηνευταὶ, αὐτὴν ἐκέλευσαν ποιήσασθαι τὴν προσκύνησιν. καὶ ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· καὶ προσκύνησον αὐτῷ. ὁ δὲ Σύμμαχος· αὐτὸς γὰρ Κύριός σου, καὶ προσκύνει αὐτόν. οἱ δὲ ἑβδομήκοντα τὴν βασιλίδα διδάσκουσιν, ὅτι ἐκ αὐτῆς ἐστι μόνος Κύριος ὁ νυμφίος, ἀλλὰ καὶ τῶν ἔτι αὐτιλέγειν τολμώντων· ὡς καὶ τῆς Τύρου τὰς θυγατέρας δῶρα προσοῖσαι, καὶ τὴν θελείαν δηλῶσαι. διὰ τούτων δὲ πᾶσαν ᾐνίξατο τὴν ἀσέβειαν. σύνηθες γὰρ τῇ γραφῇ, τὸ πᾶν ἀπὸ μέρους δηλοῦν. ἕτως ἀλλαχοῦ διὰ τοῦ Λιβάνου πᾶσαν τῆς δεισιδαιμονίας τὴν παῦλαν προαγορεύει. ὁ γὰρ Λίβανός φησι σὺν τοῖς ὑψηλοῖς πεσεῖται. ἐν δὲ τοῖς ἑξῆς, καὶ πλειόνων μέμνηται. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ αὐτοῦ. πρόσωπον δὲ τῆς ἐκκλησίας κυρίως μὲν αὐτὸς ὁ Δεσπότης· κεφαλὴ γάρ ἐστι τοῦ σώματος. αὐτὸν γάρ φησιν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ. ἔπεσται δὲ καὶ τὸ ἱερατικὸν τάγμα, οἷόν τι πρόσωπον ὑπάρχει τῆς ἐκκλησίας, ἅτε δὴ πλείονα πνευματικὴν περιβεβλημένον ἀξίαν. ἔστι δὲ ἰδεῖν καὶ τήνδε τὴν προφητείαν δεξαμένην τὸ πέρας. οἱ γὰρ πλούτῳ κομῶντες, καὶ τῶν μεγίστων ἀξιωμάτων τὴν περιφάνειαν ἔχοντες, τὸ καλούμενον τῆς ἐκκλησίας γεραίρουσι πρόσωπον. ἐπειδὴν δὲ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλῆσθαι ἔφη τὴν βασιλίδα· εὐτέλεια δὲ περιβολαίων κοσμεῖ τοὺς τῆς ἀρετῆς ἀθλητάς· διὸ δὴ καὶ τοιούτοις κεχρημένοι διατελοῦσιν, ἑρμηνεύει τοῦ κόσμου τὴν πολυτέλειαν. ιδ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κρόσσωτοῖς χρυσοῖς. ιε. Περιβεβλημένη, πεποικιλμένη. Ἔνδοθεν ἔχει, φησὶ, τῆς ἀρετῆς τὴν εὐπρέπειαν, καὶ τοῖς παντοδαποῖς τοῦ ἁγίου πνεύματος διαλάμπει χαρίσμασιν.

ἐπειδὴ

ἐπειδὴ γὰρ διάφοροι τοῦ θείου πνεύματος αἱ ἐνέργειαι, διαιρέσεις γὰρ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ ᾧ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ γένη γλωσσῶν· ἐκ πολλῶν δὲ πνευματικῶν ἀνθρώπων δεξαμένων διάφορα χαρίσματα ἡ ἐκκλησία συνέκεκεν· εἰκότως κροσσοῖς ἀπείκασε χρυσοῖς τὴν τῶν χαρισμάτων διαίρεσιν. διήρηνται γὰρ ἀπ' ἀλλήλων οἱ κροσσοὶ, καὶ πάλιν ἥνωνται, ὡς τῆς αὐτῆς ἐξηρτημένοι κολῆς. Ἀπενεχθήσονται παρθένοι τῷ βασιλεῖ ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. ις'. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως. Ἐπειδὴ γὰρ ἐχ ἅπαντες τὴν ἄκραν ἔχουσι τελειότητα, τὰς μὲν καλεῖ νύμφην, ὡς τελείας ἐν ἀρετῇ, τὰς δὲ παρθένους, ὡς ἀκήρατον φυλάξαντας ἣν παρέλαβον πίστιν. λέγει δὲ ὅμως καὶ ταύτας ἀκολέθους εἶναι τῆς βασιλίδος, καὶ εἰς τὸν βασιλικὸν σὺν αὐτῇ εἰσιέναι νεών. ταύτην ἡμᾶς τὴν διαφορὰν ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἐδίδαξε, φήσας· πολλαὶ μοναὶ παρὰ τῷ πατρί μου. συνῳδὰ καὶ ὁ μακάριος ἔφη Παῦλος, ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. ιζ'. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Εἰπάτωσαν Ἰουδαῖοι, τίνας ἔχον υἱοὺς πάσης ἄρξαντας τῆς οἰκουμένης. ἀλλ' ἐκ ἂν δείξαντο. οὔτε γὰρ ἦρξαν, οὔτε ἄρχουσιν, ἀλλὰ τὴν ἐχάτην δουλείαν δουλεύουσιν. οἱ δὲ θεῖοι ἀπόστολοι, πατέρας ἐχθικότες τοὺς πατριάρχας, γῆς καὶ θαλάττης καὶ μετὰ θάνατον ἄρχουσιν, οἷον τινες ὕπαρχοι, καὶ στρατηγοὶ, καταστάντες ὑπὸ τοῦ παμβασιλέως Χριστοῦ· καὶ οἱ μετ' ἐκείνους δὲ, ὃς ἂν ἄν τις ἁμάρτοι καλέσας τῆς ἐκκλησίας υἱὸς, οἱ νικηφόροι φημὶ μάρτυρες τὴν αὐτὴν ἐτάχθησαν διέπειν ἀρχὴν, καὶ πάντας ἔχουσι νῦν ὑπηκόους· τοὺς μὲν πόθῳ τοῦτο ποιεῖν αἰρουμένους, τοὺς δὲ τῷ φόβῳ βιαζομένους. ιή. Μνηθήσομαι ὀνόματός σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ. ιθ'. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ταῦτα προθεσπίσας ὁ ψαλμῳδὸς, ἐν ἑκάστῃ γενεᾷ διὰ τῶν κατὰ καιρὸν εὐσεβῶν τὸ ὄνομα τὸ θεῖον ἀνυμνεῖν ὑπισχνεῖται. οὕτω γὰρ καὶ οἱ τρεῖς ἐξέδωκαν· ἀνυμνήσω τὸ ὄνομά σου καθ' ἑκάστην γενεάν, διὰ τοῦτο λαοὶ ὑμνήσουσί σε εἰς αἰῶνα διηνεκῶς. τῇ γὰρ ὑπ' ἐμοῦ συγγραφείσῃ χρώμενοι μελῳδίᾳ πάντες οἱ κατὰ τὴν οἰκουμένην λαοὶ, καὶ διὰ ταύτης τὴν παραχεθεῖσαν αὐτοῖς σωτηρίαν ἄνωθεν προρρηθεῖσαν μανθάνοντες, σὲ τὸν εὐεργέτην, καὶ χορηγὸν τῶν ἀγαθῶν, ἀνυμνοῦντες διατελέσουσι.

ΕΡΜΗΝ. ΤΟΥ με' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορὲ, ὑπὲρ τῶν κρυφίων. Τὰ μετὰ πολλὴν χρόνου περίοδον ἔνθεν ἐσόμενα προαγορεύων προφητικὸς λόγος,

πάλιν εἰς τὸ τέλος ἐπέγραψε τὸν ψαλμόν, ἀναμεῖναι τῆς προφητείας τὸ τέλος παρεγγυῶν. προλέγει δὲ τὰς κατὰ τῆς ἐκκλησίας γεγενημένας ἐπαναστάσεις, καὶ τὴν μετὰ ταῦτα παραχεθεῖσαν οὐρανόθεν βοήθειαν, καὶ τὴν νῦν πολιτευομένην εἰρήνην. ἰστέον μέν τοι, ὥς τινες εἰς τὸν Γὼγ καὶ Μαγὼγ ὑπέλαβον εἰρῆσθαι τὸν προκείμενον ψαλμόν. τινὲς δὲ εἰς τὸν Ἄχαζ, καὶ τὸν Φακεέ· ἄλλοι δὲ εἰς τὸν Ἐζεκίαν, καὶ τὸν Ἀσσύριον. δείξει δὲ σὺν Θεῷ φάναι ἡ κατὰ μέρος ἑρμηνεία, ὡς οὐδενὶ τῶν εἰρημένων ἁρμόττει ἡ τῷ ψαλμῷ διάνοια. β'. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Προθεσπίσας ὁ προτεταγμένος ψαλμὸς περὶ τῆς ἐκ δυσσεβῶν ἐθνῶν συλλεγείσης ἐκκλησίας, καὶ βασιλίδος γεγενημένης, καὶ δείξας τοὺς υἱοὺς αὐτῆς ἄρχοντας πάσης ἀποφανθέντας τῆς γῆς, ὑποδείκνυσιν ἐνταῦθα τοὺς γεγενημένους θορύβους ἐν ἀρχῇ τῶν κηρύγματος, τῶν ἀντιλεγόντων ἐπανισταμένων, καὶ τοῖς πιστεύουσι πολεμούντων· εἶτα προδιαγράφει τῷ λόγῳ, ὅπως ὁ τῶν διωκομένων χορὸς τῇ εἰς τὸν Θεὸν ἐλπίδι πεφραγμένος, τῶν προσβαλλόντων καταφρονήσει κυμάτων. περίβολον γάρ φησιν ὀχυρὸν ἔχοντες τὸν τῶν ὅλων Θεὸν, τῶν παντοδαπῶν οὐκ αἰσθανόμεθα θλίψεων. γ'. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Τοιαῦτά τινα καὶ ὁ θεῖος προηγόρευσεν Ἡσαΐας· πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. καὶ φάραγγα μὲν καλεῖ τὰ κοῖλα καὶ ταπεινὰ ἔθνη, τὰ τοῦ ὕψους ἐξερημένα· ἃ τῷ διδασκαλικῷ πληρωθήσεσθαι προεθέσπισε λόγῳ. ὄρη δὲ καὶ βουνοὺς ὠνόμασε τὰ τῶν δαιμόνων τεμένη· καὶ τὰς παντοδαπὰς ἐκείνων καὶ ἀπατηλὰς ἐνεργείας ταπεινωθήσεσθαι, καὶ ἀφανεῖς ἔσεσθαι παντελῶς προηγόρευσε. τοιγάρτοι κἀνταῦθα ὁ προφητικὸς δείκνυσι λόγος τοὺς τῷ σωτῆρι πεπιστευκότας βοῶντας, ὡς οὐδεμίαν δέους ἐν τῇ ψυχῇ δεξόμεθα ζάλην, τὴν γῆν ὁρῶντες ταραττομένην, καὶ τοὺς ἐξελαυνομένους εἰς τὴν ἄβυσσον δαίμονας, κυκῶν πειρωμένους τοὺς ὑπ' αὐτῶν ἐνεργουμένους ἀνθρώπους· προλέγει δὲ κατὰ ταὐτὸν ὁ λόγος, ὅτι φρὲδος ἔσαι καθάπερ τινὶ παραπεμφθεῖσα βυθῷ ἡ πάλαι κρατήσασα τῶν δαιμόνων ἀσέβεια, ἡ τῶν ὀρῶν μιμουμένη τὸ ὕψος, καὶ τῆς οἰκουμένης ἐπὶ πλεῖον ἐχκυῖα τὸ κράτος. δ'. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Διδάσκει δὲ ἡμᾶς καὶ ἡ τῶν πράξεων ἱστορία, ὅπως τῶν ἱερῶν ἀποστόλων τὴν οἰκουμένην περινοστούντων, ζάλης ἐμπίπλαντο καὶ θορύβε αἱ πόλεις. καὶ γὰρ ἐν Ἐφέσῳ Δημήτριος πᾶσαν τὴν πόλιν ἐκύκησεν· καὶ ἐν Λύστροις, καὶ Δέρβῃ, ταὐτὸ τοῦτο γεγένηται· καὶ πάλιν ἐν Φιλιππησίοις, καὶ Θεσσαλονίκῃ, καὶ Ἀθήναις, καὶ Κορίνθῳ, τῶν τῆς ἀπάτης πνευμάτων ταῦτα διεγειρόντων τὰ κύματα. ὑπὸ τούτων τινὲς ἐνεργούμενοι κατὰ τῶν ἱερῶν ἐβόων

ἀπα-

ἀποστόλων, οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισι. ταῦτα καὶ ὁ μακάριος προηγόρευσεν Ἀββακούμ. ἐπεβίβασας γάρ φησιν, εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά. ἵππους δὴ προσηγόρευσεν, ὡς ὄχημα θεῖον γεγενημένους τοὺς ἱεροὺς ἀποστόλους. ἐπ' αὐτῶν γὰρ ἐποχούμενος ὁ Δεσπότης, τὰ πολλὰ καὶ διάφορα τῆς ἀσεβείας δόγματα, οἷά τινα ὕδατα διεσκέδασε. λέγει τοίνυν καὶνταῦθα ὁ προφητικὸς λόγος, ὡς καὶ τὰ ὕδατα ζάλην ἐδέξατο, καὶ τὰ ὄρη κλόνους ὑπέμεινε, τῷ εὐαγγελικοῦ διαπορθμευομένῳ κηρύγματος. ἐνταῦθα δὲ ὄρη τὸ τῶν δαιμόνων προσηγόρευσε σίφος, διὰ τὸν τῆς ἀλαζονείας ὄγκον, καὶ τῷ τύφου τὸ ὑψηλόν· ὕδατα δὲ τὰς τῶν ἀνθρώπων γνώμας, τὰς δίκην ὑδάτων τῇδε κἀκεῖσε φερομένας ῥαδίως, καὶ ὑπὸ τῶν τῆς ἀπάτης κυκωμένας πνευμάτων. ε. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. Ποταμὸν δὲ ἐνταῦθα τὸ εὐαγγελικὸν προσηγόρευσε κήρυγμα· πόλιν δὲ, τῶν εὐσεβῶν πολίτευμα, τὸ τοῖς τοῦ ποταμοῦ ῥεύμασιν εἰς καρποφορίαν ἀρδόμενον. τοῦτο σαφέστερον οἱ τρεῖς ἡρμηνεύκασιν· τοῦ ποταμοῦ αἱ διαιρέσεις εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. καθάπερ γὰρ ἡ τοῦ παραδείσου πηγὴ εἰς τέσσαρας ποταμοὺς διηρέθη· οὕτως ἓν τὸ ὕδωρ ὁ τοῦ Θεοῦ ποταμὸς μυρίας ἔχει καὶ ἀριθμοῦ κρείττους διωρυγάς, εἰς πάντα τῶν ἀνθρώπων τὰ φῦλα διαδραμούσας. ὁ μὲν γὰρ ἔδραμε πρὸς Ἰνδοὺς, ὁ δὲ πρὸς Ἰσπανούς· καὶ ὁ μὲν τὴν Λίγυπλον, ὁ δὲ τὴν Ἑλλάδα κατέλαβε· καὶ ἕτεροι μὲν τὴν Ἰουδαίαν ἐπιεύθησαν ἄρδειν, ἕτεροι δὲ Συρίαν καὶ Κιλικίαν, ἄλλοι δὲ ἄλλων ἐθνῶν τὴν γεωργίαν ἐνεχειρίθησαν. καὶ τοῦτο δέ γε ὁ μακάριος προεθέσπισεν Ἀββακούμ. ποταμῶν γάρ φησι βαγήσεται γῆ, ἀντὶ τοῦ, διανεμηθήσεται κατὰ διωρυγὰς ἡ γῆ, τοῦ μεγάλου ποταμοῦ δεχομένη τὰ ῥεῖθρα. τὰς γὰρ τούτου διαιρέσεις ὠνόμασε ποταμούς. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. ἣν ἐκάλεσε πόλιν, ταύτην ὠνόμασε σκήνωμα· ἐνοικήσω γάρ φησιν ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός, λέγει Κύριος παντοκράτωρ. τὸ αὐτὸ τοίνυν ἔφη καὶ ἄρδεσθαι, καὶ ἀγιάζεσθαι ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ. ς'. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. Τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὑπέσχετο. ἰδὲ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὅπου δύο ἢ τρεῖς εἰσὶ συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. βοηθήσει αὐτῷ ὁ Θεὸς τὸ πρωΐ πρωΐ. ταχείαν, φησὶ, καὶ ὀξεῖαν τῇ ἑαυτοῦ πόλει παρέξει βοήθειαν τῶν ὅλων ὁ Κύριος. πρωὶ γὰρ πρωΐ, τὸ ταχὺ καὶ ὀξὺ προσηγόρευσεν. ζ'. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Τῆς θείας, φησὶ, βοηθείας ἐπιφανείσης, νῶτα ἔδωκαν οἱ πολέμιοι, καὶ αἱ πάλαι ταναντία φρονοῦσαι βασιλεῖαι, ὑπέκλινον τὸν αὐχένα, καὶ τὸν σωτήριον ζυγὸν ὑπεδέξαντο. τῇ γὰρ ἀληθείᾳ, καὶ τῇ τῶν πραγμάτων μαρτυρίᾳ, καὶ ταῖς παντοδαπαῖς θαυματουργίαις,

οἷόν τινι φωνῇ χρησάμενος ὁ Θεὸς, τὸ οἰκεῖον ὕψος τοῖς ἀνθρώποις ὑπέδειξε, καὶ δέους αὐτῶν ἐνέπλησε τὰς ψυχάς. ἡ. Κύριος ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Κρείττους τοίνυν τῶν πολεμούντων ἀπεφάνθημεν, ἐπίκουρον ἐχοντες τὸν τῶν ἐπουρανίων δυνάμεων Κύριον· ὃς τὸν Ἰακὼβ διωκόμενον ἀμείνω τῶν πολεμούντων ἀπέφηνε, καὶ τῆς Ἡσαῦ καὶ τοῦ Λάβαν ἐπιβουλῆς ἠλευθέρωσε. τὸ δὲ Ἰακὼβ τὴν μνήμην οὐχ ἁπλῶς ὁ προφητικὸς ἐποιήσατο λόγος, ἀλλ' ἐπειδὴ πρῶτος ἐκεῖνος τὴν τῶν ἐθνῶν προεθέσπισε κλῆσιν. ἐκ ἐκλείψει γάρ φησιν ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. τῶν ἐθνῶν δὲ κἀνταῦθα τὴν μεταβολὴν προθεσπίζων, εἰκότως τὸν τοῦ Ἰακὼβ τοῦ ταῦτα προειρηκότος Θεὸν ταῦτα ἔφη κατωρθωκέναι. θ'. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. ι'. Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. ια'. Σχολάζετε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Ταύτην μου τοίνυν ὁρῶντες, ὦ ἄνθρωποι, τὴν ἰσχὺν, καὶ θεώμενοι τὴν ἀθρόαν τῶν πραγμάτων μεταβολὴν, καὶ τὴν ἀπὸ ζάλης μεγίστης γεγενημένην γαλήνην, καὶ τοῦ πολέμου τὴν παῦλαν, καὶ τῆς εἰρήνης τὸ δῶρον, δι' αὐτῶν μάθετε τῶν πραγμάτων, ὡς ἐγὼ τῶν ὅλων εἰμὶ Θεὸς, καὶ τῶν ἁπάντων δημιουργὸς, ἐκέτι μόνοις Ἰουδαίοις, ἀλλὰ γὰρ καὶ πᾶσιν ἔθνεσι, τὸ τῆς δυνάμεως ὕψος ἐπιδεικνύς. τέτων ὁ ἀποστολικὸς χορὸς ἐπακέσας τῶν λόγων, παιανίζων κατὰ τῶν ἀντιπάλων βοᾷ. ιβ'. Κύριος ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν· ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Εἰπάτωσαν τοίνυν οἱ τὸν ψαλμὸν εἰς τὸν Γὼγ εἰληφότες, ἢ οἱ τῷ Ἄχαζ τέτον ἁρμότειν εἰρηκότες, πῶς ἐκείναις ἁρμότει ταῖς ἱστορίαις τὸ ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. οὐ γὰρ δὴ ἐπ' ἐκείνων πάντας ἔπαυσε τοὺς πολέμους, ἀλλ' ἐπὶ μὲν τοῦ Γὼγ καὶ Μαγὼγ, ἡ Παλαιστίνη μόνη εἰρήνης ἀπήλαυσεν. ἐπὶ δὲ τοῦ Ἄχαζ οὐδὲ πᾶσα ἡ Παλαιστίνη, ἀλλ' Ἰούδα μία φυλή. Φακεὲ γὰρ ὁ τοῦ Ῥομελίου τὴν τῶν Ἀσσυρίων ἐδέξατο προσβολήν. ἐπὶ δὲ τοῦ δεσπότου Χριστοῦ ἔσχε τὸ πέρας ἡ προφητεία. πρῶτον μὲν γὰρ αἱ τοπαρχίαι, καὶ αἱ μερικαὶ κατελύθησαν βασιλεῖαι· δι' ἃς ἐδε βραχείας εἰρήνης ἀπήλαυσαν ἄνθρωποι, ἀλλὰ πᾶσα πόλις ἔνοπλος ἦν, τὰς ἐξαπιναίως γινομένας ἐφόδους δειμαίνουσα. ἐπὶ δὲ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, ἡ Ῥωμαίων βασιλεία, τὰς μερικὰς καταλύσασα βασιλείας, τὰς τῶν ἁπάντων ἀνθρώπων ἀκοὰς ἠτρέπισε τοῖς κηρύττουσιν. ἀδεῶς γὰρ, ὡς ἐν μιᾷ βασιλείᾳ διέδραμον, καὶ τὴν σωτήριον διδασκαλίαν τοῖς ἀνθρώποις προσήνεγκαν. κατὰ μὲν τὴν ἱστορίαν οὕτω συμβέβηκε τὸ, ἀνταναιρῶν πολεμίους μέχρι τῶν περάτων τῆς γῆς, καὶ τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. τροπικώτερον δὲ εἴ τις ἐθέλοι νοῆσαι, ὄψεται τὸ κατὰ τῆς ἐκκλησίας

κλησίας πολέμου τὴν παῦλαν, καὶ τὴν παραχεθεῖσαν αὐτοῖς θεόθεν εἰρήνην, καὶ θεωρήσει τὴν τῆς προφητείας ἀλήθειαν.

ΕΡΜΗΝ. ΤΟΥ μς' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ. Καὶ ἔτος ὁ ψαλμὸς τῶν ἐθνῶν ἁπάντων προλέγει τὴν σωτηρίαν, καὶ τὴν κατὰ τῶν πολεμίων νίκην προαγορεύει. β'. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ, ἐν φωνῇ ἀγαλλιάσεως. γ'. Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὁ μὲν προφητικὸς ταῦτα προηγόρευσε λόγος· τὸν δὲ ἀποστολικὸν ὑποδείκνυσι χορὸν, ἅπαντα τὰ ἔθνη εἰς ὑμνῳδίαν προτρέποντα. νίκης δὲ ἴδιος ὁ κρότος· καὶ ὁ ἀλαλαγμὸς, νικώντων φωνή. ἔπεται τοίνυν τῷ προτεταγμένῳ τῷδε τῷ ψαλμῷ ἡ διάνοια. καὶ γὰρ ἐκεῖνος, μετὰ τὴν ζάλην καὶ τοὺς θορύβους, τὴν μηνυομένην προηγόρευσε νίκην. καὶ οὗτος ἀσαύτως τοῖς τετυχηκόσι τῆς νίκης παρεγγυᾷ τῷ χορηγῷ τῆς νίκης τὸν ὕμνον προσενεγκεῖν. ὕψιστος γάρ φησι, καὶ φοβερὸς βασιλεὺς πᾶσιν ὑμῖν ἀπεδείχθη. καὶ ταῦτα μὲν πάλαι γνώριμα μόνοις ἦν Ἰουδαίοις· ἐπὶ δὲ τοῦ παρόντος, καὶ πάσῃ τῇ φύσει τῶν ἀνθρώπων δεδήλωται. δ'. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ε'. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. Ἀντὶ τῶν λαῶν βασιλεῖς ὁ Σύμμαχος εἶρηκεν, ἀντὶ δὲ τῆς καλλονῆς Ἰακὼβ, ὁ Ἀκύλας τὸ ὑπερήφανον Ἰακώβ. ὁ ἀποστολικὸς τοίνυν λέγει χορὸς, ὅτι δίκαιον κροτοῦντας καὶ χορεύοντας τὸν ἐπινίκιον ὕμνον τῷ τῶν ὅλων προσφέρειν Θεῷ, καὶ βασιλεῖς ἡμῖν ὑποτάξαντι, καὶ τῶν ἐθνῶν ἁπάντων ἡμῖν τὴν ἀρχὴν δεδωκότι. καὶ πρὸς τούτοις, τὴν καλλονὴν, καὶ τὸ ὑπερφερὲς Ἰακὼβ ἐγχειρίσαντι. οὐ γὰρ πάντα τὸν Ἰουδαϊκὸν τὸν καλούμενον Ἰακὼβ, ἀλλὰ τὴν καλλονὴν Ἰακὼβ καὶ τὸ ὑπερφερὲς, τὸ ἐξαίρετον τῷ Ἰακὼβ, τοὺς τῇ πίστει κεκοσμημένους, τοὺς ἀναμφιβόλως τὸ κήρυγμα δεξαμένους, τὲς τὸν χρηστὸν τῷ σωτῆρος ὑπελθόντας ζυγόν. τούτους γὰρ, καὶ ἐξελέξατο, καὶ ἠγάπησε, καὶ τοὺς ἀποστολικοὺς ἐνεπίστευσεν οἴακας. δυνατὸν δὲ καὶ τοῖς ὀφθαλμοῖς θεάσασθαι τὴν τῆς προφητείας ἀλήθειαν. ἔστι γὰρ ἰδεῖν τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν πεπιστευκότας, τῶν ἀποστολικῶν προκαλινδουμένους θηκῶν, καὶ τὴν ὀλίγην κόνιν μετὰ πολλοῦ τῷ πόθου γεραίροντας, ὥσε κατ' αὐτὸν καὶ βλέπειν, καὶ ψάλλειν τὸ, ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τὲς πόδας ἡμῶν. ς'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ὁ δὲ ταῦτά φησιν ἅπαντα κατορθώσας Δεσπότης, πρότερον μὲν ἐνηνθρώπησε, καὶ τὴν τῷ ἀλάστορος κατέλυσε τυραννίδα, ἔπειτα εἰς οὐρανοὺς ἀνελήλυθε τῶν ἐπουρανίων ἡγουμένων δυνάμεων, καὶ χορῶν ἀγγελικῶν, τῶν μὲν κάτω βοώντων, οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν· τῶν δὲ ἄνω παρεγγυώντων, ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι

αἰώνιοι,

αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τὰς γὰρ τοιαύτας φωνὰς ἀλαλαγμὸν ὠνόμασε, καὶ σαλπίγγων φωνὴν, ὡς εἰς ἅπασαν διαδραμούσας τὴν γῆν. ζ'. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. η'. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς. θ'. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ὑμνῳδίαις τοίνυν, καὶ πνευματικαῖς χορείαις, τὸν παμβασιλέα τῶν ὅλων γεραίρετε. ἅπασι γὰρ ἀνθρώποις τὴν οἰκείαν ἔδειξε βασιλείαν, καὶ τὰ ἔθνη πέπεικεν ἅπαντα, ὡς αὐτός ἐστι Θεός τε καὶ Κύριος, τοῖς βασιλικοῖς ἐγκαθήμενος θώκοις. τὸ δὲ, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ, τῷ ἀποστολικῷ συνάδει ῥητῷ. ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ἐν ὑψηλῷ· τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοῖς κεκληρονόμηκεν ὄνομα. καλῶς δὲ καὶ τὸ ψάλατε συνετῶς τέθεικε διδάσκων μὴ μόνῃ τῇ γλώττῃ προφέρειν τὴν ὑμνῳδίαν, ἀλλὰ καὶ τὴν διάνοιαν εἰς κατανόησιν τῶν λεγομένων ἐγείρειν. ι'. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. ὅτι τῷ Θεῷ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. Πέρας, φησὶν, αἱ πρὸς τὸν πατριάρχην Ἀβραὰμ ἔλαβον ὑποχέσεις. ὑπέσχετο δὲ τῶν ὅλων ὁ Κύριος, ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη. τοιγάρτοι καὶ ταῦτα, καὶ οἱ τούτων ἄρχοντες, τοὺς πατρώους καταλιπόντες Θεοὺς, μετὰ τοῦ Θεοῦ Ἀβραὰμ συναθροίζονται, καὶ τοῦτον οἰκεῖον Θεὸν ὀνομάζουσιν. ὑπουργοὶ δὲ τῆς τούτων κλήσεως οἱ θεῖοι ἀπόστολοι, τῇ θαυματουργίᾳ τὸ τῆς θεολογίας βεβαιώσαντες ὕψος. τούτους γὰρ οἱ μὲν ἑβδομήκοντα κραταιοὺς, ὁ δὲ Ἀκύλας θυρεοὺς, ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος ὑπερασπισμοὺς προσηγόρευσαν. διὰ πάντων δὲ οὐ μόνον αὐτῶν τὸ ἀναρχον καὶ ἀήττητον, ἀλλὰ καὶ τὸ τῶν ἄλλων θηλοῦται φυλακτικόν. οἷον γάρ τινες θυρεοὶ καὶ πρόμαχοι τῶν πεπιστευκότων γενόμενοι, οὐκ εἴασαν ἐν τῇ τῶν δεινῶν προσβολῇ ῥαγῆναι τὴν φάλαγγα· ἀλλὰ τοὺς πολεμίους τρεψάμενοι, παιανίζειν τοῖς ὁμοπίστοις παρεγγυῶσι φάσκοντες, πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

ΕΡΜΗΝ. ΤΟΥ μζ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ. δευτέρᾳ σαββάτου. Καὶ οὗτος ὁ ψαλμὸς ὡσαύτως τὴν αὐτὴν νίκην προαγορεύει, καὶ τῆς τοῦ Θεοῦ πόλεως τὴν ἰσχύν. β'. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. Καὶ ἤδη προειρήκαμεν, ὡς πόλιν πολλάκις ἡ θεία γραφὴ, οὐ τὴν οἰκοδομίαν, ἀλλὰ τὴν πολιτείαν καλεῖ. τοιγάρτοι καὶ νῦν μέγαν ἀποδεδεῖχθαι λέγει τῶν ὅλων τὸν Κύριον, διὰ τῶν ὑπ' αὐτοῦ περὶ τὴν αὐτοῦ πόλιν γεγενημένων· ἣν ἐπίσημον ἀπέφηνε τῶν δογμάτων τὸ ὕψος, ὡς ἐπ' ὄρους ὑψηλοῦ καὶ μεγίστου κειμένην. οὐ δύναται γὰρ, φησὶν ὁ Δεσπότης, κρυβῆναι πόλις ἐπάνω ὄρους κειμένη.

κειμένη. γ'. Εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. Ταύτην δέ φησιν ἐπ' εὐφροσύνῃ πάσης τῆς γῆς, εὖ καὶ καλῶς καὶ παγίως ἐδείματο. ᾠκοδόμησε γὰρ αὐτήν, φησιν ὁ θεῖος ἀπόστολος, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ. καὶ αὐτὸς δὲ ὁ Κύριος πρὸς τὸν μακάριον ἔφη Πέτρον· καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. τὸ οὖν εὐριζῶν, ἀντὶ τοῦ παγίως θεμελιῶν· ὥστε αὐτὴν ἀτρεμῆ καὶ ἀσάλευτον διαμεῖναι. ὄρη Σιὼν τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. καὶ μέντοι καὶ ὄρεσιν αὐτὴν περιέβαλεν, ὥστε τῶ Βορρᾶ τὴν βλάβην διαφυγεῖν. ἀπὸ Βορρᾶ γάρ φησιν ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πᾶσαν τὴν γῆν. καὶ πάλιν, τὸν Βορρᾶν ἐκδιώξω ἀφ' ὑμῶν· καὶ τὸ Σιὼν δὲ ὄνομα ἐπὶ τῆς πνευματικῆς ὁ θεῖος ἀπόστολος ἐδέξατο πόλεως. προσεληλύθατε γάρ φησιν ὄρει Σιὼν, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. ὄρη δὲ τὰ τὸν Βορρᾶν ἐξελαύνοντα, καὶ φυλάττοντα τὴν πόλιν ἀλώβητον, εἴποι ἂν τις εἰκότως ἀποστόλους καὶ προφήτας, καὶ τὰς παντοδαπὰς ἐκείνων διδασκαλίας, καὶ πρὸς τούτοις τοὺς ἐφεξῆς τοῖς πεπιστευκόσιν ἀγγέλους. παρεμβαλεῖ γάρ φησιν ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. δ'. Ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Μία μέν ἐστι κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησία· διὸ προσευχόμενοι λέγομεν, ὑπὲρ ἁγίας καὶ μόνης καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης. διήρηται δὲ πάλιν αὕτη κατὰ πόλεις, καὶ κώμας, καὶ ἀγρούς. ἃς βάρεις ὁ προφητικὸς προσηγόρευσε λόγος. ὥσπερ ἑκάστη πόλις πολλὰς ἔνδοθεν οἰκίας ἔχει διῃρημένας, μία δὲ ὅμως ὀνομάζεται πόλις· οὕτω μυρίαι καὶ ἀριθμῷ κρείττους εἰσὶν ἐκκλησίαι, καὶ ἐν νήσοις, καὶ ἐν ἠπείροις· εἰς μίαν δὲ κοινὴν πᾶσαι τελοῦσι τὴν συμφωνίαν τῶν ἀληθῶν ἡνωμέναι δογμάτων. ἐν ταύταις ἔφη τὸν τῶν ὅλων θεὸν ἐπιφαίνεσθαι, τὴν οἰκείαν ἐπικρίσιν ὀρέγοντα. ὁ γὰρ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. εἶτα τὰς ἐσομένας ἐπαναστάσεις προλέγει, καὶ τὴν τῶν πολεμίων μεταβολήν. ε'. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διῆλθοσαν ἐπὶ τὸ αὐτό. ϛ'. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν. Συνέδραμον μὲν γὰρ ὡς πολεμήσοντες· θεασάμενοι δὲ τῆς πολεμουμένης τὸ ἄμαχον κατεπλάγησαν. Ἐταράχθησαν γάρ, φησιν, ἐσαλεύθησαν. ζ'. Τρόμος ἐπελάβετο αὐτῶν. η'. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς. Θεασάμενοι, φησὶ, τὰ ἀρραγῆ τῆς ἐκκλησίας θεμέλια, καὶ καταμαθόντες τὸ τῆς προρρήσεως ἀψευδὲς, δέος καὶ φρίκην ἐδέξαντο καθάπερ οἱ τὰ τῆς θαλάσσης διαπεραιούμενοι νῶτα, καὶ καταιγῖσι βαλλόμενοι, καὶ πανωλεθρίαν προσμένοντες. ἔδει χάριν τοῦ πολεμεῖν καὶ βάλλειν παυσάμενοι, αὐτοὶ κηρύττουσι τῆς πολεμουμένης τὴν δύναμιν, καὶ βοῶσι. θ'. Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν· ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ

Θεῦ ἡμῶν. Τὰς γὰρ περὶ αὐτῆς προρρήσεις οὐ βουλόμενοι δέχεσθαι, δι' αὐτῶν ἐθεασάμεθα τῶν πραγμάτων τὴν ἐκείνων ἀλήθειαν. ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. αὐτῇ γάρ ἐστι Φωνὴ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἵνα δείξας ὁ προφητικὸς λόγος τὴν τῶν πολεμίων μεταβολὴν, προλέγει λοιπὸν οἷς οἱ τῆς σωτηρίας τετυχηκότες χρήσονται λόγοις, τὸν εὐεργέτην ὑμνοῦντες. ι'. Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. Προσδεχόμεθά φησι ταύτην σου τὴν ἐπικουρίαν, ὦ Δέσποτα, τῶν σῶν ἐπαγγελιῶν εἰδότες τὸ ἀψευδές. σὺ γὰρ εἶπας· μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ια'. Κατὰ τὸ ὄνομά σου ὁ Θεὸς, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. Οἱ ψευδώνυμοι θεοὶ οὐκ ἔχουσι συμβαίνουσαν τῇ προσηγορίᾳ τὴν δύναμιν. ὀ γάρ εἰσιν οἱ καλέσαντες. τῷ δὲ σῷ ὀνόματι, Δέσποτα, ἕπεται τὰ ἔργα κηρύττοντα τὴν τῆς προσηγορίας ἀλήθειαν. ἔδη χάριν δικαίως σοι παρὰ πάσης τῆς οἰκουμένης ὁ ὕμνος προσφέρεται. ὡς γὰρ ἁπάντων Θεὸς, οὕτω παρὰ πάντων ὑμνεῖται. δικαιοσύνης πλήρης ἡ δεξιά σου. δικαίᾳ γὰρ ψήφῳ χρησάμενος, τοὺς καθ' ἡμῶν ἐπαναστάντας πολεμίους ἐσκέδασας. ιβ'. Εὐφρανθήτω ὄρος Σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκα τῶν κριμάτων σου Κύριε. Ὄρος Σιὼν τοὺς τὸ ὕψος τῆς θεολογίας πεπιστευμένους ἐκάλεσε· θυγατέρας δὲ τῆς Ἰουδαίας, τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας, ὡς ἀπὸ τῶν ἀποστόλων παγείσας, οἱ ἐξ Ἰουδαίων κατήγαγον τὸ γένος. παρεγγυᾷ δὲ καὶ τοῖς κηρύττουσι, καὶ τοῖς ἀκούουσιν, εὐφραίνεσθαι καὶ γανύεσθαι, ἕνεκα τῶν δικαίων τοῦ Θεοῦ κριμάτων, οἷς χρησάμενος τὴν τῆς οἰκουμένης ἐπραγματεύσατο σωτηρίαν. ιγ'. Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. ιδ'. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς. Σιὼν πάλιν καλεῖ τὸ εὐσεβὲς πολίτευμα, τουτέστι τὴν κατὰ τὴν οἰκουμένην ἐκκλησίαν. πύργους δὲ αὐτῆς, τοὺς τῆς ἄκρας ἀρετῆς ἐπειλημμένους, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν ἐπὶ γῆς μιμουμένους, οἱ πύργων δίκην κυκλοῦσιν αὐτὴν καὶ φυλάττουσι. βάρεις δὲ πάλιν, ὡς καὶ ἤδη προειρήκαμεν, τὰς κατὰ πόλεις, καὶ κώμας, καὶ ἀγροὺς διῃρημένας ἐκκλησίας. τὴν γὰρ αὐτὴν καὶ μίαν λέγει, καὶ πολλάς. παρεγγυᾷ τοίνυν ὁ προφητικὸς λόγος, ἡ τοῦ παναγίου πνεύματος χάρις, τοῖς τὸ σωτήριον κήρυγμα πιστευθεῖσι, περινοστεῖν καὶ διατρέχειν, καὶ τοὺς τε πύργους στηρίζειν τῇ διδασκαλίᾳ, τήν τε ἄλλην αὐτῆς δύναμιν βεβαιοῦν. πρὸς δὲ τούτοις καὶ διανείμασθαι τὴν τῶν ἐκκλησιῶν ἐπιμέλειαν· ὃ δὴ καὶ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ ψαλμῷ προειρήκαμεν. τοῦτο γὰρ καὶ ἐνταῦθα παρεγγυᾷ· καταδιέλεσθε τὰς βάρεις αὐτῆς· ὥστε τοῦτον μὲν ταύτης, ἐκεῖνον δὲ ἐκείνης προμηθεῖσθαι τῆς ἐκκλησίας, καὶ ἑκάστῃ ἐπιστῆναι τὸν γεωργοῦντα, καὶ τὴν προσήκουσαν ποιούμενον ἐπιμέλειαν. καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καθ' ἑκάστην

γενεὰν

γενεὰν ἐπιτελεῖσθαι κελεύει. διὸ δὴ καὶ ἐπήγαγεν· Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. ιέ. Ὅτι ἔτος ἐστὶν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας. Χρὴ γὰρ γενεὰν ἑκάστην τῇ μετ' αὐτὴν παραδιδόναι, ἃ παρὰ τῆς προτέρας παρειλήφαμεν, ὥστε ἐν ἁπάσαις ταῖς γενεαῖς διαπορθμευθῆναι τὸ σωτήριον κήρυγμα, καὶ γνῶναι πάντας ἀνθρώπους, ὅτι ἔτος ἡμῶν καὶ Θεὸς καὶ Κύριος, καὶ ποιμὴν ἀγαθὸς, καὶ αἰώνιος. ἐπειδὴ γὰρ εἶπε, καταδιέλεσθε τὰς βάρεις αὐτῆς, καὶ τὸ ποιμαίνειν αὐτοῖς ἐνεχείρισεν, ἀναγκαίως ἐδίδαξεν, ὅτι εἷς ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν αὐτοῦ τεθεικὼς ὑπὲρ τῶν προβάτων, εἰς αἰῶνα ποιμαίνων, καὶ ποιμαίνων ἐ μόνον τὰ πρόβατα, ἀλλὰ καὶ τοὺς τῶν προβάτων καλουμένους νομέας.

ΕΡΜΗΝ. ΤΟΥ μή ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. Ὁ θεῖος τῶν ἀποστόλων χορὸς, καὶ ἤδη τοῖς ἔθνεσι παρηγγύησε τὸν ἐπινίκιον ὕμνον προσενεγκεῖν τῷ Θεῷ, καὶ νῦν ὡσαύτως τοῖς αὐτοῖς ἔθνεσι προσφέρει παραίνεσιν, προθεῖναι τῇ πίστει τοῦ βίου τὴν ἀρετήν. καὶ διδάσκει τοῦ πλούτου τὸ μάταιον, καὶ τῆς τοῦ κόσμου σοφίας τὸ ἀνερδές. προλέγει δὲ καὶ τὴν ἐσομένην κρίσιν, καὶ τὴν ἀξίαν ἀντίδοσιν. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται, ὡς παντὸς τοῦ βίου τὸ τέλος προαγορεύων. β. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ὅτι μόνοις Ἰουδαίοις οἱ προφῆται διδασκαλίαν προσέφερον, παντί που δῆλον. ἀλλ' ἐνταῦθα ὁ προφητικὸς λόγος τὴν οἰκουμένην πᾶσαν εἰς ἀκρόασιν συνεγείρει. τοῦτο δὲ τῆς ἀποστολικῆς χάριτος ἴδιον. αὐτοῖς γὰρ τὴν τῶν ἁπάντων ἐθνῶν ὁ Δεσπότης Χριστὸς ἐνεχείρισε σωτηρίαν. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. δῆλον τοίνυν ὡς ἐξ αὐτῶν οἱ λόγοι προσφέρονται, οὐκ Ἰουδαίοις μόνοις, οὐδὲ τοῖσδε ἢ τοῖσδε τοῖς ἔθνεσιν, ἀλλὰ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει. γ. Οἱ τε γηγενεῖς, καὶ υἱοὶ τῶν ἀνθρώπων. Τινὲς γηγενεῖς τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐκάλεσαν, ὡς ἐκ γῆς διαπλασθέντας, καὶ ἐκ συνουσίας φύντας· ἀλλὰ πόρρω τῆς ἀληθείας ὁ λόγος. ὁ γὰρ τοῖς ἤδη τετελευτηκόσιν, ἀλλὰ τοῖς ἔτι ζῶσι προσφέρουσι τὴν παραίνεσιν. τὸν διαφόρως τοίνυν αὐτὸν ἐπιτείνεται βίους. οἱ μὲν γὰρ τὰς πόλεις οἰκοῦσιν, οἱ δὲ ἀγροὺς καὶ κώμας, περὶ τὴν γεωργίαν ἐσχολακότες. καὶ οἱ μὲν ἡμερώτεροι τῶν ἀνθρώπων, οἱ δὲ ἀγριώτεροι· καὶ οἱ μὲν λογικώτερον ζῶσιν, οἱ δὲ θηριωδέστερον τὰς ἐρήμους οἰκοῦσιν· οἱ μὲν ἀμαξόβιοι προσαγορευόμενοι, οἱ δὲ σκηναῖς ἀντ' οἰκιῶν κεχρημένοι. τούτους οἶμαι γηγενεῖς ὀνομάζεσθαι, ὡς τῆς λογικωτέρας ἀφεστηκότας ζωῆς. ἀντὶ τοῦ, ἅπαντες ἄνθρωποι τῶν λεγομένων ἀκούσατε, ἄστοι καὶ χωρίτικοι, ἡμερώτεροι καὶ ἀγριώτεροι, καὶ κοινῇ πάντες καὶ ἰδίᾳ. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, ἀντὶ γὰρ τοῦ, οἱ γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἡ ἀνθρωποτης, εἶπε, καὶ προσέτι υἱοὶ ἑκάστου ἀνδρὸς, ἀντὶ τοῦ, καὶ κοινῇ ἡ Φύσις ἀκουσάτω τῶν λεγομένων, καὶ

ἰδίᾳ ἕκαστος τὴν ὠφέλειαν καρπούσθω. ἐπὶ τὸ αὐτὸ πλέσιος καὶ πένης. κατὰ τ' αὐτὸ καὶ οἱ πλούτῳ κομῶντες, καὶ οἱ πενίᾳ συζῶντες, τὴν παραίνεσιν δέξασθαι. πλούτου γὰρ καὶ πενίας ὁ διδασκαλικὸς λόγος ἐκ οἶδε διαφοράν. ὃ. Τὸ στόμα μὲ λαλήσει σοφίαν· καὶ ἡ μελέτη τῆς καρδίας μὲ σύνεσιν. έ. Κλινῶ εἰς παραβολὴν τὸ ἓς μὲ· ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Σοφίας, φησὶ, μεσὰ τὰ παρ' ἐμὲ προσφερόμενα ῥήματα· μεμάθηκα δὲ ταῦτα τοῖς ἐν βάθεσι κεκρυμμένοις τοῦ Κυρίου λόγοις τὴν ἀκοὴν ὑποθείς. ἃ δὲ διὰ τῆς ἀκοῆς ἐδεξάμην, ταῦτα ὡς δι' ὀργάνε προσφέρω τῆς γλώτλης. βούλεται δὲ εἰπεῖν, ὅτι ἐδὲν ἴδιον φθέγγομαι, ἀλλὰ τῆς θείας εἰμὶ χάριτος ὄργανον. παραβολὰς δὲ καλεῖ τοὺς αἰνιγματώδεις λόγους. καὶ γὰρ ὁ Κύριος παραβολικῶς τοῖς ὄχλοις διαλεγόμενος, τοῖς ἀποστόλοις κατ' οἶκον τοήτων τὰς ἑρμηνείας προσέφερεν. „ διὸ ἐξ αὐ-
„ τῶν τὲ προσώπε καὶ οἱ ἔμπροσθεν ἀνε-
„ φωνὲντο ψαλμοί. ὁ τοίνυν χορὸς ὁ ἀπο-
„ στολικὸς τὴν σοφίαν τὲ Θεὲ δηλαδὴ τὸν
„ Χριστόν· Χριστὸς γὰρ Θεὲ δύναμις καὶ
„ Θεὲ σοφία· διὰ στόματος φέρων, ἔλεγε,
„ τὸ στόμα μὲ λαλήσει σοφίαν. ἐπειδὴ
„ τὸν Χριστὸν θεολογὲντες εἰς πᾶν γένος
„ ἀνθρώπων ἐκήρυττον τῷ ἑαυτῶν στόματι.
„ τὰ δὲ τῆς διανοίας αὐτῶν ἐδὲν ἕτερον ἢ
„ συνέσεις ἐμελέτα. ὅτω δὲ αὐτῶν ἠκονῆ-
„ το πρὸς σύνεσιν ὁ νὲς· ὡς τὰς παραβο-
„ λὰς τὲ σωτῆρος ἡμῶν τὰς ἐν τοῖς εὐ-
„ αγγελίοις φερομένας συνεῖναι πᾶσας,
„ καὶ πρὸ τῆς αὐτὲ ἑρμηνείας. αὐτίκα
„ γὲν μετὰ τὴν ἔκθεσιν τῶν παραβολῶν
„ ὁ μὲν σωτὴρ ἠρώτα αὐτὲς λέγων, συν-
„ ήκατε ταῦτα πάντα; οἱ δὲ λέγεσιν
„ αὐτῷ, ναί. ἡ καρδία τοίνυν αὐτῶν ἐμε-
„ λέτα συνέσεις. ἔτ' ἐπὶ τέτοις ἀνοίξω
„ ἐν ψαλτηρίῳ τὸ πρόβλημά μὲ· ἐγὼ
„ μὲν γὰρ, φησὶ, ἀκονήσας τὸ διανοητικόν
„ μὲ εἰς σύνεσιν τῶν σωτηρίων παραβο-
„ λῶν δεδύνημαι ἐπακολυθῆσαι τῇ ἐμφε-
„ ρομένῃ ἐν αὐταῖς διανοίᾳ· τοῖς δὲ μὴ
„ τὲτο πράτλειν δυναμένοις διὰ νηπιότη-
„ τα, ἀνοίξω τὰ κεκρυμμένα καὶ δια-
„ σαφήσω τὰ πρόβλήματα καὶ τὰς πα-
„ ραβολάς. καὶ ταῦτα πράξω διὰ τὲ ἐ-
„ μὲ ψαλτηρίε τὲ σωματικὲ δηλαδὴ
„ ὀργάνε· ὅπερ ὄργανον τῆς ἐνοικήσης ἐν
„ αὐτῷ ψυχῆς τυγχάνον ἀντὶ ψαλτη-
„ ρίε αὐτῇ παραδέδοται, πρὸς τὸ ἀνα-
„ κρέεθαι ἐν αὐτῷ τῷ Θεῷ τὰς ὕμνες
„ καὶ ἀναπέμπειν ἕκασον αἰσθητήριον, καὶ
„ μέλος καὶ μέρος τὲ σώματος ἐπιτημό-
„ νως κινῆσαν. „ ταῦτα ὡς ἐν προοιμίῳ διεξελθὼν, ἄρχεται λοιπὸν τῆς παραινέσεως. ς'. Ἱνατί Φοβῆμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μὲ κυκλώσει με. Δέδια καὶ τρέμω τὴν ἡμέραν τῆς ἀνταποδόσεως, ἐν ᾗ ὁ δίκαιος κριτὴς ἀνταποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτὲ. „ τὲτο δὲ γνόντες καὶ αὐ-
„ τοὶ τὸν τοιῆτον πρὸ ὀφθαλμῶν ἀνα-
„ λάβετε φόβον. εἰ γὰρ ἐγὼ ὁ δεδυνη-
„ μένος εἰπεῖν, τὸ στόμα μου λαλήσει
„ σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μὲ
„ συνέσεις, κλινῶ εἰς παραβολὴν τὸ ἓς
„ μὲ, μετὰ ταῦτα ἔμφοβός εἰμι καὶ ἔν-
„ τρομος· διατί ἐχὶ καὶ ὑμεῖς; εἰ δέ τις
„ πυνθάνοιτο ἱνατί φοβῆμαι, ἀκεέτω με-
„ τὰ παῤῥησίας· ἔστι τις ἡμέρα πονηρὰ
„ περὶ ἧς μυρία ἐν ταῖς προφητικαῖς

ἀνα-

„ἀναφωνεῖται γραφαῖς. „ αἴτιος δέ μοι τῦ δέους ὁ παράνομος βίος, δι' ὃν τῆς εὐθείας ἐξετράπην ὁδῦ. τὴν γὰρ πλέρναν ἔνιοι μὲν τῦ βίυ τὴν ὁδὸν προσηγόρευσαν· ἐγὼ δὲ οἶμαι, τὴν ἀπάτην αἰνίττεσθαι, ἐκ μεταφορᾶς τῶν δρομέων, ὡς καὶ ἤδη προειρήκαμεν, οἱ τῇ πλέρνῃ πολλάκις τὰς ἀνταγωνιστὰς καταβάλλυσι. τῦτο ἡμᾶς καὶ ὁ Ἡσαῦ ἐδίδαξεν ὀδυρόμενος· δικαίως γάρ, φησιν, ἐπεκλήθη τὸ ὄνομα αὐτῦ Ἰακώβ· ἐπλέρνικέ με γὰρ ἤδη δεύτερον τῦτο· τότε πρωτοτόκιά μου ἔλληφε, καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μυ. πονηρὰν δὲ ἡμέραν τὴν τῆς κρίσεως προσηγόρευσε, κατὰ τὸ παρ' ἡμῖν πολιτευόμενον ἔθος. εἰώθασι γὰρ πολλοὶ κακὴν ὀνομάζειν ἡμέραν, ἐν ᾗ λυπηροῖς τισὶν αὐτοὺς συμβαίνει περιπεσεῖν. „εἰκότως τοίνυν ἔτως προσαγορεύεται, „ὡς ἂν τῆς ἑκάστυ πονηρίας ἔσα ἐλεγ„κτική. καὶ ὡς τὰς κολάσεις τοῖς ἀσε„βέσι διὰ τῆς περιμενέσης αὐτοῖς ὀργῆς „ἐπάγυσα. διὰ τῦτο κἀγὼ φρίττω ὁ „ταῦτα φθεγγόμενος· ἡ γὰρ ἀνομία „τῆς πλέρνης μυ κατ' αὐτὴν ἐκείνην τὴν „πονηρὰν κυκλώσει με. Ἀνομία δὲ πλέρ„νης λέλεκται ἡ τῆς ὁδῦ, καθ' ἣν τὸν „παρόντα βίον διανύομεν, παρεκτροπὴ „ἤγουν ἀπάτη. „ ἔτω καὶ ὁ θεῖος ἀπόστολος τὴν τῆς κρίσεως ἡμέραν καλεῖ. κατὰ δὲ τὴν σκληρότητά σε, καὶ ἀμελανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας Θεῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτῦ. ζ'. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τῦ πλύτυ αὐτῶν καυχώμενοι. Ἐγὼ μέν, φησι, δέδια καὶ τρέμω τὴν προσδοκωμένην ἡμέραν· ὑμεῖς δὲ οἱ τῷ πλύτῳ κομῶντες, ἐκείνης μὲν ἐδεμίαν ποιεῖσθε φροντίδα, τῇ δὲ ὑπερηφανίᾳ τῆς περιυσίας μεγαλαυχέμενοι, ὡς μονίμοις θαῤῥεῖτε τοῖς ῥέυσιν. ή. Ἀδελφὸς ὐ λυτρῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτῦ. θ'. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτῦ. Ἔδει δὲ συνιδεῖν ὑμᾶς, ὡς ἔτε προγόνων καὶ ἀδελφῶν ἀρετὴ, καὶ εὐσέβεια, τὺς τότων γεγυμνωμένυς ὀνίνησιν, ἔτε μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν δυνατὸν διὰ χρημάτων πορίσασθαι σωτηρίαν. κατὰ γὰρ τὸν παρόντα βίον λύτρον ἀνδρὸς, ᾗ φησὶν ὁ σοφὸς, ὁ ἴδιος πλῦτος. ταύτην προσενεγκὼν τοῖς πλούτῳ κακῶς κεχρημένοις τὴν συμβελὴν, πρὸς τὰς τῆς ἀρετῆς ἐργάτας μεταφέρει τὸν λόγον, καὶ φησι· Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα. ί. Καὶ ζήσεται εἰς τέλος. ιά. Οὐκ ὄψεται καταφθορὰν, ὅταν ἴδῃ σοφὺς ἀποθνήσκοντας. Ὁ γὰρ τοὺς ὑπὲρ εὐσεβείας καὶ δικαιοσύνης ὑπομείνας ἱδρῶτας, καὶ τὺς ὑπὲρ τῶν αἰωνίων ἀγαθῶν ἀναδεξάμενος πόνους, τὴν ἀνώλεθρον ἔχει ζωὴν τῶν πόνων καρπόν· καὶ τοῖς τῦ κόσμυ σοφοῖς, ὃς μωρὺς ὁ ἀποστολικὸς ὀνομάζει λόγος, ὐ κοινωνήσει τῆς αἰωνίυ φθορᾶς, καὶ τῆς ἀεὶ τιμωρίας. ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολῦνται. ἔτοι γάρ φησιν οἱ καλύμενοι σοφοὶ, ἐδεμίαν ἐκ τῆς σοφίας ὠφέλειαν εὑράμενοι, τὸν αὐτὸν τοῖς ἀμαθέσι τίσσυσιν ὄλεθρον. ἔτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσεν. ὁμῦ ἀνόητος καὶ ἀμαθὴς ἀπολῦνται. καὶ καλεῖ μὲν ἀνόητον τὸν καλέμενον σοφὸν, ὡς συνείναι τὸ δέον ἐκ

ἐθελήσαντα· ἀμαθῆ δὲ τὸν τῆς μὲν σοφίας ἀμύητον, κακίᾳ δὲ ὅμως συζήσαντα. Καὶ καταλείψασιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. ιβ'. Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα· σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Οὐ μόνης δὲ τῆς σοφίας, ἀλλὰ καὶ τῆς δυνασείας, καὶ τῆς περιουσίας γυμνωθέντες ἁπάσης, δέξονται τὸ βίου τὸ τέλος, ἀπὸ τῶν περιφανῶν οἰκιῶν τοῖς τάφοις παραπεμπόμενοι, καὶ ταύτας οἰκεῖν δι' αἰῶνος ἀναγκαζόμενοι. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν. καὶ μήν φησιν ἀπὸ τῶν ὀνομάτων αὐτῶν τὰ κτήματα αὐτῶν προσηγόρευται. τὸ δεῖνος γὰρ ἡ οἰκία, καὶ τὸ δεῖνος ὁ ἀγρὸς, καὶ τοῦ δεῖνος ὁ οἰκέτης· ἀλλὰ σὺν τῇ δεσποτείᾳ ἡ τῶν ὀνομάτων ἀμείβεται προσηγορία. ὥσπερ γὰρ ἕτεροι κύριοι τῶν ὑπ' ἐκείνων καταλειφθέντων ἐγένοντο, ἕτω γενήσεται καὶ τῶν ὀνομάτων ἀλλαγή. πάλιν γὰρ ἐκ τέτων αἱ προσηγορίαι τεθήσονται. διὰ πάντων δὲ ἡμᾶς ὁ λόγος διδάσκει, μὴ θαρρεῖν τοῖς παρεῦσιν, ἀλλὰ τῶν μελλόντων ἐπιμελεῖσθαι. ιγ'. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν ἐ συνῆκε. παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Ταύτης δὲ φησιν αἴτιον τῆς ἀνοίας, τὸ μὴ θελῆσαι συνιέναι ἡμᾶς τὴν οἰκείαν τιμὴν, καὶ τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἡμῖν ἀξίαν· ἀλλὰ τὸν κτηνώδη καὶ θηριώδη βίον ἀσπάσασθαι. ιδ'. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς. Εἰς δὲ τὴν ἀλογίαν ἐξέπεσον, κάκιστον ἐξ ἀρχῆς ἐχηκότες τρόπον, καὶ ἐπὶ τὰς πονηρὰς ἐκκλίναντες πράξεις. ὁδὸν γὰρ τὰς πράξεις ὠνόμασεν. καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν. μεταμελείᾳ δὲ χρήσονται μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, ὁδὲν ἐκ ταύτης λοιπὸν ὁριζόμενοι κέρδος. ιε'. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς. Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ὡς πρόβατα ᾅδου ἐταξαν ἑαυτὸς, θάνατος νεμήσει αὐτούς. αὐτοὶ γὰρ ἑαυτοῖς τὰς κολάσεις προὐξένησαν, καὶ τὸν θάνατον προείλοντο τῆς ζωῆς. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ· καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Οἱ δὲ νῦν ὑπ' αὐτῶν ἀδικούμενοι καὶ καταφρονούμενοι, τὴν κατ' αὐτὸς ἐκ εἰς μακρὰν χήσουσιν ἐξουσίαν. πάσης γὰρ τῆς προτέρας εὐημερίας γεγυμνωμένοι τῷ θανάτῳ παραδοθήσονται. συνάδει δὲ τέτοις καὶ ἡ τοῦ Κυρίου παραβολὴ, τὸν μὲν Λάζαρον ἐν τοῖς κόλποις δεικνῦσα τοῦ Ἀβραάμ· τὸν δὲ ἀλαζόνα πλέσιον πικρῶς κολαζόμενον, καὶ τὸ πένητος ἱκέτην γινόμενον· οὕτω τὸ ἐκείνων τέλος διεξελθὼν, ἱκετείαν τῷ Θεῷ προσφέρει· ὁ τούτοις δὲ χρησάμενος τοῖς λόγοις, μὴ τὴν αὐτὴν ἐκείνοις τελευτὴν ὑπομεῖναι αἰτεῖ. Φησὶ δὲ ἕτως· ις'. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. Μετὰ ταῦτα τοῖς πενίᾳ συμβιοτεύουσι, καὶ διὰ τὴν τῶν πλουσίων τρυχομένοις ἀλαζονείαν, εἰσήγησιν εἰσφέρει καὶ συμβελήν. ιζ'. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ιη'. Ὅτι ἐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. Μὴ μέγα

γα τί φησι νόμιζε τὴν παρεῦσαν εὐημερίαν. ἐ μόνιμος γὰρ ὁ περίβλεπτος πλεῖτος· οἱ γὰρ ἐπὶ τέτῳ τὰς ὀφρῦς ἀναςπῶντες, καὶ τὰς γνάθες φυσῶντες, μικρὸν ὕςερον τὰ πάντα καταλείψαντες, τῷ θανάτῳ παραδοθήσονται. ιθ'. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν ζωῇ αὐτοῦ εὐλογηθήσεται. Ζῶντά φησι τὸν πλέτῳ κομῶντά τινες μακαρίζεσιν· ἀποθανόντα μέντοι τρισάθλιον ὀνομάζουσιν· ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ. τέτο σαφέςερον ὁ Σύμμαχος εἶρηκεν· ἐπαινέσει σε ἐὰν καλῶς ποιήσῃς αὐτοῖς. οὗτος γὰρ ὁ ἀληθὴς ἔπαινος, τὸ μὴ μόνον ζῶντα, ἀλλὰ καὶ τετελευτηκότα ἀοίδιμον εἶναι καὶ πολυθρύλλητον. ἄξιος δὲ τοιέτων ἐπαίνων ὁ εἰς οἰκείαν ὠφέλειαν τὸν πλεῖτον οἰκονομήσας. ἡ γὰρ εἰς τοὺς ἄλλους εὐεργεσία εἰς αὐτὸν ἀνατρέχει τὸν εὐεργέτην. κ'. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. Ἀντὶ τοῦ εἰσελεύσεται, εἰσελεύσῃ οἱ τρεῖς ἡρμήνευσαν. ὄψει, φησὶ τέτον πρὸς ὃν εἶπον, μὴ φοβῇ ὅταν πλετήσῃ ἄνθρωπος, τὸν αὐτὸν τοῖς πατράσιν ὑπομένοντα θάνατον· καὶ ἐ μόνον τῷ παρόντος φωτὸς, ἀλλὰ καὶ τῷ αἰωνίῳ σερέμενον. κά. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν ἐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Λίτια δὲ τέτων ἡ κτηνώδης ζωὴ, ἣν τῶν ἀνθρώπων οἱ πλείες προείλοντο, τὴν παρὰ τῷ Θεῷ δεδομένην ἀποβεβληκότες τιμήν. λογικοὶ γὰρ λεγόμενοι, τὴν ἀλογίαν ἠγάπησαν.

ΕΡΜΗΝ. ΤΟΥ μθ'. ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Ἀσάφ. Ἄλλου χορεῦ ψαλμῳδῶν χοροδιδάσκαλος ἔτος, ὡς ἡ τῶν παραλειπομένων ἐδίδαξεν ἱςορία. τὰ μὲν γὰρ ἀπὸ τοῦ τεσσαρακοςοῦ πρώτου προηρμηνευμένα οἱ Κορὲ υἱοὶ, κορυφαῖοι καὶ αὐτοὶ χοροῦ ἑτέρου γενόμενοι, ᾄδειν ἐνεχειρίθησαν. ἔχουσι δὲ καὶ ἄλλους ψαλμοὺς, τὴν αὐτῶν ἐπιγραφὴν ἔχοντας, οὓς, εἰ ὁ Θεὸς ἐπιτρέψειεν, ἑρμηνεύσομεν. ὁ δὲ παρὼν ψαλμὸς, τῷ Ἀσὰφ ἀνακείμενος, σύμφωνός ἐςι τῷ προτεταγμένῳ ψαλμῷ· καὶ αὐτὸς γὰρ τὸ μέλλον προαγορεύει κριτήριον, καὶ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν. προαγορεύει μέντοι καὶ τὴν καινὴν διαθήκην, δεικνὺς τὴν κατὰ νόμον λατρείαν ἐ θυμήρη Θεῷ. Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. Καὶ ὁ πρὸ τούτε ψαλμὸς πάντας ἀνθρώπες εἰς διδασκαλίαν ἐκάλεσε, καὶ ἕτος ἑαυτοὺς πάντα τῆς οἰκουμένης τὰ πέρατα. τὸ γὰρ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τέτο δηλοῖ. τὸ δὲ Θεὸς Θεῶν, οἱ τρεῖς ἕτερος ἡρμήνευσαν, ἰσχυρὸς Θεὸς λαλήσας ἐκάλεσε τὴν γῆν. οἱ δὲ ἑβδομήκοντα θεοὺς ὀνομάζουσι τοὺς ἄρχειν λαχόντας, καὶ κρίνειν πεπισευμένους, ὅπερ ἴδιον μόνε Θεῦ. τοῦτο ἡμᾶς ὁ ὀγδοηκοςὸς πρῶτος διδάσκει ψαλμὸς, καὶ αὐτὸς τῷ Ἀσὰφ ἐπιγεγραμμένος. εἰρηκὼς γὰρ, ὁ Θεὸς ἔςη ἐν συναγωγῇ Θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· ἐπήγαγεν, ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; κρίνατε ὀρφανῷ καὶ πλωχῷ. ταπεινὸν καὶ πένη-

πένητα δικαιώσατε. τοῦτο δὲ ἱερέων ἴδιον, καὶ τῶν ἄλλων, ὅσοι τὸ δικάζειν ἐνεχειρίσθησαν. οὕτω καὶ ὁ νόμος διαγορεύει, θεὸς δ' κακολογήσεις, καὶ ἄρχοντα τῷ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· κυρίως δ' ἂν θεοὶ κληθεῖεν οἱ κατ' εἰκόνα θείαν γεγεννημένοι, καὶ ἀκήρατον τὴν εἰκόνα φυλάξαντες. ὁ γὰρ τούτων θεὸς πᾶσαν συνάγει τὴν οἰκουμένην εἰς τὸ δικαστήριον. β'. Ἐκ Σιὼν εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Αὐτὸς δὲ ἐτός ἐστιν ὁ ἐν τῇ Σιὼν τὴν οἰκείαν εὐπρέπειαν καὶ ὡραιότητα δείξας, καὶ τὰ σωτήρια καταδεξάμενος πάθη, ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὀνομαθεὶς ἐν τοῖς ἑρμηνευθεῖσι ψαλμοῖς. γ'. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Μὴ γὰρ δὴ νομίσητε κατὰ τὴν προτέραν αὐτοῦ παρουσίαν, καὶ τὴν δευτέραν γενήσεσθαι. τότε μὲν γὰρ τῇ εὐτελείᾳ καὶ τῇ πτωχείᾳ συνεκάλυψε τὴν οἰκείαν μεγαλοπρέπειαν· νῦν δὲ προφανῆ δείξει πᾶσι τὴν δεσποτείαν, καὶ τὴν βασιλείαν, οὐκέτι μακροθυμίᾳ χρώμενος, ἀλλὰ κρίνων δικαίως. τοῦτο γὰρ εἶπεν, οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. ταῦτα ὁ μακάριος Δανιὴλ ἐθεάσατο. ποταμὸς γάρ φησι πυρὸς εἵλκεν ἔμπροσθεν αὐτοῦ· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. δ'. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Καὶ τὴν νομοθεσίαν ποιησάμενος, τῷ μακαρίῳ προσέταξε Μωσῇ συναγαγεῖν τὸν λαὸν, καὶ διαμαρτύρασθαι τὸν οὐρανὸν, καὶ τὴν γῆν. ὅπερ καὶ τῆς ᾠδῆς τοῦτο προοίμιον ἐποιήσατο· πρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. καλεῖ δὲ εἰς μαρτυρίαν οὐχ ὡς ἔμψυχα ταῦτα, ἀλλ' ὡς τῶν ἄλλων περιεκτικὰ ποιημάτων, εἰς φόβον τῶν ἀκουόντων. οὕτως ὁ μακάριος Ἀβραὰμ τὰς ἑπλὰ ἀμνάδας ἔξησεν εἰς μαρτύριον, καὶ φησιν, ὅτι ἐμόν ἐστι τὸ φρέαρ. οὕτω τὸν βουνὸν ὁ Ἰακὼβ, καὶ ὁ Λάβαν βουνὸν μαρτυρίας ἐκάλεσεν. ε'. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. ς'. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ θεὸς κριτής ἐστι. Διὰ μὲν τῶν προειρημένων τὸ φοβερὸν αὐτοῦ κριτήριον ἐδείκνυε· διὰ δὲ τούτων, καὶ τῶν ἑξῆς, διδάσκει τὸ ἀτελὲς τῆς κατὰ νόμον λατρείας, καὶ ὅτι τῶν προσφερομένων ἱερείων θεῷ θυμῆρες οὐδέν. ὁσίους δὲ καλεῖ, τὸν Μωσέα, τὸν Ἀαρὼν, τὸν Ἐλεάζαρον, τὸν Φινεὲς, καὶ τοὺς μετ' αὐτοὺς ἅπαντας κατὰ νόμον ἱερατεύσαντας. συναχθῆναι δὲ αὐτοὺς κελεύει, οὐχ ἵνα δίκας εἰσπράξηται, οἷα δὴ ἐναντία πεφρονηκότας· αὐτοῦ γὰρ ὁ νόμος, καὶ τούτῳ πειθόμενος τῶν προειρημένων ἕκαστος τὰς θυσίας προσέφερεν· ἀλλ' ἵνα καὶ διὰ τῶν παρόντων τὸν οἰκεῖον δείξῃ σκοπὸν, καὶ τὴν νηπίοις ἁρμόττουσαν καταπαύσας διδασκαλίαν, τὰ τέλεια προσενέγκῃ μαθήματα. τούτων δὲ φησι γινομένων, θαυμάσουσιν οἱ οὐρανοὶ τῆς ψήφου τὸ δίκαιον. διὰ δὲ τῶν οὐρανῶν, τὰς οὐρανίους δυνάμεις ἠνίξατο. ζ'. Ἄκουσον λαός μου, καὶ λαλήσω σοι. Καὶ δεικνὺς πρὸς ποῖον λαὸν διαλέγεται,

ται, ἐπήγαγεν· Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι. εἶτα τὴν οἰκείαν δείκνυσι δεσποτείαν· ὁ Θεὸς, ὁ Θεός σου εἰμὶ ἐγώ. ὁ τῆς Αἰγυπτιακῆς σε δουλείας ἐλευθερώσας, ὁ τὴν διὰ τῆς θαλάττης ὁδὸν δωρησάμενος, ὁ ἐν ἐρήμῳ διαθρέψας, ὁ τὸν νόμον ἐκεῖνόν σοι δεδωκώς. μὴ γὰρ δὴ ἄλλον με νομοθέτην νομίσῃς τῶν νόμων ὧν τὸ διάφορον. ἡ. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐξὶ διαπαντός. Οὐκ ἀμέλειάν σοι φησὶ θυσιῶν ἐγκαλῶ· προσφέρεις γὰρ ταύτας διηνεκῶς· ἀλλὰ μὴ ταύταις ὁρίσασθαι τὴν δικαιοσύνην παρεγγυῶμαι. θ'. Οὐ δέξομαι ἐκ τῶ οἴκου σου μόχλους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χειμάρρους. ι'. Ὅτι ἐμά ἐξι πάντα τὰ θηρία τοῦ ἀγροῦ· κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες. ια'. Ἔγνωκα πάντα τὰ πετεινὰ τῶ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐξιν. Πάντων εἰμί φησι καὶ ποιητὴς, καὶ δεσπότης, καὶ τῶν χερσαίων ζώων, καὶ τῶν ἀεροπόρων ὀρνίθων. μὴ τοίνυν ἡγοῦ τὴν ἐμὴν χρείαν πληροῦν· ἐγὼ γὰρ καὶ τούτοις τὸ εἶναι δέδωκα, καὶ τοὺς ἀπὸ γῆς φύεσθαι κελεύω καρπούς. ὡραιότητα γὰρ ἀγροῦ τοὺς παντοδαποὺς καρποὺς τῆς γῆς λέγει. ἐπειδὴ γὰρ ἀπὸ τῶν χερσαίων προσεφέροντο ζώων βόες, καὶ τράγοι, καὶ πρόβατα· καὶ ἀπὸ τῶν πετεινῶν περιστεραὶ καὶ τρυγόνες· καὶ ἀπὸ τῶν καρπῶν, σεμίδαλις, καὶ οἶνος, καὶ ἔλαιον, καὶ τὰ τῶν ἀτμῶν ἡδύσματα· ἀναγκαίως ἁπάντων ἐμνημόνευσεν, ἵνα πᾶσαν τὴν τοιαύτην καταπαύσῃ λατρείαν. εἶτα εἰρωνικῶς, ιβ'. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐξιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς. Ἐάν φησι δεηθῶ τροφῆς, οὐ τῆς σῆς δέομαι χορηγίας. πάσης γὰρ ὁμοῦ τῆς κτίσεως ποιητής εἰμι καὶ δεσπότης. εἶτα τῆς οἰκείας φύσεως τὴν ἀπάθειαν διδάσκει. ιγ'. Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; Οὕτως ἐκείνων τὸ ἀνόητον δείξας, καὶ διδάξας ὡς τῆς νηπίας ἕνεκα διανοίας, ἐκείνας αὐτοῖς τὰς θυσίας πάλαι προσφέρειν ἐνομοθέτησε, τὴν καινὴν προανοίγουσι διαθήκην, καὶ τὴν ἀρέσκουσαν αὐτῷ θυσίαν νομοθετεῖ. ιδ'. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. ιε'. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Εἰς καιρὸν καὶ τῆς ἁγίας τριάδος ἀπεκάλυψε τὸν τίμιον ἀριθμὸν, καὶ τῇ καινῇ διαθήκῃ συνέζευξεν. μετὰ γὰρ ταύτης καὶ τὴν τῆς ἁγίας τριάδος ἐδεξάμεθα γνῶσιν. διεῖλε δὲ τὰ πράγματα, οὐχ ἵνα τῆς ἀδιαιρέτου καὶ ἁγίας τριάδος τὰς ἐνεργείας διέλῃ, ἀλλ' ἵνα τὸν ἀριθμὸν προφητικῶς καὶ τοὺς μετὰ ταῦτα διδάξῃ. λέγει τοίνυν, θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου. τρία δὲ ἐκ τούτων ἐδιδάχθημεν πρόσωπα. ἐκ ἐπειδὴ μὲν μόνον Θεὸς, οὐδὲ μόνον ὕψιστος, οὐδὲ αἰνέσεως θυσίαν δεχόμενος, τὰς αἰτήσεις χαρίζεται. ἑκάστῃ γὰρ ἰδιότητι καὶ Θεὸς, καὶ ὕψιστος, καὶ ἀγαθῶν χορηγός. θυσίαν δὲ αἰνέσεως καλεῖ τοὺς δικαίοις πρέποντας ὕμνους· εὐχὰς δὲ τὰς ὑποχέσεις. οὕτω γὰρ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ

πρώτῳ ψαλμῷ λέγει, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. ἐπειδὴ δὲ εἶπεν, οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, διδάσκει λοιπὸν ἐφ' οἷς ἠλέγχθη. ιε'. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; ιζ'. Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Ἐπειδὴ γάρ εἰσί τινες ἑτέροις μὲν πλημμελοῦσιν ἐπιμεμφόμενοι, καὶ τῶν θείων νόμων ἀναμιμνήσκοντες, αὐτοὶ δὲ παραβαίνοντες ἃ διδάσκουσιν, εἰκότως πρὸς τοὺς τοιούτους ἀποτείνεται λέγων· τί δήποτε ἐπὶ τοῖς ἐμοῖς βρενθυόμενοι δικαιώμασι, καὶ ἄνω καὶ κάτω περὶ τοῦ νόμου διαλεγόμενοι, τὴν ἐντεῦθεν ὠφέλειαν οὐ προσεδέξασθε, ἀλλὰ καταφρονητικῶς περὶ τοὺς ἐμοὺς διετέθητε λόγους; διηγεῖται δὲ καὶ τῶν τολμωμένων τὰ εἴδη. ιή. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. ιθ'. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. κ'. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Πολλά φησι καὶ παντοδαπὰ τὰ παρά σου τολμηθέντα παρανομήματα· ἀποστολικῶς γὰρ εἰπεῖν, ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις, καὶ τῶν τὰ τοιαῦτα τολμώντων συνεργὸς γίνῃ καὶ κοινωνός. ἀληθείας δὲ τὸ στόμα γυμνώτας, ψεύδους τοῦτο καὶ πονηρίας ἐνέπλησας. δόλος δέ σοι παραθήγει τὴν γλῶτταν· διόπερ καὶ συγγενείας καταφρονεῖς, καὶ τῆς φύσεως τοὺς νόμους πατεῖς, καὶ κρύβδην τὰς κατὰ τῶν ἀδελφῶν ἐνέδρας ὑφαίνεις, καὶ διατελεῖς καὶ λόγοις διαβάλλων, καὶ ἔργοις ἐπιβουλεύων. οὕτω τῆς παρανομίας τὴν διήγησιν ποιησάμενος, καὶ ἣν ἔχει διδάσκει μακροθυμίαν, καὶ ἣν ἐποίσει τιμωρίαν, προλέγει. κά. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. Ἐγὼ ταῦτα ὁρῶν ὑπὸ σοῦ τολμώμενα, μακροθυμίᾳ χρώμενος, ἀναμένω τὴν μεταμέλειαν· σὺ δὲ καὶ τὴν μακροθυμίαν εἰς ἀφορμὴν ἔλαβες δυσσεβείας, τοπάσας ἐφηδόμενόν με τῇ σῇ παρανομίᾳ μὴ ἐπάγειν τιμωρίαν· οὐ δὴ χάριν, ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. ἐπειδὴ γὰρ τοῖς ἠπίοις τῆς μακροθυμίας οὐκ ἐθεραπεύθης φαρμάκοις, δριμυτέρά σοι κατασκευάσω, καὶ τῶν ἐλέγχων τὸν καυτῆρα προσοίσω. συνάδει δὲ ταῦτα ταῖς ἀποστολικαῖς ἐκείναις φωναῖς· ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. οὕτως ἀπειλήσας τὴν τιμωρίαν, πάλιν ὁ φιλάνθρωπος παραίνεσιν προσενήνοχεν. κβ'. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ· μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Ἐπιμελῶς, φησὶν, ἔκαμον τῶν ἐρημένων κατανοήσατε· καὶ οἱ τοῦ Θεοῦ τὴν λήθην νενοσηκότες, λήθη γὰρ Θεοῦ πρόξενος ἁμαρτίας, τοῖς τῆς μετανοίας φαρμάκοις τὰ τραύματα θεραπεύσατε,

πεύσαιτε, πρὶν ἁρπάσαι τὸν θάνατον· ὃς δίκην λέοντος ἔπεισι τοῖς ἀνθρώποις, οὐδενὸς ἐπιχεῖν αὐτοῦ δυναμένου τὴν σφοδροτάτην ὁρμήν. εἶτα τὴν καινὴν νομοθεσίαν λαμβάνει, καὶ ταύτῃ τοῦ ψαλμῷ τὸ τέλος διακοσμεῖ. κγ'. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου. Τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσε· θυσιάζων ὑπὲρ αἰνέσεως δοξάσει με, καὶ τῷ εὐτάκτως ὁδεύοντι δείξω σωτήριον Θεοῦ. προσήκει γὰρ μὴ μόνον ὑμνεῖν τὸν Θεὸν, καὶ τῆς αἰνέσεως αὐτῷ τὰς θυσίας προσφέρειν· ἀλλὰ καὶ εὐτάκτως ὁδεύειν, καὶ τὸν οἰκεῖον βίον διαρυθμίζειν. ἕτω γὰρ δυνατὸν τῆς παρὰ τοῦ Θεοῦ σωτηρίας ἐπιτυχεῖν. κατὰ δὲ τοὺς ἑβδομήκοντα, τῇ θυσίᾳ, φησὶ, τῆς αἰνέσεως ἐφήδομαι· καὶ ταύτην ἡγοῦμαι δόξαν ἁρμόττουσαν· καὶ διὰ ταύτης τὴν ἐμὴν ὁδὸν ὑποδείξω τῷ ταύτην προσφέροντι, ἧς τέλος ἡ παρὰ τοῦ Θεοῦ σωτηρία. ἐπισημήναθαι δὲ προσήκει, ὡς καὶνταῦθα δύο προσώπων ἐποιήσατο μνήμην. Θυσία γάρ φησι δοξάσει με· καὶ διὰ τούτων τὸ οἰκεῖον πρόσωπον δείξας, ἐπήγαγε· καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ. ἔδει γὰρ τῇ καινῇ διαθήκῃ παιδευόσῃ τὰ τέλεια, καὶ τῆς θεογνωσίας τὴν τελείαν συνῆφθαι διδασκαλίαν.

ΕΡΜΗΝ. ΤΟΥ ν' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. β'. Ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν τοῦ Οὐρίου. Σαφῶς μὲν ἡμᾶς ἐδίδαξεν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν· καὶ αὐτὰ δὲ τοῦ ψαλμοῦ τὰ ῥήματα ἱκανὰ διδάξαι τῆς διανοίας τὸ βάθος. εἰδέναι μέντοι προσήκει, ὡς καὶ μελλόντων ἔχει προαγόρευσιν ὁ ψαλμός. διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, τοῦ λόγου δηλοῦντος, ὡς ἕξει τέλος ἡ προφητεία. ἀλλὰ μηδεὶς ἀμφιβαλλέτω, εἰ κατὰ τὸν τῆς μετανοίας καιρὸν προφητικῆς ἠξίωτο χάριτος ὁ μέγας Δαβίδ. τοῦτο γὰρ καὶ διὰ τῶν ἄλλων ψαλμῶν, δι' ὧν τὴν ἐξομολόγησιν ἐποιήσατο, καταμαθεῖν δυνατόν. καὶ γὰρ ἐν τῷ ἕκτῳ ψαλμῷ περὶ τῆς μελλούσης προηγόρευσε κρίσεως. οὐκ ἔστι γάρ φησιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; καὶ ἐν τῷ τριακοστῷ πρώτῳ ψαλμῷ μακαρίζει τοὺς δίχα πόνων εἰληφότας τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ὅπερ μόνῃ δωρεῖσθαι πέφυκεν ἡ τοῦ βαπτίσματος χάρις. καὶ μέντοι καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ διαρρήδην ἡμᾶς ἐδίδαξεν, ὡς οὐκ ἐξέρητο τῆς τοῦ πνεύματος χάριτος. τὸ πνεῦμά σου γάρ φησιν τὸ ἀγαθὸν μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. ὃ γὰρ ᾔτησεν αὐτῷ παραχεθῆναι τὴν χάριν τοῦ πνεύματος, ἀλλὰ μὴ ληφθῆναι παρ' αὐτοῦ ταύτην ἱκέτευσεν. ὑπὸ ταύτης τοίνυν φωτιζόμενος τῆς ἀκτῖνος, καὶ προφητικοῖς προορῶν ὀφθαλμοῖς, ὡς ἡ ὁ λαὸς ὁ ὑπ' αὐτοῦ βασιλευόμενος περιπεσεῖται παρανομίαις, ἢ τίνων ὑπὲρ τούτων εὐθύνας ἐξανδραποδιθήσεται, ἢ μέτοικος ἐν Βαβυλῶνι γενήσεται, συνέγραψε τὸν παρόντα ψαλμὸν, καὶ τὰ οἰκεῖα τραύματα θεραπεύων, καὶ τῷ λαῷ κατασκευάζων κατάλληλον φάρμακον, καὶ μὲν δὴ καὶ

πᾶσιν ἡμῖν, ὅσοι τραυματίαι γινόμενοι θεραπείας δεόμεθα. γ'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σε, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Καὶ τῷ θειοτάτῳ Δαβὶδ, καὶ τῷ δορυαλώτῳ λαῷ, καὶ τοῖς ἐν ἡμῖν διακειμένοις κακῶς, ἁρμόττει τὰ προκείμενα ῥητά. τὰ γὰρ μεγάλα τῶν τραυμάτων, ἰσομέτρων δεῖται φαρμάκων, καὶ ὁ χαλεπῇ νόσῳ περιπεσὼν, πλείονος χρήζει κηδεμονίας, καὶ ὁ μεγάλα πλημμελήσας μεγάλης φιλανθρωπίας δεῖται. οὗ δὴ χάριν, καὶ ὁ μέγας ἱκετεύει Δαβὶδ ὅλον εἰς αὐτὸν ἐκχυθῆναι τὸν ἔλεον, πᾶσαν τῶν οἰκτιρμῶν τὴν πηγὴν κατακενῶσαι τῆς ἁμαρτίας τὸ ἕλκος. οὔτε γὰρ ἄλλως οἷόν τε ἦν ἐξαλειφθῆναι τῆς ἁμαρτίας τὰ ἴχνη. εἰκότως δὲ ἀνόμημα καλεῖ τὸ πλημμέλημα. διπλῆν γὰρ ἔχει τὴν νόμου παράβασιν. δ'. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ἤδη γάρ φησι διὰ Νάθαν τοῦ προφήτου τὴν ἄφεσιν ἔδωκας· καὶ συμφορὰς δέ μοι παντοδαπὰς, οἷον τινας καυτῆρας καὶ τομὰς, προσενήνοχας· ἀλλ' ἔτι δέομαι ῥυμμάτων, πολλὴν τῆς ἁμαρτίας εἰσδεξάμενος δυσοσμίαν. καὶ αὖθίς με τοίνυν ἀπόνιψον Δέσποτα, ἵνα πάντα τῆς ἁμαρτίας ἀποζύσῃς τὸν ῥύπον. „ κατὰ „ γὰρ τὸν προφήτην ἐκπλύνει Κύριος „ τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέ„ρων Σιὼν πνεύματι κρίσεως καὶ πνεύ„ματι καύσεως. „ ε'. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Οὐδὲ γὰρ μετὰ τὴν ἀπό σου γενομένην ἄφεσιν, λήθην ἐδεξάμην τῆς ἁμαρτίας, ἀλλὰ διηνεκῶς ὁρῶ τῶν ἐμῶν κακῶν τὰς εἰκόνας· καὶ τὰς τολμηθείσας παρανομίας, καὶ νύκτωρ ὀνειροπολῶ, καὶ μεθ' ἡμέραν φαντάζομαι. τοῦτο δὲ ποιεῖν τοὺς ἁμαρτάνοντας, καὶ αὐτὸς ὁ Θεὸς διὰ Ἡσαΐου κελεύει. ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθῶ τῶν ἀδικιῶν σε. σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν. λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. τούτῳ καὶ αὐτὸς ὁ μακάριος Δαβὶδ σύμφωνα γέγραφεν ἐν τῷ τριακοστῷ πρώτῳ ψαλμῷ. ἔφην, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφεῖλες τὴν ἀσέβειαν τῆς καρδίας μου. ϛ'. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Πολλῶν, φησὶ, καὶ μεγάλων παρὰ σοῦ δωρεῶν ἀπολαύσας, τοῖς ἐναντίοις ἠμείψαμην τὰ δῶρα· τὰ ἀπειρημένα τῷ νόμῳ δρᾶσαι τολμήσας. ἃ γὰρ τέτοκε φησὶν, ὅτι τὸν Οὐρίαν οὐκ ἠδίκησα. ἠδίκησε μὲν γὰρ κἀκεῖνον, καὶ τὴν ἐκείνου γυναῖκα. ἡ δὲ μεγίστη παρανομία εἰς αὐτὸν τετόλμηται τὸν Θεὸν, τὸν ἐκλεξάμενον, τὸν ἀντὶ πρεσβυτέως βασιλέα πεποιηκότα, καὶ κρείττονα τῶν ἐχθρῶν ἀποφήναντα, καὶ παντοδαποῖς ἀγαθοῖς ἐπικλύσαντα. καλῶς δὲ προστέθεικε, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. τούτου γὰρ ἡ ἱστορία μέμνηται. ὤφθη γάρ φησι τὸ γεγονὸς πονηρὸν ἐνώπιον Κυρίε. ἐκ μέντοι τοῦ δορυαλώτου λαοῦ τοῦτο λεγόμενον, οὕτω νοητέον, σοὶ μόνῳ ἥμαρτον, περὶ τὰς σὰς φησι δωρεὰς ἐγενόμην ἀχάριτος, καὶ τοὺς τεθέντας μοι

παρα-

παραβέβηκα νόμους· καὶ παντοδαπῶν ἀγαθῶν ἀπολαύσας, ἀγνώμων περὶ ταῦτα γεγένημαι· τοὺς δὲ Βαβυλωνίους οὐδὲν ἀδικήσας, μεγάλα παρ' ἐκείνων ἠδίκημαι. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἐμαυτῷ φησὶ πρόξενος ἐγενόμην κακῶν· τὸ δὲ σὸν δίκαιον διαλάμπει. καὶ οὕτω κρίσεως γὰρ γινομένης, καὶ τῶν εἰς ἐμὲ παρὰ σοῦ γενομένων φερομένων εἰς μέσον, καὶ τῶν παρ' ἐμοῦ τετολμημένων παρεξεταζομένων ἐκείνοις, σὺ μὲν ἀποφανθήσῃ καὶ δίκαιος καὶ φιλάνθρωπος, ἐγὼ δὲ παράνομος ὀφθήσομαι καὶ ἀχάριστος. τὸ τοίνυν ὅπως οὐκ ἔστιν ἐνταῦθα αἰτίας δηλωτικόν. οὐ γὰρ διὰ τοῦτο ἥμαρτον, ἢ αὐτὸς ὁ Δαβὶδ, ἢ ὁ λαὸς μετὰ ταῦτα, ἵνα ὁ Θεὸς δικαιωθῇ· ἀλλὰ τουναντίον, καὶ τῆς ἁμαρτίας ὑπὸ τούτων γινομένης, τῷ Θεοῦ τὸ δίκαιον ἀναδείκνυται. πᾶσαν γὰρ καὶ τούτου, κἀκείνων, καὶ πάντων ἀνθρώπων πεποίηται πρόνοιαν. ζ'. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἄνωθέν φησι καὶ ἐξ ἀρχῆς τῆς φύσεως ἡ ἁμαρτία κεκράτηκε. προὔλαβε γὰρ τῆς Εὔας τὴν σύλληψιν τῆς ἐντολῆς ἡ παράβασις. μετὰ γὰρ τὴν παράβασιν, καὶ τὴν θείαν ἀπόφασιν, καὶ τοῦ παραδείσου τὴν ἔρημον, ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν. τοῦτο τοίνυν εἰπεῖν βούλεται, ὅτι τῶν ἡμετέρων προγόνων κρατήσασα ἡ ἁμαρτία, ὁδόν τινα καὶ τρίβον διὰ τοῦ γένους εἰργάσατο. τοῦτο καὶ ὁ μακάριος λέγει Παῦλος· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, ἐφ' ᾧ πάντες ἥμαρτον. τοῦτο καὶ ὁ τῶν ὅλων ἔφη Θεὸς πρὸς τὸν θαυμασιώτατον Νῶε, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος πάσας τὰς ἡμέρας. διδασκόμεθα δὲ διὰ τούτων ἁπάντων, οὐχ ὅτι φυσικὴ τῆς ἁμαρτίας ἡ ἐνέργεια· ἦ γὰρ ἂν, ἦμεν ἐλεύθεροι τιμωρίας, εἴπερ τοῦθ' οὕτως εἶχεν. ἀλλ' ὅτι ῥέπει ἡ φύσις περὶ τὸ πταίειν, ὑπὸ τῶν παθημάτων ἐνοχλουμένη· νικᾷ δὲ ὅμως ἡ γνώμη, πόνοις συνεργοῖς κεχρημένη. οὐ τοίνυν, ὥς τινες ὑπέλαβον, τῷ γάμου κατηγορεῖ, καὶ τὴν γαμικὴν κοινωνίαν παρανομίαν καλεῖ, καθάπερ τινὲς ἀνοήτως ὑπέλαβον, οὕτω νενοηκότες τὸ, ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἀλλὰ τὴν ἄνωθεν ὑπὸ τῶν προγόνων ἀνθρώπων τολμηθεῖσαν παρανομίαν εἰς μέσον προφέρει, κἀκείνην λέγει γεγενῆσθαι τῶν ῥευμάτων τούτων πηγήν. εἰ γὰρ ἐκεῖνοι φησι μὴ ἥμαρτον, οὐκ ἂν ἐδέξαντο τῆς ἁμαρτίας τὸν θάνατον ἐπιτίμιον. θνητοὶ δὲ μὴ ὄντες, κρείττους ἂν ἦσαν φθορᾶς. τῇ δὲ ἀφθαρσίᾳ πάντως ἂν καὶ ἡ ἀπάθεια συνῆν. ἀπαθείας δὲ πολιτευομένης, χώραν ἐκ ἔσχεν ἡ ἁμαρτία. ἐπειδὴ δὲ ἐξήμαρτον, φθορᾷ παρεδόθησαν· φθαρτοὶ δὲ γινόμενοι, τοιούτους γεγεννήκασι παῖδας· τοῖς δὲ τοιούτοις ἐπιθυμίαι καὶ φόβοι, ἡδοναὶ καὶ λῦπαι, θυμὸς καὶ φθόνος παρέπεται. πρὸς ταῦτα, καὶ τὰ ἐκ τούτων φυόμενα, ὁ λογισμὸς ἀγωνίζεται· καὶ νενικηκὼς μὲν ἀνακηρύττεται,

καὶ τοῖς νικηφόροις ταινιοῦται στεφάνοις· ἡττηθεὶς δὲ, καὶ αἰχύνην ὀφλισκάνει, καὶ δίκας εἰσπράττεται. ἀντὶ μέντοι τοῦ ἐκίσσησεν, ὁ Σύμμαχος ἐκύησε τέθεικεν. ἡ. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. Οὕτω δὲ φησι κρίνεις, καὶ τοὺς μὲν κολάζεις, τοὺς δὲ στεφανοῖς, ἐπειδὴ τὴν ἀλήθειαν στέργεις· τὴν δὲ ἀλήθειαν σέργων, καὶ τῆς φύσεως εἰδὼς τὴν ἀσθένειαν, μεταδοὺς συγγνώμην τοῖς αἰτοῦσι τὰ φάρμακα. Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἐγὼ μέντοι συγγνώμης οὐδεμιᾶς ἐμαυτὸν ἄξιον νομίζω, μετὰ τοσαύτας δωρεὰς γεγενημένος ἀχάριστος. οὐ γὰρ μόνον με τοῖς βασιλικοῖς ἐνίδρυσας θώκοις, ἀλλὰ καὶ προφητικῆς ἠξίωσας χάριτος, καὶ τὰ μετὰ μακρὸν ἐσόμενα προδεδήλωκας χρόνον, καὶ τὰ τοῖς ἄλλοις ἄδηλα, ἐμοὶ δὲ δῆλα πεποίηκας, ὡς καὶ τοὺς ἄλλους διδάξαι τὴν τῆ μονογενοῦς σε υἱοῦ ἐνανθρώπησιν, καὶ τὸ σωτήριον πάθος, καὶ τὴν ἀνάστασιν, καὶ τῆς οἰκουμένης τὴν σωτηρίαν, καὶ τῶν ἁμαρτημάτων τὴν φιλότιμον ἄφεσιν, τὰ μεγαλοπρεπῆ καὶ θεῖα τῆ ἁγίου βαπτίσματος δῶρα. ταῦτα πάντα παρὰ τῆ παναγίᾳ σε προδιδαχθεὶς πνεύματος, ἱκετεύω μεταλαχεῖν ἐκείνης τῆς χάριτος, ἣν προθεσπίζων τοῖς ἄλλοις βοῶ. θ'. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Μόνη γὰρ ἡ τοῦ βαπτίσματος δωρεὰ ταύτην ἐργάσασθαι τὴν κάθαρσιν δύναται. ταύτην δὲ τὴν κάθαρσιν, καὶ διὰ Ἡσαΐου τῆ προφήτου δώσειν ὑπέσχετο τῶν ὅλων ὁ Κύριος. εἰρηκὼς γὰρ, λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν, μετ' ὀλίγα ἔφη· ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ταῦτα καὶ αὐτὸς ὁ μέγας Δαβὶδ ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ ψαλμῷ προαγορεύει. ἐν τῷ γάρ φησι διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς, χιονωθήσονται ἐν Σελμών. τοῦτο τοίνυν καὶνταῦθά φησιν, ὅτι τῆς δοθησομένης ἅπασιν ἀνθρώποις προσδέομαι χάριτος. ἐκείνη γὰρ ἀκριβῶς ἀποῤῥύψαι με δύναται μόνη, καὶ τῆς χιόνος μοι τὴν λευκότητα δοῦναι. ὅτι δὲ τὸ ὕσσωπον οὐδεμίαν ἄφεσιν ἁμαρτημάτων εἰργάζετο, ῥᾴδιον ἐκ τῶν Μωσαϊκῶν συγγραμμάτων καταμαθεῖν. τὸν γὰρ ἀνδροφόνον, καὶ τὸν ἀλλοτριόγαμον λῃστὴν, οὐ περιῤῥαντηρίοις ὁ νόμος ἐκάθαιρεν, ἀλλὰ τιμωρίαις ἐχάτας ὑπέβαλλεν. ἑτέρων τοίνυν ἐστὶ πραγμάτων τὸ ὕσσωπον αἴνιγμα. ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ τὸ αἷμα τῆ προβάτου ταῖς φλιαῖς ἐπιῤῥαίνοντες, τῆ ὀλεθρεύοντος τὰς χεῖρας διέφυγον. τύπος δὲ ἦν ἐκεῖνα τῶν σωτηρίων παθημάτων· αἷμα γὰρ κἀνταῦθα, καὶ ξύλον σωτήριον, καὶ σωτηρία τοῖς μετὰ πίστεως προσιοῦσι χορηγουμένη. ι'. Ἀκούσεῖς μου ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ταύτης μοι φησὶ τῆς εὐφροσύνης τὰ ὦτα ἔμπλησον, τὴν τελείαν κάθαρσιν ὑπισχνούμενος, ἵνα εἰς ἅπαντα ἡ θυμηδία διαδράμῃ τὰ τῆ σώματος μόρια. καὶ τὰ νῦν τῆ κακοχίᾳ τεταπεινωμένα ὀστᾶ, ἀνθήσῃ πάλιν, καὶ ἀπολάβῃ τὴν οἰκείαν ἰσχύν. ια'. Ἀπόστρεψον τὸ πρόσωπόν σε ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας

μίας

μίας με ἐξάλειψον. Μὴ ἴδῃς, φησὶ, τὰς ὑπ' ἐμοῦ τετολμημένας ἀνομίας, ἀλλ' ἐμὲ τὸν ταύτας ὀλοφυρόμενον. ιβ'. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Ἐπειδὴ τὸ γῆρας ἐδεξάμην τῆς ἁμαρτίας, τῇ σῇ με φιλανθρωπίᾳ νεώργησον. ταῦτα καὶ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου, τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις ὁ Δεσπότης ὑπέσχετο. δώσω γὰρ αὐτοῖς, φησὶ, καρδίαν καινὴν, καὶ πνεῦμα καινόν. πνεῦμα δὲ ἁγιον τὸ πανάγιον λέγει, ἀλλὰ τῷ λογικῷ τὴν ὁρμήν. τοιούτοις, τῇ μακρᾷ ταύτῃ παιδεύσας παιδείᾳ, καὶ διδάξας ὑμᾶς, οἷς ἡ ἁμαρτία φύει καρπὸς, τὴν ἀρετὴν αἱρεῖσθαι παρασκευάσω. τοῦτο καὶ ταῦθα ὁ μακάριος ἤτησε Δαβὶδ, τήν τε βλαβεῖσαν αὐτῷ νεωργηθῆναι καρδίαν, καὶ τὸ λογικὸν ῥωσθῆναι, ὥστε τὴν θείαν τρέχειν ὁδόν. ιγ'. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Σαφῶς διὰ τούτων μεμαθήκαμεν τῶν λόγων, ὡς ἐκ ἐγυμνώθη τῆς τοῦ παναγίου πνεύματος χάριτος. ὁ γὰρ ὡς γυμνωθεὶς ἀπολαβεῖν ἱκετεύει, ἀλλὰ μὴ στερηθῆναι ταύτης ἀντιβολεῖ, μηδὲ πόῤῥω γενέσθαι τῆς θείας κηδεμονίας. πρόσωπον γὰρ ἐνταῦθα τὴν κηδεμονίαν ἐκάλεσεν. ιδ'. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Ὃ μὴ ἀπώλεσεν, ἔχειν ἠντιβόλησε, τουτέστι, τὴν χάριν τοῦ πνεύματος· ὃ δὲ ἀποβέβληκεν, ἀπολαβεῖν ἱκετεύει. τοῦτο δὲ ἦν ἡ ἐν Θεῷ εὐφροσύνη. πάσης, φησὶ, θυμηδίας ἀπήλλαυον, ἡνίκα πολλὴν εἶχον πρός σε δέσποτα παῤῥησίαν· νῦν δὲ ταύτης γεγυμνωμένος, καὶ τῆς εὐθυμίας ἐξέρημαι. ἐγύμνωσε δέ με τῆς παῤῥησίας ἡ δειλία τῆς ἡδονῆς· διὸ ἱκετεύω τὴν προτέραν ἡγεμονίαν ἀπολαβεῖν με τὸν νέον, καὶ τὸν ὑπὸ τῶν παθῶν δεδουλωθέντα, τὴν κατὰ τούτων αὖθις ἀπολαβεῖν ἐξουσίαν. πάλιν γὰρ ἐνταῦθα πνεῦμα ἡγεμονικὸν τὸν αὐτοκράτορα λογισμὸν ἐκάλεσεν. ιε'. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. Τῆς σῆς πάλιν ἀπολαύων φιλανθρωπίας ἀρχέτυπον ἔσομαι μετανοίας τοῖς τὸν παρανόμον βίον ἀσπαζομένοις. ἔσομαι δὲ καὶ κήρυξ τῆς σῆς ἀγαθότητος, καὶ προτρέψω δυσσεβεῖς ἀνθρώπους καὶ παρανόμους, τῇ σῇ προσδραμεῖν ἱκετείᾳ. ιϛ'. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς τῆς σωτηρίας μου. Συνεχῶς ἐν τῇ μνήμῃ περιστρέφει τὸν τοῦ Οὐρίου φόνον. τοῦτο καὶ τῷ προοιμίῳ δεδήλωκεν, ὅτι ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. τοῦτο ὁ Σύμμαχος ἔτως ἡρμήνευσε, διαλαλήσει ἡ γλῶσσά μου τὴν ἐλεημοσύνην σου. ὁ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας, ἀλλ' ὑμνῶν σε διατελέσω, καὶ τὰς σὰς δηγούμενος χάριτας. ιζ'. Τὰ χείλη μου ἀνοίξεις Κύριε, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἡ γὰρ ἁμαρτία πέφυκε τὴν γλῶσσαν δεσμεῖν, ἐμφράττειν τὸ στόμα, ἄγχειν, σιωπᾶν ἀναγκάζειν. ἀντιβολεῖ τοίνυν ὁ προφήτης, διὰ τῆς ἀφέσεως τῆς προτέρας παῤῥησίας μεταλαχεῖν, καὶ τὴν γλωττίαν εἰς ὑμνῳδίαν κινῆσαι. ιη'. Ὅτι

ιή. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώμασι οὐκ εὐδοκήσεις. Συνᾴδει καὶ ταῦτα τοῖς ἐν τῷ προτεταγμένῳ εἰρημένοις ψαλμῷ. ἀκηκόαμεν γὰρ ἐκεῖ τοῦ Θεοῦ τῶν ὅλων λέγοντος, οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους. τοιγάρτοι τοῦτο παρὰ τῆς θείας ἀκέσας φωνῆς ὁ θειότατος Δαβὶδ, εἰκότως ἔφη, ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. σὺ γάρ φησιν εἴρηκας μὴ θυμήρεις εἶναί σοι τὰς τῶν ἀλόγων θυσίας. ἃ δὴ χάριν τὴν ἀρέσκουσάν σοι ἱερουργίαν προσοίσω. ιθ. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἱερεῖόν φησιν ἀρεστὸν καὶ θυμήρες σοι τῷ Θεῷ ἡμῶν μετριότης φρονήματος. διὸ σφόδρα μου τὴν καρδίαν ταπεινώσας, καὶ οἱονεὶ συντρίψας, καὶ λίαν αὐτὴν λεπτύνας, τὴν ἀρεστήν σοι θυσίαν προσκομιῶ. τέτοις καὶ οἱ μακάριοι παῖδες ἐν τῇ καμίνῳ τοῖς λόγοις ἐχρήσαντο. ἐν καρδίᾳ γὰρ ἔλεγον συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, προσδεχθείημεν ἐνώπιόν σου, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων πιόνων. ὡς εἶναι δῆλον κἀντεῦθεν, ὅτι καὶ πρόρρησιν ὁ ψαλμὸς ἔχει τῶν ἐν Βαβυλῶνι συμβεβηκότων, καὶ διδασκαλίαν τὴν ἐκείνοις ἁρμόττουσαν. ἐντεῦθεν γὰρ καὶ οἱ γενναῖοι παῖδες ἐκεῖνοι, τὴν ἀρεστὴν τῷ Θεῷ θυσίαν μεμαθηκότες, τὴν ταπεινότητα τοῦ φρονήματος, καὶ τῆς καρδίας τὴν συντριβὴν τῷ Δεσπότῃ προσήνεγκαν. κ. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. κα. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν, καὶ ὁλοκαυτώματα. τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Σαφέστερον ἐκ τούτων ἐδιδάχθημεν τῶν ῥημάτων, ὅτι πλήρης ὁ ψαλμὸς προφητείας. τοῖς ἐν Βαβυλῶνι γὰρ ἠναγκασμένοις οἰκεῖν, καὶ ποθοῦσι τὴν τῆς θελείας ἀπαλλαγὴν, καὶ ὀλοφυρομένοις τὴν τῆς πόλεως ἐρημίαν, ἁρμόττει τὰ ῥήματα. ἱκετεύσει γὰρ εἴκὸς τινὸς ἀξιωθῆναι τὴν πόλιν, καὶ τὴν προτέραν εὐκληρίαν ἀπολαβεῖν, τῶν περιβόλων ἀνορθωμένων, καὶ τῆς κατὰ νόμον τελουμένης λατρείας. νῦν μὲν γάρ φησι τὴν ἀλλοτρίαν οἰκοῦντας τὰς ὡρισμένας σοι θυσίας προσφέρειν οὐκ ἔνεστιν, ἐν ἐκείνῃ μόνῃ τῇ πόλει θύειν τοῦ νόμου διαγορεύοντος. εἰ δὲ τῆς ἐπανόδου τύχοιμεν, καὶ τὸν νεὼν ἀνορθώσαιμεν, τηνικαῦτα σοι τὰς ἐννόμους θυσίας προσοίσομεν. ἁρμόττει δὲ λίαν αὐτοῖς, καὶ τὰ χείλη μου ἀνοίξεις Κύριε, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. αὐτῶν γάρ ἐστι φωνὴ, πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ἔχει δὲ καὶ ἑτέραν προφητείαν τὸ ψαλμοῦ τοῦδε τὸ τέλος. ἐπειδὴ γὰρ τῇ παναγίᾳ πνεύματος ἄνωθεν τὰ δῶρα προτέθεικεν, εἶτα κατιὼν ἔδειξε τὸν τῶν ὅλων Θεὸν ταῖς κατὰ νόμον θυσίαις οὐκ ἀρεσκόμενον, ἱκετεύει τὴν νέαν ἀναφανῆναι Σιὼν, καὶ τὴν ἐπεράνιον Ἰερουσαλὴμ ἐπὶ γῆς πολιωθῆναι, καὶ ὅτι τάχιστα παραχεθῆναι τὴν καινὴν πολιτείαν, τὴν ἐκ ἄλογα προσφέρουσαν θύματα, ἀλλὰ τὴν τῆς δικαιοσύνης ἀναφορὰν καὶ θυσίαν, καὶ τὰ λογικὰ καὶ ζῶντα

τα ὁλοκαυτώματα, περὶ ὧν μακάριος λέγει Παῦλος, παρακαλῶ ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τῦ Θεῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν. εἰδὼς γὰρ ὁ θειότατος Δαβὶδ, ὅτε τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς τῦ Θεῦ σοφίας μεμαθηκὼς, ὡς ἡ καινὴ διαθήκη τελείαν ἔχει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ταχίστης καὶ τελείας τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἐφιέμενος, καὶ τῆς συντόμε καὶ φιλοτίμε καθάρσεως τυχεῖν καὶ αὐτὸς ὀρεγόμενος, ταῦτά φησι.

ΕΡΜΗΝ. ΤΟΥ να' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, συνέσεως τῷ Δαβὶδ. β'. Ἐν τῷ εἰσελθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀπαγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ, ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. Καὶ ἐντεῦθεν δῆλον, ὡς διώνυμος ὁ Ἀβιμέλεχ. ὁ γὰρ Δωὴκ, ὡς ἡ πρώτη τῶν βασιλειῶν ἱστορία διδάσκει, τὸν Ἀχιμέλεχ εἰσήγγειλε παρὰ τῷ Σαοὺλ, καὶ εἰς μιαιφονίαν τῶν ἱερέων ἐξέμηνε. τῦτον δὲ καὶ ἐνταῦθα, καὶ ἐν τῷ τριακοστῷ τρίτῳ ψαλμῷ Ἀβιμέλεχ ὀνομάζει. τὴν γεγενημένην κατὰ τῶν ἱερέων συκοφαντίαν μεμαθηκὼς ὁ θεῖος Δαβὶδ, τῦτον συνέγραψε τὸν ψαλμὸν, εἰς ὑπομονὴν καὶ καρτερίαν τοὺς ἀδικουμένους ἀλείφων, καὶ τῆς θείας ψήφε διδάσκων τὸ δίκαιον. διάτοι τῦτο, καὶ εἰς τὸ τέλος ἐπέγραψε τὸν ψαλμὸν, καὶ συνέσεως, ἵνα συνέσει χρώμενοι, τῶν πραγμάτων τὸ τέλος προσμένωμεν. ἔχει δὲ καὶ πρόρρησιν κατὰ ταὐτὸν τῆς Ῥαψάκου μανίας, ὃς ἐξ Ἑβραίων ὁρμώμενος, εἶτα γενόμενος δορυάλωτος, τῶν ἐξανδραποδισάντων Ἀσσυρίων μεμάθηκε τὴν ἀσέβειαν, καὶ βλασφήμοις ἐχρήσατο κατὰ τῦ Θεῦ λόγοις, καὶ ἀπατηλοῖς ἐπειράθη φενακίσαι ῥήμασι τῶν Ἰεδαίων τὸ πλῆθος. „καὶ ἡ μὲν ἐπιγραφὴ τοῦ „ πρώτε μετὰ τὸν πεντηκοστὸν ψαλ„ μὸν ταύτην ἡμῖν ὑπέθετο τὴν ὑφή„ γησιν· αὐτὸς δὲ οὗτος ὁ προφήτης „ σαφέστερον αὐτὸ ἔφησεν ἀπαρχόμε„ νος ἐντεῦθεν ἔτως. „ γ'. Τί ἐγκαυχᾶ ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; Δυνατὸν μὲν καλεῖ τὸν Δωὴκ, ὡς τῷ Σαοὺλ προσοικειωμένον· τὸν δὲ Ῥαψάκην, ὡς τὸ στρατηγεῖν πεπιστευμένον. εἰς ἐρώτησιν δὲ σχηματίζει τὸν λόγον, μὴ μέγα φρονεῖν ἐπὶ κακίᾳ παρεγγυῶν, μηδὲ πάντα καιρὸν ἀναλίσκειν εἰς πονηρίαν. τὸ γὰρ ὅλην τὴν ἡμέραν καθ' ἑκάστην ἡμέραν ὁ Σύμμαχος εἴρηκεν. δ'. Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας δόλον. Ψευδέσι, φησὶ, λόγοις μολύνεις τὴν γλῶτταν· τὸ γὰρ ἐλογίσατο, ἀντὶ τοῦ ἐφθέγξατο τέθεικεν· καὶ ξυρῦ δίκην ἠκονημένου, προσφέρεις τὸν λόγον, τοῖς πειθομένοις ὀλέθρον μηχανώμενος. ε'. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Προείλου, φησὶ, τῶν κρειττόνων τὰ χείρω· καὶ τῶν ἀληθῶν τὰ ψευδῆ προτετίμηκας τῶν ῥημάτων· ὑπὲρ δὲ τὸ δίκαιον ἀσπάζῃ τὸ ἄδικον. ς'. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμῦ, γλῶσσαν δολίαν. Ῥήματα καταποντισμοῦ καὶ δολίαν γλῶσσαν κέκληκε

τὴν ἄρδην ἀφανίσαι διὰ τοῦ ψεύδους δυναμένην, ἐκ μεταφορᾶς τῶν καταποντιζόντων, καὶ ὑποβρυχίους τοὺς ὑπ' αὐτῶν καταποντιζομένους τῷ βυθῷ τῶν ὑδάτων ποιούντων. τοῦτο δὲ καὶ ὁ Δωὴκ ἔδρασεν. ἄρδην γὰρ ἅπασαν τῶν ἱερέων τὴν πόλιν διέφθειρε τοῖς ψευδέσι κατὰ τοῦ Ἀβιμέλεχ χρησάμενος λόγοις. τοῦτο ποιῆσαι καὶ ὁ Ῥαψάκης ἐπειράθη μὲν, οὐκ ἴσχυσε δὲ· προσήνεγκε μὲν γὰρ τὰς ψευδεῖς ὑποχέσεις τοῖς ἐπὶ τοῦ τείχους ἑστῶσι· διήμαρτε δὲ τῆς θήρας. ζ'. Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος· ἐκτίλαι σε, καὶ μετανασεύσαι σε ἀπὸ σκηνώματός σου· καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Οὐ διαφεύξῃ, φησὶ, ταύτην προελόμενος τὴν πονηρίαν, τοῦ Θεοῦ τῶν ὅλων τὴν ψῆφον· καταλύσει γάρ σε τάχιστα, καὶ παντελεῖ παραδώσει φθορᾷ, καὶ χωρίσει τοῦ καταλόγου τῶν ζώντων, καὶ πρόῤῥιζον ἀνασπάσας παραπέμψει θανάτῳ· μέγιστον γὰρ ἐντεῦθεν φυήσεται κέρδος τῶν ἀδημονούντων ἐπὶ τῇ τῶν πονηρῶν εὐπραξίᾳ, τὸν τούτων ὄλεθρον θεωμένων. καὶ γάρ φησιν ἡ· Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται· καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν, „ἐπὶ τίνα; τὸν ἄδικον, τὸν οὐ μό-„νον κατὰ τῆς ἀληθείας αὐτῆς, ὡς „ἐκεῖνος, ἀγωνιζόμενον, ἀλλὰ καὶ κα-„τὰ τῆς ἱερωσύνης μεμηνότα· λέγον-„τες δηλονότι οἱ τῷ Θεῷ ἀνακείμε-„νοι,„ θ'. Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ· ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ· καὶ ἐνεδυναμώθη ἐν τῇ ματαιότητι αὐτοῦ. Ὁ τῶν δικαίων, φησὶ, χορὸς μείζονος εὐλαβείας ἐμφορηθήσεται, τὴν δικαίαν τοῦ Θεοῦ θεασάμενος κρίσιν. καὶ γεγηθὼς καὶ γαννύμενος γελάσει τῆς πονηρίας τὴν ἀκαρπίαν, καὶ τῆς παρούσης εὐημερίας τὸ κέρδος. ί. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ταῦτα γὰρ καὶ περὶ ἑαυτοῦ λέγει ὁ μέγας Δαβὶδ, καὶ τῷ Ἐζεκίᾳ προσφέρει διδασκαλίαν· ἄμφω γὰρ εὐσεβείας ἐραστά τε καὶ τρόφιμοι· καὶ ἐν τῷ πρώτῳ ψαλμῷ, δένδρῳ παρ' ὄχθην ὑδάτων πεφυτευμένῳ, καὶ τεθηλότι διηνεκῶς, καὶ τὸν καρπὸν ὥριμον φέροντι, τὸν τῆς ἀρετῆς ἀπεικασεν ἀθλητήν. καὶ ἐνταῦθα ἐλαίαν πολλῷ βρίθουσαν καρπῷ, καὶ ἐν οἴκῳ θείῳ πεφυτευμένην, τὸν δίκαιον εἴρηκεν· ἅτε δὴ βεβαίαν τὴν ἐπὶ τὸν Θεὸν ἐλπίδα κεκτημένον, καὶ δι' ἐκείνην πονεῖν ἀνεχόμενον, καὶ τοὺς ἐπιπόνους τῆς ἀρετῆς φέρειν καρπούς. „διὰ δὴ ταῦτα μηδεὶς ὀκλαζέτω περὶ „τοὺς ἀγῶνας φθάσας, ἀλλ' ἐναθλεί-„τω καὶ ἐγκαλλωπιζέσθω τούτοις· „περιμένων οὐ μόνον τοὺς μέλλοντας „αὐτῷ δίδοσθαι ὑπὲρ τῶν ἄθλων σε-„φάνους, ἀλλὰ καὶ τῶν ἐχθρῶν ἐν-„ταῦθα θεάσασθαι ἄλωσιν.„ ια'. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου. „Τὸ δὲ ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶ-„να, εἰς τὸν νῦν αἰῶνα· τὸ δὲ ἐποίη-„σας, τὴν ἐκδίκησιν τῶν εἰς σὲ πεποι-„θότων· τὸ δὲ ὑπομενῶ τὸ ὄνομά σου, „οὐ μόνον τοῖς ὑπὲρ σοῦ ἀγῶσι μετὰ

„πολ-

„ πολλῆς τῆς προθυμίας ἐγκαρτερήσω·
„ ἀλλ᾽ ὅτι καὶ χρηστὸν, τουτέστι φιλάν-
„ θρωπον, καὶ ἀναρχον καὶ ἀτελεύτητον
„ ἔχεις τὴν βασιλείαν· τὸ δὲ ἐναντίον
„ τῶν ὁσίων σου, ἀντὶ τοῦ πάρεσι βοή-
„ θειά σου καὶ φυλάξεις τοὺς ὑπὲρ τῷ
„ ὀνόματός σου ἀθλοῦντας. „ Ταύ-
της δὲ τῆς εὐεργεσίας τετυχηκὼς, ἀεί
σε ὑμνήσω Δέσποτα, τὸ ἀξιέραστον ὄνο-
μα τοῖς ἐπισταμένοις σε ποθῶν ἀεὶ, καὶ
προσμένων, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν
καρπούμενος. χρηστὸν γὰρ καὶ τριπό-
θητον τοῦ Θεοῦ τὸ ὄνομα, οὐ πᾶσιν ἀν-
θρώποις, ἀλλὰ τοῖς τῆς θεογνωσίας
ἠξιωμένοις.

ΕΡΜΗΝ. ΤΟΥ νβ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, ὑπὲρ Μαελὲθ, συνέσεως τῷ Δαβίδ. Τὸ ὑπὲρ Μαελὲθ ὁ Θεοδοτίων ὑπὲρ τῆς χορείας ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, διὰ χοροῦ· ὁ δὲ Ἀκύλας, ἐπὶ χορείᾳ. τὴν αὐτὴν μέντοι διάνοιαν ὁ ψαλμὸς οὗτος ἔχει τῷ προτεταγμένῳ· ὁμοίως δὲ καὶ ὁ ιγ΄. καὶ γὰρ ἡ ὑπόθεσις ἀμφοτέρων μία· τῆς γὰρ τοῦ Σενναχηρειμ καὶ τοῦ Ῥαψάκου βλασφημίας κατηγοροῦσιν ἀμφότεροι, προθεσπίζουσι δὲ καὶ τὸν γεγενημένον τῶν δυσσεβῶν ὄλεθρον. οὗ δὴ χάριν, καὶ χορείας ἔσχηκεν ἐπιγραφὴν, ἣν ἐποιήσαντο πάντως οἱ τῆς σωτηρίας τετυχηκότες, καὶ τὸν Θεὸν ἀνυμνοῦντες. καὶ εἰς τὸ τέλος δὲ πρόσκειται διὰ τὸ χρόνῳ ὕστερον εἰληφέναι τὴν προφητείαν τὸ τέλος. „ ταύτην
„ ἔχει τὴν ἔννοιαν διὰ τῆς ἐπιγραφῆς
„ καὶ ὁ παρὼν ψαλμός. καὶ ἀκούσα-
„ τε τί φησιν ὁ προφήτης. „ β΄. Εἶ-
πεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Οὐ γὰρ μόνον κατὰ τῶν καλουμένων θεῶν, ἀλλὰ καὶ κατὰ τοῦ ἀληθῶς ὄντος τὴν γλῶτταν ἐκίνησε λέγων, μὴ ἠδυνήθησαν οἱ θεοὶ τῶν ἐθνῶν ῥύσασθαι τὴν ἑαυτῶν χώραν ἐκ χειρός μου, „ ἐκεῖνοι μὲν δῆλον ὅτι οὐκ ἠδύναντο· „ πῶς γὰρ ἂν ἠδύναντο αὐτοὶ μηδὲν „ ὑπάρχοντες; „ ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλήμ; „ Βλέπε παράνομε, „ πρὸς πηλίκον ὕψος ἀνεσφαίρισας τὴν „ τοῦ λόγου σου γλῶτταν· σκληρόν σοι „ πρὸς κέντρα λακτίζειν. „ ποῦ ὁ Θεὸς Ἐμάθ; καὶ ποῦ ὁ Θεὸς Ἀρφάδ; καὶ ποῦ ὁ Θεὸς τῆς πόλεως Σεφαρείμ; „ κἀκεῖνοι μὲν οἱ καλέμενοι παρὰ τῶν „ ἀφρόνων θεοὶ μικρὰν ὕστερον τῷ ἀλά- „ ξορι ἀπηνέγκαντο ψῆφον. „ διε-
φθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀ-
νομίαις. αἰτιός φησι τῆς ἀσεβείας ὁ παράνομος βίος. ἀδεῶς γὰρ πᾶν ὁ-
τιοῦν δρῶντες, εἰς νοῦν λαβεῖν οὐκ ἐθέ-
λουσι τὸν ἐφορῶντα Θεὸν, ἀλλὰ πε-
πείκασι σφᾶς αὐτοὺς, μηδένα τοῖς τῆς κτίσεως οἴακιν ἐφεξάναι. οὐκ ἔστι ποιῶν ἀγαθόν. ἅπαντες φησὶ τῶν Ἀσσυ-
ρίων τὴν πονηρίαν ἠγάπησαν. „ καὶ
„ ὅσοι τὰ ἐκείνων θρησκεύουσιν, ἀφρο-
„ νοῦσιν· ἐν οἷς ἂν ὦσι τόποις ἢ ἀξιώμα-
„ σιν ἢ βαθμῶν· μὴ ἐπιλογιζόμενοι ὅτι, „
γ΄. Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων· τοῦ ἰδεῖν, εἰ ἔστι συνιὼν, ἢ ἐκζητῶν τὸν Θεόν. Ἀλλ᾽ ὅμως ὁ ἀπιστούμενος παρ᾽ αὐτῶν Θεὸς, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐξέτασιν ἠβουλήθη τῶν δρωμένων ποιήσασθαι. δ΄. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· „ πάν-

„τες οἱ τῆς ἴσης ἀνθεχόμενοι γνώμης· „ ἐκ ἔστι ποιῶν ἀγαθὸν, ἐκ ἔστιν ἕως ἑνός. Εὗρε, φησὶν, ἅπαντας τῆς εὐθείας ἐκτραπέντας πορείας, πᾶν δὲ κακίας εἶδος ἀσπασαμένους. ε'. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, „ τί γνώσονται; ὅτι Θεὸς ἐκ„δικήσει Κύριος· καὶ τίνες οὗτοι; διὰ „τῶν ἑξῆς ἔφησεν· „ οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; „οἱ ἄ„πιστοι δηλονότι· καὶ τὴν νόσον αὐτῶν „σαφέστερον φανερῶι διὰ τοῦ εἰπεῖν· „ ς'. Τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο. Ἀλλὰ μὴν διὰ τῆς πείρας μαθήσονται τῆς ἀδικίας τὸ ἐπιζήμιον, οἱ καθάπερ ἄρτον τινὰ τὸν ἐμὸν λαὸν ἀναλίσκειν πειρώμενοι, καὶ τὸ κηδεμόνος καταφρονῆντες Θεοῦ· ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος. πεφρικέναι γὰρ αὐτοὺς καὶ ἀδημονεῖν ποιήσω, τῶν δεδιττομένων οὐ φαινομένων, ἀλλ' ἀφανῶς ἐπιφερομένης τῆς τιμωρίας. σημαίνει δὲ διὰ τούτων, τὴν διὰ τοῦ ἀγγέλου αὐτοῖς ἐπενεχθεῖσαν πληγήν. ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατηχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος τὸ διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, οὕτως ἡρμήνευσαν· ὁ γὰρ Θεὸς διεσκόρπισεν ὀστᾶ παρεμβαλόντων περὶ σέ. „ἐπέστη γὰρ αὐτῶν ἡ θα„νατικὴ καὶ πανωλέθριος ψῆφος, καὶ „ἅπαντας ἐν βραχείᾳ καιροῦ ῥοπῇ „ἐξηφάνισεν· τοῦτο γάρ ἐστιν ὃ λέγει, „κατηχύνθησαν ὅτι ὁ Θεὸς ἐξουδένωσεν „αὐτούς· „ διὰ τοῦτο γάρ φησι φοβηθήσονται φόβον οὗ οὐκ ἦν φόβος, ἐπειδὴ ὁ βλασφημηθεὶς ὑπὸ αὐτῶν Θεὸς ἀδίκως αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν αὐτοῦ πόλιν ἰδὼν, ὀλέθρῳ παρέδωκεν, οἰωνοῖς τε καὶ θηρίοις αὐτοὺς προθήσας βορὰν, καὶ τὰ τούτων ὀστᾶ διεσκόρπισεν· οὐκ ἂν δέ τις ἁμάρτοι καὶ τὸν Ῥαψάκην ἀνθρωπάρεσκον ὀνομάσας, ὃς ἐξ Ἑβραίων φυὰς, βλασφήμους λόγους κατὰ τοῦ Θεοῦ τῶν ὅλων ἠκόντισε, ταύτῃ τοὺς Ἀσσυρίους θεραπεύειν οἰόμενος. „ὡς καί τινες ἀφέ„ντες τὸν Θεὸν ὑπ' αὐτοῦ ἐγκατελεί„φθησαν· οἱ κατὰ Ἰελιανὸν, φημὶ, „τὸν παραβάτην τὸν τηνικαῦτα βα„σιλεύσαντα. „ ζ'. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Ὁ ταύτην ἡμῖν, φησὶ, τὴν ἡδονὴν χαρισάμενος, οὗτος καὶ τοῖς ἤδη γεγενημένοις αἰχμαλώτοις παράσχοι τὴν σωτηρίαν. ἤδη γὰρ ἐξηνδραποδίσθησαν καὶ μετωκίσθησαν αἱ δέκα φυλαὶ, καὶ πρὸς ταύταις τῆς Ἰουδαίας πόλεις πολλαί. διὸ καὶ ἐπήγαγεν, ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. τηνικαῦτά φησι θυμηδίαν τελείαν ληψόμεθα, ἡνίκα ἂν τῆς ἐπανόδου καὶ τοὺς ἄλλους αἰχμαλώτους ἀπολαύσαντας ἴδωμεν. διδασκόμεθα τοιγαροῦν καὶ ἡμεῖς, κατὰ τὴν ἀποστολικὴν νομοθεσίαν, κλαίειν μετὰ κλαιόντων, καὶ χαίρειν μετὰ χαιρόντων, τὸ αὐτὸ εἰς ἀλλήλους φρονεῖν, καὶ εὐθυμίαν οἰκείαν ἡγεῖσθαι τὴν τοῦ πέλας εὐημερίαν.

ΕΡΜΗΝ. ΤΟΥ ργ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ἐν ὕμνοις. συνέσεως τῷ Δαβίδ. β'. Ἐν τῷ ἐλθεῖν τοὺς

τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαοὺλ, οὐχὶ Δαβὶδ κέκρυπται παρ' ἡμῖν; Δήλη τοῦ ψαλμοῦ ἡ ὑπόθεσις. ὑμνεῖ γὰρ τὸν Θεὸν ὁ μέγας Δαβὶδ, ὡς ἐπαρκέσαντα, καὶ τὰς τῶν πολεμίων πάγας διαδράναι παρασκευάσαντα. οἱ γὰρ Ζιφαῖοι τὴν πρὸς τὸν Δαβὶδ ὑπεκρίνοντο φιλίαν, τῷ δὲ Σαοὺλ κατεμήνυον ἔνθα ἐπειρᾶτο λανθάνειν· „ ὡς „ καὶ μέχρι νῦν τινας ὁρῶμεν ἐπικάλυμ- „ μα μὲν φιλίας περικειμένους, ἔνδοθεν „ δὲ ὑποκρίσεως μᾶλλον ἢ φιλίας ἀναμέ- „ σους. „ καί ποτε τοῖς δεδηλωκόσι πι- στεύσας, στρατεύει μὲν κατ' αὐτῶν λογάσι ποσοῖς· εἶτα μέλλων αὐτὸν ἐξαπι- ναίως θηρεύειν, ὑπὸ τῆς τῶν ἀλλοφύ- λων προσβολῆς ἐκωλύθη· μαθὼν γὰρ αὐτοὺς καὶ τῆς χώρας στρατεύσαντας, ἀνέστρεψε τοῖς πολεμουμένοις ἀμῦναι σπουδάζων. τότε τὸν ὕμνον προσ- ενήνοχεν ὁ μέγας Δαβὶδ τῷ Θεῷ, ὡς δεξαμένῳ τὴν ἱκετείαν, καὶ τὴν προσδο- κηθεῖσαν λύσαντι συμφοράν. „ καὶ μά- „ λιστα προτιθεὶς αὐτοῖς τοῦτον τὸν „ ψαλμὸν κοινὴν διδασκαλίαν· ὥστε ἕκα- „ στον τῶν πολεμουμένων παρὰ τὸ δί- „ καιον ὑπό τινων μετὰ πάσης κατανύ- „ ξεως προσφέρειν ὁμοίως τῷ Δαβὶδ ἱκε- „ τείαν τῷ δυναμένῳ ὡς τὸν προφήτην „ ἐκ χειρὸς τῶν ἀδικούντων ῥύσασθαι τῷ „ Θεῷ. „ γ'. Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με. Ἀρκεῖ μοι, φησὶν, εἰς ἀσφάλειαν ἡ τὸ σὸν ὀνόματος κλῆ- σις. οὕτω καὶ οἱ θεῖοι ἀπόστολοι τὰ μεγάλα εἰργάζοντο θαύματα· ἐν τῷ ὀ- νόματι γάρ φησιν Ἰησοῦ Χριστοῦ ἔγειραι, καὶ περιπάτει. καὶ ἐν τῇ δυνάμει σε κρῖνόν μοι. δίκαιος φησι καὶ δικαιοσύ- νης ὑπάρχεις πηγή· κρῖνόν μοι τοίνυν καὶ τοῖς πολεμοῦσιν ἀδίκως. δ'. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, „ καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ „ ἐνώ- τισαι τὰ ῥήματα τοῦ στόματός μου. Δέξαι μου τὰς ἱκετείας σὺν εὐμενείᾳ „ πολλῇ· τίνος ἕνεκεν εἶπεν· „ ε'. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ· καὶ „ οὐ „ τοῦτο μόνον, ἀλλὰ καὶ „ κραταιοὶ ἐζή- τησαν τὴν ψυχήν μου. Δέομαί φησι τῆς σῆς ἐπικουρίας, ὦ Δέσποτα, „ καὶ „ ἀντιβολῶ „ ὑπὸ δυσμενῶν ἐλαυνόμε- νος, πλείστῃ δυνάμει „ ἀλλ' ὅμως ἀν- „ θρωπείᾳ καὶ ταύτῃ πολυθείᾳ κεκρυ- „ τημένῃ „ τεθαρρηκότων, καὶ θανάτῳ με παραδοῦναι ποθούντων· ταῦτα δὲ κατ' ἐμοῦ τολμῶσιν, ἐπειδὴ τὴν σὴν πρόνοιαν ἀγνοοῦσι, „ μᾶλλον καὶ αὐ- „ τῆς καταφρονοῦσι. „ τοῦτο γὰρ ἐπήγα- γεν εἰπών, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. ταῦτα δὲ οὕτως ἱκε- τεύσας, τῆς ἐκ εἰς μακρὰν ἐσομένης ἐπι- κουρίας τὴν πρόγνωσιν ἔκβοᾷ. ς'. Ἰδὲ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. ζ'. Ἀπο- στρέψῃ τὰ κακὰ τοῖς ἐχθροῖς μου· „ ἀν- „ τὶ τοῦ, λάκκον ὤρυξαν καὶ ἀνέσκα- „ ψαν αὐτὸν, καὶ ἐμπεσοῦνται εἰς βό- „ θρον ὃν εἰργάσαντο· καὶ λοιπὸν καὶ τὸ „ πανάγιον τοῦ Θεοῦ πνεῦμα ἐπεύχε- „ ται, ἐν τῷ εἰπεῖν, καὶ, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. η'. Ἑκουσίως θύσω σοι. Ἐγὼ δέ φησιν ὑπὸ τῆς σῆς δεδίδαγμαι χάριτος, ὡς ἐμὲ μὲν ἀ- ξιώσεις προνοίας, τοῖς δὲ κατ' ἐμοῦ τυ- φευθεῖσι κακοῖς τοὺς ταῦτα τεκταινομέ- νους περιβαλεῖς, καὶ δικαίαν κατ' αὐτῶν ἐξοίσεις τὴν ψῆφον. τοῦτο γὰρ σημαίνει

τὸ, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτοὺς, ἑκουσίως θύσω σοι. ἐγὼ δὲ τούτων ἀπολαύσας, σὺν πάσῃ προθυμίᾳ τὰς θυμήρεις σοι προσοίσω θυσίας. καὶ διδάσκων τῆς ἱερουργίας τὸ εἶδος, ἐπήγαγεν· Ἐξομολογήσομαι τῷ ὀνόματί σε Κύριε, ὅτι ἀγαθόν. θ'. Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με· καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου. Τὴν τῆς αἰνέσεώς σοι προσοίσω θυσίαν, τὰς σὰς εὐεργεσίας διεξιών. τοῦτο γὰρ καὶ μοὶ ὠφέλιμον, καὶ „ πᾶσι τοῖς ὑπὸ σοῦ „ βοηθουμένοις καὶ „ σοι καταθύμιον. δίκαιον δὲ τοῦτο πιεῖν, καὶ συμφορῶν ἀπαλλαγέντα παντοδαπῶν, καὶ τῶν πολεμίων τὸν ὄλεθρον θεασάμενον. „ ὅτι „ δὲ ταύτην οἶδε θυσίαν ὁ τῶν ὅλων Δε„ σπότης, καὶ ὁ μακάριος Παῦλος μέ„ μνηται· συμπαραλαβὼν μεθ' ἑαυτοῦ „ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ παρα„ καλῶν τοὺς τροφίμους τῆς χάριτος, „ λέγων οὕτως· παρακαλῶ δὲ ὑμᾶς διὰ „ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι „ τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁ„ γίαν, εὐάρεστον τῷ Θεῷ· καὶ τί τὸ εἶ„ δος τῆς θυσίας ἡρμήνευσεν ἐν τῷ εἰπεῖν, „ διὰ τῆς λογικῆς ὑμῶν λατρείας. „

ΕΡΜΗΝ. ΤΟΥ νδ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ἐν ὕμνοις, συνέσεως τῷ Δαβὶδ. Εἴρηκε μὲν τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, καὶ μετανάστης γενόμενος, ἐν ἐρήμῳ τε διάγειν ἀναγκαζόμενος· προθεσπίζει δὲ κατὰ ταὐτὸν καὶ τὰς τῶν Ἰουδαίων κατὰ τοῦ σωτῆρος ἐπιβουλὰς, καὶ ἐν ἑαυτῷ προδιαγράφει τὰ τοῦ Δεσπότου παθήματα. αὐτός τε γὰρ ὑπὸ τοῦ εὐεργετηθέντος Σαοὺλ ἐξηλαύνετο· καὶ ὑπό τινων γνωρίμων προυδίδοτο, καὶ τὸν Δεσπότην προεώρα τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς ταὐτὸ τοῦτο πεισόμενον, καὶ ὑπὸ τῶν εὖ πεπονθότων προδοθησόμενόν τε καὶ σταυρωθησόμενον. διά τοι τοῦτο καὶ εἰς τὸ τέλος ἡ ἐπιγραφὴ παραπέμπει τὸν ἐντυγχάνοντα, καὶ συνετῶς προσέχειν τοῖς λεγομένοις παρεγγυᾷ, ὡς τῆς προφητικῆς διανοίας κεκαλυμμένης, καὶ μετὰ χρόνον δεχομένης τὸ τέλος. πρὸς δὲ τούτοις, καὶ τοῖς ὕμνοις ὁ ψαλμὸς ἐγκατείληπται, σκιαγραφίαν τινὰ ἔχων τῶν δεσποτικῶν παθημάτων. δίκαιον γὰρ ἀεὶ ὑμνεῖν τὸν ταῦτα παθεῖν ὑπὲρ τῆς τῶν ἀνθρώπων ἀνεχόμενον σωτηρίας. ἀλλὰ μηδεὶς τῇ ταπεινότητι τῶν ῥημάτων προσέχων, ἀνάξια ταῦτα ἡγείσθω τῆς τοῦ σωτῆρος Χριστοῦ ἐνανθρωπήσεως. σκοπείτω δὲ, ὡς χολῆς, καὶ ὄξους, καὶ ἥλων, καὶ ἀκανθῶν, καὶ ἐμπτυσμάτων τε καὶ ῥαπισμάτων, καὶ πάσης ἀναχόμενος παροινίας, καὶ τὸ τελευταῖον καταδεξάμενος θάνατον, ἐκ ἀν λόγων ταπεινότητα παρητήσατο. κατάλληλα γὰρ εἶναι τὰ ῥήματα προσήκει τοῖς πράγμασιν. αὐτοῦ δέ ἐστιν ἡ φωνή· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ πάλιν, ἐντολὴν ἔλαβον τί εἴπω, καὶ τί λαλήσω, καὶ ᾠδὴν ἀπ' ἐμαυτοῦ ποιῶ· καὶ, θεέ μου, θεέ μου, ἱνατί με ἐγκατέλιπες; ταῦτα δὲ, καὶ τὰ τοιαῦτα, ἀνθρωπίνως ἐφθέγγετο, καὶ τὴν ἀνθρωπείαν φύσιν ὑποδεικνύων, καὶ οἰκοδομῶν τὴν τῶν

Ἰου-

Ἰουδαίων ἀθένειαν. ἐνταῦθα μέντοι ὁ θεῖος Δαβὶδ καὶ τὴν εἰς ἑαυτὸν γεγενημένην ἀδικίαν διδάσκει, καὶ τὴν εἰς τὸν Δεσπότην „ Χριστὸν τὸν Θεὸν ἡμῶν „ ἐσομένην προδιαγράφει, τῇ κοινωνίᾳ τῶν παθημάτων ἐναβρυνόμενος, καὶ μονονεχὶ βοῶν μετὰ τοῦ Παύλου, ἐγὼ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. „ ἐ μόνον δὲ ὁ προφήτης, „ ἀλλὰ καὶ ἅπαντες ὅσοι διὰ τὸ ὄνομα „ αὐτοῦ κοινωνοῦσι τοῖς παθήμασιν αὐ„ τοῦ, δοξασθήσονται· καθάπερ ὁ θεῖος „ Παῦλος· εἴπερ συμπάσχωμεν ἵνα καὶ „ συνδοξασθῶμεν· καὶ αὕτη μὲν τῆς ἐπι„ γραφῆς καὶ χεδὸν τοῦ παρόντος ψαλ„ μοῦ ἡ δύναμις· ἀπαρχόμενος δὲ ὁ προ„ φήτης οὕτως ἔφη „ Β'. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. γ'. Πρόσχες μοι καὶ εἰσάκουσόν μου. Διαφόρως ἱκετείας προσφέρει, δεχθῆναι πάντας ἀντιβολῶν· μὴ παρίδῃς γάρ με φησὶ ποτνιώμενον, ἀλλ' εὐμενῶς μοι πρόσχες, καὶ τὴν βοήθειαν ὄρεξον. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην. δ'. Ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὀνειδιζόμενος γάρ φησι, καὶ πολεμούμενος ὑπὸ τῶν ἀδικούντων ἐχθρῶν, καὶ τὰς παντοδαπὰς αὐτῶν ἐπιβουλὰς λογιζόμενος, ποικίλης ἀλγηδόνος „ ἀνὶ τῆς παρ' αὐτῶν „ κατ' ἐμοῦ γενομένης ἐπιβουλῆς „ ἐμπέπλησμαι. ἀδολεσχίαν γὰρ ἡ θεία γραφὴ τὴν συνεχῆ μελέτην καλεῖ. τοῦτο δὲ ὁ Σύμμαχος ἔτως ἡρμήνευσε· κατηνέχθην προσλαλῶν ἐμαυτῷ, καὶ συνεχύθην ὑπὸ φωνῆς ἐχθροῦ, ὑπὸ ἐνοχλήσεως ἀσεβοῦς. τὸν γὰρ αὐτὸν ἐχθρὸν καλεῖ καὶ ἀσεβῆ, ὡς εὐεργετέμενον μὲν, τὸν δὲ τοῦ εὐεργέτου κατασκευάζοντα φόνον. ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. σαφέστερον ὁ Σύμμαχος εἴρηκεν, ὅτι ἐπέρριψαν κατ' ἐμοῦ εἰς ἀσέβειαν, καὶ μετ' ὀργῆς ἠναντιώθησάν μοι. πονηρῷ γὰρ χρησάμενοι γνώμῃ, τὸν ἐμὸν τυρεύουσι θάνατον. ε'. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί· καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. ς'. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Ταύτην αὐτῶν τὴν δυσμένειαν, καὶ τὰς τῶν ἐπιβουλῶν θεώμενος μηχανὰς, καὶ φρίττω, καὶ δέδια, καὶ προσμένω τὸν θάνατον. καὶ θαυμαστὸν οὐδὲν, εἰ ὁ Δαβὶδ ἀποδιδράσκων, καὶ ὑπὸ πολλῶν διωκόμενος πολεμίων, ἐδεδίει τὴν τελευτὴν, καὶ ἄνθρωπος ὢν, καὶ ὑπὸ τῷ νόμῳ πολιτευόμενος, καὶ τὴν εὐαγγελικὴν πόρρωθεν ὁρῶν τελειότητα. καὶ αὐτὸς γὰρ ὁ δεσπότης Χριστὸς, καί τοι πολλάκις προειπὼν τοῖς ἱεροῖς ἀποστόλοις, καὶ προσημάνας τὸ πάθος, καὶ τῷ θεσπεσίῳ δὲ Πέτρῳ γενέσθαι τοῦτο ἀπευξαμένῳ σφοδρότερον ἐπιπλήξας, παρὰ τὸν καιρὸν τοῦ πάθους ἐβόα, νῦν ἡ ψυχή μου τεταραγκται· καὶ τοσαύτην ἀγωνίαν συνεχώρησεν ἡ θεία φύσις τὴν ἀνθρωπείαν λαβεῖν, ὡς ἱδρῶσαι μὲν αἵματος θρόμβους, ὑπ' ἀγγέλου δὲ ἐνισχυθῆναι, καὶ νικῆσαι τὸ δέος· ἔδει γὰρ καὶ ἐν τούτῳ δειχθῆναι τὴν φύσιν τὴν δεχομένην τὸ πάθος, „ καὶ τὴν „ πολλὴν μακροθυμίαν ἣν ἔχει παρὰ τὸ „ ἡμέτερον γένος ὁ φιλάνθρωπος· καὶ „ καταδέχεται πάθος σαρκὶ, καὶ ἐν τού„ τῳ τὴν ἡμετέραν βουλόμενος πραγμα-

„ τεύ-

„τεύσασθαι σωτηρίαν· ἅπαντα γοῦν „ταῦτα τὰ τῶν ῥημάτων λέγει ταπει„νὰ, ἃ δειλίας ἕνεκεν, ἄπαγε, ἀλλ' οἰ„κονομίας χάριν προβάλλεται.„ ζ'. Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πεταθήσομαι, καὶ καταπαύσω. ἡ. Ἰδὲ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Τοῦτο ὁ μακάριος πεποίηκε Δαβίδ· φυγὼν γὰρ τὸν Σαὺλ, καὶ πάλιν τῶν ἐν τῇ Γὲθ ἀλλοφύλων τὴν δυσμένειαν θεασάμενος, εἰς τὴν ἔρημον ἀπέδρα, ὡς ἡ πρώτη τῶν βασιλειῶν ἱστορία διδάσκει· καὶ ὁ Δεσπότης δὲ Χριστὸς, πολλάκις μὲν εἰς τὸ ὄρος, πολλάκις δὲ εἰς τὴν ἔρημον ὑπεχώρησε, τὸν τῶν Ἰουδαίων φθόνον ἐκκλίνων. Θαυμάσαι δὲ ἄξιον τὸν μέγαν Δαβὶδ, περιστερᾶς καὶ ἐκ ἄλλα ὀρνέου πτέρυγας λαβεῖν ἐθελήσαντα· δῆλος γάρ ἐστι τῆς πνευματικῆς χάριτος ἐφιέμενος, τῆς ἐν εἴδει περιστερᾶς ἐπιπλάσης. θ'. Προσδεχόμην τὸν Θεὸν, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. Τοσούτοις γάρ φησι περικλυζόμενος κύμασι, καὶ οἷον τινων πνευμάτων, ἢ σφοδρῶν ἀνέμων δεχόμενος προσβολὰς, τὴν θείαν προσμένω ῥοπὴν, καὶ τῇ τῆς ἐπικουρίας ἐλπίδι ψυχαγωγοῦμαι. ί. Καταπόντισον Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν. Ἐπειδὴ κακῆ κέχρηνται συμφωνίᾳ, διάλυσον αὐτῶν Δέσποτα τὴν ὁμόνοιαν. Ὅτι εἶδον ἀνομίαν, καὶ ἀντιλογίαν ἐν τῇ πόλει. ια'. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς. „τοῦτο „μὲν οἱ Ἀσσύριοι, τοῦτο δὲ οἱ Αἰγύπτιοι „καὶ χρόνον ὕστερον καὶ ἡ τῶν Ῥωμαίων „δυναστεία.„ καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς. ιβ'. Καὶ ἀδικία, καὶ ἐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Τῷ μακαρίῳ Δαβὶδ ἐκ οἷμαι ἁρμόττειν ταῦτα τὰ ῥήματα. ἐδὲ γὰρ ἡ Ἱερουσαλὴμ κατ' ἐκεῖνον τὸν καιρὸν ὑπὸ Ἰουδαίων κατείχετο, ἐδὲ ἄλλη τις βασιλικὴ ἐνενόμιτο πόλις. ἀλλ' ἔοικε τῆς Ἱερουσαλὴμ τὴν ἀντιλογίαν καὶ παρανομίαν προλέγειν ὁμοῦ, καὶ τῆς πονηρίας αὐτῆς διεξιέναι τὰ εἴδη, τὴν ἀνομίαν, τὴν ἀδικίαν, τὸν τόκον, τὸν δόλον· ἅπερ ἀσπαζόμενοι, τοὺς ἐπωφελεῖς τῇ σωτῆρος ἐκ ἐδέχοντο νόμους. ἐπισημήνασθαι μέν τοι προσήκει, ὡς οὐ μόνον τῆς καινῆς διαθήκης ἡ τελειότης, ἀλλὰ καὶ ἡ νομικὴ πολιτεία, τῇ τόκου κατηγορεῖ, καὶ τῇ ἀνομίᾳ, καὶ τῇ ἀδικίᾳ, καὶ τῷ δόλῳ τοῦτον συζεύγνυσιν. ιγ'. Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἂν· καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. „ἀντὶ τοῦ τὸν παρ' αὐτοῦ „κατ' ἐμοῦ δόλον εἰ ἔγνων, ἐκρύβην ἂν „ἀπ' αὐτοῦ.„ Ἀλλὰ τὰ μὲν παρὰ τῶν δυσμενῶν γινόμενα εἰσὰ ἡγοῦμαι καὶ Φορητά. ὑπὸ γὰρ ἐχθρῶν ταῦτα δρᾶται καὶ πολεμίων. ἄλλως τε καὶ τὸν προφανῆ πόλεμον διαφυγεῖν τυχὸν δυνατόν. ιδ'. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου. ιε. Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλυκανάς μοι ἐδέσματα. ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Πάντων ἀνιαρώτατον εἶναί μοι δοκεῖ, τὸ ἄνδρα συνήθη, καὶ ὁμογνώμονα, καὶ ὁμοτράπεζόν μοι, καὶ σύσσιτόν μοι γεγενημένον, καὶ θείων μοι καὶ ἀνθρωπείων κεκοινωνηκότα πραγμάτων, τὰ δυσμενῶν δρᾶσαι καὶ πολεμίων·

μίων· σαφῶς δὲ διὰ τέτων ἡμῖν τῶν λόγων ἡ προφητικὴ χάρις τὸν προδότην Ἰέδαν διέγραψεν, ἡγεμόνα μὲν ὑπὸ τοῦ βασιλέως χειροτονηθέντα Χριστοῦ· καταξήσεις γὰρ αὐτὸς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν· τραπέζης δὲ αὐτῷ καὶ μυστικῶν κεκοινωνηκότα λόγων, ὄργανον δὲ τῶν ἐπιβουλευόντων γεγενημένον. ἀντὶ μέν τοι τῦ ἡγεμών με, ὁ Σύμμαχος, συνήθης μὲ ἡρμήνευσεν. ταῦτα δὲ τῷ μακαρίῳ ἀδαμῶς ἁρμότει Δαβίδ· ἀδεὶς γὰρ αὐτὸν, ὑπὸ τῦ Σαὺλ διωκόμενον, τῶν εὐσεβάτων προδέδωκεν. ἔτε γὰρ ὁ Δωὴκ, ἔτε οἱ Ζιφαῖοι, τῶν γνησίων αὐτῦ φίλων ἐτύγχανον. τῇ δὲ τῶν εὐαγγελίων ἱστορίᾳ ἡ προφητικὴ συμβαίνει· ὁ ἐσθίων, φησὶ, μετ' ἐμῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτῦ. ἕτω τὴν προδοσίαν προαγορεύσας, καὶ τὸν αἰφνίδιον αὐτῦ θάνατον προδεσπίζει. „καὶ μέχρι νῦν ἔστιν ἰδεῖν τὸν αὐ„τὸν δόλον καὶ φόνον παρά τισι πλεο„νάζοντα, ὡς ἡ τῶν πραγμάτων ἡμᾶς „ἔκβασις πείθει. ἃ μόνον γὰρ τῶν ἄλλων „κοινωνῆντες προδιδόασι τὰς παρέχον„τας τάτας, ἀλλὰ γὰρ καὶ τῶν θείων „καὶ ἀποῤῥήτων μυστηρίων μέτοχοι γε„νόμενοι ἀλλήλους οὐ μόνον προδιδόα„σιν, ἀλλὰ καὶ θανάτους κατασκευά„ζουσι, καὶ τοῦτο ὅρκων μεσιτευόντων. „καὶ ὁ μὲν Παῦλος οὐ παύεται διαμαρ„τυρόμενος ἐν πάσῃ τῇ οἰκουμένῃ τοῖς „διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν „οἷς ἀδύνατον ψεύσασθαι· τὸν ὅρκον λέ„γω καὶ τὴν πίστιν· τινὲς δὲ οὐκ οἶδ' ὅπως „μετατιθέναι πειρῶνται τὰ ἀμφότερα· „μᾶλλον δὲ μετατεθείκασι, μήτε πρὸς „τοὺς εὐεργέτας, μήτε περὶ τὴν πίστιν, „μήτε εἰς αὐτὸν τῶν πάντων Δεσπότην „ὀρθὸν σκοπὸν φυλάττοντες. διὸ δὴ τὸ „προφητικὸν πνεῦμα ἀποφαινόμενον „κατ' αὐτῶν οὕτως ἔφη „ ις'. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτοὺς· καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες. „Τοι„αὐτην αὐτοῖς ἀπειλεῖ τὴν ψῆφον βα„λόμενος ἀναξεῖλαι τὴν πονηρὰν αὐ„τῶν γνώμην. „ Τοιοῦτο δὲ τοῦ βίου τὸ τέλος ἐδέξατο. τῇ γὰρ ἀγχόνῃ τὴν δέρην προσθήσας, σύντομον ὑπέμεινε θάνατον· τοιαύτας καὶ οἱ Ἰουδαῖοι μετὰ τὸν σταυρὸν περιέπεσον συμφοραῖς, τῷ Ῥωμαϊκῷ παραδοθέντες πολέμῳ. οὐ γὰρ τῷ νόμῳ τῆς φύσεως ὑπεξῆλθον τὸν βίον, ἀλλ' ὅπλοις πολεμικοῖς κατακοντιζόμενοι. „ εἰ δὲ „καί τις τῶν Φαύλων δόξαιεν κοινῷ θα„νάτῳ καταλύειν τὸν βίον, μετὰ τὴν „ἔνθεν ἀνάστασιν διπλῆν τὴν κατ' αὐ„τοῦ δέξεται τιμωρίαν. τινῶν γὰρ, φη„σὶν, ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοι, „προάγουσιν εἰς κρίσιν· τισὶ δὲ καὶ „ἐπακολουθοῦσιν. „ εἶτα δείκνυσι τῆς τιμωρίας τὸ δίκαιον. ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. „ἀνὶ„τὲ εἰς τὸ μέσον, εἰς αὐτὴν τὴν καρδίαν „πονηρία βλαστήσασα τὴν θανατικὴν τῆς „τιμωρίας αὐτοῖς ἐπάγει ψῆφον. „ παροικίαν δὲ καλεῖ τὴν παροῦσαν ζωὴν, ἐν ᾗ παροικοῦμεν, οὐ κατοικοῦμεν. „καὶ μα„κάριοι οἱ παροικίαν ἡγούμενοι τὸν πα„ρόντα βίον καὶ μὴ κατοικίαν· εἶτα εἰ„ρηκὼς τὰ παρὰ τῶν παρανόμων, εἰς „τοὺς ἀδικουμένους καὶ μὴ ἐγκαταλιμ„πανομένους παρὰ τῆς ἄνωθεν ῥοπῆς „μετατίθησι τὸν λόγον ὁ προφήτης. „ ιζ'. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ

ὁ Κύριος εἰσήκουσέ μου. „οὐ γὰρ μό-
„νον τὸν πατέρα, φησὶ, παρακαλεῖν με-
„μάθηκα, ἀλλὰ γὰρ καὶ τὸν μονογενῆ
„αὐτοῦ υἱὸν, τὸν διὰ πολλὴν φιλανθρω-
„πίαν, μικρὸν ὕστερον ἐξ ἐμοῦ τὴν κατὰ
„σάρκα οἰκονομίαν μέλλοντα καταδέχε-
„σθαι. διὸ δὴ „ μ΄. Ἑσπέρας καὶ
πρωὶ καὶ μεσημβρίας διηγήσομαι, καὶ
ἀπαγγελῶ, καὶ εἰσακούσεταί μου τῆς φω-
νῆς μου. „ταύτης δὲ δεχθείσης παρὰ
„τοῦ φιλανθρώπου„ ιθ΄. Λυτρώσεται
ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ ἐγγιζόντων
μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. Τὴν ἐν-
δελεχῆ μου, φησὶν ὁ Δαβὶδ θεώμενος
προσευχὴν, τὴν νύκτωρ καὶ μεθ' ἡμέραν
παρ' ἐμὲ προσφερομένην, ἀπαλλάξει με
τῶν πολεμούντων, καὶ χαριεῖται εἰρήνην.
„οὐ μόνον δὲ ἐμοὶ, φησὶ, ἀλλὰ γὰρ
„καὶ ἅπασι τοῖς εἰς αὐτὸν πεποιθόσιν.„
τὸ δὲ ἐν πολλοῖς ἦσαν σὺν ἐμοί, τὸ πολ-
λοὺς εἶναι τοὺς πολεμίους δηλοῖ. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευ-
σε· πολλοὶ γὰρ ἐγένοντο πρός με.
κ΄. Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπει-
νώσει αὐτούς, „δίκαιος γάρ ἐστι καὶ οἷ-
„δεν ἑτάζων καρδίαν καὶ νεφρούς,„
ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Δε-
ξάμενος δέ μου τὴν δέησιν ὁ ἀεὶ Θεὸς,
ἀθενείᾳ περιβαλεῖ τοὺς ἐπιβουλεύ-
οντας. οὐ γάρ ἐστιν αὐτοῖς ἀνταλ-
λαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν
Θεόν. τοῦτο ὁ Σύμμαχος οὕτως ἡρ-
μήνευσεν· οὐ γὰρ ἀλλάσσονται, οὐδὲ φο-
βοῦνται τὸν Θεόν. „οὐδὲ γὰρ ἀλ-
„λάσσεται αὐτῶν ἡ πονηρὰ γνώμη, οὐ-
„δὲ φοβοῦνται τὸν Θεόν· διὸ δὴ „ ὁρῶν
αὐτῶν φησὶν τὸν ἀμεταμέλητον τρό-
πον, ταῖς προσερημέναις συμφοραῖς πε-
ριβαλεῖ. καὶ· Ἐξέτεινε τὴν χεῖρα
αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Τοῦτο
οἱ τρεῖς οὕτως ἡρμήνευσαν· ἐξέτεινε τὴν
χεῖρα αὐτοῦ εἰς τοὺς εἰρηνεύοντας ἐν
αὐτῷ πρὸς αὐτόν· οὐ γὰρ πολέμιον ὁ
Σαοὺλ ἐδίωκεν, ἀλλ' εὐεργέτην, καὶ συν-
ήθη, καὶ γνώριμον. οὐδὲ ἐχθρὸν ὁ Ἰού-
δας προδέδωκεν· ἀλλὰ σωτῆρα, καὶ
τῶν ἀγαθῶν χορηγόν. τὸ τοίνυν, ἐξέτει-
νε τὴν χεῖρα αὐτῆ ἐν τῷ ἀποδιδόναι,
τοῦτο δηλοῖ, ὅτι ἐκτείνας τὴν χεῖρα,
ὥσε τὰς ἀντιδόσεις ἐκτίσαι, ἀγαθὸν μὲν
οὐδὲν προσενήνοχεν· πάντα δὲ πονηρίας
μεστά. „ἀλλ' ὅμως καὶ ὁ Ἰούδας οὐ
„μόνον εἰς τὸ προδοῦναι τὴν χεῖρα αὐ-
„τοῦ ἐξέτεινε, ἀλλὰ γὰρ καὶ ἀποσρέ-
„ψας τὰ τριάκοντα ἀργύρια, ἃ μετὰ
„τὴν ἐκείνου ἀγχόνην ἐνέβαλον οἱ θε-
„κτόνοι εἰς τὸν κορβανᾶν.„ καὶ τῦ-
το δηλοῖ τὰ ἐπαγόμενα· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. τοῦ
γὰρ θείου νόμου διαγορεύοντος ἀγαπᾶν
τὸν πλησίον ὡς ἑαυτὸν, τὸν εὐεργέ-
την ὡς πολέμιον ἐδίωκον. „οὐ μόνον
„δὲ, ἀλλὰ καὶ σαυρῷ κατέκριναν· διὸ
„ἐπήγαγε„ κβ΄. Διεμερίσθησαν ἀ-
πὸ ὀργῆς τοῦ προσώπου αὐτῶν· καὶ
ἤγγισαν αἱ καρδίαι αὐτῶν. Ὀργῇ
γὰρ δουλεύσαντες, ἕτερα μὲν ἐμέμ-
φοντο, ἕτερα δὲ ἐβουλεύοντο. οὕτω
γὰρ ὁ Σύμμαχος ἡρμήνευσε· λειότε-
ρα βουτύρου τὰ σώματα αὐτῶν· πο-
λεμεῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν. τύ-
τῳ δὲ καὶ τὸ ἐπαγόμενον συμφωνεῖ.
ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ
ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. τοι-
αῦτα δὲ ἦν καὶ τοῦ Σαοὺλ, καὶ τοῦ
Ἰούδα τὰ ῥήματα. ὁ μὲν γὰρ Σαοὺλ

πρὸς

πρὸς τὸν Δαβὶδ ἔλεγεν, εἰ σὺ εἶ τέκνον Δαβίδ· ὁ δὲ Ἰούδας, μήτι ἐγώ εἰμι Ῥαββί; „ καὶ πολλοὶ τὰ αὐτὰ νοσοῦν„τες φιλίας ὄηθεν περικείμενοι ἐπικά„λυμμα πρὸς τοὺς παρ' αὐτῶν ἀδικου„μένους φασίν· μή τι ἐγώ σε ἠδίκηκα; „τὸ αὐτὸ δὲ πάλιν ὁ Ἰούδας χαῖρε λέ„γει Ῥαββί· „ καὶ κατεφίλησεν αὐτόν· καὶ ἐῴκει μὲν τὰ ῥήματα ἐλαίου καὶ βουτύρου λειότητι· τὰ δὲ βουλεύματα, βέλεσι καὶ δόρασιν ὀξυτάτοις. „λόγχαι γὰρ μᾶλλον ὑπῆρχον αἱ „βολίδες αὐτῶν· „ λόγχας γὰρ ὁ Ἀκύλας τὰς βολίδας ἡρμήνευσεν. οὕτω ταῦτα ὁ θεῖος Δαβὶδ καὶ περὶ τῶν αὐτῷ συμβεβηκότων διεξελθὼν, καὶ τὰς δεσποτικὰς προθεὶς ἐπιβουλὰς, συμβουλὴν πᾶσιν ἀνθρώποις προσφέρει, τὴν εἰς Θεὸν ἔχειν ἐλπίδα παρεγγυῶν. κγ'. Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου· καὶ αὐτός σε διαθρέψει. „Οὐ μόνον, φησὶ, ἐνταῦθα δοξάσει, „ἀλλα καὶ ἐν τῇ παλιγγενεσίᾳ τῆς θεο„πτίας ἀξιώσει· οὐκοῦν „ Κυβερνήτην ἔχε φησὶ τὸν Θεὸν, καὶ ἡνίοχον· καὶ τὰ κατὰ σαυτὸν τῆς προνοίας ἐκείνης ἐξάρτησον· οὕτω γὰρ ἀσάλευτος διαμενεῖς καὶ ἀκλόνητος· καὶ γάρ φησιν, οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. κἂν γὰρ συγχωρήσῃ ποτὲ περιπεσεῖν πειρασμῷ, ἀλλὰ ταχεῖαν παρέξει βοήθειαν. ἀτεχνῶς δὲ τοῦτο ἔοικε τοῖς ἀποστολικοῖς ῥητοῖς, πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. κδ'. Σὺ δὲ ὁ Θεὸς καταζεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Τοὺς γὰρ ἐπιβουλεύειν τῷ δικαίῳ τολμῶντας τιμωρίας παραδώσει δικηκεῖ· φρέαρ γὰρ διαφθορᾶς τὴν ἄφυκτον ἐκάλεσε τιμωρίαν. ὥσπερ γὰρ τὸν εἰς φρέαρ ἐμπεπλωκότα, ἰλύος τινὸς καὶ βορβόρου μεστὸν, διαφυγεῖν τὸν ὄλεθρον τῶν ἀδυνάτων· οὕτω τὸν ὑπὸ Θεοῦ κολαζόμενον οὐκ ἔνεξιν ἑτέρωθεν σωτηρίαν εὑρεῖν. „καὶ ἀκούετε, φησὶν, „οἱ δείλιοι. „ ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν. τοῖς γὰρ μιαιφονίαις καὶ δόλῳ συζῆν αἱρουμένοις ταχὺν ἐπάγει τὸν θάνατον· οὐκ ἐῶν τὸν νενομισμένον διαβιῶναι χρόνον. „καὶ ταῦτα „ἐκείνοις ἐγὼ δέ, φησὶν ὁ Δαβὶδ, καὶ ὅσοι „κατ' ἐμὲ τὴν ἄνωθεν καταδοκοῦμεν „ἐλπὴν, σωθησόμεθα. διὰ γὰρ τῶν ἑξῆς „σαφέστερον αὐτὸ ἡρμήνευσεν, εἰπών· „ ἐγὼ δὲ Κύριε ἐλπιῶ ἐπί σε. ταύτην γάρ σου τὴν δύναμιν, καὶ τὴν δικαίαν ἐπιτάμενος ψῆφον, τὴν παρά σου προσμένω βοήθειαν.

ΕΡΜΗΝ. ΤΟΥ νε' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τῷ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαβὶδ εἰς ἐγκαινισμὸν. ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. Σημαίνει καὶ ἡ ἐπιγραφὴ, ὡς διὰ πλῆ τοῦ ψαλμοῦ ἡ διάνοια, καὶ αὐτῷ ἁρμόττουσα τῷ Δαβὶδ, καὶ τῷ λαῷ τῷ δορυαλώτῳ γεγενημένῳ, καὶ τὴν ἀλλοτρίαν οἰκεῖν ἠναγκασμένῳ· „ ἀλλὰ „καὶ πολλοῖς τῶν ἐφεξῆς. τὸ γὰρ ὑπὲρ „τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ὁσίων κεκρυμ„μένου, ἢ αἰχμαλωτισθέντος, καὶ χωρι„σθέντος τῆς τηνικαῦτα ἁγίας πόλεως,

„ἦτις ἦν ἡ Ἱερουσαλήμ, ἢ τοῦ μακρύ-
„νοντος ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ, ὃ ἐστὶν,
„ἀπὸ τῆς εἰς αὐτὸν πίστεως.„ συμβαί-
νει γὰρ τὰ παθήματα. ἐκεῖνοί τε
γὰρ Βαβυλωνίοις ἐδούλευον ἀλλοφύλοις
ἀνθρώποις· καὶ οὗτος ἀποδρὰς τὸν
Σαοὺλ, μέτοικος ἀλλοφύλων ἐγένε-
το. ἰξέον μέν τοι, ὅτι δὶς ἀφῖκτο εἰς τὴν
Γέθ· καὶ πρότερον μὲν πολέμιος εἶναι
δόξας, εἶτα κινδυνεύσας, καὶ ἐπιλη̃ψίαν
ὑποκρινάμενος, ἀφέθη τε καὶ διέφυγεν.
ὕστερον δὲ θαρρηθεὶς συνδιέτριβεν ἀπο-
λαύων εἰρήνης. τὸν μέν τοι παρόντα
ψαλμὸν, τὸν πρότερον μὲν κίνδυνον ὑπο-
μείνας συνέγραψεν. β΄. Ἐλέησόν με
ὁ Θεὸς, ὅτι κατεπάτησέν με ἄνθρωπος·
ὅλην τὴν ἡμέραν πολεμῶν ἐθλι̃ψέ με.
γ΄. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην
τὴν ἡμέραν. Ὑπὸ διαφόρων ἐχθρῶν
ἐξελαυνόμενός τε καὶ πολεμούμενος,
καὶ οἱονεὶ συμπατούμενος, καὶ δικαίως
τοῦτο πάσχων, τὴν σὴν, ὦ Δέσποτα, φι-
λανθρωπίαν προσμένω. τὸ δὲ ὅλην
τὴν ἡμέραν, πᾶσαν ἡμέραν ὁ Σύμ-
μαχος ἡρμήνευσεν, ἀντὶ τοῦ ἐνδελεχῶς
καὶ διηνεκῶς. ὅτι πολλοὶ οἱ πολε-
μοῦντές με ἀπὸ ὕψους. „ἀντὶ τοῦ,
„ἀπὸ τῆς δυναστείας αὐτῶν.„ οὐ δέ-
δια φησὶ τὰς τῶν ἀνθρώπων εὐημε-
ρίας, εἰς θαρρου̃ντες τὸν καθ' ἡμῶν ἀν-
εδέξαντο πόλεμον. ὕψος γὰρ ἡμέ-
ρας, τὴν παρου̃σαν ἐκάλεσεν εὐπραξίαν,
τὴν πρόσκαιρον, τὴν ἐφήμερον, τὴν ἐπί-
κηρον, τὴν οὐκ εἰς μακρὰν διαρρέουσαν·
εἶτα διδάσκει τίνος χάριν οὐ χρὴ δειμαί-
νειν τοὺς ἐπὶ ταῖς εὐημερίαις βρεν-
θυομένους. δ΄. Ἡμέρας οὐ φοβηθήσο-
μαι· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ. Τὴν
πρόσκαιρον φησιν εὐκληρίαν οὐ δέδια,
τὴν σὴν ἔχων ἐπικουρίαν· τοῦτο δὲ ὁ
Σύμμαχος οὕτως ἡρμήνευσεν, ἢ ἂν ἡμέ-
ρᾳ φοβηθῶ, σοὶ πέποιθα. ἀντιτάττω,
φησὶ, τῷ φόβῳ τὸ ἐπί σοι θάρσος.
„Καλῶς οὖν τέθεικε τὸ ἐγὼ δὲ ἐλ-
„πιῶ ἐπὶ σέ· ἀντὶ τοῦ οὐδὲ γάρ ἐστιν ἄλ-
„λος, οὐκ ἔστι δυνάμενος ῥύσασθαι τοὺς
„πειραζομένους ἐκ τῶν ἐπιβουλευόντων,
„εἰ μὴ ἡ σὴ μόνη ὦ Δέσποτα προμή-
„θεια. καὶ σαφέστερον αὐτὸ ἐλάμπρυνε
„διὰ τῶν εἰπεῖν· „ ε΄. Ἐν τῷ Θεῷ ἐπαι-
νέσω τοὺς λόγους μου· „ἐπαινετὰ
„φησι παρὰ τῷ Θεῷ αἱ προσευχαὶ,
„ἃς ἐκτενεῖς διὰ τῆς μετανοίας αὐτῷ
„προσφέρων οὐ παύσομαι·„ ἐπὶ τῷ
Θεῷ ἤλπισα, οὐ φοβηθήσομαί τι ποιή-
σει μοι σάρξ. „σάρκα τοὺς πα-
„χυτέρους καὶ χαμαιρρεπῆ τὸν βίον
„κεκτημένους ἀνθρώπους λέγει.„ Καὶ
φθεγγόμενός φησι, τῇ τοῦ Θεοῦ μνήμῃ
τοὺς ἐμοὺς λόγους κοσμῶ· καὶ πολεμέ-
μενος, τῇ σῇ κηδεμονίᾳ θαρρῶν, τῶν πο-
λεμούντων καταφρονῶ. ς΄. Ὅλην
τὴν ἡμέραν τοὺς λόγους μου ἐδδε-
λύσσοντο. κατ' ἐμοῦ πάντες οἱ διαλογι-
σμοὶ αὐτῶν εἰς κακόν. Πάντα, φη-
σὶ, λογισμὸν εἰς τὰς κατ' ἐμοῦ κινοῦσιν
ἐπιβουλὰς, ὡς ψευδεῖς τοὺς ἐμοὺς ἀπο-
στρεφόμενοι λόγους, καὶ τὴν προσφερο-
μένην ἀπολογίαν ἀπορρίπτοντες. „τὸ
„αὐτὸ δὲ μέχρι τοῦ παρόντος ἐστὶν ἰδεῖν
„ὑπομένοντας πολλοὺς παρά τινων ἀν-
„θρώπων καὶ δαιμόνων.„ ζ΄. Πα-
ροικήσουσι καὶ κατακρύψουσιν, αὐτοὶ
τὴν πτέρναν μου φυλάξουσιν· κα-
θάπερ ὑπέμειναν τὴν ψυχήν μου.
Σαφέστερον τοῦτο ὁ Σύμμαχος ἡρμή-
νευσε,

νευσε, συνήγοντο λάθρα, καὶ τὰ ἴχνη μου παρετήρουν, προσδοκῶντες τὴν ψυχήν μου. δεδήλωκε δὲ διὰ τῶν εἰρημένων τοὺς λόχους αὐτῶν, καὶ τὰς ἐνέδρας, καὶ τὰς ἐπιβουλάς. ή. Ὑπὲρ τοῦ μηθενὸς ὥσεις αὐτούς. Ῥᾴδιόν σοι, Φησὶ, καὶ λίαν εὐπετὲς ὧσαι αὐτοὺς, καὶ καταβαλεῖν, καὶ παραδοῦναι θανάτῳ· τὸ γὰρ ὑπὲρ τοῦ μηθενὸς, ἀντὶ τοῦ ἀπόνως καὶ ῥᾳδίως τέθεικε. ἐν ὀργῇ λαοὺς καταξεις αὐτοὺς ὁ Θεός. οὐ γὰρ τούτους μόνους, ἀλλὰ καὶ πάντας τοὺς παρανομίᾳ συζῆν προαιρουμένους, κολάσει παραδώσεις „ὀργῆς πεπληρωμένη.„ θ. Τὴν ζωήν μου ἐξήγγειλά σοι. Πάντα σοι τὰ ἐμὰ δῆλα καθέστηκε, τὰ πράγματα, τὰ ῥήματα, τὰ ἐνθυμήματα. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε, τὰ ἔνδον μου ἐξηριθμηταί σοι. ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. ἐπένευσάς Φησι τοῖς ἐμοῖς δάκρυσι, καὶ τὰς ἐπαγγελίας πεπλήρωκας. σὺ γὰρ ὑπέσχου νομοθετῶν τῶν ἀδικουμένων ἐπακούειν ξενόντων. οὕτω γὰρ ἐν τῷ νόμῳ Φησί· ξενάξει πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι. ί. Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω. Σοῦ δὲ τὴν ἐμὴν δέησιν δεξαμένου, φεύξονται οἱ πολέμιοι, καὶ τῆς θρασύτητος παύσονται. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαι, ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ. δεχόμενος γὰρ τὰς αἰτήσεις, δι' αὐτῶν πείθομαι τῶν πραγμάτων, ὅσην μου κηδεμονίαν ποιῇ. ια. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα· ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαί τι ποιήσει μοι ἄνθρωπος. „καλὸς καὶ ἐνταῦθα ὁ προ„φητικὸς νοῦς. πῶς ἴσην τὴν προσευχὴν „τῇ ἀχράντῳ καὶ ὁμοουσίῳ τριάδι προσ„φέρει; „ Οὐδὲ φθέγξασθαί φησιν ἄνευ τῆς σῆς ἐπικλήσεως ἀνέξομαι. ἀλλὰ καὶ σμικρὸν ῥῆμα προσφέρων, καὶ μακροτέροις χρώμενος λόγοις, τῇ σῇ τούτους προσηγορίᾳ κοσμήσω, καί σοι πεποιθὼς καταφρονήσω τῶν ἀνθρωπίνων ἐπιβουλῶν. ιβ. Ἐν ἐμοὶ ὁ Θεὸς εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι. Τὰς ὑποχέσεις σοι Φησὶν εὐγνωμόνως ἐκτίσω· εὐχὰς γὰρ, τὰς πρὸς τὸν Θεὸν ὑποχέσεις καλεῖ· οὕτω καὶ ἀλλαχοῦ· ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. εἶτα διδάσκει ὑπὲρ τίνων, καὶ τίνες αἱ ὑποχέσεις. ιγ. Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου· τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων· καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος, „διὰ πάντων με τε„των θωρακίσας καὶ ἀσφαλισάμενος· „καὶ ἑδραίαν ἔχειν τὴν πεποίθησιν ἐπὶ „τούτοις πεπιστευκὼς ἐν τούτοις πληρώ„σω καὶ τὴν παροῦσαν ᾠδήν.„ εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων. Τοσούτων γὰρ εὐεργεσιῶν ἀπολαύσας, καὶ τῶν διαφόρων ἐπιβουλῶν κρείττων φανεὶς, τῆς σῆς φροντιῶ θεραπείας, καὶ πολιτείαν αἱρήσομαι, ἣ σοι μὲν ἀρέσει, ἐμοὶ δὲ προξενήσει ζωὴν τὴν αἰώνιον, καὶ τὸ φῶς ἐκεῖνο τὸ τοῖς ἐννόμως ζῶσιν ἐπηγγελμένον. ταῦτα δὲ, ὡς ἔφην, καὶ τῷ μακαρίῳ ἁρμόττει Δαβὶδ, καὶ τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις. ἁρμόττει δὲ καὶ

καὶ ἡμῖν, πολλὰς μὲν ὑπομένουσι παρὰ ἀνθρώπων, καὶ παρὰ δαιμόνων, ἐπιβουλάς. διὰ δὲ τῆς θείας κηδεμονίας, τὴν ἐκεῖθεν φυομένην διαφεύγουσι λώβην.

ΕΡΜΗΝ. ΤΟΥ νε΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαβὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαὺλ εἰς τὸ σπήλαιον. Καὶ τὸν πρότερον καὶ τὸν δεύτερον διαφυγὼν κίνδυνον „ὁ μέγας Δαβὶδ,„ ὥσπερ ἐν στήλῃ τινὶ, τῇ μνήμῃ τὴν θείαν εὐεργεσίαν ἀνέγραψε. καὶ εἰς τὸ τέλος δὲ καὶ ἕτος κἀκεῖνος παραπέμπει τὲς ἐντυγχάνοντας· ἐπειδὴ προρρήσιν ἔχουσιν ἐσομένων πραγμάτων. ἐκεῖνος μὲν γὰρ τὰ κατὰ τὸν λαὸν προηγόρευσεν· ἕτος δὲ τῶν ἐθνῶν προθεσπίζει τὴν κλῆσιν. πρόσκειται δὲ τὸ μὴ διαφθείρῃς, τῷ Δαβὶδ τὸν λογισμὸν ἡμῖν ἐκκαλύπλον. ἐπειδὴ γὰρ δυνάμενος ἀνελεῖν τὸν Σαὺλ, καὶ τῇ σφαγῇ καταλῦσαι τὸν πολέμιον, καὶ τὴν ἡγεμονείαν λαβεῖν, οὐκ ἠνέσχετο. μονονεχὶ πρὸς ἑαυτὸν εἰρηκὼς, μὴ διαφθείρῃς τῆς ἀμνησικακίας τὴν ἀρετήν. μὴ γένοιτο γάρ μοι, φησὶν, ἐποῖσαι τὴν χεῖρά μὲ ἐπ' αὐτὸν, ὅτι χριστὸς Κυρίε ἐσίν. εἰκότως τῇ ἐπιγραφῇ τὸ μὴ διαφθείρῃς προστέθεικε, διδάσκων τίσιν χρησάμενος λογισμοῖς ἐκ ἀνεῖλε τὸν δυσμενῆ. β΄. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μὲ· καὶ ἐν τῇ σκιᾷ τῶν πλερύγων σου ἐλπιῶ, ἕως ἂ παρέλθῃ ἡ ἀνομία. Καθειργμένος ἐν τῷ σπηλαίῳ, καὶ τοὺς πολεμίες καθειργμένους ὁρῶν, τὸν θεῖον ἔλεον ἀπαγγέλλει, καὶ ἣν ἔχει πρὸς τὸν Θεὸν ἐλπίδα γυμνοῖ· σκιὰν δὲ πτερύγων πολλάκις ἡρμήνευσεν, ὅτι τὴν θείαν κηδεμονίαν καλεῖ. ὁ δὲ τῶ ἐλέους διπλασιασμὸς τὴν ὑπερβολὴν τῶ κινδύνε παραδηλοῖ. τὸ δὲ ἕως ἂ παρέλθῃ ἡ ἀνομία, σαφέσερον ὁ Ἀκύλας ἡρμήνευσεν, ἕως οὗ παρέλθῃ ἡ ἐπιβελή. ὁ δὲ Σύμμαχος ἕως ἂν παρέλθῃ ὁ ἐπηρεασής. ἐ παύσομαι τοίνυν, φησὶν, ἱκετεύων, ἕως ἂν τῶν ἐπιβουλευόντων ἀπαλλαγῶ. τὲς γὰρ ἐπιβουλεύοντας οἱ ἑβδομήκοντα ἀνομίαν ἀπὸ τῶ πράγματος προσηγόρευσαν. γ΄. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψισον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Τῆς θείας ἐπικουρίας τὴν πεῖραν ἔχων διδάσκαλον, συνήθως ἀπολαῦσαι ταύτης ἀντιβολῶ. κραυγὴν δὲ τὴν τῆς ψυχῆς προθυμίαν καλεῖ. δ΄. Ἐξαπέσειλεν ἐξ οὐρανῦ, καὶ ἔσωσέ με· ἔδωκεν εἰς ὄνειδος τὲς καταπατῦντάς με. Ἄνωθέν με γὰρ τῆς οἰκείας ἀξιώσας προνοίας· καταγελάσας ἀπέφηνέ μου τὲς δυσμενεῖς. διδάσκει δὲ καὶ ἡ ἱσορία, ὡς ἀναξάντι τῷ Σαὺλ ἠκολούθησε, καὶ πόρρω γενομένῳ τὴν νύκτωρ παραχεθεῖσαν εὐεργεσίαν δεδήλωκε, καὶ ὅτι λαβὼν ὑποχείριον ἐκ ἐπήνεγκε τὴν πληγήν· ὄνειδος δὲ τῦτο μέγισον ἦν τῷ σεσωσμένῳ καταπολεμῦντι τὸν σεσωκότα. „διὸ „δὴ βοᾷ εὐχαριςῶν·„ Ἐξαπέσειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτῦ, καὶ τὴν ἀλήθειαν αὐτῦ. ε΄. Καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων. Δικαίας φησὶν ἀπολαύσας φιλανθρωπίας, τῆς τῶν πολεμίων ἀπηλλάγην θηριωδίας. λεόν-

λεόντων γὰρ δίκην ἐπίεσαν διασπᾶσαι βουλόμενοι· τὴν δὲ ἀλήθειαν τῷ ἐλέῳ συνέζευξε, τὸ δίκαιον τῆς φιλανθρωπίας δεικνύς. ἐκοιμήθην τεταραγμένος. τοῦτο ὁ Θεοδοτίων ἔτως ἡρμήνευσεν, ἐκοιμήθην μετὰ ἀναλισκόντων. ὁ δὲ Ἀκύλας, μετὰ λάβρων· ὁ δὲ Σύμμαχος, μετὰ Φλεγόντων· „ἀντὶ τοῦ ἐκοιμή„θην χεδὸν μετὰ ἀναλισκόντων λογι„σμῶν· λάβρως γὰρ μὲ κατέδακνον, ὡς „χεδὸν καὶ καταφλέγειν με τὴν διά„νοιαν.„ εἰκότως τοίνυν ἐταρατλόμην μεταξὺ τοιούτων καθεύδειν ἠναγκασμένος, καὶ ὑπὸ τοιούτων κυκλούμενος. τὸν Σαὴλ γὰρ, καὶ τοὺς συναναλίσκοντας, καὶ Φλέγοντας, καὶ λάβρους, καὶ σκύμνους ὠνόμασε, τὸ θηριῶδες τῆς γνώμης, καὶ τοῦ τρόπου τὸ φονικὸν ἐξηγούμενος· τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς διδάσκει σαφέστερον. υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη· καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. σκύμνους αὐτοὺς καλέσας, εἰκότως καὶ ὀδόντων ἐμνήσθη, αἰχμαῖς τέτους καὶ βέλεσιν ἀπεικάζων, καὶ τὴν γλῶτταν τεθηγμένῃ μαχαίρᾳ· διὰ πάντων δὲ τὰς μιαιφόνους αὐτῶν σημαίνει βουλάς. ς'. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός· καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Ἄξιον δὲ ἐπὶ πᾶσιν ἀνυμνεῖν σε, τὸν ἐν οὐρανῷ μὲν διάγειν ὑπειλημμένον, πᾶσαν δὲ τὴν γῆν ἐμπιμπλῶντα τῆς δόξης. τοῦτο καὶ ὁ μακάριος ἔφησεν Ἀββακέμ· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. τὸ δὲ ὑψώθητι, ἀντὶ τοῦ, δεῖξον πᾶσιν ἀνθρώποις τὸ ὕψος σου. ζ'. Παγίδα ἑτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου. „καὶ ἐκ ἠρκέθησαν „τούτοις, ἀλλὰ καὶ„ ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν. Λόχους μοι φησὶν ἐπιξήσαντες, καὶ ἐνέδρας καθισάντες, αὐτοὶ παρ' ἡμῶν ἐλοχίσθησαν· καὶ ταῖς οἰκείαις ἐνεπάγησαν πάγαις. η'. Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἑδραία ἡ καρδία μου. προφανῆ γὰρ ἐρῶν σου τὴν πρόνοιαν, ἐκ ἔτι δέδια τὰ παντοδαπὰ τῶν ἐχθρῶν μηχανήματα· ἀλλ' ἕτοιμός εἰμι καὶ εὐτρεπὴς τοῖς σοῖς ἕπεσθαι ῥήμασι, καὶ τὰς σὰς εὐεργεσίας ὑμνεῖν. θ'. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα. Ἑαυτῷ λοιπὸν ἐγκελεύεται τὸν θεῖον ὕμνον ὑφῆναι· δόξαν δὲ οἰκείαν, τὴν προφητικὴν χάριν καλεῖ· ἑαυτὸν δὲ ψαλτήριον, καὶ κιθάραν, ὡς ὄργανον γεγενημένον τοῦ πνεύματος. Ἐγερθήσομαι ὄρθρου. ι'. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Οὐ νῦν φησὶ μόνον ταύτην σοι προσοίσω τὴν ὑμνῳδίαν· ἀλλὰ καὶ τοῦ ἀληθινοῦ φωτὸς ἀνατείλαντος, καὶ τὴν μακρὰν τῆς ἀγνοίας ἀποσκεδάσαντος νύκτα, καὶ τὸν τῆς προσδοκωμένης ἡμέρας ὑποδείξαντος ὄρθρον, „ἐ„μόνον διὰ τῆς ἐνσάρκου αὐτοῦ πρὸς ἡ„μᾶς παρουσίας, ἀλλὰ καὶ διὰ τῆς τοῦ „λυτροῦ παλιγγενεσίας καὶ ἀναπλά„σεως„ τῶν ἐθνῶν ἁπάντων καὶ τῶν λαῶν χορηδιδάσκαλος ἔσομαι· καὶ οἷον τισι χορδαῖς τοῖς ἐκείνων χρώμενος ῥήμασιν, ᾄσω τὴν χαριστήριον ὑμνῳδίαν.

δίαν. „τίνος ἕνεκεν ὦ προφῆτα εἰπὲ „καὶ τὸν τρόπον.„ ια΄. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σε, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σε. Οὐ γὰρ μόνος ὁ οὐρανὸς, καὶ οἱ τέτων ἐνδιαίτημα ἔχοντες ἄγγελοι, τὸν σὸν ἔλεον ἔγνωσαν· ἀλλὰ καὶ διὰ τῶν νεφελῶν τὴν ἀλήθειάν σε δεδήλωκας· νεφέλας δὲ τὰς τῆς θείας χάριτος ἠξιωμένας ἡ θεία καλεῖ γραφή. τέτο δὲ καὶ διὰ Ἡσαΐε τοῦ προφήτου ὁ τῶν ὅλων ἡμᾶς διδάσκει Θεός. εἰρηκὼς γὰρ περὶ τῦ Ἰσραὴλ, ἀνήσω τὸν ἀμπελῶνά με, καὶ ἐ μὴ τμηθῇ, ἐδὲ μὴ σκαφῇ· ἐπήγαγε· καὶ ταῖς νεφέλαις ἐντελῦμαι τῦ μὴ βρέξαι ἐπ' αὐτόν. καθάπερ γὰρ ἡ νεφέλη ἑτέρωθεν ὑποδέχεται τῶν ὄμβρων τὰς ἀφορμὰς, ἕτω καὶ προφῆται, καὶ ἀπόστολοι ὑπὸ τῆς θείας χάριτος ἐνεργέμενοι, τὴν πνευματικὴν ἀρδείαν προσήνεγκαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς. ιβ΄. Ὑψώθητι ἐπὶ τὸς οὐρανὸς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σε. Διὰ γὰρ τῶν πνευματικῶν νεφελῶν, τῶν προφητῶν φημὶ καὶ ἀποστόλων, τῆς ἀληθείας ἀναφανείσης, ὕψιστος ἀνεδείχθη τῶν ὅλων ὁ Κύριος, οὐρανῦ καὶ γῆς ποιητὴς, ἐν ἁπάσῃ γῇ καὶ θαλάσσῃ παρὰ τῶν ἀνθρώπων ὕμνον δεχόμενος.

ΕΡΜΗΝ. ΤΟΥ νζ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς ςηλογραφίαν. Τῆς αὐτῆς ἔχεται καὶ ἕτος ὁ ψαλμὸς διανοίας· διηγεῖται γὰρ τὴν τῦ Σαοὺλ πονηρίαν, „καὶ τῶν κατ' αὐτὸν, τὴν „ἐκείνε ἰσόρροπον κεκτημένων γνώμην,„ καὶ τῶν λόγων τὸ ψεῦδος. πολλάκις γὰρ ὁμόσας καταλύειν τὴν ἔχθραν, παρέβη τὰς ὅρκες, καὶ ταῖς ἐνέδραις ἐχρήσατο. πάλιν δὲ τὸ μὴ διαφθείρῃς πρόκειται· ἐπειδὴ δὶς λαβὼν ὑποχείριον „ὁ Δαβὶδ τὸν Σαὺλ,„ ἀνελεῖν ἐκ ἠθέλησεν. β΄. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε υἱοὶ τῶν ἀνθρώπων. Ταῦτα πρὸς τὸν Σαὺλ διεξέρχεται ὁμωμοκότα μηκέτι διώκειν, καὶ παρὰ τὰς ὅρκες στρατεύσαντα· σύ φησι γενοῦ τῶν ὑπὸ σοῦ δρωμένων κριτὴς, καὶ τὸ κρίνειν πεπιςευμένος, ὀρθὴν ἐξένεγκε καὶ δικαίαν τὴν ψῆφον. „εἰ δὲ τὴν οἰκείαν νόσον ἐ δύνα„σαι διαγνῶναι ἢ ἰατρὸς ταύτης γενέ„σθαι, πῶς ἂν ἑτέροις τὸ τῆς ἀληθείας „φάρμακον κατασκευάσεις; ἐ δύνασαι, „φησίν.„ γ΄. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ· ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκεσιν. Σάφησι καὶ τὰ τῆς εἰρήνης ῥήματα, καὶ τὰ πονηρὰ βελεύματα, καὶ τὰ παντοδαπὰ τῶν ἐπιβέλων μηχανήματα· σκόπησον τοίνυν εἰ συμβαίνει τοῖς λόγοις τὰ πράγματα. ἀλλὰ γὰρ μάτην σοι τὴν ἐμὴν ἐνεχείρισα κρίσιν, δικάζειν ἐκ ἀνεχομένῳ δικαίως. δ΄. Ἀπηλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαςρὸς, ἐλάλησαν ψευδῆ. Πάλαι φησὶν ἑαυτὸς τῆς ἀληθείας χωρίσαντες τὸ ψεῦδος ἠσπάσαθε. „τέτο δὲ, ὡς ἀνωτέρω ἡμῖν „εἴρηται, καταιροτεῖ μάλισα ἐπὶ τῦ „παρόντος· τὸ ψεῦδος καὶ τὸ πρὸς τὸς „πέλας μῖσος λέγων.„ τὸ δὲ ἀπὸ μήτρας καὶ ἀπὸ γαςρὸς προστέθεικεν, ὡς τῷ Θεῷ πρὸ τῆς διαπλάσεως τὰ κατ' αὐτὸς ἐγνωκότος. ἕτω γὰρ καὶ πρὸς

τὸν

τὸν Ἱερεμίαν, πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε· καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε. καὶ πρὸς τὸν Φαραὼ, εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου. ἀλλ' οὐχ ἡ πρόγνωσις τοῦ Θεοῦ, ἢ τὸν Φαραὼ πονηρὸν, ἢ τὸν Ἱερεμίαν πεποίηκεν ἅγιον· ἀλλὰ τὸ μέλλον ἔσεσθαι προέγνω ὡς Θεός. ε'. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. Μεμίμηνται τοῦ ὄφεως τὸ μνησίκακον καὶ ἐπίβουλον. Ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς. ς'. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμακῶν φαρμακευομένη παρὰ σοφοῦ. Βύουσι δὲ τὰ ὦτα τῇ ἀσπίδι παραπλησίως, ἢ φίλον τοῦτο ποιεῖν διὰ κακίας ὑπερβολὴν, ὥστε μὴ θέλεσθαι ταῖς ἐπῳδαῖς, μηδὲ εἴκειν τῷ φαρμάκῳ τῷ κατασκευαζομένῳ παρὰ τῶν καλουμένων σοφῶν. σοφὸν γὰρ ἐνταῦθα καταχρηστικῶς τὸν θηρεπῳδὸν προσηγόρευσεν· ὡς τὸ, σοφοί εἰσι τοῦ κακοποιῆσαι· „ τὸ δὲ „ καλοποιῆσαι οὐκ ἔγνωσαν „ καὶ ποῦ σοφός; ποῦ γραμματεύς; ἔτε τούτους ὡς ἀληθῶς σοφοὺς ὀνομάζει, ἀλλ' ὡς τοῦτο παρά τισιν εἶναι δοκοῦντας. ἐπειδὴ γὰρ πολλοῖς πρὸς τὸν Σαὴλ χρησάμενος λόγοις ὁ μακάριος Δαβὶδ, καὶ δῆλον ἑαυτὸν ὀνομάσας, κἀκεῖνον κύριον καὶ βασιλέα, καὶ δι' αὐτῶν δείξας τῶν πραγμάτων, ὡς οὐκ ἐφίεται τῆς ἐκείνου σφαγῆς, οὐ πέπεικε καταλῦσαι τὴν ἔχθραν· προσφυῶς αὐτὸν ἀσπίδι παρέβαλλεν, ἃ κωφεύσῃ κατὰ φύσιν, ἀλλὰ καὶ βυούσῃ τὰ ὦτα, καὶ τῆς ἐπῳδῆς ἀποθεμένῃ τὴν προσβολήν· τὸ δὲ φαρμακῶν φαρμακευομένῃ παρὰ σοφῷ, ὁ Σύμμαχος ἔτως ἡρμήνευσεν, ἐπᾳξούσαις ἐπῳδαῖς σεσοφισμένου· ὡς εἶναι δῆλον, ὅτι τὴν ἐπῳδὴν ὠνόμασε φάρμακον. „ ὡς ἐκ τούτου δήλην ποιῆ„ σαι τὴν μιαιφονίαν τοῦ Σαοὺλ, εἰρη„ται ἡμῖν ἀνωτέρω, καὶ τῶν κατ' αὐτὸν, „ ἐν οἷῳ ἂν ὦσιν ἀξιώματι καὶ βαθμῷ ἢ „ τόπῳ· νοήσειεν δέ τις ἂν καλῶς καὶ „ ταῦτα εἰρῆσθαι κατὰ τῶν αἱρετικῶν, „ Ἀρειανῶν λέγω καὶ Εὐνομιανῶν καὶ „ Μακεδονιανῶν καὶ τῶν δοκούντων τὰ „ παραπλήσια ἐκείνοις δόγματα νοσεῖν. „ καὶ γὰρ αὐτοὺς ἂν δικαίως καλέσειεν „ ἐπῳδοὺς καὶ ἐπαοιδούς τις· ὅτι δὲ μή„ τηρ ἡ ἐν ἀκαιρίαις καιροῦ ῥοπῇ ἀποκύ„ ουσα τοὺς ἀναγεννωμένους, παρ' ὧν „ δῆλον τοῖς μεμυημένοις; καὶ γὰρ εἰώ„ θασι βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πα„ τρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύ„ ματος, καὶ μετὰ τὴν ἀνάδυσιν τῶν „ τριῶν καταδύσεων. ἵνα τί λέγω οἱ τῆς „ υἱοθεσίας ἠξιωμένοι. νόσον χαλεπὴν „ παραδιδάσι τοῖς δῆθεν παρ' αὐτῶν „ βαπτιζομένοις μᾶλλον δὲ βυθιζομένοις· „ οἱ μὲν λέγοντες, δόξα Πατρὶ δι' Υἱοῦ „ ἐν ἁγίῳ Πνεύματι· οἱ δὲ, δόξα Πατρὶ „ καὶ Υἱῷ ἐν ἁγίῳ Πνεύματι· καὶ ἔτως „ τὴν ἀδιαίρετον ἀεὶ ὡσαύτως ἔχουσαν „ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι „ προσκυνουμένην θεότητα εἰς τριθείαν „ παραλαμβάνουσιν, μᾶλλον δὲ παραδι„ δόασι μέγαν καὶ σμικρὸν καὶ σμικρότε„ ρον· ἀνισότητος ζυγῷ γλώττῃ μεμηνυίᾳ „ τὴν ἀζυγώτατον ὡς οἴονται διατέμνον„ τες τῆς ἀχρεάντου θεότητα Τριάδος, „ καὶ τὴν ἐν οὐσίᾳ μιᾷ, ἐν βασιλείᾳ, ἐν „ κυριότητι, ἐν θεότητι, ἐν δυνάμει, ἐν „ δημιουργίᾳ, καὶ ὅσα πρέπει τῇ αὐτῆς

„ μακαριότητι· τὸν μὲν Θεὸν καὶ βασι-
„ λέα, τὸν δὲ Κύριον καὶ ὑπουργὸν ἐκεί-
„ νου καὶ ποίημα πρὸ τῶν ἄλλων παρ'
„ αὐτοῦ γενόμενον, τὸ δὲ δοῦλον καὶ ὑ-
„ πουργὸν τοῦ υἱοῦ, τολμηρῶς οἱ δείλοι
„ ἀποκαλεῖν πεφύκασι· πρὸς οὓς μάλι-
„ στα εἴρηται ἡ προφητεία· οὐ γὰρ πρὸς
„ τὸν Σαοὺλ μόνον καὶ τοὺς κατ' αὐτὸν
„ εἴρηκεν τὸ τῆς προφητείας πανάγιον
„ πνεῦμα διὰ τῆς σεπτῆς γλώττης τοῦ
„ Προφήτου. „ ζ'. Ὁ Θεὸς συντρίψει
τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐ-
τῶν. Ἀλλὰ γὰρ ὁ τῶν ὅλων ἐπόπτης
ἀργὰς αὐτοῦ δείξει τὰς καθ' ἡμῶν μη-
χανάς. τὰς μύλας τῶν λεόντων συνέ-
θλασεν ὁ Κύριος. καὶ ἐν τῷ προτεταγ-
μένῳ ψαλμῷ σκύμνους αὐτοὺς ὠνόμα-
σε, καὶ ἐνταῦθα λέοντας· τούτου χάρ-
ιν, καὶ ὀδόντων καὶ μυλῶν ἐμνημόνευ-
σε· μύλας δὲ καλεῖ, τοὺς ἐνδοτέρους
ὀδόντας, οἷς λεπτύνειν εἰώθαμεν τὴν
τροφήν. διὰ τούτων μέντοι κἀκείνων
ἐδίδαξεν, ὡς ὁ τῶν ὅλων Θεὸς τὰς παν-
τοδαπὰς αὐτῶν διαβολὰς διαλύσει.
η'. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπο-
ρευόμενον. Εὐκαταφρόνητοί φησιν ἔσ-
ονται, ὕδατι παραπλησίως ἐσκεδασμέ-
νῳ, καὶ παντελῶς ἀχρήστῳ. ἐντενεῖ
τὸ τόξον αὐτοῦ, ἕως οὐ ἀσθενήσουσιν.
οὐ παύεται γὰρ βάλλων αὐτὸς ταῖς τι-
μωρίαις, μέχρις αὐτῶν καταλύσει τὴν
δύναμιν. „ τῆξιν αὐτῶν καὶ διάλυσιν
„ ἐπάγων. „ θ'. Ὡσεὶ κηρὸς τα-
κεὶς ἀνταναιρεθήσονται, „ τῆς θανα-
„ τικῆς φθασάσης αὐτοὺς διαπύρου
„ καταιγίδος· „ ἔπεσε πῦρ ἐπ' αὐτὸς,
καὶ ἐκ εἶδον τὸν ἥλιον. Δίκην δὲ κη-
ροῦ πυρὶ πελάζοντος καὶ τηκομένῳ δια-
λυθήσονται, καὶ τῆς ζωῆς ἐκπεσοῦν-
ται. τοῦτο γὰρ ἔπε, καὶ οὐκ εἶδον τὸν
ἥλιον· ὡς τῶν τελευτώντων τὴν ἡλια-
κὴν οὐ δυναμένων ἰδεῖν ἀκτῖνα. ι'. Πρὸ
τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥά-
μνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ κατα-
πίεται αὐτούς. Ὁ δὲ Σύμμαχος σα-
φέστερον τοῦτο ἡρμήνευσε· πρὶν ἢ αὐξη-
θῶσιν αἱ ἄκανθαι ὑμῶν, ὥστε γενέσθαι
ῥάμνον, ἔτι ζῶντας ὡς ὁλόζηρον λαί-
λαψ ἀρεῖ. ὃ δὲ λέγει, τοῦτο ἐστι. πᾶ-
σαν μὲν ἁμαρτίαν ἄκανθαν ἡ θεία γρα-
φὴ καλεῖ· ἡ δὲ ῥάμνος ἄκανθα μέν ἐστι·
μεγίστη δὲ, καὶ δένδρον μιμουμένη,
„ καὶ ἰὸν χαλεπώτατον βάλλουσα. „
ἀπειλεῖ τοίνυν ἡ προόρρησις, καὶ τῷ
Σαοὺλ, καὶ τοῖς ἐκείνου συνεργοῖς, τα-
χεῖαν τὴν τιμωρίαν. πρὶν γάρ φησιν
αὐξηθῇ ὑμῶν ἡ πονηρία, ὥστε ῥάμνω ἀ-
πεικασθῆναι, τοῦτ' ἔστι, τῇ μεγίστῃ ἀκάν-
θῃ, „ ἥτις ἐστὶ φαυλοτάτη κακία, „
θεήλατος ὑμᾶς πληγὴ καταλήψεται,
καὶ φρούδους ἐργάσεται. τοῦτο γὰρ εἶ-
πε καταπίεται· καθάπερ γὰρ τὸ
„ ὑπὸ τῶν μυλῶν τῶν ὀδόντων λεπτυ-
„ νόμενον καὶ „ καταπινόμενον ἀφα-
νὲς λοιπὸν γίνεται, οὕτω καὶ ὑμεῖς φη-
σὶ παραδοθήσεσθε λήθῃ. ὅπερ δὴ καὶ
συνέβη· μετ' ὀλίγον γὰρ χρόνον, ἐν τῷ
τῶν ἀλλοφύλων πολέμῳ δεξάμενος τὴν
πληγὴν, ἐκ ἔτι τὴν πονηρίαν ἐπηύξησεν
„ ὁ Σαοὺλ „ ἀλλ' ἄκων τὸν κατὰ τοῦ
Δαβὶδ κατέλυσε πόλεμον. ια'. Εὐφρανθ-
ήσεται δίκαιος, ὅτ' ἂν ἴδῃ ἐκδίκησιν·
τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι
τοῦ ἁμαρτωλοῦ. Εὐφραίνεται δὲ ὁ τῆς
ἀρετῆς φρονητὴς, τὸν τῆς κακίας ἐρ-
γάτην ὀρῶν κολαζόμενον· οὐκ ἐπιτω-

θάζων

θάζων ἐκείνῳ, ἀλλὰ τὴν θείαν ὁρῶν προμήθειαν, παροραῖν οὐκ ἀνεχομένην τοὺς ὑπ' ἐκείνων ἀδικουμένους· τὰς δὲ χεῖρας αὐτῷ νίπτεται, οὐ τῷ αἵματι ταύτας φοινίττων καὶ μολύνων· ἀλλὰ δεικνὺς ἑαυτὸν ἀθῷον, καὶ τῆς ἐκείνου πονηρίας κεχωρισμένον· ἐ γὰρ, ὥς τινες ὑπέλαβον, ἐν τῷ αἵματι νίπτεται, ἀλλ' ἐπὶ τῷ αἵματι νίπτεται, ὡς οὐδεμίαν πρὸς ἐκεῖνον ἐχηκὼς κοινωνίαν. ιβ'. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ· ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτὸς ἐν τῇ γῇ. Τὸ ἄρα ἐνταῦθα ἀποφαντικῶς κεῖται· λέγει δὲ, ὅτι πᾶς ὁρῶν τὸν δυσσεβέα συνεζηκότα ποινὴν τίσαντα κατὰ τόνδε τὸν βίον, ὁμολογήσει καὶ Θεὸν εἶναι, καὶ ἐφορᾶν τὰ γινόμενα, καὶ σοφῶς ἅπαντα πρυτανεύειν· καὶ τοῖς μὲν δικαίοις τοὺς καθαλλήλους ἀπονέμειν καιροὺς, τὰς δὲ τἀναντία προελομένους δίκας εἰσπράττειν, καὶ τὰς ἀξίας τιμωρίας ἐπάγειν.

ΕΡΜΗΝ. ΤΟΥ νή ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς ἐπιλογραφίαν· ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτῷ τοῦ θανατῶσαι αὐτόν. Φθόνῳ δουλεύων ὁ Σαοὺλ τὸν τῷ Δαβὶδ ἐτύρευε θάνατον· καί ποτε συνεσιώμενον ἠβουλήθη κατακεντῆσαι τῷ δόρατι· ἐκκλίναντα δὲ, καὶ διαφυγόντα τὸν θάνατον, ἐπεχείρησε πάλιν χειρώσασθαι, καί τινας ἀποστείλας, τὴν οἰκίαν φρουρῆσαι προσέταξε, προφανῆ τὴν δυσμένειαν δείξας. ἀλλ' ἡ μὲν τοῦ Δαβὶδ γαμετὴ, τῷ δὲ Σαὴλ θυγάτηρ, γνώρισμον μὲν τοῦτο ποιεῖ τῷ ὁμοζύγῳ, καὶ διά τινος αὐτὸν ἀποδράναι παρασκευάζει φωταγωγοῦ· τὰ κενοτάφια δὲ λαβοῦσα· ἕτω γὰρ ἡ ἱστορία διδάσκει· σχηματίζει τὴν κλίνην, καὶ ἀρρωστοῦντος εἰκόνα διὰ τῶν ἱματίων διατυποῖ· καὶ δείκνυσι πόρρωθεν τοῖς φρουρῆσαι προστεταγμένοις, ὑπό τινος τὸν Δαβὶδ ἐνοχλεῖσθαι νοσήματος λέγουσα· ταῦτα μὲν νύκτωρ ἐγένετο· ἡμέρας δὲ γενομένης, καταδηλον τῷ Σαοὺλ καὶ τοῖς δορυφόροις τὸ δρᾶμα ἐγένετο· τηνικαῦτα τοίνυν ὁ μακάριος Δαβὶδ, τὴν ἐπιβουλὴν ἐκείνην διαφυγὼν, τὸν ψαλμὸν τοῦτον συνέγραψεν. ἀλλὰ τῶν μὲν τότε γενομένων ὀλίγα λέγει, τὰ δὲ πλείονα προλέγει, τῷ θείου πνεύματος τὴν αἴγλην δεξάμενος· καὶ τὴν κατὰ τοῦ σωτῆρος „ Θεὸ „ ἡμῶν τῶν Ἰουδαίων προθεασάμενος λύτλαν. καὶ γὰρ οἱ Ἰουδαῖοι τὸν δεσποτικὸν διὰ στρατιωτῶν φυλάξαντες τάφον, ἡμέρας γενομένης, τὰ μὲν ἱμάτια εὗρον, τὸν δὲ φυλατθόμενον ἐκ ἔτι εἶδον νεκρόν· ἀνέστη γὰρ καταλύσας τοῦ θανάτου τὸ κράτος. τὰς οἰκείας τοίνυν ἐπιβουλὰς βλέπων ὁ μακάριος Δαβὶδ, καὶ προθεώμενος ὡς ὁ Θεὸς Ἰσραὴλ, ὁ δημιουργὸς, καὶ πάντων Δεσπότης, ὁ ἐξ αὐτοῦ κατὰ σάρκα, χαλεπώτερα παρὰ Ἰουδαίων πείσεται, προλέγει καὶ τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τὴν τῶν Ἰουδαίων διασποράν. β'. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ, λύτρωσαί με. Δικαία τῷ προφήτου ἡ αἴτησις· ἀπαλλαγῆναι γὰρ τῶν ἀδίκως πολεμέντων ἱκέτευσεν. εἶτα τὸν τούτων δηγεῖται σκοπόν. γ'. Ῥῦσαί με ἐκ τῶν

ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. Μιαιφόνοι, φησὶν, οἱ πολέμιοι καὶ παράνομοι, οἷς ἐδ' ἥν τινα ἔν προσενήνοχα βλάβην. δ'. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου· ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Παντοδαποῖς χρώμενοι μηχανήμασιν ἀνελεῖν με πειρῶνται, τῇ οἰκείᾳ δυνάμει θαρρήσαντες· ἀλλ' εἰκὸς αὐτοὺς προηδικημένους τὴν τιμωρίαν ζητεῖν. ε'. Οὔτε ἡ ἀνομία μου, ἔτε ἡ ἁμαρτία μου Κύριε. Οὐδέν φησι παρ' ἡμῶν εἰς αὐτοὺς γεγένηται λυπηρόν· ἐδέτι ἐγκαλεῖν ἔχοντες, τὸν ἐμὸν κατηύθυσι θάνατον. Ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα. ταῦτα ἀληθέστερον ἢ τῷ Δαβὶδ ἁρμόττει, ἀλλὰ τῷ ἐν Δαβὶδ, καὶ τῷ Κυρίῳ τῷ Δαβίδ. ἐκεῖνος γὰρ μόνος ἁμαρτίαν ἐκ ἐποίησεν, ἐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. „ οὐδεὶς γὰρ δίχα „ ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός· αὐτός γε „ ἔτος ὁ ἐκ Δαβὶδ διὰ πολλὴν φιλαν- „ θρωπίαν σαρκωθείς. „ ὡς ἐν τύπῳ δὲ, καὶ ὁ μακάριος ταῦτα λέγει Δαβίδ· οὐ τὸ παντελῶς ἀναμάρτητον ἑαυτῷ μαρτυρῶν, ἀλλὰ διδάσκων ὡς οὐδὲν τὸν Σαὺλ ἀδικήσας, ἀλλὰ πολλὰ καὶ πολλάκις εὐεργετήσας, τὰς παντοδαπὰς ἐπιβουλὰς ὑπομένει. καὶ μὴ οὔσης ἁμαρτίας, κατ' αὐτῦ ἐπιτρέχουσιν, ἵνα διαρπάζωσι τὸν περὶ αὐτὸν γενόμενον ἀθῶον. ἕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· μὴ οὔσης ἁμαρτίας, οὕτω τρέχουσιν, ἵνα πατάξωσιν. ϛ'. Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε. Σὲ δὲ τούτου, φησὶν, ἱκετεύω γενέσθαι κριτὴν, τὸν ἅπαντα σαφῶς ἐπισάμενον. καὶ σὺ Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραὴλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη. τὸ ἀναμάρτητον ἐν μόνῳ θεωρήσας τῷ ἐξ αὐτῦ κατὰ σάρκα, καὶ τὴν τῶν ὁμοφύλων Ἰουδαίων κατ' αὐτῦ μανίαν προθεωρήσας τῷ πνεύματι, τὸν τῶν δυνάμεων Κύριον, καὶ τὸ Ἰσραὴλ ἱκετεύει Θεὸν, καταλιπεῖν μὲν Ἰουδαίους ἀτιμελήτους, πᾶσαν δὲ εἰς τὰ ἔθνη μεταθεῖναι τὴν πρόνοιαν, καὶ τῷ τῆς θεογνωσίας καταυγᾶσαι φωτί. ταῦτα δὲ τοῖς ἔθνεσιν ἀπαγγείλας, καὶ τὰς Ἰουδαίων τιμωρίας προλέγει. μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. ἐπειδὴ γὰρ τοῖς προφητικοῖς ὀφθαλμοῖς τὸν σαυρὸν ἑώρα, καὶ ἐπαίειν ἐδόκει τῷ Κυρίῳ „ τῆς „ δόξης „ λέγοντος, πάτερ ἄφες αὐτοῖς τὴν ἁμαρτίαν, οὐ γὰρ οἴδασι τί ποιοῦσι· βδελυττόμενος τὴν τῆς ἀσεβείας ὑπερβολὴν, μηδεμίας αὐτοὺς ἀπολαῦσαι συγγνώμης ἀντιβολεῖ. εἶτα τῆς πνευματικῆς τροφῆς τὴν ἐσομένην αὐτοῖς ἔνδειαν προθεσπίζει. ζ'. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Καθάπερ γάρ φησι κύνες νύκτωρ εἰώθασι τὰς τῶν πόλεων περινοστεῖν ἀγορὰς, γαστρὸς ὑπ' ἐνδείας τοῦτο ποιεῖν βιαζόμενοι· ἕτως ἕτοι πάσης πνευματικῆς γυμνοὶ γενήσονται τροφῆς· καὶ ἅτε προφητικῆς ἀπολαύσαντες χάριτος, καὶ τῆς ἀρχιερατικῆς ἐπιμελείας ἔρημοι πάμπαν γενήσονται· καὶ δίκην κυνὸς περιόντες διατελοῦσιν, οὐδὲ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, κατὰ τὴν εὐαγγελικὴν φωνὴν, μεταλαχεῖν ἀξιούμενοι.

„ εἶτα

„ εἶτα σαφέστερον τῆς τιμωρίας τὴν αἰ-
„τίαν διδάσκει. „ ή. Ἰδοὺ αὐτοὶ ἀποφθέγ-
ξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσεν; Τῇ γλώττῃ, φησὶ, τὸν φόνον ἐργάζονται, οἷόν τινα αἰχμὴν καὶ ῥομφαίαν, τοὺς λόγους προφέροντες· μαρτυρεῖ δὲ τοῖς λόγοις τὰ πράγματα. τῇ γὰρ γλώττῃ τὸν Δεσπότην ἐσταύρωσαν βοήσαντες, ἆρε, ἆρε, σταύρωσον αὐτόν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τῇ δὲ τῶ Πιλάτῳ δορυφορίᾳ τοῖς λόγοις τὸ ἔργον ἐπέθεσαν, καὶ τῷ ἰκρίῳ τὸν σωτῆρα προσήλωσαν· τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος· αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν· καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσεν; ὅτι οἷς προσφέρουσι λόγοις, ἀντὶ ῥομφαίας κέχρηνται. ταῦτα δέ φησι δρᾶσιν, ὡς μηδενὸς ἐφορῶντος· τοῦτο γὰρ δηλοῖ ὅτι τίς ἤκουσεν; ὡς μηδενὸς γὰρ μήτε ὁρῶντος, μήτε ἀκούοντος τὰ γινόμενα, καὶ τὰς εὐθύνας εἰσπράττοντος, ἅτω ταῦτα τολμῶσι. ταύτην γὰρ τὴν διάνοιαν ὁ Σύμμαχος ἡρμήνευσεν. ἀντὶ γὰρ τοῦ ὅτι τίς ἤκουσεν, ὡς μηδενὸς ἀκούοντος τέθεικεν. τοιγαροῦν τοιαύτην αὐτῶν διάνοιαν προθεωρῶν ὁ Δαβὶδ ἐπάγει λέγων· θ'. Καὶ σὺ Κύριε ἐκγελάσεις αὐτούς. Ἐκεῖνοι μὲν ἓν ἐκεῖνα τολμῶσι· σὺ δὲ καὶ ἀκούεις, καὶ βλέπεις, καὶ γελᾷς αὐτῶν τὴν ματαιότητα. ἐξουδενώσεις πάντα τὰ ἔθνη. οὐ μόνον γάρ ἐκείνων, ἀλλὰ καὶ πάντων τῶν ἐθνῶν περιγενέσθαι σοι ῥᾴδιον· ἅτω καὶ ὁ θεσπέσιος Ἡσαΐας ἔφη, τὴν τῆς θείας δυνάμεως ὑπερβολὴν δεῖξαι φιλονεικῶν, εἰ πάντα τὰ ἔθνη, ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ, καὶ ὡς σίελος ἐλογίσθησαν καὶ λογισθήσονται, τίνι ὁμοιώσατε Κύριον; καὶ τίνι ὁμοιώματι ὁμοιώσατε αὐτόν; ί. Τὸ κράτος μου πρός σε φυλάξω, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου. Σὲ φησιν ἔχω τῆς ἐμῆς δυνάμεως ἀντιλήπτορά τε καὶ φύλακα. τῆς γὰρ σῆς ἀπολαύων προμηθείας διατελῶ. ιά. Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με. Προλαμβάνεις ἀεὶ τὰς αἰτήσεις, ὦ Δέσποτα, καὶ διὰ φιλανθρωπίας ὑπερβολὴν, ἐκ ἀναμένεις τὰς ἱκετείας. ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. κοινὰς ἐχθρὰς ὁ προφήτης ἡγεῖται τὰς τοῦ σωτῆρος ἐχθράς· εἶτα προλέγει τούτοις τὰ ἐσόμενα. ιβ'. Μὴ ἀποκτείνῃς αὐτούς· μή ποτε ἐπιλάθωνται τοῦ νόμου σου. Ἱκετεύω φησὶ μὴ παντελεθρίαν αὐτοὺς ὑπομεῖναι· εἰσὶ γὰρ ἐν αὐτοῖς πολλοὶ τοῖς τῆς μεταμελείας φαρμάκοις θεραπευόμενοι· ἐν γὰρ τῷ θανάτῳ ἐκ ἔστιν ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ποίαν τοίνυν αὐτοὺς βέλει τίσαι ποινήν; διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου· καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου Κύριε. εἰς πᾶσαν αὐτοὺς φησι σκέδασον τὴν οἰκουμένην, καὶ ποίησον σποράδας καὶ μετανάστας· ἐπειδὴ κακῆ κατά σε κέχρηνται συμφωνίᾳ. τίς δὲ αὕτη, διδάσκει. ιγ'. Ἁμαρτία τοῦ στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν. Σύμφωνα καὶ ταῦτα τοῖς προημμηνευμένοις· καὶ γὰρ ἄνω ἔφη· ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς

χείλεσιν αὐτῶν· καὶ ἐνταῦθα πάλιν τῆς τῦ σώματος ἁμαρτίας, καὶ τῦ λόγυ τῶν χειλέων κατηγορεῖ· διὰ πάντων διδάσκων, ὡς ἐκείνης τῆς Φωνῆς εἰσπράττονται δίκας, ἣν συμΦώνως ἀΦῆκαν, τὴν δικαίαν τῦ Πιλάτυ παραΦθείραντες ψῆΦον· ἐκείνου γὰρ ὡς ἀθῷον ἀΦεῖναι βελομένυ, ἔτοι δὲ ἐβόων, ἆιρε, ἆιρε, σαύρωσον αὐτόν· τὸ αἷμα αὐτῦ ἐΦ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. ταῦτα δὲ σαΦέστερον ὁ Σύμμαχος ἡρμήνευσεν. ἀντὶ γὰρ τῦ, διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει συ, ἔτως ἔΦη, ἀναξάτωσον αὐτὲς ἐν τῇ δυνάμει συ, καὶ κάθελε αὐτὲς, ὑπεράσπιστα ἡμῶν Κύριε, τῇ ἁμαρτίᾳ τῦ σώματος αὐτῶν, τῷ λόγῳ τῶν χειλέων αὐτῶν. ἀναξάτες αὐτὲς Φησι ποίησον, καὶ δέλας ἀντ' ἐλευθέρων ἀπόΦηνον· διὰ τὴν ἁμαρτίαν τῦ σώματος αὐτῶν, καὶ τὸν λόγον τῶν χειλέων αὐτῶν. ἔτω καὶ ἐπὶ τῆς πυργοποιίας τὴν κακὴν συμΦωνίαν τῇ διαΦωνίᾳ διέλυσε· καὶ τῇ νόσῳ τῆς βλασΦερᾶς ὁμονοίας, Φάρμακον ἀλεξίκακον προσενήνοχε τῶν γλωσσῶν τὴν διαίρεσιν. καὶ συλληΦθήτωσαν ἐν τῇ ὑπερηΦανίᾳ αὐτῶν. δι' ὧν, Φησὶν, ἐτόλμησαν, διὰ τέτων δότωσαν δίκας· καὶ δελεύειν ἐκ ἀνεχόμενοι τῷ σεσωκότι Χριστῷ, ἀλλὰ τὴν τῦ Καίσαρος ἀσπασάμενοι βασιλείαν, τῇ τῦ Καίσαρος δελείᾳ παραδοθήσονται. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδες διαγγελήσονται. ιδ'. Ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ ἃ μὴ ὑπάρξωσιν. Τῦτο σαΦέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· συλληΦθήτωσαν μετὰ τῆς ὑπερηΦανίας αὐτῶν· ἀρὰν καὶ ψεῦδος λαλῆντας συντέλεσον· ἐν θυμῷ ἀνάλωσον, ἵνα μὴ ὦσιν. ἐπειδὴ γὰρ συκοΦαντίαις ἐχρήσαντο, λέγοντες αὐτὸν προστεταχέναι μὴ δῦναι Καίσαρι κῆνσον· καὶ ταῦτα ἀκηκοότες παρεγγυῶντος αὐτῇ δῶναι τὰ τῦ Καίσαρος Καίσαρι, καὶ τὰ τῦ Θεῦ τῷ Θεῷ· καὶ ἀρᾶις δὲ πολλαῖς αὐτὸν καὶ λοιδορίαις ἔβαλον· δι' ἐκείνας ἔΦη τὰς ἀρὰς, καὶ τὰς συκοΦαντίας, καὶ τὴν ἁμαρτίαν τῦ σώματος, ταύτην αὐτὲς ὑπομεμενηκέναι τὴν συντέλειαν. συντέλειαν δὲ, ἐ τὴν πανωλεθρίαν καλεῖ, ἀλλὰ τὸ μηκέτι αὐτοὺς λαὸν χρηματίζειν Θεῦ. ἐσκεδασμένοι γὰρ κατὰ τὴν οἰκουμένην, καὶ Ῥωμαίοις δελεύειν ἠναγκασμένοι, τῆς νομικῆς λατρείας ἐξέρηνται· πόρρω τῆς πολυθρυλλήτυ διάγυσι μητροπόλεως, τῆς βασιλικῆς ἔρημοι κηδεμονίας γεγένηνται· ἱερατικῆς ἐπιμελείας ἀπολαύυσι, τῆς προΦητικῆς ἐγυμνώθησαν χάριτος. τὸ τοίνυν ἐχ ὑπάρξεσιν, ἀντὶ τῦ, εἰς λαὸν ἐκέτι Φησὶ καθ' ἑαυτοὺς πολιτεύσονται, μόνην οἰκοῦντες τὴν Παλαιστίνην, καὶ λαὸς Θεῦ χρηματίζοντες. συντελείας δὲ, τὰς παντοδαπὰς καλεῖ τιμωρίας. καὶ γὰρ ἐπὶ Γαΐυ τῦ τετάρτυ Καίσαρος κινδύνους μεγίστους ὑπέμειναν· καὶ μέντοι καὶ ἐπὶ Νέρωνος πολλαῖς περιέπεσον συμΦοραῖς. καὶ Οὐεσπασιανὸς τὰς πλείστας τῆς Ἰδαίας ἐπολιόρκησε πόλεις· καὶ Τῖτος προσεδρεύσας τοῖς Ἱεροσολύμοις, καὶ τὴν πόλιν ἐξεπόρθησε, καὶ τὲς τὸν θάνατον διαΦυγόντας ἐξανδραποδίσας, δορυαλώτους ἀπήγαγε. καὶ ἄλλοις δὲ παντοδαποῖς μετὰ ταῦτα περιέπεσον ἀλγεινοῖς· καὶ νῦν δὲ ὡσαύτως ἐν αἷς παροικῶσι πόλεσιν, ἀΦορμῆς τινὸς γινομένης, πολλάκις

κις τὰ ἀνήκεστα πάσχουσι, τῆς ἀρᾶς, καὶ τῶ ψεύδους, καὶ τῆς ἁμαρτίας τῶ σώματος ἀπαιτέμενοι δίκας· καὶ δι' αὐτῶν μανθάνουσι τῶν πραγμάτων, ὅτι τῶν ἁπάντων ἐστὶ Κύριος καὶ Δεσπότης ὁ σαυρωθείς. τοῦτο γὰρ καὶ ὁ προφήτης ἔφη· καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς. τοῦτο γὰρ δὴ τὸ παράδοξον, ὅτι πρὸ τῶ σαυρῶ, καὶ ὑπ' αὐτῶν ἠπίσατο τῶν Ἰουδαίων· μετὰ δὲ τὸ ἐπονείδιστον ἐκεῖνο πάθος, πάσης ὁ σαυρωθεὶς δεσπόζει τῆς οἰκουμένης· τῶν μὲν ἑκόντων προσκυνέντων, τῶν δέ γε ἀπίστων Φόβῳ δουλεύειν ἠναγκασμένων. ιέ. Ἐπιστρέψουσιν εἰς ἑσπέραν· καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Ἐπειδὴ γὰρ εἶπεν, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν· ἵνα μή τις ἐναντίως εἰρηκέναι νομίσῃ τὸν προφήτην, τὸ διασκέδασον αὐτοὺς ἐν τῇ δυνάμει σου, εἰκότως τῇ ταυτολογίᾳ ἐχρήσατο, καὶ φησιν, αὐτοὺς κυνῶν δίκην λιμῷ τηκομένων, καὶ νύκτωρ τὴν πόλιν περινοστούντων, διάξειν οὐδεμίας πνευματικῆς τροφῆς ἀπολαύοντας. ἐναλλαγὴ γὰρ πραγμάτων ἐγένετο· καὶ Ἰουδαῖοι μὲν, οἱ πάλαι υἱοὶ, διὰ τὴν οἰκείαν πονηρίαν, τὴν τῶν κυνῶν ἔλαχον τάξιν· τὰ δὲ ἔθνη, πάλαι κυσὶν ἐοικότα, τῆς τῶν υἱῶν ἠξιώθησαν τιμῆς. ις. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσωσιν. Τοῦτο ὁ Σύμμαχος τῷ προτέρῳ ἀποδέδωκεν· ἔφη δὲ οὕτως· ἀναπαμπτέτωσαν ἑσπέρας, θορυβείτωσαν ὡς κύνες περιερχόμενοι πόλιν, ῥεμβόμενοι, ἵνα μὴ ἀχορτασοι αὐλισθῶσι. „ τούτου γάρ „ φησι χάριν οἱ κύνες περινοστοῦσι νύ„ κτωρ τροφήν τινα ζητοῦντες, ἵνα μὴ „ ἀχόρτασοι αὐλισθῶσι· πᾶσα γὰρ αὐ„ τοῖς ἡμέρα οὐ μόνον ἑσπέρα ἀλλὰ καὶ „ νὺξ, τοῦ νέφους τῆς ἀπιστίας ἐπικειμέ„ νου αὐτοῖς.„ κατὰ δὲ τοὺς ἑβδομήκοντα οὕτω νοητέον· ὅτι κυνῶν δίκην καὶ ἦτοι κατὰ τὴν οἰκουμένην ἐσκεδασμένοι, τὴν πνευματικὴν ἐπιζητῆσι τροφήν· ἐχ εὑρίσκοντες δὲ ταύτην, διὰ τὸ μὴ πιστεύειν τῷ ὑπὸ πάντων προκεκηρυγμένῳ τῶν προφητῶν, θορυβάζουσι καὶ καὶ γογγύζουσι, τὴν ἀχάριστον καὶ ἐν τέτῳ γνώμην ἐπιδεικνύντες. ιζ. Ἐγὼ δὲ ἄσομαι τὴν δύναμίν σε, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου. Ἐκεῖνοι μὲν οὖν ἐκεῖνα τολμῶντες, τοσαῦτα πείσονται· ἐγὼ δὲ τὸν σὸν ἔλεον ὑμνήσω· καὶ τῷ νοερῷ σε Φωτὸς ἀνατείλαντος, καὶ τῇ οἰκουμένῃ δεδωκότος τὸν ὄρθρον, τὸν ἀμέτρητόν σου οἶκτον ἐν ἁπάσαις ταῖς ἐκκλησίαις δοξάσω. Ὅτι ἐγενήθης ἀντιλήπτωρ μοι, καὶ καταφυγή μοι, ἐν ἡμέρᾳ θλίψεώς μου. ιή. Βοηθὸς μου εἶ, σοὶ ψαλῶ· ὅτι ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ. ὁ Θεός μου τὸ ἔλεός μου. Ἀπήλαυσα γὰρ τῆς σῆς ἐπικουρίας ἀεὶ· καὶ διὰ τὴν σὴν πρόνοιαν, τὰς προσπεσέσας διέφυγον συμφοράς. ἔ δὴ χάριν, σὲ μόνον οἶδα Θεὸν, καί σε πηγὴν ἐλέους καὶ Φιλανθρωπίας καλῶ. ταῦτα ὁ μακάριος Δαβὶδ πόῤῥωθεν προφητικοῖς ἰδὼν ὀφθαλμοῖς, καὶ τὰς Ἰουδαίων προείρηκε συμφοράς, καὶ αὐτὸς ὑμνήσειν ἀεὶ τὸν Δεσπότην ὑπέχετο· καὶ πληροῖ γε τὰς ὑποχέσεις διὰ τῶν εὐσεβῶν τὴν ὑμνῳδίαν προσφέρων. „ ὥσπερ γὰρ μετὰ τὴν νύκτα ἐν ὄρθρῳ

„ ἀνα-

„ἀνατείλαντος τοῦ ἡλίου φωτίζεται
„πᾶσα ἡ ὑπ' οὐρανόν· οὕτω ἡ παρου-
„σία τοῦ ἡλίου τῆς δικαιοσύνης τὸ μὲν
„σκότος τῆς ἁμαρτίας ἠφάνισεν, τὸ δὲ
„φῶς τῆς θεογνωσίας τοῖς εἰς αὐτὸν
„πιστεύουσιν ἐχαρίσατο, καὶ παρέχων
„ὁσημέραι ἀπαύστως. „

ΕΡΜΗΝ. ΤΟΥ νθ'. ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομέ-
νοις, εἰς συνεσιν, τῷ Δα-
βὶδ εἰς διδαχήν. β'. Ὁπότε ἐνεπύ-
ρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ
τὴν Συρίαν Σωβάλ, καὶ ἐπέστρεψεν
Ἰωάβ, καὶ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ
φάραγγι τῶν ἁλῶν, δώδεκα χιλιάδας.
Ταῦτα μὲν ἤδη καὶ γεγένηται, καὶ ἐν
τῇ δευτέρᾳ τῶν βασιλειῶν ἀναγέγρα-
πται· ἡ δὲ εἰς τὸ τέλος ἐπιγραφὴ δι-
δάσκει νοεῖν, ὡς τῇ ἰσορίᾳ καὶ προφη-
τεία τις ἀνακέκραται· καὶ πρόσκειται
τῇ ἐπιγραφῇ καὶ τοῖς ἀλλοιωθησομέ-
νοις. ἡ δὲ ἀλλοίωσις μεταβολήν τινα αἰ-
νίτ]εται, καὶ μεταβολὴν οὐ γεγενημέ-
νων, ἀλλ' ἐσομένων πραγμάτων. οὐ
γὰρ εἶπεν τοῖς ἀλλοιωθεῖσιν, ἀλλὰ τοῖς
ἀλλοιωθησομένοις. καὶ ἡ συνεσις δὲ
τῆς νίκης σημαντική· ἐν κεφαλαίῳ
δὲ τῆς προφητείας τὴν ὑπόθεσιν ἀναγ-
καῖον εἰπεῖν. τὰς προειρημένας νίκας
γενικικῶς ὁ μακάριος Δαβὶδ, προεῖδε
τοῖς τῆ πνεύματος ὀφθαλμοῖς τὴν ἐσο-
μένην τῆ λαοῦ παρανομίαν, καὶ τὴν δι'
αὐτὴν συμβησομένην αἰχμαλωσίαν.
προεῖδε δὲ καὶ τὴν ἐκεῖθεν θείᾳ χάριτι
γενησομένην ἐπάνοδον, καὶ ἀναγκαῖον
ᾠήθη καὶ τὰ λυπηρὰ καὶ τὰ θυμήρη
προγράψαι, εἰς ὠφέλειαν τῶν ἐπ' ἐ-
κείνων τῶν πραγμάτων ἐσομένων ἀν-
θρώπων. γ'. Ὁ Θεὸς ἀπόστω ἡμᾶς,
καὶ καθέλες ἡμᾶς. Ἐνταῦθα τὴν αἰ-
χμαλωσίαν προλέγει· εἶτα τοῦ Θεοῦ
τὸ δίκαιον καὶ φιλάνθρωπον. ὠργίσθης
καὶ ὠκτείρησας ἡμᾶς. διὰ μὲν γὰρ
τὰς παρανομίας ὠργίσθης, μετὰ δὲ τὴν
τιμωρίαν ἠλέησας. δ'. Συνέσεισας τὴν
γῆν, καὶ συνετάραξας αὐτήν. Τὰς
τῶν Ἀσσυρίων καὶ Βαβυλωνίων ἐφόδες
διὰ τούτων ἐδήλωσε· σεισμοῦ γὰρ δί-
κην, ἄρδην ἠφάνισαν ἅπαντα. εἶτα
τὴν φιλανθρωπίαν αἰτεῖ. Ἴασαι τὰ
συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.
πάλιν τὰ γεγενημένα διέξεισι. ε'. Ἐ-
δείξας τῷ λαῷ σου σκληρά. Ποῖα
ταῦτα; ἐπότισας ἡμᾶς οἶνον κατανύ-
ξεως. τῷ πλήθει φησὶ τῶν συμφορῶν,
καθάπερ οἴνῳ τινὶ, κάρον ἡμῖν ἐνεποίη-
σας, καὶ ὀδύνης ἐνέπλησας τὰς ἡμετέ-
ρας ψυχάς. οὕτω γὰρ καὶ ὁ Ἀκύλας
ἡρμήνευσεν· ἐπότισας ἡμᾶς οἶνον κατω-
σεως. ς'. Ἔδωκας τοῖς φοβουμένοις σε
σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου
τόξου. Τοῦτο σαφέστερον ὁ μακάριος
Ἰεζεκιὴλ ὁ προφήτης διδάσκει. ἑωρακέ-
ναι γὰρ ἄγγελον ἔφη, ὑπὸ τοῦ Θεοῦ
τῶν ὅλων προστεταγμένον ἅπασαν
τὴν πόλιν περινοῆσαι, καὶ ἐπιθεῖναι
τοῖς μετώποις σημεῖον τῶν κατασενόν-
των ἐπὶ ταῖς τῆ λαῆ παρανομίαις. ἀλλ'
ἐκεῖνα τύπος τῶν ἡμετέρων· τὸ γὰρ
ἀληθὲς σημεῖον ἡμεῖς παρὰ τῆς θείας
ἐλάβομεν χάριτος· ᾧ κεχρημένοι κρείτ-
τους τῶν τῆ δυσμενοῦς γινόμεθα τοξευ-
μάτων. ζ'. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγα-
πητοί σου. Τούτῳ δέ φησι τῷ σημείῳ
τοὺς ἀνακειμένους σοι διαφυλάττειν,

οἱ

οἳ διὰ τὴν οἰκείαν ἀρετὴν τῆς Φιλοτεργίας ἠξίωνται, „ ἀπαθανατι-
„ ζόμενοι διὰ τῆς τῦ λουτροῦ παλιγγε-
„ νεσίας. καλῶς οὖν ἐπήγαγεν ὁ προφή-
„ της· „ Σῶσον τῇ δεξιᾷ σε, καὶ ἐπάκε-
σόν μϐ. μετάβαλλέ φησι τὰς ἐπικειμέ-
νας τῷ λαῷ σου συμφοράς· καὶ οἷόν
τινι δεξιᾷ, τῇ σῇ κηδεμονίᾳ κειμένους ἀ-
νάστησον, „ ὅτι δὲ δεξιὰ τῦ Θεοῦ καὶ
„ Πατρὸς ὁ μονογενὴς αὐτοῦ υἱὸς ὀνομά-
„ ζεται, οὐκ ἀμφιβάλοι τις τῶν πιστεύ-
„ όντων εἰς αὐτόν. „ οὕτω προσενεγκὼν
τὴν δέησιν „ ὁ προφητικὸς νοῦς, „ δέ-
χεται τὴν ἀπόκρισιν, καὶ ταύτην οὐκ
ἀνέχεται κρύψαι ἀλλὰ πάντας διδάσ-
κει. ἡ. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ
αὐτῦ. Τουτέστι διὰ τῆς τῦ παναγίϐ
πνεύματος χάριτος ὀργάνῳ τῇ τῦ προ-
φήτου χρησαμένης γλώττῃ. Ἀγαλ-
λιάσομαι, καὶ διαμεριῶ Σίκιμμα, καὶ
τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
Σίκιμμα, ἡ τῦ τῷ Ἰωσὴφ ὑπὸ τῦ Ἰα-
κὼϐ καταλειφθεῖσα πόλις. ἐν ταύτῃ
δὲ ὁ Ἐφραὶμ, μετὰ τὴν διαίρεσιν τῶν
Φυλῶν, ἐπήξατο βασιλείαν· κοιλάδα δὲ σκηνῶν, τὴν τῶν Ἰσραηλιτῶν λέγει χώραν, ὡς ἔρημον γεγενημένην, καὶ ποιμενικὰς τηνικαῦτα σκηνὰς δεξαμένην. ὑπισχνεῖται τοίνυν ὁ τῶν ὅλων Θεὸς, ἐπανάγειν τοὺς γεγενημένους δουλαλώτους, καὶ τὴν πατρῴαν αὐτοῖς διανέμειν γῆν· καὶ οὕτως αὐτὴν οἰκητόρων πληρώσειν, ὡς καὶ περὶ μέτρων τοὺς ἐνοικοῦντας φιλονεικεῖν· καὶ τούτῳ κεχρημένους, τὴν τῆς γῆς ποιεῖσθαι διανομήν. θ'. Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσὴς, καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Γαλαὰδ οὐ φυλῆς „ ὄνομα, „ ἀλλὰ τόπου· ὁ Μανασσὴς δὲ, φυλῆς ἐπώνυμος· τὴν δὲ Γαλααδίτιν ἄνωθεν ἐκληρώσατο γῆν. οἰκείαν τοίνυν λέγει καὶ τὴν φυλὴν, καὶ τὴν τούτου γῆν, καὶ τὴν ἐπάνοδον προμηνύων, καὶ τῶν χωρίων ἐκείνων τὴν οἴκησιν· καὶ τῷ Ἐφραὶμ δὲ ὑπισχνεῖται τὴν προτέραν ἀποδώσειν ἰσχύν. ἀντὶ δὲ τῆς κεφαλῆς μου, ὁ Σύμμαχος ἀρχῆς μου τέθεικε· ἀντὶ τῦ, πρόμαχον αὐτὸν ὡς πάλαι καταστήσω. Ἰούδας βασιλεύς μου. ἐπειδὴ γὰρ μετὰ τὴν ἐπάνοδον ἀδιαίρετοι μεμένηκασιν αἱ Φυλαί· μόνον δὲ τὸν ἐξ Ἰούδα Ζοροβάβελ ἔσχον ἡγεμόνα καὶ βασιλέα, εἰκότως τὸν μὲν Ἐφραὶμ κραταίωσιν κεφαλῆς, ἢ τῆς ἀρχῆς προσηγόρευσε, τὸν δὲ Ἰούδαν βασιλέα· τὸ δὲ βασιλεύς μου, ἀντὶ τῦ, ὑπ' ἐμοῦ χειροτονούμενος βασιλεὺς, καὶ τῦ ἐμοῦ βασιλεύων λαοῦ. οὕτω καὶ παρὰ τῷ Ἡσαΐᾳ· τάδε λέγει Κύριος τῷ χριστῷ μϐ Κύρῳ, τουτέστι τῷ ὑπ' ἐμοῦ κεχρισμένῳ „ καὶ κεχειροτονημένῳ. „ ι. Μωὰϐ λέβης τῆς ἐλπίδος μου. Τοῦτο ὁ Ἀκύλας οὕτως ἡρμήνευσε· Μωὰϐ λέβης τῦ λουτροῦ μου. ὁ δὲ Σύρος, κάδος τῆς πλύσεώς μου. ἐπειδὴ γὰρ ἐν τοῖς τοιούτοις σκεύεσι, καὶ τοὺς πόδας ἀπονίπτειν, καὶ τὴν τοῖς ποσὶν ἐρρυπωμένην ἐωθῆτα ἀπορρύπτειν εἰώθαμεν, τὴν ὑποταγὴν τῦ Μωὰϐ διὰ τῦ κάδου τῆς πλύσεως παρεδήλωσε· καὶ ὁ λέβης δὲ ἐπὶ τιμωρίᾳ κεῖται παρὰ τῇ θείᾳ γραφῇ. οὕτω καὶ ὁ μακάριος Ἰεζεκιὴλ διδάσκει, λέβητα προσταχθεὶς καλέσαι τὴν Ἱερουσαλὴμ, κρέας δὲ τοὺς ἐνοικοῦντας, πῦρ δὲ τὸν Βαβυλώνιον, ζωμὸν δὲ τὴν

ἀναγκαίαν τροφήν. ᾧ ἐπιλελοιπότος κατεκαίετο τὰ κρέα. οὕτω καὶ ὁ μακάριος Ἱερεμίας λέβητα ὑποκαιόμενον εἶδεν· καὶ τὸ πρόσωπον αὐτοῦ ἀπὸ προσώπου βορρᾶ. λέγει τοίνυν, ὅτι καὶ Μανασσὴς τὴν οἰκείαν ἀπολήψεται γῆν· καὶ ὁ Ἐφραὶμ τὴν προτέραν ἀνακτήσεται δύναμιν· καὶ ὁ Ἰούδας πάντων ἀναγορευθήσεται Βασιλεύς· Μωαβῖται δὲ αὐτοῖς ὑποταγήσονται, τὴν ἄμαχον αὐτῶν θεώμενοι ῥώμην. οὐ μόνον δὲ ἐκεῖνοι· ἀλλὰ καὶ Ἰδουμαῖοι, καὶ ἀλλόφυλοι. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκλενῶ τὸ ὑπόδημά μου. ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. „οὐκ ἂν δὲ διαμάρτοι τις θεωρήσας „λέβητα μὲν τὴν θείαν κολυμβήθραν „τιμωροῦσαν μὲν καὶ καταφλέγουσαν „καὶ ἐξαφανίζουσαν τὴν ἁμαρτίαν, ἀ„ναζωπυροῦσαν δὲ τῷ θείῳ πνεύματι „καὶ ἀναπλάττουσαν καὶ ἀποτρίβου„σαν τὸν βρότον· εἴ τ' οὖν τὸν ῥύπον „τῶν πλημμελειῶν τῶν δι' αὐτῆς ἀνα„καινιζομένων· καὶ τὸ ἐπὶ τὴν Ἰδουμαίαν „ἐκτενῶ τὸ ὑπόδημά μου, οὐ μόνον βα„δίσω, φησὶ ὁ ἐκ Δαβὶδ Κύριος τῆς δό„ξης, ἐπὶ τὴν Ἰδουμαίαν, ἀλλ' ὡσανεὶ δι' „ὑποδημάτων ἐμῶν διὰ τῶν θείων ἀπο„στόλων τὸ τῆς χάριτος εὐαγγέλιον κη„ρύξω· οὐκ ἐν αὐτῇ μόνον ἀλλὰ καὶ ἐν „πᾶσι τοῖς ἔθνεσιν.„ πρὸς γὰρ τοῖς Μωαβίταις, καὶ τοὺς Ἰδουμαίους δουλώσομαι, καὶ τὲς ἀλλοφύλους ὑποταγῆναι καταναγκάσω. ἀλλοφύλους μέντοι καλεῖ τοὺς Παλαιστινοὺς ἡ θεία γραφή, οὐχ ὡς τῶν ἄλλων ἐθνῶν ὁμοφύλων ὄντων, ἀλλ' ὡς τῶν ἄλλων μὲν ἀφεστηκότων, τούτων δὲ οὐ μόνον ὁμόρων ὄντων, ἀλλὰ καὶ μεταξὺ κατοικούντων. ἔτων Ἰεβουσαῖοι τὴν Ἱερουσαλὴμ ᾤκησαν ἐπὶ πλεῖξον· οὕτως Γαβαωνῖται τὴν Γαβαώ· καὶ Γαζαῖοι δὲ, καὶ Ἀσκαλωνῖται, καὶ οἱ ἄλλοι πλησίον ᾤκουν· καὶ ταῦτα σαφέστερον αἱ ἱστορίαι διδάσκουσιν. οὕτω ταῦτα ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων διδαχθεὶς ὁ προφήτης, ἰδεῖν ἐφίεται τοῦ λαοῦ τὴν μετὰ τὴν ἐπάνοδον εὐκληρίαν· καί φησιν· ιά. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τις ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; ιβ. Οὐχὶ σὺ ὁ Θεὸς, ὁ ἀπωσάμενος ἡμᾶς; „οὐδὲ γὰρ ἦν ἐτέ„ρου τῆς τοιαύτης ἡμᾶς ἀξιῶσαι προ„μηθείας.„ Πόλιν περιοχῆς τὴν Ἱερουσαλὴμ καλεῖ· ταύτην ὁ Σύμμαχος περιεργαμένην ἡρμήνευσεν. ἐπειδὴ γὰρ ἀνάστατος ἐγεγόνει, καὶ ἐξέρητο τῶν τειχῶν, μετὰ δὲ τὴν ἐπάνοδον, τοὺς οἰκείους ἀπέλαβε περιβόλους, ἰδεῖν αὐτὴν ὁ προφήτης τετειχισμένην ποθεῖ, καὶ ἕως Ἰδουμαίας ὡς βασιλεὺς δραμεῖν, καὶ ἰδεῖν τοὺς ἀεὶ δυσμενεῖς δουλεύειν ἠναγκασμένους. ταῦτα δέ φησι σὺ δράσον Κύριε ὁ ἀπωσάμενος ἡμᾶς, καὶ τῇ τῶν Βαβυλωνίων παραδὲς δυναστείᾳ· οὕτως τὰ ἀγαθὰ προθεσπίσας, ὑπὲρ τῶν ἀναιρῶν ἱκετεύει. Καὶ ἐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. ὁρᾷς ἡμᾶς, φησὶν, οὕτω πικρῶς πολεμουμένους, καὶ οὐ στρατηγεῖς, ἐδὲ ἀρηγεύεις συνήθως. „διὰ δὴ ταῦτα„ ιγ. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Τὸν ΚΑΙ σύνδεσμον ἀναλαβὼν ὁ Σύμμαχος, σαφέστερον τὴν ἑρμηνείαν εἰργάσατο. ἔφη δὲ ἔτως· δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· ματαία γὰρ σωτηρία ἀνθρώπου. ἐπάμυνόν φησιν διακειμένοις κακῶς· σοὶ γὰρ μόνῳ

μόνω δυνατὸν διαλῦσαι τὰς συμφοράς. αἱ δὲ τῶν ἀνθρώπων ἐπικουρίαι, σθένους μὴ ὄντος, μάταιοι. διὸ εἰκότως ἐπήγαγεν· ιδ'. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν· „ἀντὶ τοῦ ἐπ' αὐτὸν ἐπιστρέψωμεν, καὶ „αὐτῷ λατρεύσαντες κηδεμόνα αὐτὸν „ὁρισώμεθα.„ καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς. Τὴν αὐτοῦ φησὶν ἐπικαλεσώμεθα πρόνοιαν, καὶ ταύτῃ θαρρήσωμεν· αὕτη γὰρ ἀρκεῖ μόνη λῦσαι τὰ χαλεπὰ, καὶ τῶν πολεμούντων ἡμῖν καταλῦσαι τὴν δυναστείαν.

ΕΡΜΗΝ. ΤΟΥ ξ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαβίδ. Τῷ τέλει τοῦ προγεγραμμένου ψαλμοῦ ἀκολουθεῖ τοῦδε τοῦ ψαλμοῦ τὸ προοίμιον. εἰρηκὼς γὰρ ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς, διδάσκει τὸν ἐν τῇ αἰχμαλωσίᾳ λαὸν, οἵαν προσήκει προσενεγκεῖν τῷ Θεῷ προσευχήν. „προλέγει δὲ καὶ τοῦ δεσπότου Χρι„στοῦ τοῦ Θεοῦ ἡμῶν τὴν δι' ἡμᾶς οἰκο„νομίαν καὶ τὴν ἐπιστροφὴν τοῦ ἐξ ἐθνῶν „λαοῦ.„ β'. Εἰσάκουσον ὁ Θεὸς τῆς δεήσεώς μου· πρόσχες τῇ προσευχῇ μου. Δέξαι μου, φησὶν, τὴν ἱκετείαν, ὦ Δέσποτα, καὶ εὐμενῶς ἄκουσον τῶν τῆς προσευχῆς μου ῥημάτων· „ταῦτα δὲ „δικαίως εἴποι καὶ πᾶς ὅστις ἂν τῶν ἀν„θρώπων περιστάσει περιπέσοι· διὰ τού„των ἀντιβολῶν δεκτὴν γενέσθαι τὴν ἱκε„τείαν καὶ τῆς ἐκεῖθεν προμηθείας ἀ„ξιοῦσθαι.„ εἶτα διδάσκει τίνες οἱ εὐχόμενοι. γ'. Ἀπὸ τῶν περάτων τῆς γῆς πρός σε ἐκέκραξα. Ἐπειδὴ γὰρ πολλοῖς σταθμοῖς ἡ Βαβυλὼν τῆς Παλαιστίνης ἀφέστηκε, τὰς ἑκατὰς ὑπελάμβανον τῆς οἰκουμένης οἰκεῖν οἱ ἐξανδραποδισθέντες, κἀκείνην ἠναγκασμένοι τὴν γῆν οἰκεῖν. Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου ἐν πέτρᾳ ὕψωσάς με. ἱκετεύω δέ σε τῆς παρά σου ψυχαγωγίας τυχεῖν. ὀδυνώμενος γὰρ, καὶ τὰς ἐπικειμένας ὀλοφυρόμενος συμφορὰς, τῆς σῆς ἐπικουρίας ἀπήλαυσα, καὶ τῶν πολεμίων ὑπέρτερος ἐγενόμην. „εἴρηται δὲ „τοῦτο ἐκ προσώπου μὲν τῶν ἀνθρα„διζθέντων ἀπὸ τῆς Ἱερουσαλὴμ ἐν τῇ „Βαβυλῶνι καὶ τυχόντων τῆς ἀνακλή„σεως· ἁρμόττει δὲ καὶ ἑκάστῳ τῷ διὰ με„τανοίας τὴν ἑαυτοῦ πραγματευομένῳ „σωτηρίαν, καὶ μηκέτι περὶ τῆς ἀτρα„ποῦ βαδίζοντι, ἀλλὰ τὴν μόνην καὶ „ἀκλινῆ βαδίζοντι ὁδόν· καὶ δῆλον διὰ „τῶν ἑξῆς.„ Ὡδήγησάς με δ'. Ὅτι ἐγενήθης ἐλπίς μου· πύργος ἰσχύος, ἀπὸ προσώπου ἐχθροῦ. Τῆς σῆς προνοίας μεταχεῖν ἐλπίσας, οὐ διήμαρτον τῆς ἐλπίδος. ἐγένου γάρ μου καὶ ποδηγὸς, καὶ πύργος ἰσχυρός. διὰ γὰρ τῆς σῆς κηδεμονίας τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς διαβρᾴω, τεύξομαι τῆς ἐπανόδου. ε'. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας. σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Σκήνωμα τὸ Θεὸ τὴν Ἱερουσαλὴμ ὀνομάζει. ἐν ἐκείνῃ γὰρ ἐποιεῖτο τὴν πρὸς αὐτοὺς ἐπιφάνειαν· λέγει τοίνυν, ὅτι τῆς ἐπανόδου τετυχηκὼς, ἐνδελεχῶς τῷ σῷ προσεδρεύσω νεῷ, καὶ τῆς παρά σου προνοίας ἀπολαύσω. πτέρυγας γὰρ τὴν τοῦ Θεοῦ κηδεμονίαν καλεῖ· τὸ δὲ εἰς τοὺς αἰῶνας, ἀντὶ τοῦ διηνεκῶς τέθεικεν. ς'. Ὅτι

σὺ ὁ Θεὸς εἰσήκουσας τῶν εὐχῶν μὲ· ἔδωκας κληρονομίαν τοῖς Φοβουμένοις τὸ ὄνομά σου. Ὑμνῶ δέ σε διαπαντὸς, ἐπειδὴ τὰς ἐμὰς δεξάμενος ἱκετείας, τὴν ἐπαγγελθεῖσαν τοῖς προγόνοις ἡμῶν κληρονομίαν ἡμῖν τοῖς ἐκείνων ἐκγόνοις ἀπέδωκας· ταῦτα δὲ λέγουσιν εὐθὺς ἀψάμενοι τῆς ὁδοῦ. ἰστέον μέντοι, ὅτι καὶ τῆς ἀληθοῦς κληρονομίας αἰνίγματα ἔχει τὰ προκείμενα ῥήματα· κληρονομία δὲ ἀληθὴς, ἡ αἰώνιος ζωὴ, περὶ ἧς ἔφη ὁ δεσπότης Χριστὸς τοῖς ἐκ δεξιῶν ἀμνοῖς· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. ταύτην τὴν κληρονομίαν τοῖς Φοβουμένοις αὐτὸν δώσειν ὁ Δεσπότης ὑπέσχετο· καὶ τούτοις δὲ ὡς ἐν τύπῳ τὴν ἐπηγγελμένην ἀπέδωκε γῆν. ζ'. Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προθήσεις· τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς. ἡ. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ. Οὕτως ἱκετεύσαντες, καὶ τὰς αἰτήσεις δεξάμενοι, καὶ χάριν ὑπὲρ τούτων ὁμολογήσαντες, ἀντιβολοῦσι τὸν Θεὸν, τὸν δοθέντα αὐτοῖς ἐπὶ πλεῖστον διαφυλάξαι βασιλέα. τηνικαῦτα δὲ αὐτῶν ἐβασίλευε Ζοροβάβελ· ἀλλ' οὐχ ἁρμόττει αὐτῷ πάντα τὰ τῆς προφητείας ῥητά. τὸ μὲν γὰρ ἡμέρας ἐφ' ἡμέρας τῷ βασιλέως προθήσεις, ἁρμόττει κἀκείνῳ· τὰ δὲ λοιπὰ, οὐκ ἔτι· ἀλλὰ τῷ ἐξ ἐκείνου κατὰ σάρκα διὰ πολλὴν φιλανθρωπίαν γενομένῳ, ὡς οἶδεν αὐτός. ἐπ' ἐκείνου γὰρ ἀληθεύει τῆς προφητείας τὰ ῥήματα· τὰ ἔτη αὐτῆ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς· διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεῦ. „οὐδὲ γὰρ ἀρχὴν ἡμε„ρῶν ἐδέξατο, οὐδὲ τέλος ὑπομενεῖ· εἰ „γὰρ καὶ ἄνθρωπος γενόμενος ὑπὲρ ἡ„μῶν κατεδέξατο θάνατον, ἀλλὰ τὰ „ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γε„νεᾶς· ἐν ἀρχῇ γὰρ ἦν, καὶ πρὸς τὸν „Θεὸν ἦν καὶ Θεὸς ἦν· τὸ δὲ ἐνώπιον τῆ „Θεῦ ἀντὶ τοῦ σὺν Πατρὶ ἀεὶ συνυπάρ„χων.„ πρὸς ἐκεῖνον γὰρ ὁ αὐτὸς προφήτης ἐν τῷ ἑκατοστῷ καὶ πρώτῳ ψαλμῷ ἔφη· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. „ὁρᾷς, ὅτι „ὡς συνυπάρχων ἔχει καὶ ἀτελεύτητον „τὴν βασιλείαν ὁ ὑπὲρ ἡμῶν σαυρὸν καὶ „θάνατον καταδεξάμενος.„ τύπος μέντοι καὶ Ζοροβάβελ τοῦ Δεσπότου Χριστοῦ. ὥσπερ γὰρ ἐκεῖνος τὴν ἀπὸ Βαβυλῶνος αἰχμαλωσίαν εἰς τὴν πατρῴαν ἐπανήγαγε γῆν· ἔτως ὁ Δεσπότης Χριστὸς ἅπασαν τῶν ἀνθρώπων φύσιν γεγενημένην αἰχμάλωτον „διὰ τῆς πα„ραβάσεως τοῦ πρώτου ἀνθρώπου„ εἰς τὴν προτέραν εὐγένειαν ἐπανήγαγε· „καταργήσας γὰρ ἐπὶ τοῦ σαυροῦ „τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, „τουτέστι τὸν διάβολον·„ καὶ καταλύσας τοῦ θανάτου τὸ κράτος, τοῖς ὑπ' ἐκείνῳ τελοῦσι τὴν ζωὴν ἀπέδωκεν. „αὐτῆ γάρ ἐστι φωνή· ἐγώ εἰμι ἡ ζωὴ „καὶ ἡ ἀνάστασις· καὶ ὁ τρώγων με ζή„σεται ἐν ἐμοί.„ ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει; τίς γάρ φησιν ἱκανὸς τὸν κεκριμένον καὶ δίκαιον τοῦ Θεοῦ ἔλεον καταμαθεῖν ἀκριβῶς; τὰ γὰρ κρίματα αὐτοῦ ἄβυσσος πολλή. θ'. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

Δεῦ

Ἀεί σε γὰρ ὑμνήσω· καθ' ἑκάστην τὰς σὰς δηγήσομαι χάριτας· καὶ τὰς ὑποχέσεις οὐ ψεύσομαι· εὐχὰς γὰρ τὰς ὑποχέσεις καλεῖ.

ΕΡΜΗΝ. ΤΟΥ ξα' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθὲμ, ψαλμὸς τῷ Δαβίδ. Ὁ δὲ Σύμμαχος ἔτως ἡρμήνευσεν, ἐπινίκιος διὰ Ἰδιθὲμ, ᾠδὴ εἰς Δαβίδ. δηλοῖ τοίνυν, ὡς τῇ μακαρίᾳ μὲν Δαβὶδ ὁ ψαλμὸς, ᾄδετο δὲ ὑπὸ τῆ Ἰδιθέμ. ὡς γὰρ χορεῦ προῤῥατῶν ἐν τῷ θείῳ ναῷ ὕμνει τὸν τῶν ὅλων Θεὸν, ἣ φησὶ τῶν παραλειπομένων ἡ βίβλος. προθεσπίζει δὲ ὁ ψαλμὸς τὰς Μακεδονικὰς ἐπαναστάσεις, καὶ τὰς Ἀντιόχε τῆ ἐπιφανῆς κατὰ τῶν Μακκαβαίων ἐπιβελάς· καὶ διδάσκει τὲς εὐσεβείας ἀθλητὰς, ὁποίοις προσήκει χρήσασθαι λογισμοῖς ἐν τῷ τῶν ἐναντίων καιρῷ. β'. Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μὲ; Τὸν θεῖον παραβαίνειν καταναγκαζόμενοι νόμον, καὶ θύειν μὲν εἰδώλοις, ὑείων δὲ μεταλαμβάνειν κρεῶν, τὸν οἰκεῖον εἰς εὐσέβειαν διεγείρουσι λογισμὸν, καὶ πρὸς τὸν ὑπὲρ τῆς εὐσεβείας παραθήγουσι ζῆλον. ὃ προτιμᾶς φησὶν ἁπάντων, ὦ ψυχὴ, τῇ Θεῇ τὴν δελείαν; εἶτα τὸ ἐντεῦθεν διδάσκουσι κέρδος. Παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μὲ. γ'. Καὶ γὰρ αὐτὸς Θεός μὲ, καὶ σωτὴρ μὲ· ἀντιλήπτωρ μὲ, ὃ μὴ σαλευθῶ ἐπὶ πλεῖον. Αὕτη σοι ὦ ψυχὴ ἡ δελεία παρέχει τὴν σωτηρίαν. αὐτὸς γάρ ἐστι Θεὸς καὶ τῶν ἀγαθῶν χορηγὸς, καὶ τὲς κλονεμένες ἐρεῖσαι δυνάμενος. τὴν αὐτῇ τοίνυν ἐπικερίαν καλέσας, τῶν καταβαλεῖν πειρωμένων ἀπαλλαγήσομαι· ἔτω τὲς οἰκείες εἰς εὐσέβειαν πυρεύσαντες λογισμὲς, μεταφέρουσι πρὸς τὲς ἐναντίες τὴν γλῶτταν. δ'. Ἕως πότε ἐπιτίθεθε ἐπ' ἄνθρωπον; Φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ; Μεθυπέρβατος δὲ ἡ τῆ τίχε διάνοια· ἔστι δὲ αὕτη· μέχρι τίνος ὠμότητι καθ' ἡμῶν κέχρησθε, τὸ κοινὸν τῆς Φύσεως ἐ σκοπέμενοι, ἀλλὰ καθάπερ τοῖχον τινὰ κεκλιμένον, καὶ φραγμὸν ὑπ' ἀνέμε πεσεῖν κινδυνεύοντα, ὥσαι καὶ καταβαλεῖν ἐπείγεσθε, μιαιφόνον ἔχοντες γνώμην; ἀντὶ τῆ, μὴ σφόδρα ἡμῶν, ὡς ἀσθενῶν, κατεπαίρεσθε. ἔχομεν γὰρ ἐπίκερον τὸν τῶν ὅλων Θεόν. ε'. Πλὴν τὴν τιμήν μὲ ἐβελεύσαντο ἀπώσασθαι. Ἕνα, φησὶ, σκοπὸν ἔχουσι, τῆς τῆ Θεῆ με γυμνῶσαι προνοίας, ἀφ' ἧς πᾶσαν ἔχω τιμήν τε καὶ εὔκλειαν· τιμὴ γὰρ τῶν εὐσεβῶν, τὸ δελεύειν Θεῷ. διόπερ καὶ ὁ θεσπέσιος Παῦλος πανταχῆ δῆλον ἑαυτὸν ὀνομάζει Χριτῆ. ἔδραμον ἐν δίψη. ὃ πάρεργον δὲ ταύτην ἔχουσι τὴν ἐπιβελήν· ἀλλὰ σὺν πάσῃ προθυμίᾳ τῆτο ποιῆσιν, εἰς τὸν τῆς ἀσεβείας με βόθρον καταβαλεῖν διῳῶντες· ποίαις δὲ κέχρηνται μηχαναῖς λέγει. Τῷ τόματι αὐτῶν εὐλόγουν, καὶ καρδίᾳ αὐτῶν κατηρῶντο. κωτίλοις μὲν κέχρηνται λόγοις, φενακίσαι πειρώμενοι· ἀλλ' ὀλεθρον ἔνδον ἔχουσι κεκρυμμένον. ἔτως τὰς ἐκείνων δείξαντες ἐπιβελὰς, πάλιν ἑαυτοῖς ἐγκελεύονται καρτερεῖν, καὶ τὴν θείαν ἀναμένειν ῥοπήν.

ς'. Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μὲ· ὅτι παρ' αὐτῦ ἡ ὑπομονή μου. Μὴ καταλίπης, ὦ ψυχὴ, τῦ Θεῦ τὴν βοήθειαν, ἀλλὰ τῇ παρ' αὐτῦ χορηγουμένῃ ῥωσθεῖσα ῥοπῇ, φέρε τὰς τῶν δεινῶν προσβολάς. ζ'. Ὅτι αὐτὸς Θεός μὲ, καὶ σωτήρ μὲ, ἀντιλήπτωρ μὲ, ὃ μὴ μεταναστεύσω. Αὐτὸν γὰρ εἰδὼς καὶ ἀληθινὸν Θεὸν, καὶ σωτηρίας πηγὴν, οὐκ ἀνέξομαι τὴν δουλείαν ἀμεῖψαι, καὶ πρὸς ἑτέραν δεσποτείαν ἀναδραμεῖν· τὸ γὰρ μεταναστεύσω, ἀντὶ τῦ μεταθήσομαι τέθεικεν. ὃ γενήσομαί φησι μετανάστης, καὶ δῆλος τῆς ἀσεβείας. η'. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μὲ, καὶ ἡ δόξα μὲ· ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ. „Ἰδὲ πάλιν ὁ προφητικὸς „νοῦς τῆς ἀδιαιρέτε καὶ φωτοφόρε καὶ „ἀεὶ ὄσης τριάδος σαφέστερον ἡμῖν ὑπέ„δειξε τὰς ὑποστάσεις· ὃ τρεῖς θεὸς λέ„γων, ἄπαγε· τὸ γὰρ Θεὸς, ὡς πολλά„κις ἡμῖν εἴρηται, καὶ τὸ Κύριος καὶ βα„σιλεὺς καὶ δημιουργὸς καὶ παντοκρά„τωρ ἐπὶ τῶν ὑποστάσεων κεῖται· διὸ δὴ „τοῖς αὐτοῖς πολλάκις κέχρηνται λό„γοις, Θεὸν καὶ σωτῆρα, καὶ δόξαν, καὶ βοηθὸν, τὸν τῶν ὅλων καλοῦντες Θεόν· ἵνα τῆς δυσσεβείας τὰς προσβολὰς ἀποκρύσωνται· ὃ δὴ χάριν, καὶ τὸς ἄλλους ἅπαντας ὁμοφύλους εἰς τὴν αὐτὴν εὐσέβειαν διεγείρουσιν οὐκ ἀνεχόμενοι μόνοι νικηφόροι καλεῖσθαι. θ'. Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαῶν· ἐκχέατε ἐνώπιον αὐτῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν. Πάντων, ὦ ὁμόφυλοι, τῶν ἀνθρώπων καταφρονήσαντες, τὴν εἰς αὐτὸν ἐλπίδα βεβαίαν ἐργάσασθε· καὶ πᾶσαν αὐτῷ ἀνάθεσθε τὴν διάνοιαν, ἀναμφιβόλως τὴν παρ' αὐτῦ βοήθειαν ἀναμένοντες. τὸ γὰρ, ἐκχέατε ἐνώπιον αὐτῦ τὰς καρδίας ὑμῶν, τοῦτο δηλοῖ, ἀντὶ τῦ, πάντας αὐτῷ τὰς λογισμὸς ἀφιερώσατε, καὶ μηδεμίαν διχόνοιαν εἰσδέξησθε· „εὖ μάλα ἐπισάμενοι, ὡς „ἄνθρωπος δίψυχος, ἀκατάστατος ἐν „πάσαις ταῖς ὁδοῖς αὐτῦ, καὶ τὸ δυσὶ „κυρίοις οὐδεὶς δύναται δουλεύειν. „ί. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων· ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι. Τοῦτο σαφέστερον ὁ Θεοδοτίων ἡρμήνευσε· πλὴν ἀτμὶς υἱοὶ τῶν ἀνθρώπων· ψευδεῖς υἱοὶ ἀνδρὸς, ὡς ῥοπὴ ζυγῦ. ὀδὲν φησι μόνιμον τῶν ἀνθρωπίνων, ἀλλ' ἀτμῷ ἔοικεν ἀναπεμπομένῳ, καὶ παραυτίκα σκεδαννυμένῳ, καὶ ῥοπῇ ζυγῦ, ποτὲ μὲν καθιεμένῃ, ποτὲ δὲ ἀναπευόσῃ, καὶ σαθηρὸν ὀδὲν ἐχέσῃ καὶ μόνιμον. καὶ τῶν ἑβδομήκοντα τὴν ἑρμηνείαν ἔτω νοητέον· μάταια μὲν τὰ ἀνθρώπινα πάντα. ἀλλ' ὅμως οἱ πλεῖστοι θαῤῥοῦσιν, ὡς διαρκέσι, τοῖς ῥέουσι· καὶ ἰσότητος ἀμελοῦσιν, ἀνίσως δὲ κατέχουσι τὰ τῆς διανοίας ζυγά. καὶ τῦ μὲν δικαίῳ καταφρονοῦσιν, ἀδικίᾳ δὲ χαίρουσιν. Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. ἀλλ' ὅμως ὀδὲν ἐντεῦθεν ἀποφέρονται κέρδος· μάταια γὰρ ἅπαντα, καὶ μεταβολὴν ὀζεῖαν δεχόμενα. ἔτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσεν, αὐτοὶ ματαιοῦνται ὁμοῦ. ἐντεῦθεν παραίνεσιν τοῖς ἐναντίοις ἐπὶ πλέτῳ γαυριῶσι προσφέρουσιν. ια'. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Μὴ ἀξιέρασόν φησιν ἡ-

γεῖσθε

γεῖθε τὴν ἀνθρωπίνην ἐφημερίαν, ἐξ ἀδικίας συνιταμένην. πλεῖτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. ποταμῷ δὲ δίκην ὁρῶντες τὸν πλεῖτον εἰς τὰς ὑμετέρας φερόμενον οἰκίας, μὴ καταβαλώσητε τέτῳ τὸν ὑμέτερον λογισμόν. καὶ τί δήποτε ταῦτα συμβελεύεις καὶ παραινεῖς; ιβ'. Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύο ταῦτα ἤκεσα, ὅτι τὸ κράτος τῷ Θεῷ, ιγ'. Καὶ σοὶ Κύριε τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ἤκεσά φησιν ἀποφηναμένε τῷ Θεῷ τῶν ὅλων, ὅτι κρίσις ἔσαι, καὶ ἀνταπόδοσις ἀγαθῶν καὶ κακῶν. τὸ δὲ ἅπαξ, ἐκ ἐπ' ἀριθμῷ τέθεικεν, ἀλλ' ἐπὶ τῷ πάντως ἐσομένῳ. ἀπεφήνατό φησιν ἅπαξ ὁ Θεὸς, καὶ τέτο μὴ γενέθαι τῶν ἀδυνάτων. δύο δὲ λέγει· τὴν κατὰ τῶν παρανόμων τιμωρίαν, καὶ τὴν τοῖς εὐσεβέσι χορηγεμένην φιλανθρωπίαν. ταῦτα μέν τοι νομοθετῶν ὁ Θεὸς ἐπηγγείλατο. ἐγὼ γάρ εἰμι, φησὶ, Κύριος ὁ Θεός σε, Θεὸς ζηλωτὴς, ἀποδιδὲς ἁμαρτίαν πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισῶσί με· καὶ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με, καὶ φυλάσσεσι τὰ προστάγματά με. „ταῦτα δὲ τέτοις καὶ ἐν εὐαγγελίοις ἀκέσμεν, πῶς ὁ Κύριος τῆς δόξης ἐν τῇ δευτέρᾳ αὐτῷ ἐξ ἀρανῶν παρεσίᾳ ἀφορίει ὥσπερ ὁ ποιμὴν, καὶ τὰ πρόβατα μὲν ςήσει ἐκ δεξιῶν, τὲς δὲ ἐρίφες ἐξ εὐωνύμων· τότε ἐρεῖ τοῖς ἐκ δεξιῶν, δεῦτε οἱ εὐλογημένοι τῷ πατρός με, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμε· εἶτα τοῖς ἐξ εὐωνύμων· ὑπάγετε εἰς τὸ σκότος τὸ ἐξώτερον ὅπε ὁ βρυγμὸς καὶ ὁ ὀλολυγμὸς τῶν ὀδόντων· διὰ δὴ τὴν ἀπόφασιν ταύτην σπεδασάτω ἕκασος διὰ βίε καθαρότητος καὶ τῆς μόνης ἀληθῆς πίςεως καὶ διὰ τὴν πρὸς τὸν πέλας ἀγάπησιν ἀπολαβεῖν ἐκεῖνα, ἃ ὀφθαλμὸς ἐκ εἶδε καὶ ἓς ἐκ ἤκεσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπε ἐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.„

ΕΡΜΗΝ. ΤΟΥ ξβ' ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰεδαίας. Φυγὼν τὸν Σαὲλ ὁ Θεῖος Δαβὶδ, ἦλθε πρὸς τὸν Ἀβιμέλεχ· κἀκεῖθεν πρὸς τὸν Ἀγχῆς, ὃς τῆς Γὲθ ἐβασίλευεν. εἶτα πάλιν κινδύνῳ περιπεσὼν, καὶ τέτον διαφυγὼν, καταλαμβάνει τὴν ἔρημον. ἐν ᾗ τόνδε συνέγραψε τὸν ψαλμόν· καὶ ὃν εἶχε περὶ τὸν Θεὸν ἐκκαλύπλων ἔρωτα, καὶ τῷ Σαὲλ προαγορεύων τὸν ὀλεθρον. „καὶ πᾶσι δὲ ἀνθρώποις δέδωκε ἀφορμὴν, δι' ὧν ὀφείλεσιν ἐκλιπαρεῖν τὸν Θεὸν καὶ τὴν παρ' αὐτῷ ἀναμένειν βοήθειαν.„ β'. Ὁ Θεὸς, ὁ Θεός με, πρός σε ὀρθρίζω· ἐδίψησέ σε ἡ ψυχή μου. Ἐξελαύνει, φησὶ, καὶ τὸν ὕπνον ὁ περὶ σε Δέσποτα πόθος, καὶ εἰς τὴν σὴν με διεγείρει προσκύνησιν. ποσαπλῶς σοι ἡ σάρξ μου. ὁ Θεοδοτίων, ποσαχῶς ἐξέδωκεν· ὁ δὲ Ἀκύλας, ἐπετάθη· ὁ δὲ Σύμμαχος, ἱμείρεται· πάσας δὲ τέθεικα τὰς ἑρμηνείας, διδάσκων ὡς ἐ δύο μέρη ἐςὶ τὸ ποσαπλῶς· διαιρεμένε τῷ πῶς ἀπὸ τῷ ἁπλῶς· ἀλλ' ὅτι ἕν ἐςι μέρος λόγε, τὴν ἐπίτασιν τῷ πόθε σημαῖνον. συμφωνεῖ γάρ

γάρ φησι τῷ ἔρωτι τῆς ψυχῆς καὶ ἡ σαρξ, καὶ τοῖς ἐκείνης ἐκ ἀντιτείνει βουλεύμασιν· βέλεται δὲ εἰπεῖν, ὅτι καὶ ἡ ψυχή μου, καὶ τὸ σῶμά μου, ἱμείρεταί σε καὶ ποθεῖ σε, καθάπερ ὁ διψῶν ὕδωρ ἡδίστον τε καὶ διειδέστατον. Ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ. γ'. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι. Οὐδεμίαν ἀπὸ τῆς ἐρημίας βλάβην εἰσεδεξάμην· ἀλλ' ὡς παρ' αὐτὴν ἔσηκώς τὴν ἱεράν σε σκηνὴν, ἔτως σοι τὴν ὑμνῳδίαν προσφέρω. τὸ γὰρ ἐν τῷ ἁγίῳ τὴν σκηνὴν λέγει. ἐδέπω γὰρ ὁ θεῖος νεὼς ᾠκοδόμητο. τοῦ ἰδεῖν τὴν δύναμίν σε, καὶ τὴν δόξαν σου. παρίσαμαι δέ σοι, τὴν ἄῤῥητον φανταζόμενος δύναμιν. ἐπειδὴ γὰρ ἡ σὴ Φύσις ἀνέφικτος, ἀπὸ τῶν ὑπὸ σῦ γινομένων λαμβάνω τῆς δοξολογίας τὰς ἀφορμάς. „ὁ δὲ ἐξ ἐθνῶν πεπιστευκὼς λαὸς δι„νεκῶς ἂν εἴποι· ἔτως ἐν τῷ ἁγίῳ ὤ„φθην σοι· τετέτιν ἐν τῷ ναῷ· ἐν ᾧ „θύη ἀθύτως καὶ μερίζη ἀμερίστως „καὶ ἐκδαπανᾷ μένων ἀδαπάνητος. „ δ'. Ὅτι κρεῖσσον τὸ ἔλεός σε ὑπὲρ ζωάς, τὰ χείλη μὲ ἐπαινέσουσί σε. Πάσης τῆς ζωῆς τῆς τῶν πλετέντων, καὶ τῆς τῶν δυναστευόντων, καὶ ἀφρόντιδος, καὶ πολυφρόντιδος, καὶ ἀβροδιαίτε, καὶ ἀνειμένης, τὸν σὸν ἔλεον προαιρεῖμαι. καὶ εἰς τὴν σὴν ὑμνῳδίαν τὰ χείλη κινῶ. ε'. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μὲ· ἐν τῷ ὀνόματί σε ἀρῶ τὰς χεῖράς μου. Τῦτο δὲ παρὰ πάντα με τὸν βίον διατελέσω ποιῶν· ὑμνῶν μὲν τῇ γλώτῃ· τὰς δὲ χεῖρας ἐκτείνων, καὶ τὴν σὴν Φιλανθρωπίαν αὐτῶν. ς'. Ὡς ἐκ σέατος καὶ πιότητος, ἐμπλησθείη ἡ ψυχή μου. Τὴν δὲ σὴν ὑμνῳδίαν πιότητα ὑπολαμβάνω ψυχῆς· καὶ πιμελῆ, καὶ εὐτραφῆ ταύτην εἶμαι γίνεσθαι. χλιδὴ γὰρ μόνιμος, καὶ τρυφὴ, τῶν σῶν λογίων ἡ μελέτη. καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ σόμα μου. Ἃ δὴ χάριν, μετὰ πάσης σοι προθυμίας προσοίσω τὸν ὕμνον, τὸ ἐντεῦθεν ἐπισάμενος κέρδος. ζ'. Εἰ ἐμνημόνευόν σε ἐπὶ τῆς σρωμνῆς μὲ, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. η'. Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πλερύγων σε ἀγαλλιάσομαι. Τῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἀναμιμνήσκομαί σε ἐπὶ τῆς σρωμνῆς με· καθ' ἑκάσην Φυλακὴν ἐμελέτων σε· καὶ σκεπόμενος ἐν ταῖς πλερυξί σε, εὐΦήμων. Φυλακὰς δὲ λέγει τὰς νυκτερινάς· διαιρέμενοι γὰρ τὸν νυκτερινὸν καιρὸν οἱ Φυλάτλειν πεπισευμένοι, τῦτο δρῶσι σΦᾶς αὐτὲς διαδεχόμενοι, καὶ οἱ μὲν τριχῆ διαιρῦσιν, οἱ δὲ τετραχῆ· καὶ ὁ Κύριος τετάρτῃ Φυλακῇ τῆς νυκτὸς πρὸς τὲς ἱερὲς ἀποσόλες ἐλήλυθε· λέγει τοίνυν ὁ θεῖος Δαβὶδ, ὅτι καὶ ἐπὶ σρωμνῆς κατακείμενος, τὸν ἡδίστον ὕπνον ἀνεβαλόμην, καθ' ἑκάσην Φυλακὴν τὴν σὴν ἔχων μελέτην· καὶ ὕμνοις τὰς εἰς ἐμὲ γεγενημένας ἠμειβόμην εὐεργεσίας. οἷον γάρ τινι πλερύγων σκέπῃ, τῇ ἀμάχῳ με προμηθείᾳ Φυλάτλεις. „καὶ „τῦτο δὲ αὐτὸ ὁ ἐξ ἐθνῶν λαὸς πεπι„σευκὼς μνημονεύει πάντως ἐπὶ τῆς „σρωμνῆς ἐν τῷ ὄρθρῳ ἀνυμνῶν τὸν τῶν „ὅλων σωτῆρα· ὅτι ἐγενήθης αὐτὸς βοη„θὸς καὶ ἐν τῇ σκέπῃ τῶν πλερύγων σε „ἀγαλλιάσομαι. πλέυγας δὲ δικαίως

„ἂν

„ ἂν εἴποι ὁ αὐτὸς παλαιάν τε καὶ νέαν „ διαθήκην, δι' ἧς σκεπόμενος καὶ τρε- „ φόμενος καὶ ἀγαλλιώμενος διὰ τῆς τῦ „ λυτρῦ παλιγγενεσίας προήχθη εἰς „ ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ „ πληρώματος τῦ Χριστῦ. „ θ'. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. Οὐδὲ πρὸς βραχύ φησι τὸν ἐμὸν λογισμὸν τῆς σῆς ἀποσῆσαι δύναμαι μνήμης. ἀλλὰ φίλτρῳ θερμῷ πυρευόμενος, οἷόν τινι κόλλῃ τῇ μνήμῃ τῷ σῷ πόθῳ προσδέδεμαι. εἶτα δείκνυσι τὸν τῦ πόθου καιρόν. ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. οὕτω γάρ με διακείμενον ὁρῶν, τῆς σῆς ἀξιοῖς προμηθείας. ι'. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου. Οὐδὲν ἠδικηκότα με σπουδάζουσιν ἀνελεῖν. εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. ἀλλ' οἶδα ὡς θανάτῳ παραδοθήσονται. εἶτα καὶ τὸν τρόπον προδεσπίζει τῆς τελευτῆς. ια'. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας. Ὑπὸ πολεμικῆς τῦτο πείσονται δεξιᾶς. μερίδες ἀλωπέκων ἔσονται· καὶ τῦτό φησιν οὐχ ὑπὸ δυνατῶν τινῶν ὑποσήσονται πολεμίων· ἀλλ' ὑπὸ τῶν προσοίκων ἀλλοφύλων· οἳ δίκην ἀλωπέκων, ποτὲ μὲν ἐπίασι, θαμὰ δὲ καὶ συνεχῶς ἐξελαυνόμενοι φεύγουσιν. αἰνίττεται δὲ τὸ πρόχειρον νόημα, ὡς τῶν ἐν τῷ πολέμῳ πεσόντων οἱ πλείους οὐδὲ ταφῆς ἀξιωθήσονται· ἀλλὰ προκείσονται τοῖς θηρίοις βορά. ιβ'. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ. Ἐγὼ δέ φησι παρά σε τὴν βασιλείαν δεξάμενος, οὐκ ἐπὶ τῷ ἐκείνων ἡδήσομαι θανάτῳ· ἀλλ' ἐπὶ τῇ σῇ προμηθείᾳ, δι' ἧς ἐξέφυγον τὰς παντοδαπὰς τῶν πολεμίων ἐπιβουλάς. ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα. μετὰ παῤῥησίας δὲ λοιπὸν ἅπαντες καὶ ὀνομάσουσι βασιλέα, καὶ κατὰ τῆς τούτου σωτηρίας ὀμοῦνται· οὐκ ἔτι δεδιότες τοὺς συκοφάντας, ὧν ἐνεφράγη τῷ θανάτῳ τὸ στόμα. τοῦ μὲν γὰρ Σαοὺλ περιόντος, ἐδεδίεσαν τὴν πρὸς τὸν Δαβὶδ διάλεξιν· τῦτου δὲ τελευτήσαντος, ἀδεῶς λοιπὸν ἅπαντες καὶ τῷ βασιλεῖ τὸ πρέπον ἀπένεμον γέρας, καὶ ὅρκον ἐποιῦντο τῦ βασιλέως τὴν σωτηρίαν, φιλοτιμίαν τοῦτο καὶ πρόφασιν εὐνοίας ποιούμενοι.

ΕΡΜΗΝ. ΤΟΥ ξγ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Καὶ οὗτος ὁ ψαλμὸς τὴν αὐτὴν ὑπόθεσιν ἔχει. διηγεῖται δὲ τὰς ὑπὸ Σαοὺλ γεγενημένας ἐπιβουλάς· καὶ προλέγει τὴν τούτων ἀπαλλαγήν. „ προ- „ λέγει δὲ δι' ὧν ὀφείλει προσευχῶν ὁ ἐξ „ ἐθνῶν λαὸς ἐπιστρέφων δυσωπεῖν τὸν „ Σωτῆρα. „ β'. Εἰσάκουσον ὁ Θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρός σε· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Δέξαι μου, φησὶ, Δέσποτα τὴν ἱκετείαν· καὶ ῥῶσόν μου τὴν διάνοιαν· ὥστε μὴ δεδιέναι τῶν πολεμίων τὰς προσβολάς. γ'. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν. Συστροφὴν καλεῖ τὴν ὁμόνοιαν, καὶ τὴν ἐν κακῷ συμφωνίαν. ἧς ἀντιβολεῖ κρείττων ἀποφανθῆναι· οἷόν τινι τειχίῳ τῇ θείᾳ κηδεμονίᾳ περιφραττόμενος. εἶτα διηγεῖται αὐτῶν τὰ παντοδαπὰ μηχανήματα. δ'. Οἵ τινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐ-

τῶν· ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν. ε'. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Συκοφαντίας, φησὶ, ῥάπλουσιν εἰς τὸν κατ' ἐμοῦ τυρευόμενον πόλεμον· καὶ ταῦτα μηδεμίαν ἐμὲ παρεχηκότος αἰτίαν. ἄμωμον γὰρ ἐντεῦθεν, τὸν ἀναίτιον λέγει. τὸ δὲ πρᾶγμα πικρὸν, ὁ Ἀκύλας ῥῆμα πικρὸν εἴρηκε· καὶ ὁ Θεοδοτίων, λόγον πικρόν· καὶ ὁ Σύμμαχος, ἐπλήρωσαν τόξον ἑαυτῶν, λόγον πικρόν. τὸ δὲ ἐν ἀποκρύφοις, κρυφῇ ὁ Σύμμαχος εἴρηκεν· τουτέστιν ἐνέδραις καὶ λόχοις κεχρημένοι· τοῦτο δὲ καὶ τὰ ἐπαγόμενα διδάσκει. ς'. Ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. Λοχῶντές φησιν ἐξαίφνης ἐπίασιν, οὐ δειμαίνοντες τὸν ἐφορῶντα Θεόν. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν· διηγήσαντο τὸ κρύψαι παγίδας. τοῦτο σαφέστερον ὁ Σύμμαχος εἴρηκεν· ἐκράτυναν λόγον πονηρὸν, εἰσηγήσαντο κρύψαι παγίδας. τὸν γὰρ ἐμὸν κατλύοντες θάνατον, εἰσηγήσαντο καὶ συνεβουλεύσαντο, ποίαις δεῖ χρήσασθαι κατ' ἐμὲ μηχαναῖς· καὶ τῷ ἔργῳ τοὺς λόγους ἐκράτυναν· ταῦτα δὲ τολμῶσιν, οὐδένα προμηθεῖσθαι τῶν ἀνθρωπίνων ἡγούμενοι. τοῦτο γὰρ δηλοῖ τὰ ἐπαγόμενα. εἶπαν τίς ὄψεται αὐτούς; ἡγοῦνται φησὶ μηδένα εἶναι τῶν γινομένων κριτήν. „τοῦτο μὲν οἱ περὶ τὸν Ἀβεσσαλὼμ „καὶ τὸν Σαὰλ καὶ τοὺς λοιποὺς· τὸ „δὲ καὶ οἱ παράνομοι οἱ κατὰ καιρὸν „μηχανὰς καὶ πάγας κατὰ τῶν ἐκκλη„σιῶν τοῦ Θεοῦ συξησάμενοι· καὶ ὅρα τί „φησι διὰ τῶν ἑξῆς.„ ζ'. Ἐξηρεύνησαν ἀνομίαν, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις. Πάντα, φησὶν, ἐκίνησαν λογισμόν· πᾶσαν ἐπενόησαν κατ' ἐμοῦ μηχανήν. οὐδὲν ἐπιβουλῆς καταλελοίπασιν εἶδος, προφανῶς ἐπιόντες, κρύβδην λοχῶντες, κατασκόποις χρώμενοι, τὰς ἐρήμους περινοοῦντες, τὰ πετρώδη χωρία διερευνώμενοι, „ἐν ὄρε„σι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς „γῆς ἀναζητοῦντες τοὺς ἀθλητὰς τῆς „εὐσεβείας, περὶ ὧν φάσκει ὁ θεῖος „Παῦλος, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.„ Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα. η'. Καὶ ὑψωθήσεται ὁ Θεός. Τοῦτο σαφέστερον ὁ Θεοδοτίων ἡρμήνευσε· λέγει δὲ οὕτως· καὶ διάνοιαν ἀνδρὸς, καὶ καρδίαν βαθεῖαν κατατοξεύσει ὁ Θεός· κἂν γὰρ μυριάκις αὐτῶν κατακρύψωσι τὰ ἐπιτηδεύματα, δῆλα ταῦτά ἐστι τῷ παντ' ἐφορῶντι Θεῷ· ὃς τὸ οἰκεῖον ὑποδείκνυσιν ὕψος, δίκας τὲς τοιούτους εἰσπραττόμενος. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. θ'. Καὶ ἐξηθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἀλλ' ὅμως καὶ τοσαύτῃ δεινότητι χρώμενοι, διήμαρτον τοῦ σκοποῦ. καθάπερ γὰρ τὰ παρὰ τῶν κωμῳδῶν νέων ἀφιέμενα βέλη βλάβην οὐδεμίαν ἐπιφέρει τοῖς δεχομένοις, οὕτως αἱ τούτων γλῶσσαι, τοὺς μὲν βληθέντας ἐκ ἔβλαψαν· κατὰ δὲ τῶν τιναξάντων ἡ λώβη κεχώρηκεν. ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτές. οἱ δὲ θεασάμενοι αὐτοὺς τῶν ἐγχειρημάτων διαμαρτόντας, θορύβου καὶ δέους πληθῆσονται, ἢ ἐπλήσθησαν, καὶ τὴν θείαν ἐθαύμασαν πρόνοιαν. τοῦτο γὰρ τὰ μετὰ ταῦτα δηλοῖ. ι'. Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος, καὶ ἀνήγγειλαν

λαν

λαν τὰ ἔργα τοῦ Θεοῦ· καὶ τὰ ποιήματα αὐτῦ συνῆκαν. Ἐν περινοίᾳ γὰρ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, τὸ θεῖον κριτήριον ἔδεισαν. ιά. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν. Διαφερόντως δὲ οἱ τῶν θείων νόμων „ παλαιᾶς τε καὶ νέας „διαθήκης „ ἐπιμελούμενοι, θυμηδίας ἐμφορηθέντες, τὴν εἰς τὸν Θεὸν ἐλπίδα βεβαίαν ἐργάσονται. καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. καὶ τὴν παρὰ ἀνθρώπων δὲ καρπώσονται εὐκλειαν οἱ τὸν λογισμὸν πρὸς Θεὸν διευθύνοντες, καὶ τῆς ὁδοῦ τῆς εὐθείας ἔξω βαδίζειν οὐκ ἀνεχόμενοι. „ τοῦτο „δὲ εὕροι ἄν τις κατωρθωκότας τὸν Δα„βὶδ καὶ τοὺς κατ' αὐτὸν καὶ τοὺς μετ' „ἐκείνους· λέγω δὴ τοὺς ἀθλοφόρους „μάρτυρας καὶ τοὺς ἀθλητὰς τῆς εὐ„σεβείας. „

ΕΡΜΗΝ. ΤΟΥ ξδ΄ ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβὶδ· ᾠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ, καὶ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι. Ἐν ἐνίοις δὲ ἀντιγράφοις πρόσκειται, ᾠδὴ Ἱερεμίᾳ καὶ Ἰεζεκιὴλ, καὶ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι· ταῦτα οὔτε τὸ Ἑβραϊκὸν ἔχει, οὔτε οἱ ἄλλοι ἑρμηνευταὶ, οὔτε οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ· ἀλλά τις, ὡς ἔοικε, ταύτην προστέθεικε τὴν ἐπιγραφὴν, οὔτε τῇ τοῦ ψαλμοῦ διανοίᾳ προσεχηκὼς, οὔτε τὴν ἱστορίαν μεμαθηκώς· πρῶτον μὲν γὰρ, ὁ Ἱερεμίας αἰχμαλωσίας οὐκ ἐκοινώνησεν· ἀλλ' αἱρεσιν λαβὼν διάγειν ὅπου βούλεται, τὴν ἐν τῇ πατρίδι διαγωγὴν εἵλετο. ὅθεν οὐδαμῶς τοῖς ἐκπορευομένοις εἰς τὴν αἰχμαλωσίαν ἁρμόττει, ἀλλὰ τοῖς ἐν τῇ αἰχμαλωσίᾳ διάγουσι. πόρρω γὰρ ὄντες τῆς πατρίδος, καὶ ὑμνεῖν μὲν τὸν Θεὸν ποθοῦντες, τῷ νόμῳ δὲ τοῦτο ποιεῖν κωλυόμενοι· αὐτῶν γάρ ἐστι φωνὴ, πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ἔλεγον ἐν Βαβυλῶνι τὸν Θεὸν ἱκετεύοντες. β΄. Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοι ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. γ΄. Εἰσάκουσον προσευχῆς μου, πρός σε πᾶσα σὰρξ ἥξει. Καὶ πάντα δὲ τοῦ ψαλμοῦ τὰ ῥητὰ, τοῖς ἐν Βαβυλῶνι διάγουσι πρόσφορα. οὗτοι γὰρ τῆς ἐπανόδου γλιχόμενοι, ταύτην τῷ Θεῷ τὴν ὑμνῳδίαν προσέφερον. ἀναμέμικται δὲ τῇ περὶ τούτων προρρήσει, καὶ τῆς τῶν ἐθνῶν σωτηρίας ἡ προφητεία. σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοι ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. ἐν ἐκείνῃ φησὶ τῇ πόλει προσφέρειν σοι τὸν ὕμνον προσέταξας· ἐκεῖ τοίνυν ἀποδοῦναί σοι τοῦτον ἀντιβολῶ. „περὶ δὲ „ταύτης ὁ μακάριος Παῦλος ἔφη τοῖς „ἔθνεσι· προσεληλύθατε Σιὼν ὄρει καὶ „πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπου„ρανίῳ· ταῦτα δὲ εἴρηται τῷ ἀποστό„λῳ περὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας. „ Εἰσάκουσον προσευχῆς μου. Δέξαι μου φησὶ τὴν δέησιν, καὶ τῶν τῆς αἰχμαλωσίας με δεσμῶν ἐλευθέρωσον. „τοῦ„το μὲν ὁ ἀνδραποδισθεὶς ἐκ τῆς Ἱερου„σαλὴμ λαὸς προσευχόμενος βοᾷ· τὸ„το δὲ καὶ ὁ ἐκ τῆς τῶν εἰδώλων ἀπο„δράσει ἐπειγόμενος αἰχμαλωσίας ἀν„τιβολεῖ· καὶ σαφέστερον αὐτὸ διὰ τῶν „ἑξῆς ἔφησεν ἐν τῷ εἰπεῖν· „ πρός σε

πᾶσα σαρξ ἥξει. τῆς τῶν ἐθνῶν θεογνωσίας σαφῆ τοῦτο πρόρρησιν ἔχει. νῦν γάρ φησιν ἡμεῖς ἱκετεύομεν τῆς ἐπανόδου τυχεῖν, καὶ ἐν τῷ ἀφιερωμένῳ σοι ναῷ τὸν ὕμνον προσενεγκεῖν· μικρὸν δὲ ὕστερον πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, τῆς πολυθέου πλάνης ἀπαλλαγεῖσα, πρός σε τὸν ἀληθινὸν δραμεῖται Θεόν. δ'. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. Ὁ δὲ Σύμμαχος οὕτως· λόγοι ἀνόμων κατεδυνάστευσάν με. δυσσεβέσι φησὶ καὶ ἀνομίᾳ συζῶσιν ἀνθρώποις δουλεύειν ἠνάγκασμαι. εἶτα τῆς δουλείας τὴν αἰτίαν διδάσκει. καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. οὐκ ἀδίκως φησὶ κατεκρίθην δουλεύειν, ἀλλὰ διὰ τὴν ὑπ' ἐμοῦ πάλαι τολμηθεῖσαν ἀσέβειαν· ἧς ἀπαλλαγῆναι διὰ τῆς σῆς φιλανθρωπίας ἀντιβολῶ. ἐντεῦθεν μακαρίζουσι τὴν τῆς πατρίδος διαγωγήν, ὡς διδάσκαλον καὶ πρόξενον εὐσεβείας. ε'. Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου, πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Ζηλωτὸς φησι καὶ μακάριος ὁ τῶν ἄλλων ἐθνῶν ὑπό σου προτετιμημένος λαός· ταῖς γὰρ ἱεραῖς σου προσεδρεύων αὐλαῖς, τὴν ἐκεῖθεν ὠφέλειαν καὶ εὐλογίαν καρποῦται. Ἅγιος ὁ ναός σου. ς'. Θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἁγιασμοῦ γὰρ πλήρης ὁ σὸς ναός, καὶ τὴν σὴν δικαιοσύνην διὰ τῶν σῶν λογίων διδάσκει τοὺς προσιόντας. ἐπάκουσον ἡμῶν ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν· ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. πάλιν ἐνταῦθα τὴν τῆς οἰκουμένης σωτηρίαν προλέγει, καὶ τῆς τοῦ πατριάρχου Ἰακὼβ ἀναμιμνήσκει προρρήσεως· ἐκείνου γάρ ἐστι φωνή, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν· τοῦτον καὶ ἐνταῦθα ἐλπίδα ἐκάλεσε πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· σημαίνει δὲ διὰ τούτων, τούς τε ἐν ταῖς νήσοις οἰκοῦντας, καὶ τοὺς ἐν ταῖς ἀντίπερα ἠπείροις ἀνθρώπους, καὶ τὰς τὰ τέρματα τῆς οἰκουμένης κληρωθέντας οἰκεῖν. ἐπάκουσον ἡμῶν, φησὶν, ὁ μικρὸν ὕστερον πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν τῷ τῆς θεογνωσίας καταυγάζων φωτί. εἶτα τὴν δύναμιν, ὡς ἔνεστι, τῷ Θεῷ διηγεῖται. ζ'. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ· περιεζωσμένος ἐν δυνάμει. η'. Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης· ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται; Τὸ ἑτοιμάζων, ἑδράζων ὁ Σύμμαχος εἴρηκε. τὸ δὲ συνταράσσων, ὁ Θεοδοτίων καταπραΰνων. λέγει δὲ, ὅτι τὰ μὲν ὄρη ἑδραῖα ποιεῖς, καὶ ἀκίνητα· τὴν δὲ θάλασσαν κινεῖς ὅτε βούλει, καὶ πάλιν κατευνάζεις, ἧς δὲ ἦχος τίς ἐστι τοῖς ἀκούουσιν· ἐπιτελεῖς δὲ τούτων ἕκαστον, δυνάμει χρώμενος ἀῤῥήτῳ καὶ ἀμετρήτῳ. ἢν ὥσπερ τινὰ περίκεισαι ζώνην. „ζωὴ γὰρ ὑπάρ„χων μεταδίδως τοῖς εἰς σὲ πιστεύουσι „καὶ τοῖς ἀκινήτοις τὸ πεπῆχθαι παρ„έχεις.„ ἐπειδὴ γὰρ ὁ ἐζωσμένος εὐσαλέστερός ἐστι περὶ τὸ πράττειν ἃ βέλεται, ζώνην τροπικῶς τῷ Θεῷ τὴν δύναμιν προσηγόρευσεν· ἐντεῦθεν λοιπὸν ἐφεξῆς τῆς καινῆς διαθήκης ὑφηγεῖται τὰ κατορθώματα. ταραχθήσονται τὰ ἔθνη τὰ τῶν ἀποστόλων κηρύγματα παρε-

παρεδήλωσεν, ἃ ταραχὴν καὶ ζάλην εὐθὺς τοῖς ἀνθρώποις ἐκίνησε, κατὰ τὴν τοῦ Κυρίου Φωνήν. ἦλθον γὰρ ἔφη διχάσαι ἄνθρωπον ἀπὸ τοῦ πλησίον αὐτοῦ, υἱὸν ἀπὸ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα ἀπὸ τῆς μητρὸς αὐτῆς, νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς· „καὶ ὁ Ἀμ„βακὺμ δὲ προλέγων ταῦτα φησί· ἐ„πεβίβασας εἰς θάλασσαν τοὺς ἵπ„πους σου ταράσσοντας ὕδατα πολλά· „τὰς ἀποζόλας, ὧν λέγει τὴν ἱππα„σίαν ἀντὶ τοῦ διδαχὴν σωτηρίαν γενή„σεσθαι.„ μετὰ ταῦτα δὲ τὴν ζάλην κατέπαυσε, καὶ τὴν εἰρήνην ἅπασιν ἐπρυτάνευσε· „φήσας, εἰρήνην τὴν ἐμὴν „δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι „ὑμῖν.„ θ'. Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα, ἀπὸ τῶν σημείων σου. Ἠγήσατο μὲν γὰρ ἡ ταραχή· ἠκολούθησε δὲ ὁ φόβος, τῷ μεγέθει τῶν θαυμάτων γενόμενος, καὶ τὴν εὐσέβειαν ἐξεπαίδευσεν. ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. τῷ γὰρ φόβῳ τῶν θαυμάτων καταπλαγέντες οἱ ἄνθρωποι, τὴν προτέραν πλάνην καταλιπόντες, καὶ τὸν ὄντα γνόντες Θεὸν, καὶ ἀρχομένης καὶ ληγούσης ἡμέρας τὴν τερπνὴν καὶ ἀρεσὴν τῷ Θεῷ προσφέρουσιν ὑμνῳδίαν. τοῦτο γὰρ ὁ Σύμμαχος παρεδήλωσε, τὰς προελεύσεις τοῦ ὄρθρου, καὶ τὴν ἑσπέραν ὑμνολογοῦσιν. ι'. Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν· ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ὁ δὲ Σύμμαχος οὕτως εἴρηκε, πολυκαρπίᾳ πλουτίσεις αὐτήν. ἐκ ἔτι γὰρ μόνοις ἡμῖν τὴν πνευματικὴν ἀρδείαν προσφέρεις· ἀλλὰ πᾶσαν εἰς κόρον ἀρδεύεις τὴν οἰκουμένην· ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. ὁ δὲ Σύμμαχος εὐκτικῶς τὰ τρία τέθεικεν· ἐπίσκεψαι τὴν γῆν, καὶ ποτιεῖς αὐτὴν, πολυκαρπίᾳ πλουτίσεις αὐτὴν ὀχετοῖς Θεοῦ μεστοῖς ὑδάτων· τὴν δὲ πάλαι ἄκαρπον οἰκεμένην, εὔκαρπον ὁμοῦ καὶ πολύκαρπον ἀνέδειξεν ὁ Δεσπότης, τοῖς θείοις ὀχετοῖς τὴν ἀρδείαν προσενεγκών· ὀχετοὶ δὲ Θεοῦ πλήρεις ὑδάτων τίνες ἂν εἶεν ἕτεροι, ἢ οἱ θεῖοι ἀπόστολοι; περὶ ὧν ὁ Δεσπότης ἔφη Χριστὸς, ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· καὶ πάλιν, ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλ' ἔσται τὸ ὕδωρ ὃ ἐγὼ δώσω αὐτῷ, πηγὴ ὕδατος ζῶντος ἁλλομένη εἰς ζωὴν αἰώνιον· καὶ ποταμὸς δὲ τοῦ Θεοῦ, κατὰ τοὺς ἑβδομήκοντα, ἡ χάρις τοῦ πνεύματος, ἡ εἰς ὀχετὸς διαιρεμένη, καὶ τούτῳ μὲν τὸν λόγον τῆς σοφίας προχέουσα, ἑτέρῳ δὲ χορηγοῦσα τὴν γνῶσιν, ἄλλῳ δὲ τῶν ἰαμάτων χάρισμα, καὶ ἄλλῳ γένη γλωσσῶν, καὶ διὰ τούτων τὴν οἰκουμένην ἀρδεύουσα. ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. ὁ δὲ Σύμμαχος οὕτως, τελεσφορήσεις τὴν πανσπερμίαν αὐτῆς, οὕτως ἤδρασας αὐτήν· τῆς γὰρ προτέρας αὐτὴν πλάνης ἐλευθερώσας, „καὶ ἐν τοῖς εὐσεβέ„σι δόγμασι βεβαιώσας,„ τὰς τῆς ἀρετῆς παρασκευάσεις τελεσφορῆσαι καρπός· οἳ σε μὲν εὐφρανοῦσι, τοὺς δὲ βλασφήμοντας διαθρέψουσι. κατὰ γὰρ τὰς ἑβδομήκοντα, ὁ φυόμενος καρπὸς, αὐτῶν ἐστὶ τῶν φυόντων τροφή· ἡτοίμασας

μασας γάρ φησι τὴν τροφὴν αὐτῶν, ὅτι ἔτως ἡ ἑτοιμασία σε· ἐπὶ τούτῳ φησὶ φέρειν αὐτοὺς τὸν καρπὸν παρεσκεύασας, ὥστε διὰ τέτε τρέφεσθαι. ιά. Τὰς αὐλακας αὐτῆς μέθυσον. Ἐντεῦθεν δῆλον, ὅτι προρρήσις ἐστι μελλόντων, καὶ οὐ γεγενημένων διήγησις. πλήθυνον τὰ γεννήματα αὐτῆς. ἐπιμενόν φησι Δέσποτα, καθάπερ τινὰς αὔλακας, τὰς λογισμὰς αὐτῶν ἄρδων, καὶ εἰς καρποφορίαν διεγείρων. ἐν ταῖς ταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. εὐφρανοῦσι δὲ αὐτὴν, καὶ ἀνθῆσαι παρασκευάσουσιν, αἱ κατὰ καιρὸν παρὰ τῶν διδασκάλων φερόμεναι ψεκάδες. ιβ. Εὐλογήσεις τὸν ϛέφανον τῆ ἐνιαυτῆ τῆς χρηστότητός σε. Ἐνιαυτὸς χρηστότητος, ὁ παρὰ Ἡσαΐᾳ κληθεὶς ἐνιαυτὸς Κυρίε δεκτός· πνεῦμα γάρ φησι Κυρίε ἐπ' ἐμέ· ἕ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι συντετριμμένες τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίῳ δεκτόν· ἐνιαυτὸν τοίνυν χρηστότητος, τὸν μετὰ τὴν ἐνανθρώπησιν τῆ σωτῆρος ἡμῶν ὀνομάζει χρόνον, ὡς μίαν αὐτῷ καρποφορίαν προσφέροντα τὴν εὐσέβειαν. τέτῳ τὴν εὐλογίαν ὁ προφητικὸς ἐπεύχεται λόγος. Καὶ τὰ πεδία σε πλησθήσονται πιότητος. ιγ. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμε· καὶ ἀγαλλίασιν οἱ βενοὶ περιζώσονται. Ταύτης δὲ τῆς χρηστότητος ἐπιφαινομένης, ἡ πάλαι ἔρημος ὥριμον δώσει καρπόν. καὶ οἱ ταῖς τῶν δαιμόνων θυσίαις μιαινόμενοι βενοὶ, τὲς τὸν Θεὸν διηνεκῶς ὑμνῆντας, καὶ τὸν ἀγγελικὸν ἀσπαζομένες βίον ὑποδεξάμενοι, λαμπροί τινες ἔσονται καὶ περίβλεπτοι· τοῖς δὲ λόγοις καὶ τὰ πράγματα μαρτυρεῖ. ὁρῶμεν γὰρ συντρέχοντας ἅπαντας πρὸς τοὺς τὰς ἀκρωρείας κατειληφότας, καὶ τὴν ἀκροτάτην ἀρετὴν μετιόντας. ιδ. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων. Κριὲς προβάτων καὶ Ἰεζεκιὴλ ὁ προφήτης τὲς δυνατὲς ὀνομάζει· ἀλλ' ἐκεῖνος κατηγορεῖ, ὅτι τὴν καλὴν νομὴν ἐνέμοντο, καὶ τὴν λοιπὴν τοῖς ποσὶ κατεπάτεν· καὶ τὸ καθαρὸν ὕδωρ ἔπινον, καὶ τὸ λοιπὸν τοῖς ποσὶ συνετάραττον. ἐνταῦθα δὲ, ἀγαθὰ καὶ τέτοις θεσπίζεται. λέγει γὰρ αὐτὲς ἐνδύεσθαι καὶ ἀμφιέννυσθαι· τὴν δὲ τῆ ἐνδύματος φύσιν ὁ θεσπέσιος λέγει Παῦλος· ὅσοι γάρ φησιν εἰς Χριςὸν ἐβαπτίσθητε, Χριςὸν ἐνεδύσασθε. ἐπειδὴ γὰρ ἁλιέας τὴν ἀρχὴν, καὶ χειροτέχνας, καὶ πενίᾳ συζῶντας ὁ Δεσπότης Χριςὸς ἐξελέξατο, προθεσπίζει τοῦ Πνεύματος ἡ χάρις, καὶ τῶν πλετόντων καὶ δυναςευόντων τὴν σωτηρίαν. διό φησιν ἐνεδύσαντο οἱ κριοὶ, τῶν προβάτων· ἐ γὰρ μόνον τὰ ἄλλα πρόβατα, ἀλλὰ καὶ αὐτοὶ οἱ κριοὶ προσίασι τῷ σωτηρίῳ βαπτίσματι. καὶ αἱ κοιλάδες πλησθήσονται σίτε. καὶ οἱ πενίᾳ δὲ συγκληρωθέντες, καὶ εὐσεβεῖν προαιρέμενοι, τὸν οἰκεῖον καρπὸν προσοίσουσι τῷ Θεῷ, ὁ μὲν τριάκοντα, ὁ δὲ ἑξήκοντα, ὁ δὲ ἑκατόν. κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν. ἅπαντες δὲ οἱ προλεχθέντες σὺν πάσῃ προθυμίᾳ τὸν Θεὸν ἀνυμνήσουσι, τὸν τοιαύτην μεταβολὴν τῆ τῶν ἀνθρώπων δωρησάμενον φύσει· οἴδαμεν ἔν, ὡς τινες τῶν

συγ-

συγγραφέων, ἐξ ἐπιπολῆς νενοηκότες τὰ εἰρημένα, τούτων ἕκαστον ἔφασαν γεγενῆσθαι μετὰ τὴν τῆς αἰχμαλωσίας ἐπάνοδον, εὐετηρίας αὐτοῖς πρὸς τῇ ἐλευθερίᾳ παραχεθείσης, καὶ ὑετῶν ἀφθόνων, ὡς καὶ τὸν Ἰορδάνην πλημμυρεῖν. αὐτὸν γὰρ ἔφασαν κεκλῆσθαι τῷ Θεῷ ποταμόν. ἐγὼ δὲ μηδὲν τοιοῦτον παρὰ τῆς ἱστορίας γεγενῆσθαι μεμαθηκώς· ἐν πολλῇ γὰρ διήγαγον ἐπὶ πλεῖστον πενίᾳ, ὡς ὁ Ἔσδρας ἐδίδαξεν· εὑρὼν δὲ καὶ τῆς τῶν ἐθνῶν σωτηρίας τὴν προρρῆσιν ἐν τῷ ψαλμῷ προφανῆ· πρὸς σὲ γὰρ ἔφη πᾶσα σὰρξ ἥξει, καὶ ἐπάκουσον ἡμῶν ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· ταύτην ἀκόλουθον τοῖς ῥητοῖς ἐκείνοις ὑπέλαβον τὴν διάνοιαν. οἱ δὲ τοῖς μύθοις χαίροντες, καὶ τῆς Ἱερουσαλὴμ τὴν οἰκοδομὴν φανταζόμενοι, καὶ καθάπερ ὀνείρου τὰς οἰκείας λογισμὰς ἐξηγέμενοι, οὐ γεγενῆσθαι ταῦτα, ἀλλ' ἔσεσθαι μετὰ τὴν τῶν Ἰουδαίων ἀνάκλησιν ἔφασαν, πρὸς τῇ τῶν ἄλλων δογμάτων διαφθορᾷ, καὶ τοῦτον προστεθεικότες τὸν μῦθον. ἐς ληρεῖν καταλιπόντες, τῶν θείων λογίων ἀψώμεθα. μετὰ τοῦ Δαβὶδ βοῶντες, λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς τοῖς τρίβοις μου.

ΕΡΜΗΝ. ΤΟΥ ξε' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ᾠδὴ ψαλμὸς ἀναστάσεως. Οὐδὲ ταύτην τὴν προσθήκην τὸ Ἑβραϊκὸν ἔχει, ἀδὲ οἱ ἄλλοι ἑρμηνευταὶ, οὐδὲ οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ· ἀλλὰ καὶ ταύτην τινὲς, ὡς ἔοικε, προστεθείκασι. καὶ τοῦτον δὲ τὸν ψαλμὸν ὁ θεῖος Δαβὶδ τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις συνέγραψεν· ἐκ ἔτι μὲν τῆς ἐπανόδου τυχεῖν ἱκετεύουσιν, ἀλλ' ἤδη ταύτης τετυχηκόσι, καὶ τῆς πορείας ἀψαμένοις. προλέγει δὲ κατὰ ταυτὸν καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν. β'. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ· ψάλατε δὲ τῷ ὀνόματι αὐτοῦ· δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ἅπαντες ἡμῖν, φησὶν, ἄνθρωποι τῆς ὑμνῳδίας κοινωνήσατε, καὶ τῷ Θεῷ τὸ προσῆκον μεθ' ἡμῶν ἀναπέμψατε σέβας· εἰκότως δὲ εἰς τὴν τοιαύτην κοινωνίαν καλοῦσιν ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν. ἐν αὐτοῖς γὰρ τὰ τῆς ἁπάντων προδιεγράφετο σωτηρίας· καθάπερ γὰρ αὐτοὶ τῆς τῶν Βαβυλωνίων ἀπηλλάγησαν δουλείας· οὕτως ἅπαντες ἄνθρωποι „ μετὰ τὴν ἐναντρώπησιν τοῦ Θεοῦ καὶ „ σωτῆρος. „ τῆς πικρᾶς τοῦ διαβόλου τυραννίδος ἠλευθερώθησαν· εἶτα διδάσκει τῆς ὑμνῳδίας τὸν τρόπον. γ'. Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Θαυμάσατέ φησιν εἰς δύναμιν τὰ ὑπὸ τοῦ Θεοῦ γεγενημένα θαύματα· τοσαῦτα γάρ εἰσι, καὶ τοιαῦτα, ὡς τὴν ὑπερβολὴν τῶν γινομένων, ἀπιστεῖσθαι παρὰ τῶν δυσσεβῶν. ἔχει δὲ καὶ ἑτέραν διάνοιαν ὑπὸ τῆς ἀληθείας μαρτυρεμένην, τὸ ἐν τῷ πλήθει τῆς δυνάμεώς σε, ψεύσονταί σε οἱ ἐχθροί σε. ὅτι ἂν φησι τῷ φωτὶ τῆς θεογνωσίας καταυγάσας τὴν οἰκεμένην, εἰς εὐσέβειαν μεταβάλης τὰς πλείστας, τηνικαῦτα καὶ οἱ τῷ τῆς ἀπιστίας κατεχόμενοι σκότῳ ὑποκριθήσονται τὴν εὐσέβειαν, ἀρνούμενοι τὴν

ἀσέ-

ἀσέβειαν. καὶ τοῦτο διηνεκῶς ὁρῶμεν γινόμενον. πολλοὶ γὰρ τῇ ἑλληνικῇ πλάνῃ δεδουλευκότες, ὁμολογήσαι τοῦτο προφανῶς οὐ τολμῶσι. καὶ Ἰουδαῖοι δὲ ξενοχωρέμενοι, τῷ σαυρῷ τὴν νίκην ὑμνῶσι, καὶ πανταχόθεν τῆς προφητείας ἡ ἀλήθεια δείκνυται. δ'. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσαν. ψαλάτωσαν δὲ τῷ ὀνόματί σου, ὕψιστε. Τοῦτο σαφέστερον ὁ Σύμμαχος εἰρηκε· πάντες οἱ ἐπὶ γῆς προσκυνήσουσί σε μελῳδοῦντες, ᾄσουσι τὸ ὄνομά σου. προόρησις δὲ ταῦτα τοῦ παρόντος καιροῦ, καθ' ὃν ἐν ἅπασι τοῖς ἔθνεσιν ὁ τῶν ὅλων ὑμνεῖται Θεός· καὶ ὁ Δεσπότης Χριστὸς ὕψιστος παρὰ πάντων καλεῖται. ε'. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ. ὡς φοβερὸς ἐν βουλαῖς, ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐπιστήσατέ φησι τὸν νοῦν, καὶ κατανοήσατε τῶν ὑπὸ τοῦ Θεοῦ γινομένων ἕκαστον, καὶ τὴν ἄῤῥητον αὐτοῦ σοφίαν θαυμάσατε, δι' ἧς τὸ τῶν ἀνθρώπων γένος ποδηγεῖται πρὸς εὐσέβειαν. ἔτω γὰρ καὶ ὁ Θεοδοτίων γενόηκε, φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ὁ δὲ Σύμμαχος, φοβερὰ μηχανήματα ὑπὲρ υἱῶν ἀνθρώπων. φοβεραῖς γάρ φησι, καὶ θαυμασαῖς μηχαναῖς, ὑπὲρ τῆς τῶν ἀνθρώπων κέχρηται σωτηρίας. εἶτα διηγεῖται τὰ πάλαι γινόμενα. ς'. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν· ἐν ποταμῷ διελεύσονται ποδί. Ὁ χρόνος ἐνταῦθα ἐνήλλακται· τὰ γὰρ παρελημυθότα ὡς ἐσόμενα εἶπεν· οἱ δὲ ἄλλοι τὸν χρόνον ἐφύλαξαν. καί φησιν ὁ Σύμμαχος ἔτως, μετέβαλε θάλασσαν εἰς ξηράν, ποταμὸν διέβησαν ποδί. ἔτος γάρ ἐστι, φησὶν, ὁ Θεὸς, ὁ καὶ ἡμῖν τὴν σωτηρίαν δωρούμενος· ὁ πάλαι καὶ θάλασσαν καὶ ποταμὸν διασήσας, καὶ τοὺς ἡμετέρους προγόνους ἀκινδύνως διαβῆναι κελεύσας. „καὶ τοῖς ἔθνεσι χαι„σάμενος τὴν πάροδον· ἣν ποιούμενοι διὰ „τῆς τοῦ λουτροῦ παλιγγενεσίας ἀνα„πλάττονται· ὥσπερ γὰρ ἐκεῖ διὰ τῆς „χειρὸς τοῦ μεγάλου Μωϋσέως διέχι„σεν ἔνθα καὶ ἔνθα τὴν ἐρυθρὰν, οὕτω „καὶ ἐνταῦθα διὰ τῆς χειρὸς τοῦ ἱερέως „τὸν μὲν πιστεύοντα Χριστῷ λαὸν ἀνακαι„νίζει, τὸν δὲ νοητὸν Φαραὼ μετὰ τῶν „ἁρμάτων· τουτέστι τὸν διάβολον μετὰ „τῶν ἐπιθυμιῶν βυθίζει· ἵνα οἱ μεμνη„μένοι τί λέγω. „ ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ. τουτέστι παρὰ τὸν Ἰορδάνην· „ὡς καὶ οἱ ἐξ ἐθνῶν παρὰ „τὴν θείαν κολυμβήθραν· καὶ γὰρ τό„τε ὁ Ἰορδάνης διέσῃ τῷ λαῷ, καὶ νῦν „ὁ Ἰορδάνης ὑποδεξάμενος τὸν τοῦ παν„τὸς ποιητὴν τε καὶ δημιουργὸν τὴν τῶν „ἀνθρώπων σωτηρίαν περιποιεῖται· τὸ „γὰρ ὑπὲρ ἡμῶν ὑπεισελθὸν λυτρὸν, ὁ „Θεὸς καὶ σωτὴρ ἡμῶν ἅπαντας ἡμᾶς „ἀνεγέννησε δι' ὕδατος καὶ πνεύματος.„ τούτου γὰρ μνημονεύσαντες, καὶ διδάξαντες ὅπως αὐτὸν παρῆλθον οἱ πρόγονοι, ἐπήγαγον· ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ. ζ'. Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. Ἀνώλεθρον ἔχει, φησὶ, τὸ κράτος, καὶ τὴν βασιλείαν ἀπέραντον. οἱ ὀφθαλμοὶ αὐτοῦ, ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν. οὐ μόνον δὲ ἡμῶν κήδεται· ἀλλὰ καὶ πάσης προμηθεῖται τῆς οἰκουμένης, καὶ πᾶσι μικρὸν ὕστερον παρέξει τὴν οἰκείαν ἐπίγνωσιν. ἔτω τοῦτο σαφῶς ὁ προφήτης

θεσπί-

θεσπίσας, εἶτα τοῖς πνευματικοῖς ὀφθαλμοῖς τὲς ἀντιλέγοντας τῷ κηρύγματι θεασάμενος, ἐναργῶς κομιδῆ καὶ τὴν ἐκείνων ἀπιστίαν τε καὶ ἀλαζονείαν προλέγει. οἱ παραπικραίνοντες, μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. τούτους ὁ μὲν Θεοδοτίων ἐκκλίνοντας κέκληκεν· ἀφισαμένες δὲ ὁ Ἀκύλας· σαφέστερον δὲ ὁ Σύμμαχος εἴρηκεν· οἱ ἀπειθεῖς μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς· ὁρῶμεν δὲ καὶ τῆσδε τῆς προφητείας τὸ τέλος· αὐτοὶ γὰρ οἱ τρεῖς ἢ τέτταρες, οἱ τῇ ἀσεβείᾳ προσμείναντες Ἕλληνες, μέγα παρ' ἑαυτοῖς φρονοῦσιν, ὡς μὴ συναπαχθέντες τῷ πλήθει. τέτοις ὁ προφητικὸς παρακελεύεται λόγος· οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς· παραπικραίνουσι γὰρ καθ' ἑαυτῶν τὸν δίκαιον κριτὴν, καὶ τὴν δικαίαν κόλασιν ἐπισπῶνται. „εἶτα τέτοις τὴν ἐπικει-„μένην τιμωρίαν δήλην ποιήσας ὁ προ-„φητικὸς νῦς ἐφ' ἕτερον μετατίθησι τὸν „λόγον, πρόσωπον. „ ή. Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. Τὸ ἀκουτίσατε, ἀκουτιστὴν ποιήσατε ὁ Σύμμαχος εἴρηκε· μένουσι δὲ τὰ ἔθνη παρακαλοῦντες ἀποστῆναι μὲν τῶν πατρῴων ἐθνῶν, τὸν δὲ αὐτῶν ὑμνῆσαι Θεὸν, καὶ τὴν τότε δύναμιν τὲς ἀγνοοῦντας διδάξαι. τοῦτο γὰρ εἶπεν ἀκουτίσατε, ἀντὶ τοῦ καὶ τὲς ἄλλες διδάξατε. θ'. Τῷ θεμένῳ τὴν ψυχήν μου εἰς ζωὴν· καὶ μὴ δόντος εἰς σάλον τὲς πόδας μου. Παραδοὺς γὰρ δυσσεβέσιν ἀνθρώποις, ἐκ εἴασέ με παρατραπῆναι καὶ καταλιπεῖν τὴν εὐθεῖαν ὁδόν· ἐπισημήνασθαι δὲ προσήκει, ὡς ταῦτα ἅπαντα τῶν εὐσεβεστέρων χορὸς διεξέρχεται. συναπέστειλε γὰρ αὐτοῖς ὁ Θεὸς καὶ τὲς εὐσεβείᾳ λαμπρυνομένες, οἷόν τινας παιδονόμες καὶ παιδοτρίβας, ἀλείφοντας καὶ φωλίζοντας, καὶ ποδηγοῦντας ἁπάντας εἰς εὐσέβειαν· τοιοῦτος ἦν ὁ Δανιὴλ, τοιοῦτος ὁ Ἰεζεκιὴλ, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ· τέτοις δὲ καὶ τοῖς τοιέτοις ἥρμοττε τὰ προκείμενα λέγειν· ἐκ προσώπου γὰρ αὐτῶν ἡ τῦ πνεύματος αὐτὰ συνέγραψε χάρις. ί. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός· ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. Ταῦτα γάρ φησι παθεῖν ἡμᾶς συνεχώρησας· δεῖξαι πᾶσι τὸ τῆς εὐσεβείας ἡμῶν ἀκίβδηλον βελόμενος. „τάδ' αὐτὰ εἴρηται καὶ ἐκ „προσώπε τῶν ἀθλοφόρων, τῶν κατὰ „καιρὸν ὑπὲρ Χριτῦ πεπονθότων ἢ καὶ „πασχόντων. „ ια'. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ιβ'. Ἐπεβίβασας ἀνθρώπες ἐπὶ τὰς κεφαλὰς ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Τοιαύτη ἦν ἡ κάμινος, ἐν ᾗ πνεῦμα διασυρίζον ἐψυχαγώγει τὲς ἀθλητάς. παγὶς, ὁ τῶν λεόντων λάκκος, καὶ παγὶς ἀφύλακτος· ἀλλ' ὅμως διὰ τῆς θείας χάριτος ταύτην ὁ προφήτης διέφυγεν· εἰκὸς δὲ ἦν, αὐτὲς καὶ τύπτεσθαι καὶ αἰκίζεσθαι, ὡς αἰχμαλώτες καὶ δέλες, παρὰ τῶν ἀνδραποδισάντων· διὸ καὶ τῦτο εἰρήκασιν, ἔθου θλῖψιν ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπες ἐπὶ τὰς κεφαλὰς ἡμῶν. δέλοι ἀντ' ἐλευθέρων κατέστημεν. ἀλλ' ὅμως τότων ἁπάντων ἀπαλλαγέντες, καὶ τῆς ἐπανόδε τετυχηκότες, τὰς νενομοθετημένας

σοι θυσίας προσοίσομεν· καὶ τοῦτο γὰρ ἐπήγαγεν. ιγ'. Εἰσελεύσομαι εἰς τὸν οἶκον σε ἐν ὁλοκαυτώμασιν· ἀποδώσω σοι τὰς εὐχάς με. ιδ'. Ἃς διέστειλε τὰ χείλη με, καὶ ἐλάλησε τὸ στόμα με ἐν τῇ θλίψει μου. Ὅσα, φησὶν, ὑπεχόμην ὀδυνώμενος καὶ πρυσευχόμενος, εὐγνωμόνως ἐκτίσω. ιε'. Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος, καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων. Ὁπόσα σοι χρὴ προσφέρειν, ἱερεύσω προθύμως. μεμυαλωμένα κέκληκε τὰ εὐτραφῆ καὶ πίονα. ἔτω γὰρ καὶ ὁ νόμος προσφέρειν ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια· ἐπαρᾶται δὲ καὶ ὁ προφήτης Μαλαχίας τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν. αὕτη καὶ τῷ Κάϊν ἐγένετο τῶν κακῶν ἐκείνων ἀρχή· διδασκόμεθα δὲ καὶ ἡμεῖς τοῖς τιμιωτέροις ὧν ἔχομεν τὸ θεῖον γεραίρειν. ις'. Δεῦτε, ἀκέσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβέμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Οὐ μάτην, φησὶ, ταῦτα προσφέρειν ὑπισχνεῖμαι τὰ δῶρα· ἀλλὰ μεγάλων παρ' αὐτοῦ δωρεῶν ἀπολαύσας, ἃς καὶ ὑμᾶς μαθεῖν ἀξιῶ, τοὺς τὸ θεῖον ἔχοντας σέβας. ἔτω καὶ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ ἔφη ψαλμῷ, τὰς εὐχάς με ἀποδώσω ἐνώπιον τῶν φοβεμένων αὐτόν. διὰ τέτων δὲ παιδευόμεθα τέτοις κοινωνοὺς ἔχειν, καὶ τέτοις διαφερόντως διηγεῖσθαι τὰ θεῖα. μὴ δῶτε γάρ φησι τὰ ἅγια τοῖς κυσὶ· μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ τὰ μυστήριά με ἐμοὶ, καὶ τοῖς ἐμοῖς. ιζ'. Πρὸς αὐτὸν τῷ στόματί με ἐκέκραξα, καὶ ὑψωσα ὑπὸ τὴν γλῶσσάν με. Ὁ δὲ Σύμμαχος ἔτως· αὐτὸν τῷ στόματί με ἐπεκαλεσάμην, καὶ ὑψώθη παραχρῆμα ἡ γλῶσσά με· εὐθὺς γὰρ προσενεγκὼν τὴν δέησιν, ἐδεξάμην τὴν αἴτησιν, καὶ εὐφροσύνης πληθεὶς, εἰς χαριστήριον ὕμνον τὴν γλῶσσαν ἐκίνησα. ιη'. Ἀδικίαν εἰ ἐθεώρεν ἐν καρδίᾳ με, μὴ εἰσακέσατό με Κύριος. Ὁ δὲ Σύμμαχος, οὕτως· ἀδικίαν εἰ προεῖδον ἐν τῇ καρδίᾳ με, μὴ εἰσακέσῃ Κύριος· εἰ παρακαλῶν, φησὶ, τῆς δουλείας ἀπαλλαγῆναι, καὶ τῆς ἐπανόδε τυχεῖν, ἀδικίαν τινὰ δράσειν μετὰ τὴν ἐπάνοδον ἐφαντάσθην, τῆς θείας εὐμενείας μὴ τύχοιμι· ὅτι δὲ ὰ ψεύδομαι, τὰ πράγματα μαρτυρεῖ. ιθ'. Διὰ τέτο γὰρ εἰσήκεσέ με ὁ Θεός· προσέχε τῇ φωνῇ τῆς δεήσεώς με. Καθαρεύοντα γάρ με τοιέτων λογισμῶν θεασάμενος, φιλοτίμως τῶν οἰκείων ἠξίωσε δωρεῶν· ἔτω ταῦτα διηγησάμενος τῶν εὐσεβῶν ὁ χορὸς, εἰς ὕμνον συμπεραίνει τὸς λόγος. κ'. Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν με, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ. Ὕμνοις, φησὶ, τὸν εὐεργέτην ἀμείβομαι, καὶ τὴν προσευχήν μου δεξάμενον, καὶ τὸν ἔλεον δωρησάμενον. „αὐτὸν γὰρ „ἀνυμνεῖν διηνεκῶς τοῖς εἰς αὐτὸν πι„στεύσι παρακελευόμενος ὰ παύεται.„

ΕΡΜΗΝ. ΤΟΥ ξ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς ᾠδῆς τῷ Δαβίδ. Οὗτος ὁ ψαλμὸς σαφῆ τὴν διάνοιαν ἔχει, καὶ πολλῶν λόγων εἰς ἑρμηνείαν ὰ δεῖται· προκηρύττει γὰρ τὰ Θεοῦ λόγε τὴν ἐναν-

ἐνανθρώπησιν, καὶ τὴν σωτήριον ἐπιφάνειαν, καὶ τῶν ἐθνῶν ἁπάντων τὴν σωτηρίαν. β'. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Θεασάμενος ὁ προφήτης τοῖς τῦ πνεύματος ὀφθαλμοῖς τὴν ἐσομένην πᾶσιν ἀνθρώποις σωτηρίαν διὰ τῆς θείας ἐπιφανείας, ἱκετεύει ταύτην ὅτι τάχιστα παραχεθῆναι, ἵνα τὴν ἐκ ταύτης φυομένην εὐλογίαν τρυγήσωμεν ἅπαντες· „λέγει δὲ ὅτι ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ ἐ τῦτο μόνον ἀλλὰ καὶ „εὐλογήσαι ἡμᾶς. τῷ ὄντι γὰρ ἐ μόνον εὐλόγησεν, ἀλλὰ καὶ ἠλέησεν· σώσας „ἡμᾶς διὰ τῆς ἐκ παρθένε παρεσίας. „τῦτο γὰρ λέγει, ἐπιφάναι τὸ πρόσωπον αὐτῦ ἐφ' ἡμᾶς. εἴδομεν γὰρ αὐτὸν πρόσωπον πρὸς πρόσωπον· ἀλλ' ὅμως ἄνθρωπον γενόμενον· οὐχ ἕτερόν „τινα φορέσαντα, ἀλλ' αὐτὸν Θεὸν λόγον ἀτρέπτως ἐκ παρθένου γενόμενον „εἴδομεν.„ εἶτα διὰ τῶν ἐπαγομένων ταύτην ἡμᾶς διδάσκει σαφέστερον. γ'. Τῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. Ὥστε, φησὶ, καὶ τὲς τὴν γῆν οἰκοῦντας τὴν πρός σε φέρουσαν ὁδὸν διδαχθῆναι, καὶ πρὸς αὐτὴν ποδηγηθῆναι· καὶ ἵνα μή τις ὑπολάβῃ περὶ τῆς Ἰουδαίων ταῦτα λέγεσθαι γῆς, εἰκότως προστέθεικε ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σε. ἱκετεύω, φησὶ, τὸ σὸν ἐπιφανῆναι πρόσωπον· ὥστε καταυγάσαι καὶ τὰ ἐν σκότῳ καθήμενα ἔθνη, καὶ πρὸς σωτηρίαν ἑλκῦσαι. δ'. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ε'. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη· ὅτι κρινεῖς λαὲς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Διά τοι τῦτο προσήκει καὶ λαὲς ἅπαντας, καὶ τὰ κατὰ τὴν οἰκεμένην ἔθνη, εὐφραίνεσθαι καὶ χορεύειν, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι. ἔγνωσαν γὰρ ὅτι ἐδὲν τῶν ὄντων ἀτιμέλητον, ἐδὲ ἀκηδεμόνευτον· ἀλλὰ πάντων ὑπάρχεις κριτὴς, δικαίας ἐκφέρων τὰς ψήφες· καὶ ὁδηγῶν μὲν τὲς πλανωμένες πρὸς τὴν ἀλήθειαν, τὲς δὲ πειθεσθαι μὴ βελομένες κολάζων. ς'. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Οὐχ ἁπλῶς τὴν ταυτολογίαν τέθεικε· ἀλλὰ προθυμοτέρες τὲς ἀκέοντας ἐργαζόμενος. „καὶ δεικνὺς, ὅτι αὐτός ἐστι „Θεὸς καὶ σωτὴρ ἁπάντων.„ ζ'. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Οὐκ ἔτι γὰρ ἀγνοῦσιν οἱ ἐξ αὐτῆς τὸν ἐπὶ πάντων Θεόν· ὃς κατὰ τὸν προφήτην, ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· μετὰ τῦτο ἐπὶ γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις συναναστράφη· ἐ δὴ χάριν, τὸν ἥδιστον αὐτῷ προσφέρεσι τῆς εὐσεβείας καρπόν. Εὐλογήσαι ἡμᾶς ὁ Θεός· ὁ Θεὸς ἡμῶν. η'. Εὐλογήσαι ἡμᾶς. Ὥσπερ δὶς τὰ ἔθνη πρὸς ὑμνῳδίαν διήγειρεν, ἅτω δὶς αὐτοῖς τὴν εὐλογίαν ἐζήτησεν· εἰδέναι μέν τοι προσήκει, ὡς εὐλογῦντες ἄνθρωποι τὸν Θεὸν, λόγες αὐτῷ προσφέρουσι μόνες, ἔργῳ δὲ αὐτὸν εὐεργετῆσαι ἐ δύνανται· ὁ δὲ Θεὸς εὐλογῶν, βεβαιῖ τὲς λόγες τῷ ἔργῳ, καὶ παντοδαπῶν ἀγαθῶν παρέχει τοῖς εὐλογεμένοις φοράν· εἶτα διδάσκει πῶς δυνατὸν τῆς θείας εὐλογίας τυχεῖν. καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. ὁ μὲν γὰρ εὐλαβῶς περὶ

τὲς θείους διακείμενος νόμους, καὶ τὸ μέλλον δεσμώτων κριτήριον, διὰ τῆς τέτων φυλακῆς τὸν Θεὸν θεραπεύει· ἡ δὲ θεία θεραπεία τὴν εὐλογίαν προσφέρει. καὶ αὐτὸ τοίνυν τὸ τέλος ἐκ Ἰουδαίοις, ἀλλὰ πᾶσιν ἀνθρώποις τὸν θεῖον ἔχειν εἰσηγήσατο φόβον· καὶ παιδεύει ὡς αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ τὴν σωτηρίαν τῶν πιστευόντων πραγματευσάμενος. αἰσχυνέθωσαν οἱ δυσσεβοῦντες αἱρετικοὶ, καὶ μὴ ὁμολογοῦντες αὐτὸν Θεὸν ἐκ Θεοῦ, τὸν μονογενῆ τῷ πατρὶ υἱὸν προαιώνιον, τὸν αὐτὸν ἐπ' ἐσχάτων ἡμερῶν υἱὸν ἀνθρώπε γενόμενον ἀτρέπλως, ὡς φαμὲν, διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν.

ΕΡΜΗΝ. ΤΟΥ ξζ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, τῷ Δαβὶδ ψαλμός. Ὁρῶν ὁ θεῖος Δαβὶδ τὴν πολιτευομένην παρὰ τοῖς ἀνθρώποις ἀσέβειαν, καὶ τοῦ διαβόλου τὴν ἐπικράτειαν, διδαχθεὶς δὲ ἀπὸ τε παναγίε πνεύματος τοῦ Θεοῦ καὶ τοῦ σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν, ἱκετείαν προσφέρει, ταύτην ὡς τάχιστα γενέσθαι παρακαλῶν. καὶ δέχεται παραυτίκα τῶν γενησομένων τὴν ἀποκάλυψιν· καὶ διδάσκεται κατὰ ταυτὸν, καὶ διδάσκει τῆς τε ἀνθρωπείας φύσεως τὴν σωτηρίαν, καὶ τῶν πολεμίων τὸν ὄλεθρον, καὶ ἁπαξαπλῶς, τὴν παράδοξον τῶν πραγμάτων μεταβολήν. β'. Ἀνασήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτε· καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτε οἱ μισοῦντες αὐτόν. Καιρὸς φησιν ἀναστῆναί σε Δέσποτα, καὶ τὴν τῶν ἀνθρώπων πραγματεύσασθαι σωτηρίαν· παραυτίκα γὰρ ἅπαν εἰς φυγὴν τραπήσεται τῶν πολεμίων τὸ σῖφος, τῇ τῆς σῆς ἐπιφανείας σκεδαννύμενον αἴγλῃ· ἀνάστασιν δὲ, ὡς πολλάκις εἰρήκαμεν, οὐ μόνον τὴν τῆς μακροθυμίας παῦλαν καλεῖ· ἀλλὰ καὶ τὸ ἀναστῆναι τὸν σωτῆρα τοῦ κόσμου διὰ τριῶν ἡμερῶν, ὅτε τὸν ὑπὲρ ἡμῶν ἑκούσιον κατεδέξατο θάνατον· „οὕτω καὶ „ἡμεῖς πολλάκις τοὺς ἐπιεικίας χρωμέ„νους δικαίας εἰς τὴν τῶν ἀδικουμένων „ἐπικουρίαν διεγείρειν εἰώθαμεν, διανα„στῆναι παρακαλοῦντες, καὶ τῶν ἀδι„κούντων καταπαῦσαι τὸ θράσος.„ γ'. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τε Θεε. Καθάπερ γὰρ τὸν μὲν καπνὸν σκεδάννυσι τῶν ἀνέμων ἡ προσβολὴ, ὁ δὲ κηρὸς λύεται τῷ πυρὶ προσπελάζων, οὕτω Δέσποτα τῇ σῇ παρουσίᾳ φρυῦδοι γενήσονται παντελῶς τῶν ἀνθρώπων οἱ δυσμενεῖς· οὓς γὰρ ἁμαρτωλοὺς οἱ ἑβδομήκοντα εἰρήκασιν, ἀσεβεῖς ὠνόμασαν οἱ ἄλλοι πάντες ἑρμηνευταί· ἔτω δὲ αὐτοὺς καὶ ὁ Ἑβραῖος, καὶ ὁ Σύρος καλεῖ. δ'. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. Τούτου δὲ φησι γινομένε, θυμηδίας ἐμφορηθήσεται ἅπας ὁ τῶν δικαίων χορός. ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ· τερφθήτωσαν ἐν εὐφροσύνῃ. ἔδειξε διὰ τούτων, ὡς οὐ κατὰ ἀνθρώπων ἐκείνην τὴν ἱκετείαν προσήνεγκεν, ἀλλὰ κατὰ τῶν τὲς ἀνθρώπους πολεμούντων δαιμόνων· ὧν σκεδαννυμένων καὶ φρυάδων γενομένων, ἀγάλλεται τὰ ἔθνη, καὶ τὸν σεσωκότα Θεὸν ὑμνεῖ. ε'. Ἄσατε γάρ φησι τῷ

τῷ Θεῷ· ψάλατε τῷ ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ἐνταῦθα ὁ προφητικὸς λόγος τοῖς ἱεροῖς ἀποστόλοις παρεγγυᾷ μετὰ χορείας καὶ ὑμνῳδίας εἰς τὰ ἔθνη δραμεῖν, καὶ τὴν ὁδὸν εὐτρεπίσαι τῷ τῶν ὅλων παμβασιλεῖ. ἔοικε δὲ ταῦτα τοῖς ὑπὸ τῦ Κυρίε πρὸς αὐτοὺς εἰρημένοις· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· διὰ δὲ τῆς τοιαύτης μαθητείας, καὶ τῆς τοῦ βαπτίσματος παλιγγενεσίας, λεῖα ἐγένετο ἡ τραχεῖα ὁδὸς, καὶ εὐτρεπίζετο τῷ ἐνοικῆσαι ἐν αὐτοῖς, καὶ ἐμπεριπατῆσαι, κατὰ τὸν προφήτην, βουλομένῳ Θεῷ· ἐπὶ δυσμῶν δὲ αὐτὸν ἐπιβεβηκέναι φησὶ, τὸ κατακεχυμένον τῶν ἀνθρωπίνων ψυχῶν σκότος τηνικαῦτα παραδηλῶν· τῦτο μέντοι ὁ Σύμμαχος ἡρμήνευσε, καταξρώσατε ὁδὸν τῷ ἐποχουμένῳ ἐν γῇ ἀοικήτῳ· ἀοίκητος δέ ἐστιν ἡ ἔρημος, ἔρημον δὲ τὰ ἔθνη πολλάκις ἡ θεία γραφὴ προσηγόρευσεν· εὐφράνθητι γάρ φησιν ἔρημος διψῶσα, καὶ πάλιν· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ταύτης τῆς ἐρήμου, καὶ ἀοικήτου, καὶ τοῦ φωτὸς ἐστερημένης, καὶ τούτου χάριν δύσεως ὠνομασμένης, ἐπέβη τῆς δικαιοσύνης ὁ ἥλιος, καὶ τὸν ζόφον ἐξήλασε, καὶ ναὸν οἰκεῖον εἰργάσατο τὴν ἀοίκητον. ταραχθήτωσαν ἀπὸ προσώπου αὐτῦ. ε'. Τῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτῦ τῶν χηρῶν. Οὐ φέρουσι γὰρ αὐτῦ τὴν ἐπιφάνειαν, δίκαιον αὐτὸν κριτὴν ἐπισάμενοι· διὰ γὰρ τῆς τῶν χηρῶν κηδεμονίας, καὶ τῆς τῶν ὀρφανῶν ἐπιμελείας, τὸ δίκαιον αὐτοῦ τῆς προνοίας ἐδήλωσε· ταύτην τῶν δαιμόνων τὴν ταραχὴν καὶ τὸ δέος, καὶ τῶν θείων εὐαγγελίων ἡμᾶς ἡ ἱστορία διδάσκει· ἀκούομεν γὰρ αὐτῶν λεγόντων, τί ἡμῖν καὶ σοι, υἱὲ τοῦ Θεῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτῦ. ἐπειδὴ εἶπεν, ἀναξήτω ὁ Θεὸς, καὶ ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, εἰκότως τοῦτο προστέθεικε, μονονουχὶ λέγων, μηδεὶς ἡγείσθω τὸν τῶν ὅλων Θεὸν μεταβάσει χρώμενον τὰς οἰκονομίας ποιεῖσθαι. τοιοῦτόν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ· καὶ διὰ τούτων γὰρ τὸ τῆς θείας φύσεως ἀπερίγραφον ἔδειξε· καὶ ἐδίδαξεν, ὡς κατελήλυθε, καὶ κάτω διάγων, καὶ τοῖς ἀνθρώποις συμπολιτευόμενος, καὶ ἐν οὐρανῷ ἦν, καὶ τῦ πατρὸς οὐκ ἐκεχώρισο. ζ'. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ· ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ· ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Μονοτρόπους καλεῖ, τοὺς ἕνα σκοπὸν ἔχοντας, καὶ τῆς ἀρετῆς μόνης ἐπιμελεῖσθαι προαιρουμένους, καὶ μὴ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα προαιρουμένους. τούτους ἐν τῷ οἴκῳ τῷ θείῳ κατοικίζεσθαι λέγει. πεπεδημένους δὲ, τοὺς τὰ τῆς ἁμαρτίας περικειμένους δεσμά· οὓς λυομένους ἀνδρείους ἀποτελεῖσθαι προείρηκε. τοιοῦτος ἦν ὁ Ματθαῖος, τοιοῦτος ὁ Ἰάκωβος ὁ Ἁλφαίου, τοιοῦτος ὁ Ζακχαῖος·

οἱ τῶν τῆς ἀδικίας ἀπαλλαγέντες δεσμῶν, ἀνδρικῶς μάλα τὸν κατὰ τοῦ πεδήσαντος ἀνεδέξαντο πόλεμον· οὐ μόνον δὲ φησι τοὺς πεπεδημένους ἀνδρείους ἐργάζεται. ἀλλὰ καὶ τοὺς εἰς ἄκρον δυσσεβείας ἐληλακότας, καὶ ὡς ἐν τάφοις δυσώδεσι, τοῖς οἰκείοις σώμασι κατοικοῦντας. καὶ τούτους γὰρ μετ' ἐκείνων ἀξιώσει τῆς σωτηρίας. ή. Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. θ'. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσαξαν. Τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ὁ Θεὸς προερχομένου σου πρὸ τοῦ λαοῦ σου, βαίνοντος διὰ τῆς ἀοικήτου, γῆ ἐσείσθη, οὐρανὸς δὲ ἔσαξε· μέλλων φησὶ διαβαίνειν εἰς τὴν ἔρημον ἐκείνην καὶ ἀοίκητον, καὶ μηδέπω δεξαμένην τοῦ φωτὸς τὴν ἀκτῖνα, ἐκλόνησας μὲν τὴν γῆν, καὶ συνέσεισας· οὐρανόθεν δὲ τὰς τῆς χάριτος ψεκάδας ἐπέσαξας. γέγονε δὲ τὸ μὲν ἐπὶ τοῦ σαυροῦ· τότε γὰρ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐρράγησαν· „καὶ τὸ „πᾶν τῆς γῆς ἐκλονεῖτο, τὸν δημιουργὸν „τοῦ παντὸς αἰσθήσει τινὶ θεώμενον, ἐπὶ „σαυροῦ κρεμάμενον.„ τὸ δὲ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον. τηνικαῦτα γὰρ ἐπεφοίτησεν ἡ τοῦ πνεύματος χάρις, οἵαν τινας δρόσου ψεκάδας μιμουμένη, τοῖς ἀποστόλοις· εἶτα σαφέστερον Ἰουδαίοις διδάσκων τὸν πάντα ταῦτα δρῶντα, ἐπήγαγεν. ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ· ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ. ὁ γὰρ ἐν τῷ Σινᾶ ὄρει φησὶ τοῖς ἡμετέροις προγόνοις φανείς, ὅτος καὶ τὴν γῆν ἔσεισε παρὰ τὸν τοῦ πάθους καιρὸν, τὴν ὑμετέραν. διελέγχων μανίαν, καὶ τὴν τοῦ πνεύματος ἐδωρήσατο χάριν. ί. Βροχὴν ἑκούσιον ἀφορίεις ὁ Θεὸς τῇ κληρονομίᾳ σου. Ἄσπερ ἄνω ψεκάδας ἐκάλεσεν, ἐνταῦθα ὑετὸν προσηγόρευσε. πρὸς γὰρ τὴν χρείαν τῶν μανθανόντων ἐχορηγεῖτο τοῖς διδασκάλοις ἡ χάρις. ὑετὸν γὰρ τῆς διδασκαλίας τὴν ἀρδείαν καλεῖ· ἑκούσιον δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ τῆς γνώμης αὐθαίρετον· οὐ γὰρ ἀνάγκη τις ἄρδεται, ἀλλὰ τῇ διδασκαλίᾳ πειθόμενος, ἀπολαύει τῆς χάριτος. καὶ ἠσθένησε· σὺ δὲ κατηρτίσω αὐτήν. ἠσθενηκέναι δὲ „βροχὴν, ἀλλὰ„ τὴν κληρονομίαν ἔφη· ἀσθένειαν δὲ τὰς τῶν δυσσεβῶν ἐπαναστάσεις ἐκάλεσεν· οὕτως καὶ ὁ Κύριος πρὸς τὸν Παῦλον ἔφη· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀλλὰ καὶ ἐν τῷ τῆς ἐπαναστάσεως καιρῷ, σὺ βεβαιοῖς καὶ στηρίζεις τοὺς ἀθλητάς· τούτους γὰρ ἔχεις κληρονομίαν, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάρχεσίν σου, τὰ πέρατα τῆς γῆς· οὕτω δὲ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν, ἣν ἐξεποίησας καὶ ἤδρασας· ὁ δὲ Ἀκύλας σαφέστερον, καὶ μεμοχθηκυῖαν σὺ ἤδρασας· καμοῦσαν γὰρ ἐν τοῖς διωγμοῖς ἀτρεμῆ διεφύλαξας. ια'. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ. Ζῶα Θεοῦ τοὺς ἱεροὺς ἀποστόλους καλεῖ· ὧν ἐπιβὰς τὴν πλάνην ἐξήλασε, καὶ τοὺς ἀνθρώπους εἰς θεογνωσίαν ἐπέστρεψεν· οὕτω καὶ περὶ τοῦ Παύλου φησὶν· ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν ὅτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ· τούτου χάριν ἵππους αὐτοὺς

αὐτοὺς ὁ θεῖος ὠνόμασεν Ἀβακέμ· ἐπεβίβασας γάρ φησιν εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά· τούτους οἰκεῖν ἐν τῇ τῶ Θεῶ κληρονομίᾳ, τουτέστιν ἐν τοῖς ἔθνεσιν, ὁ προφητικὸς ἐθέσπισε λόγος. οἰκοῦσι δὲ μέχρι καὶ τήμερον, οὐ μόνον ταῖς θήκαις τῶν σωμάτων ἁγιάζοντες τὸς πελάζοντας· ἀλλὰ καὶ τῇ διδαχῇ τῶν συγγραμμάτων τὰς τῶν ἀνθρώπων ψυχὰς ἐπιστρέφοντες. ἡτοίμασας ἐν τῇ χρηστότητί σε τῷ πτωχῷ ὁ Θεός. ταῦτα δὲ φησι τῇ πτωχῇ τῶν ἀνθρώπων φύσει διὰ τὴν σὴν ἐδωρήσω χρηστότητα. ιβ'. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Οὓς ἄνωθεν προσηγόρευσεν, εὐαγγελισὰς ἐνταῦθα καλεῖ. καὶ ἐπειδὴ ἁλιεῖς ἦσαν, καὶ τελῶναι, καὶ σκυτοτόμοι, ἐχειροτονήθησαν δὲ φιλοσόφων, καὶ σοφιστῶν, καὶ ῥητόρων, καὶ τῶν ἐπὶ εὐγλωττίᾳ βρενθυομένων διδάσκαλοι, εἰκότως διδάσκει πόθεν ἀρυόμενοι τῆς διδασκαλίας τὰ νάματα, τὴν ἀρδείαν προσφέρουσιν. ιγ'. Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητῦ, τῇ ὡραιότητι τῦ οἴκου σου διελέσθαι σκῦλα. Ὁ δὲ Σύμμαχος ἔτως· Κύριος ἔδωκε ῥήσεις τοῖς εὐαγγελιζομένοις στρατιᾷ πολλῇ. Βασιλεῖς τῶν στρατιῶν ἠγαπήθησαν· ἀγαπητοὶ ἐγένοντο, καὶ ἡ διαιτα τοῦ οἴκου διανεμεῖ λάφυρα. καλεῖ δὲ στρατιὰν πολλὴν, τοὺς πεπιστευκότας· ἔτω δὴ καὶ ὁ ἀπόστολος Τιμοθέῳ γράφων λέγει, στρατεύου τὴν καλὴν στρατειαν· καὶ ἐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· βασιλεῖς δὲ στρατιῶν, τὲς τούτων διδασκάλους ὠνόμασεν· ἐς ἠγαπῆσθαι, καὶ ἀγαπητὲ ὀνομάζεσθαί φησιν. ἔτω δὲ αὐτοὺς καὶ ὁ Κύριος καλεῖ, ὑμεῖς φίλοι μου ἐστέ· ἐκ ἔτι καλέσω ὑμᾶς δούλους, ἀλλὰ φίλους. ἔτω καὶ ὁ θεῖος ἀπόστολος λέγει· ἡ γὰρ ἀγάπη τῦ Θεῦ συνέχει ἡμᾶς· καί τις ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τῦ Χριστῦ; λάφυρα δὲ καλεῖ, τὲς πάλαι μέλη τὰ οἰκεῖα δοῦλα τῆς ἁμαρτίας πεποιηκότας, καὶ τῷ διαβόλῳ ταῦτα εἰς δουλείαν ἐκδεδωκότας. τέτους δὲ τοῖς ἱεροῖς διένειμεν ἀποστόλοις· τὸν μὲν Ῥωμαίων, τὸν δὲ Ἑλλήνων διδάσκαλον προσησάμενος· καὶ τὲς μὲν Ἰνδῶν, τὲς δὲ Αἰγυπτίων κήρυκας ἀποφήνας. ταῦτα τοῖς ἱεροῖς ἀποστόλοις τὰ λάφυρα ἡ τῦ οἴκου ὡραιότης διένειμεν· οἶκος δὲ τοῦ Θεοῦ, κατὰ τὸν θεῖον ἀπόστολον, οἱ πεπιστευκότες. ὡραιότης δὲ τῦ οἴκου, ἡ χάρις τῦ ἁγίου πνεύματος, ἡ τοῦτον ὡραΐζουσά τε καὶ λαμπρύνουσα τῇ παντοδαπῇ φιλοτιμίᾳ τῶν δωρεῶν· καὶ τοῦτο σαφέστερον διὰ τῶν ἑπαγομένων ἐδίδαξεν. ιδ'. Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς, ἐν χλωρότητι χρυσίου. Πτέρυγας δὲ καλεῖ περιστερᾶς, τὴν χάριν τοῦ πνεύματος· ἐν εἴδει γὰρ περιστερᾶς παρὰ τὰ Ἰορδάνεια ἐπεφοίτησε ῥεῖθρα. ταύτης δὲ τὰς μὲν πτέρυγας, περιηργυρῶθαί φησι· τὰ δὲ μετάφρενα κεκοσμῆθαι χρυσίῳ· τὰ μὲν γὰρ ἁπλούστερα, καὶ εὐκολώτερα, τοῖς ἁπλουστέροις προσφέρει· τοῖς δὲ τελειοτέροις,

τέροις, τὰ βαθύτερα. τὰ γὰρ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς· καὶ τοὺς μὲν, ὡς ἀτελεῖς, γάλα ποτίζει. τοῖς δὲ τὴν τελεὰν προσφέρει τροφήν. κλήρους δὲ καλεῖ, τὰς δύο διαθήκας. λέγει τοίνυν ἐν ἑκατέρᾳ διδασκαλίᾳ, προσέλθετε καὶ ὄψεσθε τὴν παντοδαπὴν τῆ ἁγίᾳ πνεύματος χάριν. οὐχ ἁπλῶς μέν τοι προσελθεῖν, ἀλλὰ καὶ διηνεκῶς προσεδρεῦσαι προσέταξε. τοῦτο γὰρ ἐκάλεσε κοιμηθῆναι· ὡς τοῦ καθεύδοντος ἀκινήτου μένοντος. ιέ. Ἐν τῷ διαξέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών. Καὶ ἄνω βασιλεῖς τοὺς ἀποστόλους ἐκάλεσεν, ὡς κληρονόμους τῆς βασιλείας τῶν οὐρανῶν· ὡς καὶ ἐν τῷ ΜΔ΄ ψαλμῷ, ἄρχοντας προσηγόρευσε· καταξήσεις γὰρ αὐτούς φησιν ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. προλέγει δὲ τὴ παναγίου πνεύματος τὴν ἐπιφοίτησιν, τὴν κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς γενομένην, καθ' ἣν αὐτοὶ τῆς τῶν γλωσσῶν διαφορᾶς τὴν χάριν ἐδέξαντο· λέγει τοίνυν, ὡς κατ' ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ τὴν τῆς οἰκουμένης αὐτοῖς διαιρεῖ βασιλείαν, καὶ τῷ μὲν τούτων τῶν ἐθνῶν, τῷ δὲ ἐκείνων προστάτλειν κελεύει, λαμπρυνεῖ αὐτοὺς, καὶ χιόνι δείξει παραπλησίως· προλέγει δὲ καὶ τὸν τόπον, ἐν ᾧ ταῦτα γενήσεται. Σελμὼν γὰρ τὴν Ἱερουσαλὴμ ὠνόμασεν· ἐν ἐκείνη γὰρ διάγων ὁ τῶν ἀποστόλων χορὸς, τῆς τοῦ παναγίου πνεύματος ἀπήλαυσε χάριτος. ιϛ. Ὄρος τῷ Θεῷ, ὄρος πῖον· ὄρος τετυρωμένον, ὄρος πῖον. Οὓς ἐκάλεσε ζῶα, καὶ εὐαγγελιστὰς, καὶ βασιλεῖς, καὶ ὄρος ὀνομάζει. ἔτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὕτω καὶ ὁ Ἡσαΐας βοᾷ· ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου. πῖον δὲ αὐτὸ καὶ τετυρωμένον καλεῖ, ὡς πολλὴν τροφὴν ταῖς ἐν αὐτῷ νεμομέναις ἀγέλαις παρέχον, καὶ πολλὴν ὑπὸ τῆς θείας χάριτος δεξάμενον τὴν πιότητα. ιζ΄. Ἵνατί ὑπολαμβάνετε ὄρη τετυρωμένα; τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. Ὁ δὲ Ἀκύλας ἔτως· εἰς τί ἐρίζετε ὄρη ὠφρυωμένα τὸ ὄρος ὃ ἐπεθύμησε ὁ Θεὸς τῆ καθίσαι ἐπ' αὐτό; πρὸς Ἰουδαίους ὁ προφητικὸς ἀποτείνεται λόγος, καὶ πρὸς τοὺς παρανόμους τῶν αἱρετικῶν συλλόγους· οἳ ἐκκλησίας σφᾶς ἑαυτοὺς ὀνομάζουσι· καὶ φησι, τί πότε ἐρίζειν καὶ παρισοῦσθαι ἀλαζονεύεσθε τῷ ὄρει, ὃ οἰκητήριον ἀπέφηνεν ὁ Θεός; καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος. οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ Ἰουδαῖοι, ζητόν τινα ᾤκησε χρόνον, οὕτως καὶ ἐν τούτῳ διάξει· ἀλλ' αἰώνιον ἐν τούτῳ σχήσει τὴν οἴκησιν· τοῦτο γὰρ δηλεῖ τὸ, εἰς τέλος. ιή. Τὸ ἅρμα τοῦ Θεοῦ, μυριοπλάσιον χιλιάδες εὐθηνούντων. Οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ Ἰουδαῖοι, ὀλίγους ἔχεν ἁγίους, ὧν ἐπέβη, καὶ οἷς ἐκοινώνησεν, ἔτω καὶ νῦν σχήσει. μυριοπλάσιοι γὰρ ἐκείνων, οἱ τῆς θείας ἐπιβάσεως ἄξιοι· καὶ ἀριθμοῦ κρείττους χιλιάδας καὶ μυριάδας εὐθηνούντων, καὶ καρποφορούντων τῷ θεῷ τὴν εὐσέβειαν, ἡ νέα ἔχει κληρονομία, ἰθυνομέ-

νας

νας καὶ τῶν σεφάνων ἀξιουμένας, καὶ ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγομένας. Κύριος ἐν αὐτοῖς, ἐν Σινᾳ̈ ἐν τῷ ἁγίῳ. ὁ ἐν τῷ Σινᾷ, φησὶ, τοῖς ἡμετέροις προγόνοις ἐπιφανεὶς, αὐτὸς καὶ τούτους ἠνιοχεῖ· οὐ γὰρ ἄλλος ἐκεῖνος, καὶ ἄλλος οὗτος. ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· ἕτω δείξας ὁ προφητικὸς λόγος καταβεβηκότα, καὶ καταλύσαντα τῶν πολεμίων τὸ σίφος, δείκνυσιν αὐτὸν ἀνιόντα, καὶ τοῖς πάλαι αἰχμαλώτοις τὴν ἐλευθερίαν δωρούμενον. ιθ'. Ἀνέβης εἰς ὕψος, ἠχμαλώτευσας αἰχμαλωσίαν. Ἡ ἀνάβασις δηλοῖ τὴν κατάβασιν· καὶ μάρτυς ὁ ἀπόστολος λέγων· τὸ δὲ ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν. ἠχμαλώτευσε δὲ αἰχμαλωσίαν, τοὺς πάλαι γεγενημένους αἰχμαλώτους ἀπολαβών· καὶ οἱονεὶ ἀνταιχμαλωτίσας, καὶ τὴν ἐλευθερίαν αὐτοῖς δωρησάμενος. ἔλαβες δόματα ἐν ἀνθρώποις. ὁ ἀπόστολος ἔδωκεν εἴρηκεν· ἀμφότερα δὲ γεγένηνται. λαμβάνων γὰρ παρὰ τῶν προσιόντων τὴν πίστιν, δωρεῖται τὴν χάριν. „ Ἕ„τω γὰρ ὁ τῶν ἀποστόλων πιστεύσας „χορὸς, ὅτι Θεὸς ἐκ Θεοῦ ὑπάρχει, τῆς „τῶν οὐρανῶν βασιλείας κληρονόμος „ἀνεδείχθη· οὕτω μυριάδες τῶν ἀθλο„φόρων καὶ τῶν ἐπὶ πολιτείᾳ σεμνῶς „βιοτευσάντων ὑπὲρ Θεοῦ ποιούμενοι „τοὺς λόγους ἐδοξάσθησαν.„ καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι. τοῦτο σαφέστερον ὁ Ἀκύλας ἡρμήνευσε, καὶ περ ἀπειθεῖς τοῦ κατασκηνῶσαι· οὐκ ἀπέβλεψάς φησιν εἰς τὴν προτέραν αὐτῶν ἀπείθειαν· ἀλλὰ καὶ ἀντιλέγοντας ὁρῶν, ἐπέμεινας εὐεργετῶν, ἕως αὐτοὺς οἰκητήριον οἰκεῖον ἀπέφηνας. κ'. Κύριος ὁ Θεὸς εὐλογητός· εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν. Εἰκότως ὁ προφήτης εἰς ὑμνῳδίαν τὴν γλῶτταν ἐκίνησεν. ἀεί φησιν ὑμνεῖσθαι δίκαιος εἶ, τοσαύτη φιλανθρωπίᾳ χρησάμενος. κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. ὁ τὴν σωτηρίαν ἡμῖν, φησὶ, δωρησάμενος, οὗτος ἡμῖν καὶ τὴν ὁδὸν ἐξομαλίσει, ὥστε τοσούτων μὴ διαμαρτεῖν ἀγαθῶν. κα'. Ὁ Θεὸς ἡμῶν ὁ Θεὸς τοῦ σώζειν. Παρέζει δὲ τοῦτο σωτηρίας ὑπάρχων πηγή. καὶ τοῦ Κυρίου Κύριοι, αἱ διέξοδοι τοῦ θανάτου. αὐτὸς γὰρ διήνοιξεν ἡμῖν καὶ τὴν ἀδιεξόδευτον τοῦ θανάτου φρουραν, καὶ συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε· καὶ τοῦτο διὰ τῶν ἐπαγομένων ἐδήλωσε. κβ'. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ· κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Ἤνοιξεν ἡμῖν, φησὶ, τοῦ θανάτου τὰς θύρας, συνθλάσας τὰς τῶν ἐχθρῶν κεφαλὰς, τῶν διερευνωμένων τῶν ἀνθρώπων τὰς πλημμελείας, καὶ μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀνερευνήτους ἀνεχομένων καταλιπεῖν· λέγει δὲ διὰ τῆς τριχὸς, τὸ σμικρότατον πλημμέλημα· ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τοῖς ἁμαρτάνουσιν ὁ Θεὸς ὥρισε τὸν θάνατον ἐπιτίμιον. διερευνῶν δὲ ὁ διάβολος, οἷόν τις πικρὸς δήμιος, τῶν ἀνθρώπων τὸν βίον, οὐδὲ τὸ σμικρότατον ἀνέχεται παριδεῖν· ἀλλὰ

τῷ θανάτῳ παραπέμπει τὴν Φύσιν. τὴν αὐτὴν τοίνυν περικείμενον Φύσιν θεασάμενος τὸν δεσπότην Χριστὸν, προσῆλθεν ἐπιζητῶν τοῦ θανάτου τὰ αἴτια· τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. ἀλλ' ὅμως καὶ μηδὲν εὑρὼν, ἀδίκως τῷ θανάτῳ παρέδωκε· τοῦτο τὸ ἀδίκημα, ἐκείνου μὲν τὸ κράτος κατέλυσε, τοῖς δὲ ἀνθρώποις τὸν ἄδην ἠνέῳξεν· ἅπερ ἐν τοῖς περὶ τῆς προνοίας λόγοις, διὰ πλειόνων ἐρρήθη· καὶ ὁ θεῖος δὲ ἀπόστολος τὸν διάβολον ἔχειν ἔφη τὸ θανάτου τὸ κράτος. κγ'. Εἶπε Κύριος· ἐκ Βασὰν ἐπιστρέψω· ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. Ὁ δὲ Σύμμαχος οὕτως· εἶπε Κύριος, ἀπὸ Βασὰν ἐπιστρέψω ἀπὸ βυθῶν θαλάσσης. ἡ Βασὰν δὲ ἑρμηνευομένη τὴν αἰχύνην δηλοῖ· αἰχύνη δὲ τῆς ἁμαρτίας καρπός. ἀπὸ ταύτης τοίνυν ἡμᾶς ὁ τῶν ὅλων Θεὸς ἐπιστρέψει· καὶ ἀπὸ τῶν τῆς θαλάσσης βυθῶν. τίς δὲ ὁ τῆς θαλάσσης βυθὸς, αὐτὸς διδάσκει ὁ προφήτης βοῶν, ἐκ βυθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. „μή με κατα„ποντισάτω καταιγὶς ὕδατος, μηδὲ „καταπιέτω με βυθός.„ κδ'. Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι· ἡ γλῶσσα τῶν κυνῶν σε ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ὁ δὲ Σύμμαχος ἔτως· ὅπως ἂν συγκατεσθίῃ ὁ πὲς σε μετὰ αἵματος, καὶ λάψῃ ἡ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἐκείνου τῶν ἐχθρῶν σου. ἐπειδὴ γὰρ ἔδειξε τὸν τῶν ὅλων Θεὸν, οἷόν τινα ἀριστέα, τὰς πολεμίας καταγωνιζόμενον, καὶ τὰς ἀδίκως δεδουλωμένους ἐλευθερῶντα, διαγράφει τῷ λόγῳ, καὶ αἱμάτων ῥύακας, καὶ συμπατουμένας νεκρὰς, καὶ τέτας ἀτάφους ἐρριμμένας, καὶ κυσὶ βορὰν προκειμένας. οὕτω καὶ διὰ Ἡσαΐου βοᾷ, ληνὸν ἐπάτησα μονώτατος· καὶ τῶν ἐθνῶν οὐδεὶς ἦν μετ' ἐμοῦ. συνεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου, „καὶ συνέθλασα αὐτοὺς ἐν τῇ ὀρ„γῇ μου, „ καὶ κατήγαγον εἰς γῆν τὸ αἷμα αὐτῶν· καὶ κατερραντίσθη τῷ κατανικήματι αὐτῶν τὰ ἱμάτιά μου. κε'. Ἐθεωρήθησαν αἱ πορεῖαι σε ὁ Θεός· αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως, τοῦ ἐν τῷ ἁγίῳ. Πορείας τοῦ Θεοῦ τὰς οἰκονομίας καλεῖ· ἅγιον δὲ, τὸν ἐκ σπέρματος Δαβὶδ ἀνειλημμένον ναόν· δήλη φησὶ πᾶσιν ἀνθρώποις ἡ σὴ γέγονε προμήθεια, καὶ τὰς διαφόρους σε οἰκονομίας διέγνωσαν ἅπαντες. κς'. Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐντεῦθεν λοιπὸν τῶν ἐκκλησιῶν τὴν εὐφροσύνην διδάσκει. ἄρχοντας δὲ καλεῖ τοὺς ἱεροὺς ἀποστόλους, ὡς τούτων ἀρχιτέκτονας γενομένους· νεανίδας δὲ τυμπανιστρίας, τὰς τὴν παρθενίαν ἀσκήσας, καὶ τὴν θείαν μελῳδίαν τῷ Θεῷ προσφερούσας. εἶτα σαφέστερα τὰ εἰρημένα ποιεῖ. κζ'. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἔδειξε τῆς παλαιᾶς διαθήκης τὴν παῦλαν. εἰς γὰρ ἦν ὁ τῶν Ἰουδαίων ναός· ἐνταῦθα δὲ τῶν ἐκκλησιῶν προθεσπίζει τὸ πλῆθος· ἐν αἷς ἐκ τῶν Ἰσραηλιτικῶν πηγῶν ὑμνεῖσθαι κελεύει τὸν τῶν ὅλων Κύριον· πηγαὶ δὲ Ἰσραὴλ εἰκότως ἂν κληθεῖεν αἱ προφητικαὶ βίβλοι, ἐξ ὧν τῷ Θεῷ τὴν μελῳδίαν προσφέρομεν· ἐπειδὴ

ἐπειδὴ δὲ πρὸς ταῖς προφητικαῖς, καὶ τὰς ἀποστολικὰς ἡμῖν πηγὰς ἐδωρήσατο, εἰκότως ἐπάγει· κή. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει. Ὁ δὲ Ἀκύλας, ἐκεῖ Βενιαμὶν βραχὺς, ἐπικρατῶν αὐτῶν· κατὰ δὲ τὸν Θεοδοτίωνα, παιδευτὴς αὐτῶν· Βενιαμὶν δὲ νεώτερος, ὁ μακάριος Παῦλος, ὁ ἐκ τῆς Βενιαμίτιδος βλαστήσας Φυλῆς· νεώτερος, ὡς μετὰ πάντας κληθεὶς καὶ προσαγορευόμενος· ἄλλως τε καὶ νεανίαν αὐτὸν ἡ τῶν πράξεων ἱστορία καλεῖ· ἔτος ἐπικρατεῖ τῆς ἐκκλησίας, καὶ παιδεύει τὰ θεῖα, καὶ ποδηγεῖ πρὸς σωτηρίαν τὲς βλεπομένες· ἐγένετο δὲ καὶ ἐν ἐκστάσει, μαθὼν ἐν οὐρανοῖς εἶναι τὸν ὑπ' αὐτῦ διωκόμενον, καὶ νεκρὸν νομιζόμενον. ἐπειδὴ δὲ ὐ μόνον ὁ μακάριος Παῦλος, ἀλλὰ καὶ ὁ λοιπὸς τῶν ἀποστόλων χορὸς, τὰ θεῖα τὲς πιστεύοντας ἐκπαιδεύει, εἰκότως καὶ τέτων ὁ προφητικὸς ἐμνημόνευσε λόγος. ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν· ἄρχοντες Ζαβελὼν, ἄρχοντες Νεφθαλείμ. ἐκ γὰρ τέτων τῶν Φυλῶν, τὸ γένος οἱ λοιποὶ κατῆγον ἀπόστολοι. καὶ οἱ μὲν καλέμενοι ἀδελφοὶ τῦ Κυρίε, τὴν Ἰούδα Φυλὴν πάντως εἶχον πηγήν· Πέτρος δὲ, καὶ Ἀνδρέας, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Φίλιππος, ἀπὸ Βεθσαϊδᾶ τῆς κώμης ἐτύγχανον ὄντες· Ματθαῖος δὲ καὶ Ἰάκωβος, ἐν τῇ Καπερναοὺμ διάγειν ἱστόρηνται· Σιμὼν ὁ ζηλωτὴς, Καναναίτης ὠνόμασται· ταῦτα δὲ πάντα χωρία τῆς Γαλιλαίας ἐστί· Ζαβελὼν δὲ καὶ Νεφθαλείμ ἐκεῖνον εἶχον τὸν κλῆρον· καὶ τέτε μάρτυρες δύο· ὁ μὲν προφήτης, ὁ δὲ εὐαγγελιστής· ὁ μὲν προλέγων, ὁ δὲ τὴν μαρτυρίαν προφέρων. Φασὶ δὲ ἔτως· γῆ Ζαβελὼν, καὶ γῆ Νεφθαλείμ, καὶ οἱ λοιποὶ τὴν παραλίαν κατοικῦντες, καὶ πέραν τῦ Ἰορδάνε, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα. κθ. Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου· δυνάμωσον ὁ Θεὸς τέτο ὃ κατειργάσω ἐν ἡμῖν. λ. Ἀπὸ τῦ ναῦ σε ἐπὶ Ἱερεσαλήμ. Ὁ δὲ Σύμμαχος ἔτως· πρόσταξον ὁ Θεὸς περὶ ἰχύος σε· ἐνίσχυσον ὁ Θεὸς τέτο ὃ ἐποίησας ἡμῖν, διὰ τὸν ναόν σε τὸν ἐπάνω τῆς Ἱερεσαλήμ. Βεβαιωσόν φησιν ἣν εὐωχήσω Δέσποτα χάριν, διὰ τὸν ναόν σε, ὃν ἐξ ἡμῶν ἀνείληφας· ὃν ἐκάθισας ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξεσίας, καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένε, ὐ μόνον ἐν τῷ αἰῶνι τέτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Ἱερεσαλὴμ γὰρ τὴν ἄνω πόλιν καλεῖ, περὶ ἧς ὁ μακάριος Παῦλος λέγει· ἡ δὲ ἄνω Ἱερεσαλὴμ ἐλευθέρα ἐστίν· ἥ τις ἐστὶ μήτηρ πάντων ἡμῶν. αἰτῆσι τοίνυν διὰ τὴν πρὸς τὸν ναὸν συγγένειαν, τὴν δεδομένην βεβαιωθῆναι χάριν· καὶ διὰ τὴν ἀπαρχὴν, τῆς παραχεθείσης δωρεᾶς ἀπολαῦσαι τὸ φύραμα· ἐντεῦθεν προλέγει καὶ τὴν τῶν βασιλέων μεταβολήν. σοὶ οἴσσι βασιλεῖς δῶρα. τῷ γὰρ διώκειν παυσάμενοι, τὸ πρέπον ὡς Θεῷ προσοίσσι σέβας. καὶ ὥσπερ αὐτοὶ δασμὸν παιὰ τῶν ὑπηκόων λαμβάνεσιν, ἔτως αὐτοὶ, καθάπερ δῆλοι καὶ ὑπήκοοι, δῶρά σοι προσκομιῦσι· καὶ τέτε μάρτυρες οἱ ὀφθαλμοὶ θεωρῦντες τὴν τῆς προφητείας ἀλήθειαν. λά. Ἐπιτίμησον τοῖς θηρίοις τῷ καλάμῳ. Ἕνια δὲ τῶν ἀντιγράφων, δρυμῷ ἔχει·

εἴτε δὲ δρυμὸς, εἴτε κάλαμος, ἡ ἀκαρπία διὰ τούτων σημαίνεται· ταῦτα δὲ οἰκητήριον ἔχει τὰ νοητὰ θηρία, ἃ καὶ διὰ τῆς θείας ἐπικλήσεως ὁ προφήτης „ἡμᾶς" ἐξελαύνειν ἐδίδαξεν. ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τῷ ἐγκλεισθῆναι τὲς δεδοκιμασμένες τῷ ἀργυρίῳ. ταύρες καλεῖ τὴν τῶν Ἰουδαίων πληθὺν, διὰ τὴν συνήθη θρασύτητα· δαμάλεις δὲ λαῶν, τὲς ἐξ ἐθνῶν πεπιστευκότας ὠνόμασε, διὰ τὸ νέον τῆς κλήσεως. προλέγει τοίνυν ὁ προφητικὸς λόγος, τὰς ἐν ἀρχῇ τῷ κηρύγματος κατὰ τῶν εὐσεβῶν γεγενημένας τῶν Ἰουδαίων ἐπαναστάσεις· τῦτο δὲ φησι δρῶσιν, ἐκκλεῖσαι αὐτὲς βελόμενοι, καὶ τῆς δεδομένης εὐκληρίας στερῆσαι· οἵτινες δίκην ἀργυρίου πυρωθέντες, ἀπεφάνθησαν δόκιμοι. τῦτο περὶ αὐτῶν καὶ ὁ μακάριος ἔφη Παῦλος· ζηλῶσιν ὑμᾶς ὲ καλῶς· ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν· ἐπειδὴ δὲ καὶ ἐν τοῖς ἔθνεσιν ἦσαν οἱ ἀντιλέγοντες, καὶ παντοδαπὰς ἀγίων σφαγὰς ἐργαζόμενοι, εἰκότως καὶ περὶ τύτων φησί· διασκόρπισον ἔθνη τὰ τὲς πολέμες θέλοντα. ἕτω περὶ τῶν ἀντιλεγόντων θεσπίσας, μεταφέρει τὸν λόγον εἰς τὲς πιστεύσαντας. λβ'. Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτε. Τῆς Αἰγύπτε δὲ προτέρας ἐμνημόνευσεν, ὡς τῆς ἀσεβείας ἀναδησαμένης πάλαι τὸ κράτος· μέμνηται δὲ αὐτῶν καὶ ἡ τῶν πράξεων ἱστορία, δηγεμένη τὲς συνελεγμένες κατὰ τὴν τῆς πεντηκοστῆς ἡμέραν, ἐν ᾗ τὰ παναγίε πνεύματος τοῖς ἀποστόλοις ἐπεφοίτησεν ἡ χάρις. Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. τέλους καὶ τοῦτο τετύχηκε· καὶ μάρτυς ὁ εὐνοῦχος Κανδάκης τῆς βασιλίσσης τῶν Αἰθιόπων, ὃν ὁ Φίλιππος πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν. εἶτα πάσης τῆς οἰκεμένης τὰς βασιλείας καλεῖ. λγ'. Αἱ βασιλεῖαι τῆς γῆς ἄσατε τῷ Θεῷ· ψάλατε τῷ Κυρίῳ. Ἅπαντές φησιν οἱ κατὰ τὴν οἰκεμένην, δέξασθε τῆς θεογνωσίας τὸ φῶς· καὶ τὴν ὑπὲρ τῆς εὐσεβείας προσενέγκατε ὑμνῳδίαν. λδ'. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. Ὁ γὰρ Δεσπότης Χριστὸς, οὐ μόνον εἰς τὸν ὁρώμενον οὐρανὸν ἀνελήλυθεν, ἀλλὰ καὶ εἰς τὸν ὑπέρτερον, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ἐν ὑψηλῷ ὑπερώῳ τῆς οἰκείας ἀνατολῆς, τὰς ἀκτῖνας πᾶσι καταπέμπων ἀνθρώποις. ἰδὲ δώσει τῇ φωνῇ αὐτῦ φωνὴν δυνάμεως. σημαίνει δὲ διὰ τύτων, τὴν μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν γενομένην τοῦ παναγίε πνεύματος ἐπιφοίτησιν· δύναμιν γὰρ ταύτην καὶ ὁ Κύριος προσηγόρευσε· μείνατε γάρ φησιν ἐν τῇ πόλει ταύτῃ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. ταύτης δὲ τῆς φωνῆς καὶ ὁ μακάριος μέμνηται Λουκᾶς λέγων· ἐγένετο δὲ φωνὴ ἐκ τῦ ὐρανῦ, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν ὅλον, ὃ ἦσαν καθήμενοι. λέ. Δότε δόξαν τῷ Θεῷ. Ἔοικε τῦτο τῇ τῦ ἀποστόλε νομοθεσίᾳ· δοξάσατε γάρ φησι τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστιν αὐτῦ. τὲς γὰρ τοσύτων ἀπολαύοντας, δίκαιον διὰ πάντων τὸν εὐεργέτην δοξάζειν. ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτῦ· καὶ ἡ δύναμις αὐτῦ ἐν ταῖς νεφέλαις.

ἐξ

ἐξ Ἰσραὴλ γὰρ τὸ γένος κατάγοντες οἱ ἱεροὶ ἀπόστολοι, τὴν τοῦ Θεοῦ μεγαλουργίαν δι' ὧν εἰργάζοντο θαυμάτων ὑπέδειξαν· καὶ οἱ μετ' ἐκείνους δὲ τὸ διδασκαλικὸν δεξάμενοι χάρισμα, καθάπερ τινὲς νεφέλαι ἐκ τῆς τοῦ παναγίου πνεύματος θαλάττης τὸν ὑετὸν ἀνιμώμεναι, τὴν ἀρδείαν τοῖς ἀνθρώποις προσφέρουσι. λς'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Καὶ ἄλλοι δὲ φησιν ἅπαντες τῆς ἀρετῆς ἐραταὶ, τὸν Θεὸν ὑμνεῖσθαι παρασκευάζουσι, κατὰ τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν οὐρανοῖς. ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. ἐχ ἁπλῶς δὲ ἐνταῦθα τοῦ Ἰσραὴλ ἐμνημόνευσεν· ἀλλ' ἐπειδὴ δείσας ὁ Ἰακὼβ τὸν Ἠσαῦ, ἔπειτα τῆς θείας ἐπιφανείας ἀξιωθεὶς, ἀνερρώσθη, καὶ τὸ δέος τῆς διανοίας ἐξέβαλε· διδάσκει δὲ ἡμᾶς ὁ λόγος, ὅτι ὁ ἐκεῖνον ἰσχυρὸν ἀποφήνας, καὶ κρείττονα δείξας τῶν δυσμενῶν, αὐτὸς τὸν νέον αὐτοῦ κραταιώσει λαὸν, καὶ ἄμαχον ἐργάσεται, καὶ ἀήττητον. εὐλογητὸς ὁ Θεός. „ἀλλ' ἀκούων φιλομαθέστατε Θεὸν καὶ „Θεὸν πολλάκις εἰρημένον καὶ Κύριον „καὶ σωτῆρα, μὴ ἄλλον ὑπολάβῃς· ἐδὲ „γάρ ἐστιν, οὐκ ἔστιν εἰ μὴ μόνος Πατὴρ „καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. ἀλλ' ὁ „τριθεΐα, ἄπαγε· ὡς πολλάκις ἡμῖν εἴ„ρηται· τὸ γὰρ Θεὸς ὄνομα καὶ τὸ Κύ„ριος καὶ τὸ βασιλεὺς καὶ τὸ δημιουργὸς „καὶ τὸ παντοκράτωρ καὶ ὅσα τοιαῦτα „ἐπὶ τῆς ἁδιαιρέτε λαμβάνεται τριά„δος. „ ἁρμόδιον τῷ ψαλμῷ τὸ τέλος· ἔδει γὰρ τῶν τοσούτων ἀγαθῶν τὴν διήγησιν ὕμνῳ θείῳ συμπερανθῆναι.

ΕΡΜΗΝ. ΤΟΥ ξή ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· ψαλμὸς τῷ Δαβίδ. Ἀλλοίωσιν τινῶν πραγμάτων ὁ ψαλμὸς προσημαίνει. εἴρηται μὲν γὰρ εἰς τὴν εἰς Βαβυλῶνα μετανάστας Ἰουδαίων· καὶ ὡς ἐξ ἐκείνων προσευχομένων, καὶ τὴν ἀπαλλαγὴν αἰτούντων, ἐσχημάτισται· προθεσπίζει δὲ ὅμως καὶ τὴν τῆς δουλείας ἀπαλλαγὴν, καὶ τὴν ἐπάνοδον, καὶ τῆς Ἱερουσαλὴμ τὴν οἰκοδομὴν, καὶ ἁπαξαπλῶς τῆς Ἰουδαίας τὴν προτέραν εὐημερίαν· ἔχει δὲ καὶ προφητείαν τῶν δεσποτικῶν „τοῦ Θεοῦ λέγω καὶ σωτῆ„ρος ἡμῶν „ παθημάτων, καὶ τῆς διὰ ταῦτα καταληψομένης Ἰουδαίους πανωλεθρίας· ἐπειδὴ γὰρ οὐ παρὰ τῶν δυσμενῶν ὑπέμειναν, ταῦτα κατὰ τοῦ εὐεργέτου καὶ σωτῆρος ἐτόλμησαν, ἃ τοῖς ἐχθροῖς ἐπηρέασαντο, ταῦτα κατ' αὐτῶν ὁ δίκαιος κριτὴς ἐψηφίσατο. β'. Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἡ τῶν εὐσεβεστέρων συμμορία προσφέρει τὴν ἱκετείαν· ὕδατα δὲ καλεῖ τῶν συμφορῶν τὸ πλῆθος· πάντοθέν φησι τοῖς ἁγίοις περικλύζομαι. γ'. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ὁ δὲ Σύμμαχος· ἐβαπτίσθην εἰς ἀπερράντους καταδύσεις, καὶ οὐκ ἔστι στάσις· ἐκ μεταφορᾶς τῶν εἰς τὸν τῆς θαλάσσης ἐμπιπτόντων βυθὸν, καὶ ἐπιπλέοντα καταφερομένων, καὶ μόγις τῆς ἕδρας ἐφικνουμένων. δηλοῖ δὲ διὰ τούτων

τὸ μέγεθος τῶν συμβεβηκότων τοῖς ἀνδραποδιζομένοις κακῶν. ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. ποικίλλει τὸν λόγον ταῖς διαφόροις εἰκόσιν, οὐχ εὑρίσκων ἀξίαν εἰκόνα τῶν κατεχόντων ἀνιαρῶν. δ'. Ἐκοπίασα κράζων· ἐβραγχίασεν ὁ λάρυγξ μου. Διηνεκῶς, φησὶ, ποτνιώμενος βοῶ, ὡς καὶ αὐτὰ καμεῖν τὰ ὄργανα τῆς φωνῆς· κραυγὴν δὲ τὴν ἐπίτασιν λέγει τῆς κατὰ διάνοιαν προσευχῆς. ἐξέλιπον οἱ ὀφθαλμοί μου, ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. ἐκ μεταφορᾶς δὲ αὐτὸ τέθεικε τῶν συνήθη τινὰ καὶ γνώριμον ἐξ ἀποδημίας ἐπανιόντα προσμενόντων, καὶ τὰς ὁδὸς περισκοπέντων. ἀπέκαμόν φησιν ἀναμένων τὴν σὴν βοήθειαν· εἶτα ἀ τροπικῶς ἄνω τέθεικε, διδάσκει σαφέστερον. ε'. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μὲ οἱ μισοῦντές με δωρεάν· Ἐκραταιώθησαν οἱ ἐχθροί μὲ, οἱ ἐκδιώκοντές με ἀδίκως. Ἀλλὰ μηδεὶς ὑπολάβοι τῶν Φιλομαθεστέρων, εἰρῆθαι ἐκ προσώπε τοῦ Θεοῦ καὶ σωτῆρος ταῦτα. οὐδὲ γὰρ εἴρηται, ἐκ εἴρηται, εἰ μὴ ἐκ προσώπε, ὡς ἀνωτέρω ἡμῖν ἐχεδίασαι, τῶν ἀνδραποδιζόντων ἐκ τῆς Ἱερουσαλὴμ ἐπὶ τὴν Βαβυλῶνα. λέγει δὲ ὅτι καὶ ἀριθμὸν νικῶσιν οἱ δυσμενεῖς, καὶ δυνασεία περίκεινται, καὶ ἀπεχθάνονται πρός με, αἰτίαν ἐμοῦ τοῦ μίσους ἀ δεδωκότος. ἀ ἐχ ἥρπαζον, τότε ἀπετίνυον. ὧν ἐκ ἠδίκησα, δίκας εἰσπράττομαι· ἀ γὰρ ὡς ἥρπαξ, ἢ ἀδικήσας, φησὶν ὁ λαὸς, ταῦτα ἐξηνδραπόδισμαι παρ' αὐτῶν. ς'. Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μὲ· καὶ αἱ πλημμέλειαί μὲ ἀπό σου οὐκ ἀπεκρύβησαν. Πάντα Δέσποτα σὺ γινώσκεις, καὶ λελησθέ σε γινομένων ἀδέν. οἶδας τοιγαροῦν, ὡς εἰς ἐκείνους μὲν ἀδὲν ἐπλημμέλησα· τοὺς δὲ σοὺς παραβέβηκα νόμους. τούτῳ ἔοικε τὸ, σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σε ἐποίησα. ζ'. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε Κύριε, Κύριε τῶν δυνάμεων· Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε ὁ Θεὸς τοῦ Ἰσραήλ. Μὴ γένωμαί φησι βλάβης τοῖς ἄλλοις ἀρχέτυπον, προσμένας μὲν τὴν παρά σε σωτηρίαν, διαμαρτὼν δὲ τῆς ἐλπίδος σε· ἀλλὰ μαθέτωσαν διὰ τῶν περὶ ἐμὲ γενομένων, οἱ τὴν σὴν ἔχοντες γνῶσιν, ὡς τῶν ἐλπιζόντων εἰς σε σωτηρίας, καὶ ἐκ αἰσχύνης ὑπάρχεις καιρός. η'. Ὅτι ἕνεκά σε ὑπήνεγκα ὀνειδισμόν· ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Αἰσχύνης ἀναπίμπλαμαι τὰ σὰ ὀνείδη δεχόμενος· ἐπικερτομοῦσι γάρ με συνεχῶς οἱ πολέμιοι, σὴν ἀθένειαν τὴν ἐμὴν δωλείαν ἀποκαλοῦντες. θ'. Ἀλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ἀπαριθμεῖται τῆς ἀχθηδόνος τὰς ἀφορμὰς, διεγείρων εἰς ἔλεον τὸν Φιλάνθρωπον Θεόν· καὶ πρότερον μὲν τέθεικε τῶν δυσσεβῶν τὰ ὀνείδη, εἶτα τῶν συγγενῶν καὶ συνήθων τὸν χωρισμόν. ὡς δωρεάλωτοι γὰρ, καὶ δωλεύειν ἠναγκασμένοι, κατὰ συγγενείας οὐ συνεχωρεῖντο διάγειν. ι'. Ὅτι ὁ ζῆλος τοῦ οἴκε σε κατέφαγέ με· καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἔπεσον ἐπ' ἐμέ. Οὐχ ἥκιστα δέ με ἀνιᾷ καὶ ἀλγύνει τὸ ἁγίε σε οἴκε ἡ ἐρημία, καὶ τῶν δυσσεβούντων ὁ γέλως· οὐ

γὰρ

γὰρ τῇ ἐμῇ πλημμελείᾳ, τῇ δὲ σῇ ἀληθείᾳ, τὰ εἰς ἐκεῖνον γεγενημένα λογίζονται· διόπερ ταῖς κατά σε βλασφημίαις κεντοῦμαι, ὡς τούτων γενόμενος πρόξενος. τὸ μέν τοι κατέφαγέ με, κατηνάλωσέ με εἴρηκεν ὁ Σύμμαχος. ιά. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμούς ἐμοί. ιβ. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Ἐπὶ τούτοις ἀνιῶμαι, καὶ νηστείᾳ κατατήκω τὸ σῶμα. ἀλλὰ καὶ τοῦτο πρόφασις ἐκείνοις ἐγένετο γέλωτος. τρύχω δὲ ἐμαυτὸν, καὶ τῇ τοῦ σάκκου περιβολῇ τὸ πένθιμον περικείμενος σχῆμα. καὶ τοῦτο μέν τοι κωμῳδίας ἔλαβον ἀφορμὴν οἱ παράνομοι. ιγ. Κατ' ἐμοῦ ᾐδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Καὶ ἐν συλλόγοις, φησὶ, καὶ ἐν συμποσίοις, τὰ ἐμὰ θρυλοῦσι καὶ κωμῳδοῦσι κακά. πάλαι γὰρ παρὰ τὰς πύλας τοῖς συνεδρίοις ἐχρῶντο. ιδ. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σε Κύριε. Ὁ δὲ Σύμμαχος οὕτως· ἐμοῦ δὲ ἡ προσευχή σοι Κύριε. τούτων, φησὶ, γινομένων, ἐγὼ πρός σε τείνω τὸ ὄμμα, καὶ τὴν παρά σε προσμένω βοήθειαν. καιρὸς εὐδοκίας, ὁ Θεός. ὁ δὲ Σύμμαχος οὕτως, καιρὸς διαλλαγῆς ὁ Θεός· ἱκανή φησι ἡ ἐπενεχθεῖσά μοι τιμωρία· καιρὸς ταύτην λυθῆναι, καὶ τὴν σὴν Φιλανθρωπίαν ἀναφανῆναι· εὐδοκίαν γὰρ, τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ καλεῖ. ἐν τῷ πλήθει τοῦ ἐλέους σε ἐπάκουσόν μου· ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. μὴ τοῖς ἐμοῖς πλημμελήμασι μετρήσῃς τὴν τιμωρίαν, ἀλλὰ τῷ ἀμετρήτῳ τῆς σῆς Φιλανθρωπίας ἐλέῳ· χρῆσαι δὲ τῇ ἀληθῇ καὶ δικαίᾳ σου ψήφῳ κατὰ τῶν εἰς ἐμὲ τοσαῦτα δρώντων κακά. εἶτα τροπικῶς πάλιν ἀπαριθμεῖται τὰς συμφορὰς, ἀνακινεῖν πειρώμενος τῇ διηγήσει τὸν ἔλεον. ιε. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ἔοικα τοῖς εἰς βόθρον τελματώδη πίπτουσι, καὶ θάνατον ὑπομένουσι· διὸ παρά σου τὴν σωτηρίαν αἰτῶ. ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. αἰτῶ δὲ ἀπαλλαγῆναι καὶ τῶν πολεμίων, καὶ τῶν ὑπὸ τούτων ἐναγομένων κακῶν. βάθος γὰρ ὑδάτων, τὰς ὑπ' ἐκείνων ἐπαγομένας ἐκάλεσε τιμωρίας. ις. Μή με καταπεντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός. Μὴ γένωμαί φησι τῷ πλήθει καὶ τῷ μεγέθει τῶν κακῶν ὑποβρύχιος. μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. μὴ ἀπαγορεύσῃς, φησὶ, Δέσποτα τὴν ἐμὴν σωτηρίαν· μηδὲ κλείσῃς μοι τῆς Φιλανθρωπίας τὴν θύραν. οἱ γὰρ εἰς φρέαρ ἐμπίπτοντες, ἀνεωγότος μὲν ἔχουσι τοῦ στόματός τινα μικρὰν ἐλπίδα τῆς ἐκεῖθεν ἀπαλλαγῆς· ἐμφραγέντος δὲ καὶ τούτου, τὴν σωτηρίαν ἀπαγορεύουσιν. ιζ. Εἰσάκουσόν μου Κύριε· ὅτι χρηστὸν τὸ ἔλεός σε· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Διὰ τὴν σὴν Φιλανθρωπίαν, οὐ διὰ τὴν ἐμὴν ἀξίαν, ὧν ἀφηγησάμην κακῶν τὴν ἀπαλλαγὴν ἐπάγαγε. βλέπε με τοίνυν περικλυζόμενον τοῖς κακοῖς, καὶ λῦσον τὰς συμφοράς. ἀρκεῖ γάρ σου καὶ μόνον ἡ ἐπιφάνεια, σκεδάσαι τὸ νέφος τῶν λυπηρῶν. ιή. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός

δός σου. Τοῦτο γὰρ ἔθος τοῖς ὀργιζομένοις ποιεῖν, ἀποσειομένοις τῶν ἡμαρτηκότων τὰς ἱκετείας. ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. διὰ τὴν τῆς ὀδύνης ὑπερβολήν, ταχεῖαν μοι παράσχου παραψυχήν. ιθ'. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ἀρκεῖς γὰρ καὶ μόνῃ τῇ θέᾳ διαλῦσαι τὰ σκυθρωπά. ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. ὑπερβαίνει μὲν συγγνώμην τὰ ἐμὰ πλημμελήματα· ἀλλὰ δυσσεβεῖς οἱ πολέμιοι, καὶ πονηρίᾳ δουλεύοντες. διὰ γὲν τὰ παρ' ἐκείνων ὀνείδη, τῆς σῆς μοι μετάδος Δέσποτα φιλανθρωπίας. τοῦτο γὰρ καὶ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. κ'. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου· καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. καὶ. Ἐναντίον σου πάντες οἱ θλίβοντές με. Οὐδέν σε λέληθε τῶν γινομένων· ἀλλὰ πάντα ὁρᾷς· καὶ τὰ ἐκείνων ὀνείδη, καὶ τὴν ἐμὴν αἰσχύνην· καταδύομαι γὰρ καὶ ἀνιῶμαι ἅμα παρ' ἐκείνων ὀνειδιζόμενος. ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. τοσαύτας γὰρ πανταχόθεν ὀδύνας βαλλόμενος, καὶ ἕτερα δὲ προσμένων ἀνιαρώτερα, ἐδεμίαν ἔχω παραψυχήν. ἀλλ' οἱ μὲν ἀνιῶντες νικῶσι τὸν ἀριθμόν· ὁ δὲ ψυχαγωγῶν, καὶ τῇ κοινωνίᾳ τῆς λύπης κουφοτέραν τὴν ἀθυμίαν ποιῶν, ἐκ ἔστι. κβ'. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά με χολήν· καὶ εἰς τὴν δίψαν με ἐπότισάν με ὄξος. Καὶ αὐτήν μοι, φησὶ, τὴν τροφὴν πικρὰν καὶ ἀνιαρὰν κατεσκεύασαν· ἀνήδονος γὰρ τοῖς μετ' ὀδύνης ἐθίουσι καὶ ἡδίστη τροφή. κγ'. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. Καὶ τὴν αὐτῶν τοίνυν εὐφροσύνην εἰς συμφορὰς μετάβαλε Δέσποτα· καὶ οἷς ἔδρασαν περιπέσοιεν· τράπεζαν γὰρ τὴν εὐφροσύνην ἐκάλεσε· τὰς δὲ τιμωρίας, παγίδα· ἔτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· γένοιτο ἡ τράπεζα αὐτῶν ἔμπροσθεν αὐτῶν εἰς παγίδα, καὶ εἰς τιμωρίαν, ὥστε συλληφθῆναι. κδ'. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν. Ἐπάγαγε αὐτοῖς τὸ ζοφῶδες νέφος τῶν συμφορῶν. καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. δουλείαν αὐτῶν κατάψηφισαι Δέσποτα· ἵνα οἷς ποιῶσι περιπέσωσιν, εἰς ἐπίπονον ἐργασίαν συγκεκυφότες ἀεί. κε'. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου· καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Πᾶσαν αὐτοῖς φησὶν ἐπάφες τὴν τῆς τιμωρίας ὀργὴν, καὶ ταχεῖαν καὶ διαρκῆ ἐπάγαγε συμφοράν. διὰ γὰρ τοῦ θυμοῦ, τὸ ταχὺ δεδήλωκε· τοιοῦτος γὰρ ὁ θυμός. διὰ δὲ τῆς ὀργῆς, τὸ ἐπίμονον· τοιαύτη γὰρ ἡ τῆς ὀργῆς Φύσις. ὁ γὰρ θυμὸς, ὀξύς ἐστι καὶ ὀλιγοχρόνιος· ἡ δὲ ὀργὴ, βραδυτέρα μὲν, μονιμωτέρα δέ. θυμὸν τοίνυν ὀργῆς, τὴν ὀξεῖαν καὶ ἐπίμονον ἐκάλεσε τιμωρίαν. κς'. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη· καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Διὰ πάντων δὲ τὴν δικαίαν ψῆφον αἰτεῖ· καὶ οἷς δεδράκασιν, ὑποβληθῆναι αὐτὸς ἱκετεύει. ἐπειδὴ γὰρ καὶ τὴν Ἱερουσαλὴμ, καὶ τὰς ἄλλας τῆς Ἰουδαίας πόλεις πορθήσαντες, ἐρήμους ἀπέφηναν „ οἱ Χαλδαῖοι, „

ταῦτα

ταῦτα παθεῖν καὶ τὴν αὐτῶν ἱκετεύει πατρίδα· καὶ τετύχηκε τῆς αἰτήσεως. ἔρημος γὰρ καὶ γέγονε καὶ μεμένηκεν ἡ Βαβυλὼν, μέχρι καὶ τήμερον· εἰδέναι μέν τοι προσήκει, ὡς ἅπερ ἠτήσαν Ἰουδαῖοι Βαβυλωνίας παθεῖν, δυσσεβείας καὶ πονηρίας κατ' αὐτῶν κεχρημένας, ταῦτα πεπόνθασιν αὐτοὶ, κατὰ τὸ εὐεργέτε καὶ σωτῆρος λυττήσαντες. Βαβυλώνιοι μὲν γὰρ αὐτοῖς πικρὰν εἰργάσαντο τὴν τροφήν· ἃ τοιαύτην αὐτοῖς δεδωκότες τροφήν· ἀλλὰ τῇ ἐπιπόνῳ δηλείᾳ τὴν ἔμφυτον τῆς τροφῆς ἡδονὴν ἀφελόμενοι. Ἰουδαῖοι δὲ ἐκ ἀδικέμενοι, ἀλλὰ παντοδαπὰς εὐεργεσίας δεχόμενοι, αὐτῷ τῷ εὐεργέτῃ προσήνεγκαν τὴν χολὴν, καὶ αὐτὸ τὸ ὄξος, οἷον τις ἀμπελὼν ἐπιζήμιος· ἃ δὴ χάριν, ταῖς αὐταῖς ὑπεβλήθησαν τιμωρίαις, καὶ ἐγένετο ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. ἀντὶ γὰρ τῆς προτέρας εὐκληρίας, δηλείαν κατεψηφίθησαν· καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτῶν ἐσκοτίθησαν, ἰδεῖν τὸ ἀληθινὸν ἐκ ἀναχόμενοι φῶς. καὶ ὁ νῶτος δὲ αὐτῶν διηνεκῶς τῇ δηλείᾳ καὶ τῇ πενίᾳ συγκέκαμπται, διὰ τὸν γαῦρον αὐχένα, καὶ τὸν σκληρὸν αὐτῶν τράχηλον· καὶ ἡ ἔπαυλις αὐτῶν ἐγένετο ἔρημος, καὶ ἐν τοῖς τῆς Ἱερουσαλὴμ σκηνώμασιν οἰδεὶς αὐτῶν κατοικεῖ. ταῖς οἰκείαις τοίνυν ἀραῖς ὑπεβλήθησαν· καὶ ἃ τοῖς Βαβυλωνίοις ἐπηράσαντο ἀδικέμενοι, ταῦτα πεπόνθασιν ἀδικήσαντες, καὶ ἀχάριστοι περὶ τὸν εὐεργέτην γενόμενοι· τέτου χάριν καὶ οἱ θεῖοι ἀπόστολοι ταῖς ἐντεῦθεν ἐχρήσαντο μαρτυρίαις, τῆς προφητείας τὸ διπλῆν ἐπισάμενοι· ἀλλ' ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας βαδίσωμεν. κζ'. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν· καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μὲ προσέθηκαν. Σὺ μὲν γάρ φησι δίκας με τῆς παρανομίας εἰσπραττόμενος, οἷον τισι δημίοις παρέδωκας τέτοις· ἔτοι δὲ, πλείοσί με, ἢ προσέταξας, κακοῖς περιέβαλον· καὶ ἐπήυξησάν μοι τὴν διὰ τὴν ἁμαρτίαν ὀδύνην· ταύτην αὐτῶν καὶ ὁ τῶν ὅλων Θεὸς κατηγορεῖ τὴν ὠμότητα, καί φησιν, ἐγὼ αὐτὸς παρέδωκα εἰς τὰς χεῖράς σε, σὺ δὲ ἐκ ἔδωκας αὐτοῖς ἔλεον· καὶ τῷ πρεσβύτερῳ ἐβάρυνας τὸν ζυγὸν, καὶ νεώτερον ἐκ ἠλέησας. κή. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ. Τὴν διὰ τὴν ἁμαρτίαν ἐπαγομένην τιμωρίαν ἀνομίαν ἐκάλεσεν· ἀντὶ τῷ, ἐπίθες αὐτοῖς ἀνόμως ζῶσι τιμωρίαν ἀξίαν· καὶ μὴ τύχωσιν ἀγαθῶν ἃ τοῖς δικαίοις ἔωθας ἀπονέμειν. κθ'. Ἐξαλειφθήτωσαν ἐκ βίβλε ζώντων· ἢ μᾶλλα δικαίων μὴ γραφήτωσαν. Τέτοις ἔοικε τὸ, ἐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· τέτων μέν τοι τῶν βίβλων μέμνηται Δανιήλ· κριτήριον γάρ φησιν ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν· ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὧν τοῖς ἀνακειμένοις σοι δίδως, μὴ μεταλάχοιεν ἔτοι· μηδὲ τύχοιεν ἀνακλήσεως, ἧς ἡμεῖς, φησὶ, διὰ τὴν σὴν Φιλανθρωπίαν τευξόμεθα. λ'. Πτωχὸς καὶ ἀλγῶν εἰμὶ ἐγώ· ἡ σωτηρία τῷ προσώπε σε ὁ Θεὸς ἀντελάβετό με. Ἐντεῦθεν λοιπὸν τὴν ἀλλοίωσιν τῶν πραγμάτων προλέγει· καὶ τὴν τῆς δη-

λείας λύσιν, καὶ τὴν τῶν δορυαλώτων ἐπάνοδον. διὰ τοῦτο καὶ εἰς τὸ τέλος ὁ ψαλμὸς ἐπιγέγραπται τοῖς ἀλλοιωθησομένοις· δύο γὰρ ἐδέξαντο ἐναντίας μεταβολάς· μεταμέλειαν γὰρ ἐν Βαβυλῶνι χρησάμενοι τὴν προτέραν ἐλευθερίαν ἀπέλαβον· μετὰ δὲ ταῦτα κατὰ τοῦ Δεσπότου λυτλήσαντες, παντελεῖ δουλείᾳ κατεδικάσθησαν. ἀμφότερα τοίνυν προλέγει ὁ παρὼν ψαλμός· τόδε πλωχὸς καὶ ἀλγῶν εἰμὶ, τοῦτο σημαίνει· ἐν πλωχείᾳ με, φησὶν, ἰδὼν, καὶ ἐν πολλαῖς ὀδύναις ἐξεταζόμενον, τῆς σῆς σωτηρίας ἠξίωσας· τοῦτο δὴ χάριν, λαός. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. Οὐκ ἔσομαι περὶ τὰς εὐεργεσίας ἀγνώμων· ἀλλ' ἀμείψομαι τοῖς ὕμνοις τὰς χάριτας, τῇ διηγήσει τῶν εὐεργεσιῶν τὸ μέγεθος αὐτοῦ τοῖς ἀγνοοῦσι δεικνύς. λβ. Καὶ ἀρέσει τῷ Θεῷ μου, ὑπὲρ μόχλον νέον κέρατα ἐκφέροντα, καὶ ὁπλάς. Θυμηρεστέρα δὲ αὐτῷ ἔσαι τῆς αἰνέσεως ἡ θυσία μόχλῳ νέῳ καὶ πίονος, ἄρτι μὲν τὰς χηλὰς, ἄρτι δὲ προβαλλομένου τὰ κέρατα. θρηνῆσαι ἄξιον τὴν Ἰουδαίων παρανομίαν, συνιδεῖν δὲ βουλομένων τῆς νομικῆς λατρείας τὸ νηπιῶδες· καί τοι τῶν ἐν Βαβυλῶνι δορυαλώτων, ὑμνεῖν τὸν Θεὸν μετὰ τὴν ἐπάνοδον ὑπισχνουμένων, ἐ θυσίας ἱερατεύειν, ὡς τῆς ὑμνῳδίας θυμηρεστέρας ἔσης Θεῷ. ἀλλὰ τὴν μὲν τότων κατηγορίαν ἐπὶ τὸ παρόντος ἐάσωμεν· ἐπὶ δὲ τὴν ἑρμηνείαν βαδίσωμεν. λγ. Ἰδέτωσαν πλωχοὶ, καὶ εὐφρανθήτωσαν. Ἅπαντες φησὶν οἱ τοῖς ὁμοίοις κακοῖς περιπίπτοντες, ἐλπίδος ἀγαθῆς παρ' ἡμῶν λαβέτωσαν πρόφασιν. ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. πρὸς τοῦτοις παραινεῖ διὰ τῆς εἰς Θεὸν ἐλπίδος καὶ προσευχῆς τὴν σωτηρίαν λαβεῖν. λδ. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος· καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξεδένωσεν. Ἐδέξατο γὰρ ἡμῶν τὴν δέησιν, τὴν πενίαν ἰδών· καὶ ἔλυσε τὰ τῆς δουλείας δεσμά. πεπεδημένους δὲ αὐτοὺς κέκληκεν, ἐπειδὴ αὐτὸς αὐτοὺς εἰς δουλείαν ἐξέδωκεν. λέ. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ· θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ. Ἅπασάν φησι τὴν κτίσιν εἰς κοινωνίαν τῆς ὑμνῳδίας καλῶ. οὐ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία γλῶττα τὰς θείας διηγήσασθαι χάριτας. λϛ. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Τοῦτον δὲ αὐτῷ προσφέρω τὸν ὕμνον, λαμπρὰν ὁρῶν καὶ περιφανῆ τὴν Σιών· καὶ τὰς τῆς Ἰουδαίας πόλεις τὰς νῦν ἐρήμους, τὴν προτέραν εὐημερίαν ἀπολαβούσας. ἔτω τὴν νευρίαν τῶν πόλεων προθεσπίσας, προαγορεύει καὶ τῶν οἰκητόρων τὸ πλῆθος. καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. οἱ νῦν, φησὶν, αἰχμάλωτοι, τῆς ἐπανόδου τυχόντες, καὶ τὰς οἰκείας οἰκοδομήσουσι πόλεις, καὶ κατοικήσουσιν ἐν αὐταῖς· οὐκ αὐτοὶ δὲ μόνοι· ἀλλὰ καὶ οἱ τούτων παῖδες, καὶ οἱ ἔκγονοι. τοῦτο γὰρ ἐπήγαγε. λϛ. Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν. Ἐπειδὴ δὲ τῆς κατὰ τοῦ σωτῆρος ἕνεκα μανίας τὴν παντελῆ πανωλεθρίαν ἔμελλον ὑπομένειν, εἰκότως τὸ ἀκροτελεύτιον τῷ ψαλμῷ τοιοῦτον ἐπιτέθεικε. καὶ οἱ ἀγα-

ἀγαπῶντες τὸ ὄνομά σε κατασκηνώσουσιν ἐν αὐτῇ. ὃ γὰρ πάντες „κατὰ „τὸν θεῖον ἀπόστολον„ οἱ ἐξ Ἰσραὴλ, ἔτοι Ἰσραὴλ· ἐδὲ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα. συμφωνεῖ δὲ τούτοις, καὶ τὰ προφητικὰ ῥήματα· ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ· καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σε κατασκηνώσουσιν ἐν αὐτῇ· μετὰ γὰρ τὸν σαυρὸν, καὶ τὴν λύτλαν ἐκείνην, ἐζηλάθησαν μὲν οἱ κύνες ἐκεῖνοι· οἱ δὲ ἀγαπῶντες αὐτὸν, ἐν τῇ Σιὼν κατεσκήνωσαν, τὴν τῆς αἰνέσεως αὐτῷ θυσίαν προσφέροντες.

ΕΡΜΗΝ. ΤΟΥ ξθ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, τῷ Δαβὶδ, εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον. Τοῦτο δὲ ἐν ἐνίοις ἀντιγράφοις εὗρον· ἔτε δὲ παρὰ τῷ Ἑβραίῳ, ἔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς· συμβαίνει δὲ ὅμως τῇ τοῦ ψαλμοῦ διανοίᾳ· σωτηρίαν γὰρ ὁ προφήτης αἰτεῖ, καὶ τῶν πολεμούντων ἀπαλλαγήν. εἴρηκε δὲ τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ, ὑπὸ τοῦ Ἀβεσσαλὼμ διωκόμενος· εἰκότως δὲ καὶ τὸ εἰς ἀνάμνησιν τῇ ἐπιγραφῇ πρόσκειται· ἡ γὰρ μνήμη τῆς ἁμαρτίας, αὐτὸν ἐκέντει τῶν πολεμίων σφοδρότερον· διόπερ βοᾷ· β'. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Πολλαῖς, φησὶ, καὶ παντοδαπαῖς περικλύζομαι συμφοραῖς· ἓ δὴ χάριν, ταχεῖαν αἰτῶ παραχεθῆναί μοι τὴν βοήθειαν. γ'. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Διαμάρτοιεν φησιν οἱ τῆς ἐμῆς σφαγῆς ἐφιέμενοι, καὶ τὴν ἐντεῦθεν αἰσχύνην καρπώσαιντο. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω· καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. „ἀντὶ τοῦ ἐ μόνον „τῇ γῇ παραδοθήσονται, ἀλλὰ καὶ μετ' „αἰσχύνης τόνδε τὸν βίον ὑπεξέλθωσιν οἱ „κατατυρεύσαντες κατὰ τῶν εὐσε„βῶς βιοτευόντων τὰ δεινά· τοῦτο γὰρ „καὶ διὰ τῶν ἑξῆς λέγει.„ δ'. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι εὖγε, εὖγε. Πρὸς δὲ τούτοις, καὶ οἱ τοῖς ἐμοῖς κακοῖς ἐφηδόμενοι, τράποιντο εἰς φυγὴν μετ' αἰσχύνης, τὴν ἐμὴν ὁρῶντες μεταβολήν. ε'. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπί σοι πάντες οἱ ζητοῦντές σε ὁ Θεός· καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Θεός, ἀγαπῶντες τὸ σωτήριόν σου. Τὸ Κύριος δὲ κεῖται ἐν τῷ Ἑξαπλῷ· θυμηδίας ἀπάσης, φησὶ, τοὺς σοὺς ἔμπλησον ἐραστάς· ἵνα σε τὰς εὐεργεσίας ὑμνοῦντες χορεύσωσιν. ς'. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεὸς βοήθησόν μοι. Ἀντὶ τοῦ, τῆς τῶν προειρημένων δικαιοσύνης ἐξέρημαι, καὶ πτωχείᾳ συζῶν τῆς ἀρετῆς ἐκ ἔχω τὸν πλοῦτον. Βοηθός με καὶ ῥύστης μου εἶ σύ. τῆς σῆς γὰρ προμηθείας τετύχηκα. Κύριε μὴ χρονίσῃς. ἐπάρκεσον ὅτι τάχιστα, καὶ μὴ ἀναβάλῃ τὴν αἴτησιν. „περὶ τούτου „γὰρ οὐ μόνον ὁ Δαβὶδ ἀντιβολεῖ, ἀλ„λὰ καὶ ἅπας ὁ τῶν ἁγίων χορός.„

ΕΡΜΗΝ. ΤΟΥ ὁ΄ ΨΑΛΜΟΥ.

Τῷ Δαβὶδ ψαλμός· τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὡμολόγησε καὶ αὐτὸς ὁ τὴν ἐπιγραφὴν ποιησάμενος, μὴ εὑρηκέναι ταύτην παρὰ τῷ Ἑβραίῳ, ἀλλ' αὐτὸς αὐτὴν τεθεικέναι· ἰστέον μέν τοι, ὡς ἐν τῇ Ἰωναδὰβ υἱοὶ οἱ πρῶτοι ἠχμαλωτίσθησαν· ὁ γὰρ μακάριος Ἱερεμίας οἶνον αὐτοῖς προσενέγκαι ὑπὸ τῆ Θεῆ προσετάχθη, εἰς ἔλεγχον τῆς Ἰουδαίων παρανομίας· ἐκείνων δὲ πιεῖν μὴ βουληθέντων διὰ τὰς τῶν προγόνων ὑποθήκας, κατηγόρησε λοιπὸν τῆς Ἰουδαίων ἀπειθείας ὁ προφήτης· ὡς ἐκείνων ἀνθρωπίνας ἐντολὰς φυλαττόντων· τούτων δὲ τὰς θείας παραβαινόντων νομοθεσίας. εἴρηται δὲ ὁ ψαλμὸς ἐκ προσώπου τῶν εἰς Βαβυλῶνα μεταναστάντων, τῆς ἐπανόδου γλιχομένων, καὶ τὴν τῆς δουλείας ποθούντων ἀπαλλαγήν· γέγραφε δὲ αὐτὸν ὁ μακάριος Δαβὶδ, τῷ τῶν εὐσεβεστέρων τάγματι προσαρμόσας τοὺς λόγους. „καὶ μάλιστα τοῖς „υἱοῖς τῆς χάριτος προλέγει ἀπαλλατ„τομένοις τῆς τῶν εἰδώλων μυσαρᾶς δου„λείας, Χριστῷ δὲ τῷ Θεῷ πιστεύουσιν „καὶ τὴν παρ' αὐτοῦ δεχομένοις προμή„θειαν.„ α΄. Ἐπί σοι Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μὴ διαμάρτω, φησὶ, τῆς ἐλπίδος, τὴν σὴν προσμένων ἐπικουρίαν· μηδὲ ἐπὶ πλεῖστον ἐπονείδιστος γένωμαι. „ἐκεῖνοι μὲν „περὶ τῶν ἀνδραποδισάντων αὐτοὺς, οὗ„τοι δὲ περὶ τῶν πονηρῶν δαιμόνων ταύ„την τὴν ἱκετείαν προσφέρουσιν.„ β΄. Ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, καὶ ἐξελοῦ με. Κρῖναί σε παρακαλῶ Βαβυλωνίοις κάμοί· καὶ δικαίως κατ' ἐκείνων τὴν ψῆφον ἐξενεγκεῖν· οὕτω γὰρ κἀγὼ τῆς ἐκείνων δουλείας ἀπαλλαγήσομαι. Κλῖνον πρός με τὸ ὦς σου, καὶ σῶσόν με. γ΄. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Σὲ πρόμαχον ἔχω, καὶ περίβολον ὀχυρὸν, καὶ ἕρυμα ἀσφαλές· εὐμενῶς μου τοίνυν δέξαι τὴν ἱκετείαν. „καθάπερ δὲ ἀνω„τέρω εἰρήκαμεν, ἐξ ἀμφοτέρων τῶν „ἄλλων εἴρηται ταῦτα, καὶ τῶν ἐφεξῆς „μέχρι τοῦ παρόντος καὶ παντὸς τοῦ „βίου ἐκκλινόντων ἀπὸ κακοῦ, καὶ τοῖς „ἀγαθοῖς κολλωμένων· τοῦτο γὰρ θέλει „εἰπεῖν διὰ τῶν ἑξῆς.„ δ΄. Ὁ Θεός μου ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος. Ἱκετεύω σε Δέσποτα τῆς τῶν πονηρίᾳ καὶ δυσσεβείᾳ συζώντων ἐλευθερῶσαί με δυναστείας. ε΄. Ὅτι σὺ ἡ ὑπομονή μου, Κύριε, Κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. „Ὁ μὲν πρῶ„τος λαὸς„ Νεότητα καλεῖ τὸν ἐπὶ τοῦ μεγάλου Μωσέως χρόνον, ὅτε καὶ τῆς ἐλευθερίας ἀπήλαυσαν, ἐπὶ πλεῖστον Αἰγυπτίοις δεδουλευκότες χρόνον. ἐξ ἐκείνου, φησὶν, εἰς σὲ τὰς ἐλπίδας ἔχον, καὶ τὴν σὴν προσμένω βοήθειαν. „ὁ δὲ νέος λαὸς νεότητα λέγει ἣν τε„τύχηκε νεουργίας διὰ τῆς τῶ λουτροῦ „παλιγγενεσίας.„ ς΄. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός· ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Γέννησιν καὶ τόκον καλεῖ τὴν ἐξ Αἰγύ-

πτου

πλοῦ ἔξοδον· τοῦτο δὲ καὶ ὁ τῶν ὅλων Θεὸς διὰ τῦ θειοτάτου Ἰεζεκιὴλ διδάσκει. διελέγχων γὰρ τῆς Ἱερουσαλὴμ τὴν ἀσέβειαν, εἶτα εἰρηκώς· ὁ πατήρ σου Ἀμορῥαῖος, καὶ ἡ μήτηρ σου Χεττταία, ἐπήγαγεν· ἡ ἡμέρα ἐτέχθης, ὁ ὀμφαλός σου οὐ περιετμήθη, καὶ ἁλὶ οὐχ ἡλίσθης, καὶ ὕδατι οὐκ ἐλούσω εἰς σωτηρίαν· ἐπειδὴ γὰρ ὁ ὀμφαλὸς οἷόν τις ῥίζα βρέφους ἐστὶ· δι' ἐκείνου γὰρ αὔξεται καὶ τρέφεται· ὁ δὲ Ἰσραὴλ, καὶ μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον, ἔμφυτον ἔχε τὴν Αἰγυπτίων ἀσέβειαν, εἰκότως ἔφη· ὁ ὀμφαλός σου οὐ περιετμήθη· ὅτι Φησὶν ἐκ τῆς μητρῴας νηδύος τὴν τροφὴν ἔλκεις, καὶ τοῖς προτέροις ἐπιμένεις ἐπιτηδεύμασιν· ἡ τῶν εὐσεβεστέρων τοίνυν συμμορία τὸν Θεὸν ἱκετεύσασα λέγει· ὅτι ἄνωθεν, καὶ ἐξ ἀρχῆς, τὴν σὴν ἔχον ἐλπίδα. ἐν σοὶ ἡ ὑμνησίς μου διαπαντός. σὲ ὑμνῶν καὶ δοξάζων διατελῶ, καὶ διὰ τῆς σῆς προνοίας ἐγενόμην περίβλεπτος. ζ'. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς. Ἀλλὰ μετ' ἐκείνην τὴν περιφάνειαν, πολλὴν ἐδεξάμην τὴν μεταβολήν· ὡς τέρας τι καὶ σημεῖον τοῖς πολλοῖς νομισθῆναι τὰ κατ' ἐμέ. καὶ σὺ βοηθός μου κραταιός. ἀλλ' ὅμως ἐγὼ τὴν σὴν προσμένω βοήθειαν. η'. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως· ὅπως ὑμνήσω τὴν δόξαν σε, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Μεταβαλὼν τοίνυν τὴν ἐπικειμένην μοι δυσκληρίαν, κίνησον εἰς ὑμνῳδίαν τὴν γλῶτταν· ὅπως ἂν ἀεί σοι τὸν ὕμνον προσφέροιμι. τὸ γὰρ ὅλην τὴν ἡμέραν, καθ' ἑκάστην ἡμέραν ὁ Σύμμαχος εἶπε. θ'. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με. Ἧς ἐν νεότητι προνοίας ἀπέλαβον, ἀπολαῦσαι καὶ νῦν ἱκετεύω· καὶ μὴ γυμνωθῆναι τῆς σῆς κηδεμονίας ἐν αὐτῷ τῷ γήρᾳ παρακαλῶ· ἐπειδὴ γὰρ νεότητα τὴν ἐξ Αἰγύπτου προσηγόρευσεν ἔξοδον, γῆρας ἐκάλεσε τὸν τῆς αἰχμαλωσίας καιρόν· ὡς πλείστου χρόνου διαδραμόντος ἐν μέσῳ. ι'. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοὶ, καὶ οἱ Φυλάσσοντες τὴν ψυχήν μου, ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ, ια'. Λέγοντες, ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ἅπαντές Φησιν οἱ δυσμενεῖς τοῖς ἐμοῖς ἐπεμβαίνουσι συμφοραῖς, καὶ παντοδαποῖς κακοῖς περιβάλλουσιν, ἔρημόν με τῆς σῆς κηδεμονίας ὁρῶντες, καὶ τοπάζοντές με παντελῶς παρεωρᾶσθαι, καὶ μηκέτι τῆς σῆς με τεύξεσθαι προμηθείας. οὐ δὴ χάριν ἀντιβολῶ. ιβ'. Ὁ Θεός μὲ μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου εἰς τὴν βοήθειάν μου πρόσχες. Ταχείαν μοι τὴν σὴν παράσχου ῥοπήν· καὶ μή με πόῤῥω τῆς σῆς καταξήσης κηδεμονίας· μακρυνθῆναι δὲ αὐτοῦ, οὐ τὴν οὐσίαν λέγει τοῦ Θεοῦ· πανταχοῦ γὰρ πάρεστι, καὶ τοῖς πᾶσι παρίσταται· ἀλλὰ τὴν πρόνοιαν, καὶ τὴν τῆς βοηθείας ἐνέργειαν. ιγ'. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου. Ὁ δὲ Σύμμαχος οὕτως· καταισχυνθήτωσαν καὶ ἀναλωθήτωσαν οἱ ἀντικείμενοι τῇ ψυχῇ μου. διαμάρτοιεν τῶν οἰκείων ἐγχειρημάτων, καὶ τὴν ἐντεῦθεν αἰσχύνην καρπώσαιντο· καὶ Φροῦδοι γένοιντο ἀδίκως τὸν ἐμὸν τεκλαι-

γοντες ὁλεθρον. περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι· ἐπονείδιστοι γένοιντο καὶ καταγέλαστοι οἱ παίζοντες με κακοῖς περιβάλλοντες. ιδ'. Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπί σε. Ταῦτα γὰρ ὁρῶν γινόμενα, τῇ εἰς σὲ ἐλπίδι βεβαιωθήσομαι. καὶ προθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. καὶ πολλαπλασίαν σοι προσοίσω τὴν ὑμνῳδίαν. ιε'. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου· ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σε. Οὐ παύσομαι τὴν δικαίαν σου ταύτην διηγούμενος ψῆφον· καὶ διδάσκων ἅπαντας, ὅπως ἐμοὶ καὶ τοῖς πολεμίοις δικάσας, τῆς ἐκείνων δουλείας ἀπήλλαξας. Ὅτι οὐκ ἔγνων γραμματείας, ις'. Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου. Ὁ δὲ Σύμμαχος οὕτως· οὐ γὰρ οἶδα ἐξαριθμῆσαι· ἐλεύσομαι ἐν δυναστείᾳ Κυρίου. ἐπειδὴ ὑπέσχετο διηγεῖσθαι τοῦ Θεοῦ τὴν δικαιοσύνην, καὶ τὴν εἰς αὐτὸν γεγενημένην σωτηρίαν, μείζων δὲ ἡ κεῖσε ἄνθρωπον ὑπόχεσις, εἰκότως ἐπήγαγεν, ὅτι οὐκ οἶδα ἐξαριθμῆσαι. τοῦτο καὶ ἐν τῷ λθ' ψαλμῷ ὁ μακάριος ἔφη Δαβίδ· εἰρηκὼς γάρ, πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμάσιά σε, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι, ἐπήγαγεν· ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. τοῦτο καὶ ἐνταῦθα φησιν, ὅτι οὐκ οἶδα ἀριθμῆσαι· τὰς γὰρ τοιαύτας γραφάς τε καὶ μαθήσεις ἡ ἐμὴ οὐκ ἐδέξατο Φύσις. εἰσελεύσομαι δὲ ὅμως ἐν δυναστείᾳ Κυρίου, καὶ ὡς δυνατὸν ἀνθρωπείᾳ Φύσει, τὴν ὑμνῳδίαν ποιήσομαι. Κύριε μνηθήσομαι τῆς δικαιοσύνης σου μόνε. ιζ'. Ὁ Θεός με ἐδίδαξάς με ἐκ νεότητός με. Ὑμνῶ δέ σε Δέσποτα· καὶ τὴν εἰς ἐμὲ γενομένην δικαιοσύνην ὁρῶν, καὶ τῶν σῶν ἐντολῶν μεμνημένος· ταῦτα γάρ με παιδόθεν ἐδίδαξας· καὶ ἐντεῦθεν δῆλον ὡς νεότητα τὸν ἐπὶ τοῦ μεγάλου Μωσῆ χρόνον καλεῖ· δι' ἐκείνου γὰρ ὁ νόμος ἐδόθη. „ὡς καὶ „διὰ τῆς οἰκονομίας τοῦ μονογενοῦς υἱοῦ „τοῦ Θεοῦ ἡ χάρις ἡμῖν τοῖς ἐξ ἐθνῶν „ἐπεφοίτησεν.„ Καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σε. ιή. Καὶ ἕως γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με. Ἐγὼ μὲν τὰς σὰς θαυματουργίας τοὺς ἀγνοοῦντας διδάξω· σὺ δὲ, ὡς ἄνωθέν με κληθεὶς Θεὸς, ἀεί με τῆς σῆς ἀξίου κηδεμονίας. ἕως οὗ ἀπαγγελῶ τὸν βραχίονά σε τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. προφητικῶς ὁ Δαβὶδ τὰ ἐσόμενα προλέγει· καὶ γῆρας καλεῖ τοῦ νόμου τὸ τέλος· τοῦτο δὲ μετὰ τὴν τοῦ Δεσπότου Χριστοῦ γέγονε παρουσίαν. σαφέστερον δὲ ἡμᾶς ὁ μακάριος διδάσκει Παῦλος, περὶ τῆς καινῆς διαλεγόμενος διαθήκης· Φησὶ δὲ οὕτως· ἐν τῷ λέγειν καινὴν πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ· καὶ ἐνταῦθα τοίνυν προφητικῶς τοὺς ἐν Βαβυλῶνι διδάσκει λέγειν· ἕως γήρως καὶ πρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με. εἶτα δεικνὺς ποῖον γῆρας καλεῖ, ἐπήγαγεν· ἕως οὗ ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. Τὴν δυναστείαν σε, ιθ'. Καὶ τὴν δικαιοσύνην σε ὁ Θεός. Γενεὰ δὲ ἡ ἐρχομένη, ἡ μετὰ τὴν ἐνανθρώπησιν τὸ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ· μεθ' ἣν ἡ ἐξ

ἐθνῶν

ἐθνῶν ἐκκλησία συνέξη, ἐξ Ἰουδαίων κήρυκας δεξαμένη τοὺς ἱερεῖς ἀποστόλους. περὶ ταύτης τῆς γενεᾶς καὶ ἐν τῷ εἰκοστῷ καὶ πρώτῳ ψαλμῷ λέγει· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος· ἕτερος τοίνυν λαὸς παρὰ τὸν τῶν Ἰουδαίων λαὸν, οὐ γεγενῆσθαι, ἀλλὰ τεχθήσεσθαι ὁ προφήτης προείρηκεν· λέγει τοίνυν καὶ ἐνταῦθα· μή με ἐγκαταλίπῃς, ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ, τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου· ἔοικε δὲ τῇ τοῦ πατριάρχου Ἰακὼβ προηγορίᾳ, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν. ὁ Θεὸς ἕως τῶν ὑψίστων ἃ ἐποίησάς μοι μεγαλεῖα. ὁ δὲ Ἀκύλας καὶ Σύμμαχος ἔτως· ὁ Θεὸς ἕως ὕψους ἃ ἐποίησας μεγαλεῖα. ἀντὶ τοῦ, ὑψηλὰ καὶ μεγάλα τὰ ὑπό σου γινόμενα Δέσποτα, καὶ ἱκανὰ πεῖσαι πάντας ὕψιστον ὀνομάζειν σε. ὁ Θεός τις ὅμοιός σοι; ἀδύνατα γάρ φησι συγκρῖναί σοι καὶ παραβαλεῖν δυνατόν. ὑπερβάλλεις γὰρ ἅπαντας, καὶ τῇ Φύσει, καὶ τῇ δυνάμει, καὶ πᾶσι τοῖς ἀγαθοῖς· ἐντεῦθεν τὴν ἐπάνοδον προθεσπίζει. κέ. Ὅσους ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς· καὶ ἐπιστρέψας ἐζωοποίησάς με. Παραδές με, φησὶ, παντοδαπαῖς συμφοραῖς διὰ τὰς ὑπ' ἐμοῦ γεγενημένας παρανομίας, πάλιν με εἰς ζωὴν ἐπανήγαγες. καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. ἀναβιώσεώς φησι τινὸς ὑπολαμβάνω τετυχηκέναι· παρὰ δόξαν ἀνθρωπίνην τοσούτων ἀπαλλαγεὶς συμφορῶν. „εἴποι δ' ἄν „τις ταῦτα καὶ ἐκ προσώπου τῆς ἀνθρω„πείας εἰρῆσθαι Φύσεως· ἐκ γὰρ τῶν „ἀβύσσων τῆς γῆς ἀνήγαγε ταύτην ὁ „καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς „γῆς, τέλεσιν ὁ ἐκ Θεοῦ Θεὸς, ὁ διὰ ταύ„την ἐλόμενος καὶ ἄνθρωπος γενέσθαι.„ τοῦτο καὶ διὰ τοῦ Ἰεζεκιὴλ ὁ Θεὸς ἔφη· ὅτι ἀνοίξω τοὺς τάφους ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ Βαβυλῶνος· τέλεσι τὴν ἀνθρωπίνην ἀπόγνωσιν λύσω, καὶ παρὰ τὰς τῶν πολεμίων ἐλπίδας τὴν ἐπάνοδον ὑμῖν δωρήσομαι. κά. Ἐπλεόνασάς ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου· καὶ ἐπιστρέψας παρεκάλεσάς με· καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Ὁ δὲ Σύμμαχος ἔτως· αὐξήσεις τὴν μεγαλειότητά μου, καὶ παρακυκλώσεις με παραμυθίᾳ· καὶ τάδε δὲ ὁμοίως προείρηκε· τῇ γὰρ περὶ ἐμὲ κηδεμονίᾳ δεχθήσεταί σου τὸ ἀγαθόν. κβ. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε. Οὐ παύσομαι γὰρ τὰς σὰς διηγούμενος δωρεὰς, καὶ τοὺς ἀγνοοῦντας διδάσκων· ἐπισημήναθαι δὲ προσήκει, ὡς καὶ ἐνταῦθα λαῶν πολλῶν ἐμνημόνευσεν, οἱ μετὰ τὴν ἐναν θρώπησιν τοῦ σωτῆρος ἡμῶν, διὰ τῶν ἐξ Ἰουδαίων κηρύκων, τῆς σωτηρίας ἀπήλαυσαν. ἐν σκέυεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεὸς, ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ. χρήσομαι δὲ καὶ τοῖς συνήθεσιν ὀργάνοις τὴν ὑμνῳδίαν ὑφαίνων. κγ. Ἀγαλλιάσεται τὰ χείλη μου, ὅτ' ἂν ψαλῶ σοι· καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. κδ. Ἔτι δὲ καὶ ἡ γλῶσ-

γλῶσσά μϐ ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου· ὅτ' ἂν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι. Προλέγει κατὰ ταυτὸν τῶν Βαβυλωνίων τὸν ὄλεθρον ὑπὸ Κύρου τῦ Πέρσϐ γεγεννημένον, καὶ τὴν τῶν Ἰϐδαίων ἀνάκλησιν· ἐκείνων γάρ φησι καταλυθέντων, ἐγὼ τῆς ἐπανόδϐ τεύξομαι· ἀπολαύσας δὲ τότε, γεγηθὼς καὶ γαννύμενος χορεύσω, τὰς σὰς εὐεργεσίας ὑμνῶν, καὶ τῦ σῦ νόμϐ διηνεκῆ τὴν μελέτην ποιέμενος.

ΕΡΜΗΝ. ΤΟΥ οα΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς Σολομών. Ὅτι τῷ Σολομῶντι ϐδαμῶς ὁ προκείμενος ἁρμόττει ψαλμὸς, οἶμαι καὶ Ἰϐδαίους ἂν ὁμολογῆσαι τ' ἀληθῆ λέγειν ἐθέλοντας, ἥπϐ γε τῆς πίστεως τὰς τροφίμους· πρῶτον μὲν γάρ, ὅτε τῶν περάτων τῆς γῆς ἐκράτησε Σολομών. ὅτε παρὰ τῶν ἑσπερίων καὶ ἑῴων ἐδέξατο φόρον. ἔπειτα ἄνθρωπος ὤν, τὸν τῆ Φύσει σύμμετρον διαϐιώσας χρόνον, τῦ ϐίϐ τὸ τέλος ἐδέξατο, καὶ τῦτο ἐκ εὐκλεές· ὁ δὲ ψαλμὸς, ἡλίϐ καὶ σελήνης ἀρχαιότερον δείκνυσι τὸν προφητευόμενον. ἀκριϐέστερον δὲ ταῦτα ἡ τῶν ῥητῶν ἑρμηνεία διδάξει. καὶ ἡ ἐπιγραφὴ δὲ, ἐκ ἀνάρμοστος, ἀτεχνῶς δὲ τῷ σωτῆρι συμϐαίνϐσα· Σολομὼν γὰρ εἰρηνικὸς ἑρμηνεύεται· καὶ τῦτο σαφῶς ἡμᾶς ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· φησὶ γὰρ πρὸς τὸν Δαϐὶδ διὰ τῦ Νάθαν ὁ Θεός· ὅτι Σολομὼν ὄνομα αὐτῷ, καὶ εἰρήνην δώσω ἐν ταῖς ἡμέραις αὐτῦ. ταύτην δὲ τὴν προσηγορίαν, καὶ ὁ Δεσπότης ἔχει Χριστός. καὶ ϐοᾷ Παῦλος, ὁ μέγας κήρυξ τῆς ἀληθείας· αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ Φραγμῦ λύσας. καὶ αὐτὸς δὲ ὁ Κύριος τοῖς ἱεροῖς ἀποστόλοις φησί· τὴν ἐμὴν εἰρήνην δίδωμι ὑμῖν, τὴν ἐμὴν εἰρήνην ἀφίημι ὑμῖν. τὴν αὐτῦ τοίνυν βασιλείαν, καὶ τὴν ὑπ' αὐτῦ κατορθωθεῖσαν εἰρήνην, καὶ τῶν ἐθνῶν τὴν σωτηρίαν, ἔτος ὁ ψαλμὸς προθεσπίζει. καὶ ἐπειδὴ καὶ Θεός ἐστι, καὶ ἄνθρωπος, τὸ μὲν ὢν ἀεὶ, τὸ δὲ δι' ἡμᾶς προσλαϐών, ἀμφότερα ἡ προφητεία διδάσκει· καὶ φησιν, αὐτὸν μὲν ἔχειν, ὡς Θεὸν, ἁπάντων τὴν ἐξϐσίαν· λαμϐάνειν δὲ ταύτην, καὶ ὡς ἄνθρωπον, παρὰ τῦ οἰκείϐ πατρός. Ὁ Θεὸς τὸ κρίμα σϐ τῷ βασιλεῖ δός· καὶ τὴν δικαιοσύνην σϐ τῷ υἱῷ τῦ βασιλέως. Καὶ βασιλεύς ἐστι, καὶ υἱὸς βασιλέως ὁ Δεσπότης Χριστός. διὸ καὶ βασιλέα αὐτὸν, καὶ υἱὸν βασιλέως ἡ προφητεία καλεῖ· ἴτω καὶ λέοντα αὐτὸν ὁ πατριάρχης Ἰακὼϐ, καὶ σκύμνον λέοντος ὀνομάζει· σκύμνος γὰρ λέοντός φησιν Ἰούδα, ἐκ ϐλαστῦ μϐ υἱέ μϐ ἀνέϐης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; ὁ γὰρ μόνον βασιλεύς ἐστιν, ἀλλὰ καὶ βασιλέως υἱός· καὶ γὰρ ὡς Θεὸς ἐκ τῦ παμϐασιλέως ἐγεννήθη Θεῦ, καὶ ὡς ἄνθρωπος, πρόγονον ἔχει τὸν βασιλέα Δαϐίδ. τότω ὁ προφητικὸς λόγος, ὡς ἀνθρώπω, δοθῆναι παρὰ τῦ Θεῦ τὴν δικαιοσύνην παρακαλεῖ. εἶτα τὴν αἰτίαν διδάσκει. β΄. Κρίνειν τὸν λαόν σϐ ἐν δικαιοσύνη, καὶ τοὺς πτωχούς σϐ ἐν κρίσει. Τοὺς γὰρ πτωχεύοντας τῆς ἁμαρτίας κατεχομένους τῆς τῦ πονηρῦ τυ-

ράννϐ

ράννου δουλείας ἐλευθερώσει· δικαίως αὐτῷ, καὶ τοῖς ὑπ' αὐτοῦ κατεχομένοις, δικάσας. γ'. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Προσωποποιΐα ἐπὶ τὴν πάντων δεικνῦσα μεταβολήν. ἔτω τῆ λαοῦ τὴν ἔξοδον διηγούμενος ἔφη· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. ὁρῶμεν δὲ ὁμοῦ καὶ τῶν ὀρῶν καὶ τῶν βουνῶν τὴν μεταβολήν. ἀντὶ γὰρ τῆς πάλαι πολιτευσαμένης ἐν αὐτοῖς ἀσεβείας, οἱ τὸν ἀγγελικὸν ἀσπασάμενοι βίον τὴν εὐαγγελικὴν ἐν αὐτοῖς δικαιοσύνην καρπῆνται· καὶ τὰς ὑπὲρ τῶν ἀνθρώπων πρεσβείας ποιούμενοι, τὰς θείας καταλλαγὰς πραγματεύονται. δ'. Κρινεῖ τοὺς πλωχὲς τῆ λαῆ, καὶ σώσει τὲς υἱὲς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην. Εἰκότως ὁ διάβολος κέκληται συκοφάντης· τὸν τε γὰρ Θεὸν ἐσυκοφάντησε, διὰ φθόνον φήσας αὐτὸν κεκωλυκέναι τὴν τῆ ξύλε μετάληψιν· καὶ κατὰ τῆ Ἰὼβ ταῖς αὐταῖς ψευδολογίαις ἐχρήσατο, φήσας· μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; ἆψαι γάρ φησι πάντων ὧν ἔχει, ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. τῆτον ἐν τῷ ὀγδόῳ ψαλμῷ ἐχθρὸν καὶ ἐκδικητὴν ὠνόμασεν· ἐνταῦθα δὲ συκοφάντην. ἀλλὰ τοῦτον μὲν ὁ Δεσπότης ἐταπείνωσε, καὶ κατέλυσε· τὲς δὲ ὑπ' αὐτῆ τυραννουμένες ἐλευθερίας καὶ σωτηρίας ἠξίωσε. ε'. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ· καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν. Ὁ ταῦτά φησιν ἅπαντα κατορθῶν, οὔτε ἀρχὴν ἡμερῶν, ἀποσολικῶς εἰπεῖν, ἔτε ζωῆς τέλος ἔχει. ἐγενήθη μὲν γὰρ ἐκ τοῦ πατρὸς πρὸ τῆς σελήνης γενεᾶς γενεῶν, τουτέστιν ἀπείροις τισὶ γενεαῖς προϋπάρχων τῆς κτίσεως· ἀλλὰ καὶ συμπαραμενεῖ τῷ ἡλίῳ· ἀντὶ τοῦ, διαρκὲς ἔξει τὸ εἶναι· ἐπειδὴ ὁ ἥλιος διαρκὲς ἔχει τὸ εἶναι· ἀλλ' εἰκόνα διαρκεστέραν ἐχ εὑρὼν, ἐπίσημον δὲ τῆτον εἰδὼς, καὶ χρόνων καὶ ἡμερῶν δημιεργὸν, τέτῳ παρέβαλε τὴν ἀπὸ σκότους εἰς φῶς τῶν πραγμάτων μεταβολήν. ἐπειδὴ καὶ αὐτὸς ὁ Δεσπότης Χριστὸς ἥλιος δικαιοσύνης ὠνόμασται. ς'. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον· καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Διὰ τέτων σαφῶς ἡμῖν τὴν ἀνθρωπείαν ὑπέδειξε γέννησιν ἀψοφητὶ γεγενημένην, καὶ λίαν ἡσύχως, καὶ μυστικῶς· καθάπερ γὰρ πόκος δεχόμενος ὑετὸν, ἀδένα κτύπον ἀποτελεῖ, καὶ ψεκάδες εἰς γῆν δροσώδεις φερόμεναι, αἰσθησιν ταῖς ἀκοαῖς οὐδεμίαν παρέχουσιν· οὕτως ἡ δεσποτικὴ γεγένηται σύλληψις· ἀδὲ τῆ συνοικοῦντος αἰσθομένου μνηστῆρος. ὕστερον γὰρ, μετὰ τὴν κύησιν ἀτοπίαν ὑποτοπήσας τινὰ, ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν· ἀλλὰ δι' ἀγγέλε μεμάθηκεν ὡς πνευματικὸς ὁ τόκος, καὶ οὐκ ἀνθρώπινος. ζ'. Ἀναλελεῖ ἐν ταῖς ἡμέραις αὐτῆ δικαιοσύνη. Καὶ μαρτυρεῖ τοῖς λόγοις τὰ πράγματα· τῆς γὰρ προτέρας δυσσεβείας ἀπαλλαγεῖσα τῶν ἀνθρώπων ἡ Φύσις, μετέμαθε τὴν εὐσέβειαν· εἰ δὲ καί τινες τῶν πεπιστευκότων κατὰ τὲς εὐαγγελικὲς ὁ πολιτεύονται νόμες, ἀλλ' ἔν εἰσι μυριάδες ἀριθμοῦ κρείττους, καὶ ἐν στρατιωταις, καὶ ἐν ἰδιώταις, καὶ ἐν ἀστοῖς, καὶ ἐν χωριτικοῖς, ἀρετῆς πολλὴν φροντίδα ποιέμενοι. καὶ πλῆθος εἰρήνης, ἕως ἐ ἀν-

ταναιρεθῇ ἡ σελήνη. πάλαι μὲν γὰρ αἱ τοπαρχίαι, καὶ αἱ καθ' ἕκαστον ἔθνος διῃρημέναι βασιλεῖαι συχνοῖς πολέμοις ταλαιπωρέμεναι, τῷ δώρῳ τῆς εἰρήνης ἀπολαύειν ἐκ εἶχον. διηνεκῶς γὰρ τὸν ὁπλιτικὸν μετήεσαν βίον· καὶ τούτους τοὺς πολέμους πολλοὶ καὶ Ῥωμαίων καὶ Ἑλλήνων συνέγραψαν. διδάσκεσι δὲ ἡμᾶς καὶ αἱ τῶν βασιλεῶν, καὶ αἱ τῶν Μακκαβαίων ἱστορίαι, ὅσα προὐξένεν αἱ τοπαρχίαι κακά. μετὰ δὲ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐναν θρώπησιν, πέπαυται μὲν ἐκεῖνα, μία δὲ βασιλεία τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖ, δι' ἣν εἰρήνη πολιτευομένη, τῷ θείῳ κηρύγματι δέδωκε τὴν ἰσχύν. τὸ δὲ, ἕως ἂν ἀνταναιρεθῇ ἡ σελήνη, ἀντὶ τοῦ, πάντα τὸν παρόντος βίου τὸν χρόνον· περιττὸν γὰρ περὶ τοῦ μέλλοντος λέγειν, καθ' ὃν εἰρήνη ἀληθὴς πολιτεύσεται. ἡ. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης. Ἀντὶ τοῦ, πάντων κρατήσει τῶν τερμάτων τῆς οἰκουμένης· ἐπειδὴ γὰρ πέραν τῆς γῆς τὰ μεγάλα ἐστὶ καὶ ἄπλωτα πελάγη, ἃ τινες Ἀτλαντικὰ καλοῦσιν, ἢ ὠκεανὸν ἑσπέριον καὶ ἔῳον, εἰκότως τῆς οἰκουμένης τὸ κράτος ταῖς ἔξωθεν κυκλοῦσθαι θαλάσσαις ἐδήλωσε· καὶ τοῦτο σαφέστερον ὁ μετὰ τοῦτον πεποίηκε ψάλτης. καὶ ἀπὸ ποταμῶν, ἕως περάτων τῆς οἰκουμένης. ποταμὸν λέγει τὸν Ἰορδάνην, ἐν ᾧ βαπτισθεὶς ὁ Δεσπότης ὑπὸ τοῦ πατρὸς ἐμαρτυρήθη, ὡς αὐτός ἐστιν ὁ ἀγαπητὸς υἱός, ἐν ᾧ ηὐδόκησεν. ἀπὸ τότε δὲ, φησὶν ὁ εὐαγγελιστὴς, ἤρξατο κηρύττειν καὶ λέγειν, μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ὃ δὴ χάριν, καὶ ἡ προφητεία φησὶν, ὅτι κρατήσει ἀπὸ τοῦ ποταμοῦ, ἕως τῶν περάτων τῆς οἰκουμένης. εἶτα καὶ ἑτέρωθεν τοῦτο ποιεῖ φανερόν. θ'. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. ι'. Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι. Βασιλεῖς Ἀράβων καὶ Σαββὰ δῶρα προσάξουσι. Θαρσεῖς τὴν Καρχηδόνα, τὴν τῆς Λιβύης προκαθημένην, καὶ ὁ μακάριος Ἡσαΐας, καὶ ὁ θαυμάσιος Ἰεζεκιὴλ ὀνομάζουσι. Σαββὰ δὲ Αἰθιοπικὸν ἔθνος· ἀλλὰ Λίβυες μὲν οἱ καὶ Ἀφροὶ προσαγορευόμενοι, τὰ ἑσπέρια τῆς οἰκουμένης κατέχουσι τμήματα· Αἰθίοπες δὲ τὰ ἑῷα καὶ νότια· Ἄραβες δὲ τὴν μέσην ἤπειρον· οἱ δὲ νησιῶται τῆς θαλάσσης τὰ μέσα. τότε δὲ ἔφη προπεσεῖσθαι ἐνώπιον αὐτοῦ, καὶ προσοίσειν ὡς Θεῷ τὴν προσκύνησιν· καὶ δῶρα προσκομιεῖν ὡς βασιλεῖ· τοὺς δὲ ἐχθροὺς ὑποβληθήσεσθαι ταῖς κατὰ τοῦ ὄφεως γεγενημέναις ἀραῖς, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἐχθροὶ δὲ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, οἱ παμπόνηροι δαίμονες, καθ' ὧν ἔδωκε τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων. ἐπειδὴ δὲ τριῶν ἢ τεττάρων ἐθνῶν ἐμνημόνευσε, καὶ αἰνιγματωδῶς τὴν τῶν ἐθνῶν ἁπάντων μεταβολὴν παρεδήλωσε, σαφέστερον τὸν λόγον ποιεῖ. ια'. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. Οἱ μὲν κατὰ τὸν παρόντα βίον ἐόντες· οἱ δὲ μετὰ τὴν ἀνάστασιν ἅπαντες· ἐδέπω γὰρ, ἧ φησὶν ὁ θεῖος ἀπόστολος, ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, ἀλλὰ τότε κάμψει αὐτῷ πᾶν

πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. συμβαίνει ταῦτα τῇ τοῦ πατριάρχου Ἰακὼβ προφητείᾳ, ὅτι αὐτὸς προσδοκία ἐθνῶν· ὁρῶμεν δὲ καὶ τὸ τῆς προρρήσεως τέλος· ἐδὲ γάρ ἐστιν ἔθνος τῶν εὐαγγελικῶν κηρυγμάτων ἀνήκοον· ἀλλ' εἰσὶν ἐν ἑκάστῳ οἱ τῆς θεογνωσίας τὴν αἴγλην δεξάμενοι. ιβ'. Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐκ ὑπῆρχε βοηθός. ιγ'. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει. Προσκυνήσουσιν αὐτῷ ἅπαντες, τῆς πικρᾶς τοῦ διαβόλου τυραννίδος ἀπαλλαγέντες· δυνάστην γὰρ αὐτὸν ὠνόμασε, πλωχὸν δὲ τὴν ἀνθρωπείαν φύσιν, ὡς ἔρημον γενομένην τηνικαῦτα Θεοῦ. ἄλλως τε καὶ τοῖς θείοις αὐτοῦ νόμοις καταστέλλει τοὺς δυναστεύοντας, καὶ ταῖς τῆς γεέννης ἀπειλαῖς καταπλήττει, καὶ παρασκευάζει φειδώ τινα τῶν πενήτων ποιεῖσθαι· τοῦτο γὰρ καὶ ἐπήγαγεν. ιδ'. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. Τόκον δὲ τὴν πλεονεξίαν ἐκάλεσεν· ἔστω γὰρ αὐτὸν καὶ ὁ παλαιὸς προσαγορεύει νόμος, τόκον καὶ πλεονασμὸν ἀ λήψῃ· πείσει τοίνυν, φησὶ, τοὺς ἀδικίᾳ καὶ πλεονεξίᾳ χαίροντας ἐλέῳ καὶ φιλανθρωπίᾳ κεχρῆσθαι. καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. σεβάσμιός φησιν ἔσται παρὰ πᾶσι, καὶ ἔνδοξος. ιε'. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. Ἀντὶ τῆς Ἀραβίας, Σαββὰ τεθείκασιν οἱ λοιποὶ ἑρμηνευταί. καὶ τοῦτο μέντοι κἀκεῖνο τὰ ἀναθήματα προθεσπίζει, τὰ παρὰ πάντων αὐτῷ καὶ βασιλέων καὶ βαρβάρων προσκομιζόμενα· τὸ δὲ ζήσεται, ἀντὶ τοῦ διαμενεῖ τέθεικεν. καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντὸς, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. ὑμνήσουσι δὲ αὐτὸν διηνεκῶς· ὑμνήσουσι δὲ καὶ τὸν αὐτοῦ πατέρα, δι' αὐτοῦ λαβόντες τῆς ὑμνῳδίας τὰς ἀφορμάς· τὸ γὰρ προσεύξονται περὶ αὐτοῦ, ἔοικε τῷ ἀποστολικῷ ἐκείνῳ· εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ· καὶ πάλιν· δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν πατέρα. διὰ τοῦτο προσεύξονται τοίνυν ἅπαντες τῷ πατρὶ, καὶ ὑμνήσουσιν αὐτὸν, ἐπὶ τοῖς παρὰ τοῦ υἱοῦ εἰς αὐτοὺς γεγενημένοις ἀγαθοῖς· ὑμνήσουσι δὲ καὶ αὐτὸν, ὡς παρ' αὐτοῦ ταῦτα δεξάμενοι. ιϛ'. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων. Αὐτὸς φησι στηρίζει, καὶ ἐρείσει τοὺς εἰς αὐτὸν πεπιστευκότας, καὶ ὑψηλοὺς δείξει καὶ μετεώρους, ὡς ἐν αὐταῖς ἑστῶτας ταῖς τῶν ὀρῶν κορυφαῖς· τοῦτο δὴ καὶ ὁ Κύριος ἔφη τοῖς ἑαυτοῦ μαθηταῖς· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ φαίνει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτῶν. ἐπειδὴ τῶν ὑψηλῶν ὀρῶν ἐμνημόνευσεν, εἰκότως καὶ τοῦ Λιβάνου τὴν μνήμην παρήγαγεν, ὡς τῶν κατὰ τὴν Παλαιστίνην ὀρῶν ὑψηλοτάτου· καί φησι, τὴν διδασκαλίαν αὐτοῦ, καὶ τοὺς ταύτης ὑποφήτας καὶ κήρυκας, ὑψηλοτέρους καὶ περιφανεστέρους τοῦ Λιβάνου γενήσεσθαι. καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. οἱ μὲν ἂν πεπιστευκότες αὐτῷ τοιοῦτον

βλαστήσεσι καρπόν. οἱ δὲ ἀπιστήσαντες Ἰουδαῖοι χόρτῳ φυομένῳ, καὶ παραυτίκα φθειρομένῳ, ἀπεικαθήσονται. ιζ'. Ἔσαι τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ. Τὸ εὐλογημένον παρ' ἐδενὶ κεῖται, ἔτε ἐν τῷ ἑξαπλῷ, ἔτε παρ' Ἑβραίοις. δείκνυσιν αὐτὸν διὰ τῆς πρὸ, τοῦ ἡλίου καὶ τῆς σελήνης πρεσβύτερον. οὐ γὰρ ἁπλῶς πρὸ τοῦ ἡλίου διαμένει, ἀλλὰ γενεᾶς γενεῶν. „τὸ δὲ „γενεᾶς γενεῶν„ καὶ ἐπὶ τοῦ ἡλίου καὶ ἐπὶ τῆς σελήνης τέθεικεν. ἥλιος γὰρ καὶ σελήνη ὁμόχρονοι, κατὰ ταυτὸν γάρ ἐγένοντο. εἶπε γάρ φησιν ὁ Θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους. εἰ τοίνυν πρὸ τῆς σελήνης γενεᾶς γενεῶν, καὶ πρὸ τοῦ ἡλίου. καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἐνταῦθα τῆς περὶ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ ἐπαγγελίας ἐμνημόνευσε. τοῖς γὰρ τρισὶ πατριάρχαις ὑπέσχετο ὁ Θεὸς εὐλογηθήσεσθαι, ποτὲ μὲν πάντα τὰ ἔθνη τῆς γῆς, ποτὲ δὲ τὰς φυλὰς τῆς γῆς. διαφόρως δὲ πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν ὀνομάζει. τοῦτο δὲ καὶ ὁ μακάριος Παῦλος ἑρμηνεύων ἔφη· τῷ δὲ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. καὶ μέντοι καὶ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ἀγγέλων γάρ δήπου ἀγγέλων ἐπιλαμβάνεται. περὶ τούτου καὶ ὁ προκείμενος προθεσπίζει ψαλμὸς, δι' αὐτοῦ λέγων πάσας εὐλογηθήσεσθαι τὰς φυλάς. πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. τὰ μὲν ὡς περὶ ἀνθρώπου, τὰ δὲ ὡς περὶ Θεοῦ, ὁ προφητικὸς διεξήλυθε λόγος. εὑρίσκομεν τὸ μακάριος καὶ ἐπὶ τοῦ Θεοῦ κείμενον· ὁ μακάριός φησι καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. πάντα γάρ φησι τὰ ἔθνη μακάριον αὐτὸν, καὶ ὑμνῶν ἄξιον ὀνομάζει. εἶτα σαφέστερον ὁ προφήτης τὴν κεκρυμμένην αὐτοῦ διδάσκων θεότητα ἐπήγαγεν. ιή. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος. Οὗτος γάρ φησιν αὐτὸς ὁ προφητευόμενος, καὶ τὰς προειρημένας θαυματουργίας ἐπιτελέσων, αὐτός ἐστι καὶ τοῦ Ἰσραὴλ Θεὸς, καὶ τῶν ἁπάντων Δεσπότης. ιθ'. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Διὸ προσήκει παρὰ πάντων αὐτὸν ὑμνεῖσθαι. εἰ γὰρ τὴν φύσιν αὐτοῦ ὡς ἀγέφικτον ἀγνοοῦμεν, ἀλλὰ τὸ σωτήριον αὐτοῦ ἐδιδάχθημεν ὄνομα. καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο, γένοιτο. ἃ πολλάκις διὰ παντὸς προηγόρευσε τῷ ψαλμῷ, ταῦτα καὶ πληρώσας τὴν προφητείαν τέθηκε βεβαιοτέραν τὴν πρόρρησιν ἐργαζόμενος. λέγει δὲ ὅτι καὶ ἐν πάσῃ τῇ γῇ δῆλος ἔσαι, καὶ γνώριμος ὡς Θεός ἐστι καὶ τῶν ὅλων Δεσπότης, καὶ τὸ παρὰ πάντων δέξεται σέβας, ταῖς τῆς θεογνωσίας αὐτοῦ καταυγάσμις ἀκτῖσιν. τοῦτο δὲ διὰ τῆς τοῦ Πνεύματος χάριτος ὁ προφήτης μεμαθηκὼς, καὶ πυρσευθεὶς τῷ πόθῳ,

ἐπεύ-

ἐπεύχεται γενέσθαι, καὶ πέρας τὴν προφητείαν λαβεῖν· διὸ καὶ ἐπιλέγει, γένοιτο, γένοιτο. ἢ κατὰ τὸν Ἀκύλαν πεπιστωμένως, „πεπιστωμένως,„ ἀντὶ τοῦ, ἀψευδῆ καὶ ἀληθῆ τὰ εἰρημένα, καὶ δέξεται πάντως τὸ τέλος.

Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ υἱοῦ Ἰεσσαί.

ΕΡΜΗΝ. ΤΟΥ οβ΄ ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Ἀσάφ. Καὶ ἤδη προειρήκαμεν, ὅτι καὶ τοῦτόν τινες ψαλμογράφον ἔφασαν, τινὲς δὲ μελοποιὸν, καὶ τῶν ᾀδόντων χοροδιδάσκαλον. ἄλλοι δὲ τὸν μὲν Δαβὶδ εἶπον καὶ τούσδε τοὺς ψαλμοὺς εἰρηκέναι, τὸν δὲ Ἀσὰφ γεγραφέναι. „ἡμεῖς δὲ, ὡς „πολλάκις εἰρήκαμεν, τοὺς πάντας τὸν „μακάριον Δαβὶδ γεγραφέναι νενοήκα„μεν. καὶ γὰρ ἕτως ἔχει ὁ τῆς ἀλη„θείας λόγος.„ ἀλλὰ ταῦτα μὲν ὡς βέλεταί τις δεχέσθω. ἐγὼ μία γὰρ ἐντεῦθεν βλάβη τοῖς ἕτως ἢ ἐκείνως δεχομένοις φυήσεται· ἡμεῖς δὲ τοῦ ψαλμοῦ τὴν διάνοιαν τῆς χάριτος φωταγωγέσης ποιησόμεθα δήλην. ἀπαχθεὶς ὁ λαὸς δουλάλωτος εἰς Βαβυλῶνα, πολλαῖς καὶ παντοδαπαῖς περιεκλύζετο συμφοραῖς. ὁρῶντες δὲ τοὺς Βαβυλωνίους, δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντας, ἐν εὐημερίᾳ καὶ εὐκληρίᾳ πολλῇ, σφᾶς δὲ αὐτοὺς ἐν δυσπραξίᾳ καὶ κακοπαθείᾳ, λογισμὸς περὶ τῆς θείας ἀνεκίνει προνοίας, ἐνθυμέμενοι καὶ λογιζόμενοι, τί δήποτε παντελῶς δυσσεβοῦντες τῶν μὲν ἀναιρῶν οὐδεμίαν λαμβάνουσι πεῖραν, εὐποτμίας δὲ ἀπολαύουσι πάσης, ἐξ οὐρίων φερόμενοι· ταῦτα ἡ τοῦ παναγίου πνεύματος χάρις πόρρωθεν προορῶσα, ὠφέλειαν ἐκείνοις μηχανωμένη, καὶ μέντοι καὶ πᾶσιν ἀνθρώποις, τοῦτον γέγραφε τὸν ψαλμὸν, καὶ τὰς ἐκείνων σαφῶς ἐξαγγέλλουσα λογισμὰς, καὶ τῶν ζητεμένων τὴν λύσιν προσφέρουσα. ἁρμόττει μὲν οὖν ἅπασιν ἡ τοῦ ψαλμοῦ διδασκαλία τοῖς τὰ τοιαῦτα ἢ λογιζομένοις, ἢ φθεγγομένοις· ἐχημάτισται δὲ ὅμως, ὡς ἐξ ἐκείνων ἐπανελθυθότων μὲν, διηγεμένων δὲ τῆς διανοίας τὸ πάθος. Ὡς ἀγαθὸς ὁ Θεὸς τοῦ Ἰσραήλ. Τὸ ὡς, ἐπαραβολικῶς τέθεικεν, ἀλλὰ τῆς ἀγαθότητος δεικνὺς τὴν ὑπερβολήν. λέγει δὲ ὅτι πολλὴν καὶ ὁ Θεὸς τῷ Ἰσραὴλ ποιεῖται κηδεμονίαν. τοῖς εὐθέσι τῇ καρδίᾳ. ἀλλὰ τοῦτο ἐ πάντες ἴσασιν, ἀλλ' οἱ ὀρθοῖς καὶ ὑγιέσι χρώμενοι λογισμοῖς. οὕτως ἐκείνους ἐπαινέσας, τῶν οἰκείων λογισμῶν δημοσιεύει τὴν ζάλην. β΄. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. Ἐγὼ μέν τοι μικρᾷ δεῖν τῆς οἰκείας ἐξετράπην ὁδοῦ. παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. ὁ δὲ Σύμμαχος ἕτως· παρ' ἐδὲν ἐλύθη τὰ ὑποροθέντά με. τῶν ὑγιαινόντων, φησὶ, καὶ ὑπερειδόντων ἐκπεσεῖν ἐκινδύνευσα λογισμῶν, καὶ ὀλιθον ὑπέμεινα ἂν μέγιστον. τοῦτο γὰρ τὸ ἐξεχύθη δηλοῖ, ὡς τῶ ἐκχεομένω, διαλυομένω, καὶ ὑπορρέοντος· πόδας δὲ καὶ διαβήματα τὰς λογισμὰς καλεῖ τροπικῶς. εἶτα καὶ τὴν αἰτίαν λέγει. γ΄. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ἐπυρπολέμην γὰρ, βλέπων τὰς δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντας ἐν εἰρήνῃ καὶ εὐποτμίᾳ πολλῇ. „ὁρῶ-

„μεν δὲ καὶ νῦν τινὰς τὰ παραπλήσια „ἐκείνοις λέγοντας κατὰ τινῶν τῶν ἐν „δυσσεβείᾳ καὶ πλεονεξίᾳ συζώντων, „καὶ πλέτῳ καὶ δόξῃ, ὡς νομίζεσι, κα„ταδυναστευόντων. „ δ'. Ὅτι ἐκ ἔστιν ἀνάπαυσις ἐν τῷ θανάτῳ αὐτῶν. Ὁ δὲ Ἀκύλας ἔτως· ἐκ εἰσὶ δισπάθειαι τῷ θανάτῳ αὐτῶν· ὁ δὲ Σύμμαχος, ἐκ ἐνεθυμεῖντο περὶ θανάτου αὐτῶν. ἐδὲ γάρ φησιν ἐν κινδύνοις ἐξεταζόμενοι σφᾶς αὐτὲς ἀπηγόρευον. καὶ ἡ ἀνάπαυσις δὲ τὴν ἀπαγόρευσιν δηλοῖ. ἀπαγορεύειν γάρ τι βαλόμενοι ἀναπαύειν εἰώθαμεν. καὶ ξερέωμα ἐν τῇ μάξιγι αὐτῶν. πρὸς ὀλίγον αὐτοῖς φησὶ πελάζει τὰ λυπηρά. ε'. Ἐν κόποις ἀνθρώπων ἐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων ἐ μαξιγωθήσονται. Κατὰ ξὲν αὐτοῖς φησὶ τὰ πράγματα φέρεται, καὶ ὅτε πόνοις καὶ ταλαιπωρίαις, ὅτε παιδείαις περιβάλλονται τοῖς ἄλλοις ἀνθρώποις παραπλησίως. ς'. Διὰ τῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος· περιεβάλοντο ἀδικίαν, καὶ ἀσέβειαν ἑαυτῶν. Ἐντεῦθεν εἰς ἀλαζονείαν καὶ τύφον ἐπήρθησαν, καὶ δίκας ὑπὲρ τῶν προτέρων μὴ δεδωκότες ἁμαρτημάτων, εἰς πλείονα παρανομίαν ἐξώκειλαν. τὸ γὰρ περιεβάλοντο, τὸ πλῆθος τῆς ἀδικίας ἐδήλωσεν, ὡς πανταχόθεν αὐτοὺς κυκλούσης. ζ'. Ἐξελεύσεται ὡς ἐκ ςέατος ἡ ἀδικία αὐτῶν. Στέαρ, ὡς πολλάκις ἔφαμεν, τὴν εὐπάθειαν καὶ τὴν εὐκληρίαν δηλοῖ. ὡς ἐν τοσαύτῃ τοίνυν, φησὶν, ὄντες εὐημερίᾳ, μεθ' ἁπάσης ἀδείας τὴν ἀδικίαν ἐτόλμησαν. Διῆλθοσαν εἰς διάθεσιν καρδίας. η'. Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. θ'. Ἔθεντο εἰς ὐρανὸν τὸ ςόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Οὐκ ἀπέχρησε δὲ αὐτοῖς ἡ καλὰ τῶν ἀνθρώπων ἀδικία, ἀλλὰ καὶ τὸν ἐρανὸν ἐτόξευσαν καὶ λόγοις, καὶ λογισμοῖς. αἰνίτλεται δὲ διὰ τύτων τὰς κατὰ τὲ Θεὲ βλασφημίας, τὰς κατὰ τοῦ λαοῦ λοιδορίας, τὰς κατὰ τοῦ νεὼ τοῦ θείου παροινίας. τοῦτο δὲ σαφέξερον εἴρηκεν ἐν τῷ ΜΑ΄ ψαλμῷ. ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάσην ἡμέραν, ποῦ ἔστιν ὁ Θεός σε; ί. Διὰ τοῦτο ἐπιξρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Ταῦτα ὡς τοῦ Θεοῦ τῶν ὅλων εἰρηκότος, ὁ προφητικὸς τέθεικε λόγος, τοὺς ἀθυμοῦντας ψυχαγωγῶν. ἐκείνων γάρ φησι βλασφημίαις κατὰ τοῦ Θεοῦ χρησαμένων, καὶ κακοπαθείαις ἡμᾶς ὑποβαλόντων, χρησὰ περὶ ἡμῶν ὁ τῶν ὅλων Θεὸς ἐψηφίσατο, τὴν ἐπάνοδον ὑποχόμενος, καὶ ζωὴν τὴν ὡρισμένην τῇ Φύσει. καὶ ἐντεῦθεν δῆλον, ὡς τοῖς ἐπανελθοῦσιν ἤδη, καὶ τὰ ἐν Βαβυλῶνι συμβεβηκότα διηγουμένοις, ἁρμόδιος ὁ ψαλμός. ἔφη γάρ, διὰ τοῦτο ἐπιξρέψει ὁ λαός μου ἐνταῦθα, τουτέξιν εἰς τὴν Ἰουδαίαν. ἐκεῖ τοίνυν διάγοντες, τὸ ἐνταῦθα λέγουσι· τοῖς ἐν Βαβυλῶνι γὰρ οὐδαμῶς τοῦτο κατάλληλον. ἡμέραι δὲ πλήρεις, τὸ γήρας ἐκάλεσεν. ἀντὶ τοῦ, καὶ ἐπανήξουσι, καὶ μέχρι γήρως βιώσονται· οὕτω τοῦ Θεοῦ τὴν ὑπόχεσιν δείξας, πάλιν εἰς τὴν διήγησιν ἐπανῆλθε τῆς τε τῶν Βαβυλωνίων βλασφημίας, καὶ τῆς τῶν λογισμῶν

ταρα-

ταραχῆς. ιά'. Καὶ εἶπον, πῶς ἔγνω ὁ Θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ; Ὁ δὲ Σύμμαχος, σαφέστερον· οἱ δὲ ἔλεγον, πῶς ἔγνω ὁ Θεός; εἰ ἔστιν ἐπίγνωσις τῷ ὑψίστῳ; ὁ μὲν γὰρ Θεὸς φησιν ἐκεῖνα ὑπέχετο· οὗτοι δὲ παρ' ἑαυτοῖς ἐλογίζοντο, μήτε ἐφορᾶν τὸν Θεὸν, μήτε τι τῶν γινομένων εἰδέναι. εἶτα δείξας διὰ τούτων τὴν ἐκείνων ἀσέβειαν, τοὺς οἰκείους ἐκφέρει λογισμούς. ιβ'. Ἰδοὺ οὗτοι ἁμαρτωλοὶ, καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλοῦτον. Παρανομίαι συζῶντες ἀφθόνως ἀπολαύουσι τῶν ἀγαθῶν, καὶ ἄτρεπτον ἔχουσι τὴν εὐκληρίαν· τὸ γὰρ εἰς τὸν αἰῶνα κατὰ τὸν παρόντα βίον λέγει· πολλάκις γὰρ καὶ τὴν τοῦ ἀνθρώπου ζωὴν αἰῶνα καλεῖ· ὁ αἰὼν γὰρ ἡμῶν, φησὶν, εἰς φωτισμὸν τοῦ προσώπου σου. ιγ'. Καὶ εἶπα, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου; Ἐγὼ δὲ ὁρῶν αὐτοὺς εὐωχουμένους, καὶ ἐπὶ πλούτῳ βρενθυομένους, ἐνεθυμούμην μὴ ἀκερδὴς ἄρα τῆς δικαιοσύνης ἡ κτῆσις; καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου. τοιγαροῦν ἐκέρδανά φησι, πόρρῳ τῶν πονηρίᾳ συζώντων γενόμενος· τὸ γὰρ ἐνιψάμην ἐν ἀθῴοις, ἀντὶ τοῦ, ἀθῷον ἐμαυτὸν ἐφύλαξα, καὶ οὐ κεκοινώνηκα τοῖς κακοῖς. ιδ'. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. Ἐπιμεληθεὶς δικαιοσύνης, καὶ τῆς κακίας τὴν κοινωνίαν φυγὼν, καὶ αἰκίζομαι, καὶ παροινοῦμαι καθ' ἑκάστην ἡμέραν. ιε'. Εἰ ἔλεγον, διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας. Τοὺς ἄλλους, φησὶ, καταλιπὼν λογισμοὺς, τοῦτο παρ' ἐμαυτῷ ἐνεθυμούμην· μὴ ἄρα τὰς πρὸς ἡμᾶς συνθήκας διέλυσεν ὁ Θεός; τὸ γὰρ ἠσυνθέτηκας, ἀντὶ τοῦ, ἢ παρέβης τὰς συγκειμένας συνθήκας; υἱοὺς δὲ καλοῦσιν ἑαυτοὺς, ὡς τοῦ Θεοῦ τοῦτο αὐτοὺς ὀνομάσαντος· υἱὸς πρωτότοκός μου Ἰσραὴλ, καὶ υἱοὺς ἐγέννησα καὶ ὕψωσα. ις'. Καὶ ὑπέλαβον τοῦ γνῶναι· τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου. ιζ'. Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ· καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. Ἀλλ' ἐκείνους, φησὶ, καταλιπὼν τοὺς λογισμοὺς, ἐσκόπουν, ὅτι κόποις με καὶ ταλαιπωρίαις συνεκλήρωσεν ὁ Θεὸς, δίκας τῶν πεπλημμεληκότων εἰσπράττόμενος· ἐπανήξω δὲ ὅμως, καὶ τὸν ἡγιασμένον αὐτοῦ νεὼν ὄψομαι, καὶ τὸ κακὸν τούτων θεωρήσω τέλος. εἶτα διὰ τῆς θείας τοῦτο προδιδάσκεται χάριτος. ιή. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά· κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. ιθ'. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον· ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. κ'. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένων. Ταῦτα πάντα ἐπὶ τοῦ Κύρου Βαβυλωνίοις συνέβη· ἐκείνους μὲν γὰρ ἐξανδραποδίσας κατεδουλώσατο, Ἰουδαίοις δὲ τὴν ἐπάνοδον ἐδωρήσατο. εἰκότως δὲ αὐτῶν ὀνείρῳ τὴν εὐημερίαν ἀπείκασεν· οὐδὲν γὰρ ἐνυπνίου διενήνοχεν ἡ τοῦ παρόντος βίου σκηνή· καὶ τοῦτο καὶ ἐξ αὐτῶν τῶν Βαβυλωνίων ῥᾴδιον κατιδεῖν. οἱ γὰρ πρὸ βραχέος ἀλαζονευόμενοι, καὶ βρενθυόμενοι, ὡς τῆς οἰκουμένης ἁπάσης κεκρατηκότες, τὴν μὲν δυναστείαν ἐξαίφνης ἀπέβαλον,

εἰς

εἰς ἐχάτην δὲ δουλείαν μετέπεσον. Κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. ἡ εἰκὼν πρόσκαιρον ἔχει τὸ ἄνθος· εἰκότως τοίνυν ἀπεικάζει τῶν Βαβυλωνίων τὴν δυναστείαν, εἰς ὀλίγον ἀρκέσασαν χρόνον· ταύτην δέ φησι σὺ ἐξουδενώσεις, τῆς εἰς τὴν σὴν πόλιν δυσσεβείας εἰσπρατόμενος δίκας. καί. Ὅτι ἐξεκαύθη ἡ καρδία μου. Ταῦτά φησιν ἐλογιζόμην, ὑπὸ τῆς ἐκείνων παρανομίας πυρποληθείς· ἀϊέλαβε γὰρ τὸ προοίμιον, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, καὶ ὅπερ ἐκεῖ ζῆλον ἐκάλεσε, τοῦτο ἐνταῦθα καρδίας ἔκκαυσιν. καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. νεφροὺς, ὡς πολλάκις ἔφην, τοὺς λογισμοὺς ὀνομάζει. εὐσεβεῖς, φησὶν, ἔχων τοὺς λογισμοὺς, μικροῦ δεῖν ἐξετράπην διὰ τὴν ἐκείνων ἀλαζονείαν. κβ. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Τοῦτο σαφέστερον ὁ Σύμμαχος εἴρηκεν· ἤμην δὲ ἀνεπιστήμων, καὶ μὴ εἰδώς· τοῦτο τὸ πάθος ἔπαθον ἐξ ἀγνοίας, ἐκ εἰδώς σε τὰ κρίματα. Κτηνώδης ἐγενήθην παρὰ σοί. κγ. Κἀγὼ διὰ παντὸς μετὰ σοῦ. Ἀλλ' οὐκ ἔτι τοῦτο πείσομαι, οὐδὲ ζητήσαί τι ἢ περιεργάσασθαι τῶν ὑπὸ τῆς σῆς σοφίας οἰκονομουμένων ἀνέξομαι· ἀλλὰ κτήνει παραπλησίως, τοῖς σοῖς ἕψομαι νεύμασιν. ἕτωγὰρ τῆς σῆς προνοίας οὐ χωρισθήσομαι. καθάπερ γὰρ τὸ κτῆνος ἀκολουθεῖ τῷ ἄγοντι, μὴ περιεργαζόμενον ἥπερ ἂν ἄγηται· οὕτως ὑπὸ τῆς σῆς κυβερνώμενος χάριτος, ἀκολουθήσω κἀγὼ, μὴ πολυπραγμονῶν σου τὴν πρόνοιαν. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου. κδ. Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. Ἐντεῦθεν τὰ κατὰ τὴν ἐπάνοδον λέγει, ὅτι καθάπερ πατὴρ ἥπιος παῖδα πεπλανημένον εὑρὼν, τῆς τούτου λαβόμενος δεξιᾶς, εἰς τὴν οἰκίαν ἐπανάγει· ἕτω με εἰς τὴν πατρῴαν ἐπανήγαγες γῆν, τῆς μὲν δουλείας ἐλευθερώσας, ῥᾳδίαν δέ μοι τὴν διὰ τῶν ἐθνῶν διάβασιν χαρισάμενος, εὐκλεᾶ τε καὶ ἔνδοξον ἀπέφηνας. κε. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Ὁ δὲ Ἀκύλας, σαφέστερον· τίς μοι ἐν τῷ οὐρανῷ; καὶ μετὰ σοῦ οὐκ ἠβουλήθην ἐν τῇ γῇ. ἐρωτηματικῶς τέθεικεν ἀντὶ τοῦ, ὑπάρχει μοι ἐλπὶς ἐν τῷ οὐρανῷ. προσεδόκησέ φησι καὶ προσδοκῶ εὐμενῆ σέ μοι γενέσθαι ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. οὔτε γὰρ ἐν τῷ οὐρανῷ ἄλλον τινὰ ἔχω Θεὸν καὶ κηδεμόνα πλὴν σου, οὔτε μὴν ἐν τῇ γῇ ἕτερόν σοι συντάττω, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ σε οἶδα Θεόν. „ εἴρηται μάλιστα καὶ ταῦτα ἐκ προσ- „ ώπου τῶν ἐξ ἐθνῶν πεπιστευκότων τῷ „ σωτῆρι· λέγει δὲ, ὅτι „ καὶ τὴν σὴν ἀσπάζομαι δεσποτείαν. κς. Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου· Τούτου χάριν, σὲ ποθῶ καὶ διψῶ, καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα, καὶ τὴν σὴν προσμένω βοήθειαν. ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα. σὲ γὰρ ἔχω καὶ μερίδα καὶ κλῆρον, καὶ ἀπόλαυσιν ἀγαθῶν. κζ. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σέ. Οἱ δὲ πόῤῥω σφᾶς αὐτοὺς τῆς σῆς ποιοῦντες κηδεμονίας, καὶ εἰδώλοις λατρεύειν αἱρού-

αἱρούμενοι, καρπὸν ἔξουσι τῆς ἀποστάσεως ὄλεθρον. πορνείαν γὰρ ἐνταῦθα τὴν εἰδωλολατρείαν καλεῖ. οὕτω καὶ διὰ τοῦ Ἱερεμίου φησὶν ὁ Θεὸς, ἐπορεύθη ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ ἐπόρνευσεν ἐκεῖ· καὶ εἶπον μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε. καὶ πάλιν· καὶ ἐμοίχευσε τὸ ξύλον, καὶ τὸν λίθον· ἀντὶ τοῦ, ἐμὲ τὸν νυμφίον καταλιποῦσα, ἐλάτρευσε τοῖς μὴ οὖσι Θεοῖς· καὶ ἐνταῦθα τοίνυν πορνείαν τὴν τῶν εἰδώλων λατρείαν ἐκάλεσε. τοῦτο μέντοι οὐ περὶ Βαβυλωνίων εἴρηκεν, ἀλλὰ περὶ τῶν διὰ τὴν ἀσέβειαν αἰχμαλώτων γεγενημένων. οὗτοι γὰρ τὸν Θεὸν ἐγκαταλιπόντες νυμφίον, ἐξεπόρνευσαν, τῶν δαιμόνων ἀσπασάμενοι τὴν δουλείαν· ἀλλὰ τῇ πείρᾳ σωφρονεῖν διδαχθέντες βοῶσιν. κη΄. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου. Δι' αὐτῶν γὰρ τῶν πραγμάτων τὴν πεῖραν λαβὼν, ἀχώριστος ἔσομαι τοῦ σεσωκότος Θεοῦ, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι βεβαιωθήσομαι. τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. διὰ ταύτης γὰρ τῆς ἐλπίδος τῆς ἐπανόδου τετύχηκα, καὶ τὰς σὰς ἐν τῇ Ἱερουσαλὴμ ἐξηγοῦμαι θαυματουργίας· ταύτην γὰρ ὠνόμασε θυγατέρα Σιών. ὥσπερ γὰρ υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους καλεῖ, ἕτω θυγατέρα Σιὼν τὴν Σιὼν ὀνομάζει. διώνυμος δὲ ἦν ἡ πόλις· ἡ γὰρ αὐτὴ Σιὼν καὶ Ἱερουσαλὴμ ὑπὸ τῆς θείας καλεῖται γραφῆς.

ΕΡΜΗΝ. ΤΟΥ ογ΄ ΨΑΛΜΟΥ.

ᾠδ. Συνέσεως τῷ Ἀσάφ. Τὴν ἐσομένην τῆς Ἱερουσαλὴμ πανωλεθρίαν ὁ προφητικὸς προθεσπίζων λόγος, ἐπισῆναι καὶ συνιέναι κελεύει τοῖς ἐντυγχάνουσι τοῦ ψαλμοῦ τὴν διάνοιαν. τινὲς μέντοι τοῖς ὑπὸ Ἀντιόχου τοῦ ἐπιφανοῦς γεγενημένοις προσήρμοσαν τὸν ψαλμὸν, οὔτε τῇ ἱστορίᾳ προσεχηκότες, οὔτε τοῦ ψαλμοῦ τὴν προφητείαν ἀκριβῶς νενοηκότες· ὁ μὲν γὰρ ψαλμὸς ἐμπρησμὸν λέγει τοῦ θείου νεὼ, καὶ κατάλυσιν οἰκιῶν, καὶ πόρθησιν τῆς πόλεως παντελῆ· ταῦτα δὲ ὑπὸ Ἀντιόχου γεγενῆθαι παρὰ τῆς ἱστορίας οὐ μεμαθήκαμεν. οὔτε μὴν τῇ Βαβυλωνίων ἁρμότει πολιορκία· προφήτας γὰρ εἶχον τηνικαῦτα πολλοὺς, τὸν Ἱερεμίαν, Οὐρίαν τὸν Σαμαίου, τὸν Ἰεζεκιὴλ, Δανιήλ. ὁ δὲ ψαλμὸς φησιν· οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι· εἰ δὲ μήτε Βαβυλωνίοις, μήτε Μακεδόσιν ἁρμότει, δῆλον ὅτι τὴν ὑπὸ Ῥωμαίων ἐπενεχθεῖσαν αὐτοῖς πανωλεθρίαν προαγορεύει, μεθ' ἣν οὐδεμιᾶς ἀνακλήσεως ἔτυχον, τῆς κατὰ τὸ σωτῆρος ἀσεβείας τίνοντες δίκας. θαυμάσας δὲ ἄξιον τὴν ἄῤῥητον ἀγαθότητα τοῦ Δεσπότου· ὅτι καὶ προειδὼς αὐτῶν ἀκριβῶς τὴν ἀπείθειαν, τῇ προφητείᾳ τῶν ἐσομένων κακῶν ἀποτρέπειν τῆς ἀσεβείας πειρᾶται. δηλοῖ δὲ ὅμως καὶ αὐτὸ τοῦ ψαλμοῦ τὸ προοίμιον, ὡς ταύτην ἡ πρόῤῥησις τὴν ὑπόθεσιν ἔσχε. Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; Οὔτε γὰρ, ὡς ἐπὶ Βαβυλωνίοις, τῇ δουλείᾳ τὸν ἑβδομηκοντούτην ὥρισας χρόνον,

νον, οὔτε ὡς ἐπὶ Ἀντιόχου, τὰ ἑπτὰ ἤμισυ ἔτη, κατὰ τὴν τοῦ Δανιὴλ προφητείαν, ἀλλ' εἰς τέλος ἀπώσω, καὶ πανωλεθρίαν κατεψηφίσω. ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σε. ἐπίμονον ἔχες τὴν κατὰ τῶν προβάτων τῶν σῶν ἀγανάκτησιν. β'. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς. Ἄνωθεν καὶ ἐξ ἀρχῆς ἡμέτερος ἐπεκλήθης Θεὸς, καὶ σὸς ἐχρηματίσαμεν Δέσποτα λαός. ἐλυτρώσω ῥάβδον κληρονομίας σου. τῆς σῆς γὰρ ἀπολαύσαντες βοηθείας, τῆς Αἰγυπτίων ἀπηλλάγημεν δουλείας· κληρονομίαν δὲ αὐτοὺς καὶ ὁ μακάριος ἐκάλεσε Μωσῆς. ἐγενήθη γάρ φησι μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. ῥάβδον δὲ τὸ βασιλικὸν ὠνόμασε σκῆπτρον, ἀντὶ τοῦ, σὴ ἐξ ἀρχῆς ἐγενόμεθα μερὶς, σὸς ὠνομάσθημεν κλῆρος, ὑπὸ τὴν σὴν ἐτελέσαμεν βασιλείαν. οὕτω καὶ ἐν τῷ ΜΔ' ψαλμῷ τὸ βασιλικὸν σκῆπτρον προσηγόρευσε ῥάβδον. ἔφη γάρ· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. τῆς δὲ Αἰγυπτίων ἡμᾶς δουλείας ἐλευθερώσας, εἰς τὴν ἐπηγγελμένην τοῖς πατράσιν εἰσήγαγες γῆν, καὶ σαυτῷ τὸ Σιὼν ἀφιέρωσας ὄρος, ἵνα ὡς ἐν βασιλείοις τισὶν οἰκῶν, τὸν σὸν ἰθύνῃς λαόν. ταῦτα δὲ προελέγετο, μήπω τῶ ἐν Ἱερσολύμοις οἰκοδομηθέντος νεώ· μετὰ γὰρ τὸν Δαβὶδ, καὶ τὸν Ἀσὰφ, ὁ Σολομὼν τῶτον ἐδείματο. γ'. Ἔπαρον τὰς χεῖράς σε ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. Ἀπαίτησον αὐτὲς τῆς ἀλαζονείας εὐθύνας· τὸ δὲ ἔπαρον τὰς χεῖράς σε, ἐκ μεταφορᾶς τέθεικε τῶν ταῖς χερσὶ τὲς ἁμαρτάνοντας μασιγόντων. τῶτο δὲ ἡ προφητικὴ εἴρηκε χάρις, εἰδυῖα τὲς πολεμίες δυσσεβείᾳ συζῶντας· ἐδὲ γὰρ ὑπὲρ τῶ σαυρωθέντος ζηλώσαντες, ἐκεῖνον τὸν πόλεμον ἀνεδέξαντο, ἀλλὰ τὴν οἰκουμένην δουλέμενοι· ἐχρῆτο δὲ αὐτοῖς ὅμως ὁ Θεὸς, ὡς δημίοις, δι' αὐτῶν τὲς ἠσεβηκότας κολάζων. ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. ἔτε ὁ Ἑβραῖος, ἔτε οἱ λοιποὶ ἑρμηνευταὶ, ἔτε μὲν οἱ ἑβδομήκοντα ἐν τῷ ἑξαπλῷ πληθυντικῶς ἐν τοῖς ἁγίοις τεθείκασιν· ἀλλ' ἑνικῶς, ἐν τῷ ἁγίῳ σε· ὡς εἶναι δῆλον, ὅτι περὶ τῶ ναῶ ταῦτα οἱ λέγοντες λέγεσιν, ὀλοφυρόμενοι καὶ θρηνοῦντες τὰ ὑπ' ἐκείνων εἰς τῶτον γεγενημένα. ταύτῃ δὲ τῇ διανοίᾳ καὶ τὰ ἑπαγόμενα συμφωνεῖ. δ'. Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἐν τῇ τῶ πάσχα γὰρ ἑορτῇ, παντὸς τῶ λαῶ κατὰ τὸν νόμον συναθροισθέντος, τὴν στρατιὰν ὁ Τῖτος παρακαθίσας, ἐπολιόρκησε τὴν ἐκείνων μητρόπολιν. ἐπειδὴ γὰρ ἐν τῇ τοῦ πάσχα ἑορτῇ τῷ σαυρῷ τὸν σωτῆρα προσήλωσαν, κατὰ τὸν αὐτὸν καιρὸν τίνουσι τῆς ἀσεβείας ποινήν. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα. ε'. Καὶ ἐκ ἔγνωσαν ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. Τὰ τροπαιά φησιν, ἅπερ ἔστι σημεῖα καὶ σύμβολα νίκης, ἤγειραν ἐπάνω τῶν ἡμετέρων πυλῶν, γνώριμον ἅπασι τοῖς μετὰ ταῦτα καθιζῶντες τὴν νίκην. ϛ'. Πιλάτος δὲ τὰ βασιλικὰ σημεῖα παρὰ τὸν νόμον εἰς τὴν πόλιν εἰσήγαγε, καὶ χοίρου δὲ πρότομὴν οἱ Ῥωμαίων

μαίων

μαίων βασιλεῖς τοῖς τῆς πύλης ἐνεκόλαψαν λίθοις· διὰ τούτων δὲ πάντων ἐμάνθανον, ὡς ἔρημοι τῆς θείας κηδεμονίας ἐγένοντο. ταῦτα καὶ ὁ Κύριος ἐν τοῖς θείοις εὐαγγελίοις προεῖπεν. ὅτ' ἂν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη. Ὡς ἐν δρυμῷ ξύλων ἀξίνας ἐξέκοψαν ς'. Τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό· ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ὑλοτομικοῖς καὶ τεκτονικοῖς ὀργάνοις χρώμενοι, καὶ τὰς περιβόλους κατέλυον, καὶ τῶν οἰκιῶν τὰς θύρας συνέκοπτον, τὰ εὖ καὶ καλῶς ἠσκημένα ὡς δρῦν διαφθείροντες. ζ'. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου εἰς τὴν γῆν· ἐβεβήλωσαν τὸ σκήνωμα τῷ ὀνόματός σου. Οὐκ ἀπέχρησεν αὐτοῖς τῶν ἄλλων οἰκιῶν ἡ πόρθησις, ἀλλὰ καὶ κατὰ τῶ ἀφιερωμένου σοι νεὼ τὴν μανίαν ἐξέτειναν· καὶ τὰ μὲν πυρὶ παρέδοσαν, τὰ δὲ κατέλυσαν ταῖς χερσὶν, ὡς κοινοῖς τοῖς ἁγίοις χρησάμενοι. η'. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν, αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτὸ, δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τῷ Θεῷ ἀπὸ τῆς γῆς. θ'. Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Μετὰ πολλῆς ἐπελθόντες ἡμῖν τῆς συμφωνίας ἕνα σκοπὸν ἔχον, τὸν ὑπὸ σοῦ δεδομένον καταλῦσαι νόμον· διὰ γὰρ τῶν ἑορτῶν, τὴν κατὰ νόμον πολιτείαν ἐδήλωσε. ταῦτα δέ φησιν ἐτόλμων, μήτε τὰς ἐπὶ τῶν προγόνων ἡμῶν ὁρῶντες θαυματουργίας, μήτε ὑπὸ προφητικῆς διελεγχόμενοι χάριτος· τούτων γὰρ ἁπάντων ἐξεφώνησε κατέσησαν ἔρημοι. πολλοὺς γὰρ καὶ μετὰ τὴν ἐπάνοδον ἔσχον προφήτας, τὸν Ἀγγαῖον, τὸν Ζαχαρίαν, τὸν Μαλαχίαν. καὶ οἱ τούτων πρεσβύτεροι προφῆται, καὶ τῷ λαῷ, καὶ τοῖς βασιλεῦσι προὔλεγον τὰ ἐσόμενα· καὶ τῶν πολεμίων τὰς ἐπιβελὰς καταδήλους ἐποίουν· καὶ τοῦτο ἐκ τῆς ἱστορίας καταμαθεῖν εὐπετές. ι'. Ἕως πότε ὁ Θεὸς ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σε εἰς τέλος. Μέχρι πότε ταῖς τούτων ἡμᾶς ἐκδίδως παρανομίαις, καὶ τὰς βλασφήμους αὐτῶν μακροθύμως φέρεις φωνάς; ια'. Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σε, καὶ τὴν δεξιάν σε ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος. Κόλπος Θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός· χεὶρ δὲ, ἡ ἐνέργεια. τί δήποτε συνήθως οὐ χορηγεῖς τὰ ἀγαθὰ, ἀλλ' ἄρεις ἀπὸ τοῦ κόλπου τὴν χεῖρα; τέθεικε δὲ αὐτὸ ἐκ μεταφορᾶς τῶν πεπληρωμένον ἐχόντων τὸν κόλπον, καὶ αἰτεμένων μὲν, δέναι δὲ μὴ βουλομένων, ἀλλ' ἐπιστρεφόντων εἰς τοὐπίσω τὴν χεῖρα. ιβ'. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. Καί τοι σὲ ἴσμεν ἄνωθεν καὶ ἐξ ἀρχῆς βασιλέα, καὶ ὡς παρὰ βασιλέως ἀεὶ τῶν δωρεῶν ἀπολαύομεν. εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. ἀμέλει δήλην ἅπασι τὴν περὶ ἡμᾶς γενομένην κηδεμονίαν πεποίηκας. τὸ γὰρ ἐν μέσῳ τῆς γῆς, ἀντὶ τοῦ πάντων ὁρώντων. ιγ'. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σε τὴν θάλασσαν. Φευγόντων γὰρ τὴν Αἰγυπτίων, καὶ ὑπὸ τῆς θαλάσσης κωλυομένων διαβῆναι, σὺ τὴν παράδοξον ἐκεί-

νην ἐδωρήσω πορείαν, τὴν ῥοώδη Φύσιν στεγανὴν ἐργασάμενος, καὶ διὰ τῶν κυμάτων τὰ ἑκατέρωθεν δομησάμενος τείχη. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. ιδ'. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος. Δράκοντας μὲν τοὺς Αἰγυπτίους καλεῖ, κεφαλὰς δὲ δρακόντων, τοὺς ἐκείνων στρατηγοὺς, καὶ ταξιάρχας, καὶ λοχαγούς. τὸν δὲ ἐγκωμιαστικῶς ὀνομασθέντα δράκοντα, τὸν Φαραὼ λέγει, τὸν πολλοῖς ἄρχουσιν ἐφεζῶτα. „λέγει δὲ „καὶ τὸν διάβολον, ὃν ἐπέδησε καὶ κα„τήργησεν ὁ νομοθέτης παραχρῆμα τῷ „ἐκουσίῳ θανάτῳ.„ διὸ καὶ πολλοὺς αὐτὸν ἔφησεν ἔχειν κεφαλάς· τούτους δὲ φησιν ἅπαντας ὑποβρυχίους ἐποίησας, καὶ ἣν ἐφ' ἡμῶν ἐκραταίωσας θάλασσαν, ἐπ' ἐκείνων διέλυσας, καὶ τοῖς ἐκείνης αὐτοὺς ἔχωσας κύμασιν. ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν. ὅμοροι τῶν Αἰγυπτίων οἱ Αἰθίοπες ὄντες, πόλεμον εἶχον πρὸς ἐκείνους συχνόν· ἀλλὰ τῷ Φαραὼ σὺν τῇ στρατιᾷ τῇ θαλάσσῃ παραδοθέντος, εὐχείρωτοι λοιπὸν οἱ Αἰγύπτιοι ἐγένοντο τοῖς Αἰθίοψι· καὶ καθάπερ τὴν τροφὴν ὁ πεινῶν ἀναλίσκει ῥᾳδίως, ἕτως αὐτοὺς εὐπετῶς μάλα κατηγωνίζοντο· διό φησιν ὁ προφητικὸς λόγος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν, ἀντὶ τοῦ, εὐαλώτους αὐτοὺς ἀπέφηνας, εὐμαρῶς ὑπὸ τῶν Αἰθιόπων παρασκευάσας ἀναλίσκεσθαι. ιε'. Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους. Ὁ δὲ Ἑβραῖος, καὶ οἱ ἄλλοι ἑρμηνευταὶ, πηγὴν εἰρήκασι. κἂν τε πηγὴν εἴπωμεν, κἂν τε πηγὰς, οὐχ ἁμαρτησόμεθα τῆς ἀληθείας. πηγὴν γὰρ τὸ ἀπὸ τῆς πέτρας ῥυὲν ὕδωρ ὁ προφητικὸς λόγος καλεῖ. ἀλλὰ τοῦτο διαιρεθὲν πολλὰς ἐποίησεν αὐλακας, ὥστε ῥᾳδίως τὰς πολλὰς ἐκείνας μυριάδας ἀπολαῦσαι τοῦ νάματος. εὑρίσκομεν δὲ τοῦτο, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς γεγενημένον. καὶ τὸ μὲν ἡ Ἔξοδος διδάσκει, τὸ δὲ ἡ βίβλος, τῶν Ἀριθμῶν. πηγὴν δὲ εἰκότως ὠνόμασε τὴν ἀναβλύσασαν πέτραν τὰ τοῦ ὕδατος ῥεύματα. χειμάρρους δὲ πάλιν αὐτὰ προσηγόρευσεν, ὡς μὴ κατὰ Φύσιν ῥεύσαντα, ἀλλὰ τότε πρῶτον ἀναδοθέντα. καθάπερ γὰρ ὁ χειμάρρους οὐκ ἔστιν ἀέναος, ἀλλ' ἐκ τῶν ὑετίων ὑδάτων συνίσταται· ἕτω τοῖς θείοις ἐκεῖνο νεύμασιν ἀνεδόθη τὸ ὕδωρ. σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ. ὁ δὲ Σύμμαχος ἕτως· σὺ ἐξήρανας ποταμοὺς ἀρχαίους. τοὺς μὲν γὰρ μὴ ὄντας, μήτε ἐξ ἀρχῆς γενομένους, ἀναβλύσαι ἐν τῇ ἐρήμῳ προσέταξας· τοὺς δὲ πάλαι γεγονότας, καὶ ἀρχαίαν ἐχηκότας πορείαν, τοῦ τρέχειν ἔπαυσας ἐθελήσας· τοῦτο καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ· ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν· γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων, καὶ κατῴκησεν ἐκεῖ πεινῶντας. τοὺς μὲν γὰρ Σοδόμων καὶ Γομόρρων, καὶ τῶν ἄλλων περιοίκων κατεξήρανε ποταμοὺς, διὰ τὴν τῶν οἰκητόρων παρανομίαν· τῇ δὲ ἀνύδρῳ γῇ τὸν ἀπὸ τῆς πέτρας ἔδωκεν ὀχετὸν, τῷ διψῶντι λαῷ προσφέρων τὰ νάματα. ῥᾴδιον γὰρ αὐτῷ ὡς βούλεται μετοχετεῦσαι τῶν ὑδάτων τὴν Φύσιν. διὰ μέντοι τοῦτο καὶ ἕτερον ὁ λόγος παρα-

παραδηλοῖ, ὡς Ἰουδαίοις μὲν διὰ τὴν παρανομίαν τῶν προφητικῶν ποταμῶν ἀπροσοίσει τὰ νάματα· τὰ δὲ ἔθνη, τὰ πάλαι ἔρημα, τοῖς ὑπὸ τῆς πέτρας ἀρδεύσει κρουνοῖς. ἡ δὲ πέτρα, ἣ φησὶν ὁ θεῖος ἀπόστολός ἐστιν ὁ Χριστός· καὶ ἅπαντα τάδε τὰ εἰρημένα ἀπὸ τοῦ, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς, τῶν ἡμετέρων εὐεργεσιῶν περιέχει τὸν τύπον. καὶ γὰρ ἐκεῖ δι' ὑδάτων ἡ τῆς δουλείας ἀπαλλαγὴ, καὶ ἐνταῦθα δι' ὑδάτων ἐλευθερίας ἀρχή. ἐκεῖ δρακόντων κεφαλαὶ τοῖς ὕδασι συντριβόμεναι, καὶ ἐνταῦθα δυναστείαι δαιμόνων καταλυόμεναι τῇ τοῦ βαπτίσματος χάριτι. ἐκεῖνοι εὐχείρωτοι μετὰ τὴν θάλασσαν ἐγένοντο τοῖς Αἰθίοψι, καὶ οἱ ἡμέτεροι πολέμιοι μετὰ τὴν ἁγίαν κολυμβήθραν εὐκαταγώνιστοι ἐγένοντο τοῖς πάλαι μελαίνας τὰς ψυχὰς ἐχηκόσι· καὶ τἄλλα δὲ τέτοις ὁμοίως ῥᾴδιον συνιδεῖν τοῖς προσέχειν ἐθέλουσιν. „ ἐκεῖ ῥάβδος, ἐνταῦθα σταυρός· ἐκεῖ „ Μωϋσῆς, ἐνταῦθα ἀρχιερεῖς· ἐκεῖ θά„ λαττα, ἐνταῦθα κολυμβήθρα· ἐκεῖ „ δώδεκα πηγαὶ, ἐνταῦθα δώδεκα ἀπό„ στολοι· ἐκεῖ ἑβδομήκοντα στέλεχοι, ἐν„ ταῦθα ἑβδομήκοντα βίβλοι. „ ἡμεῖς δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας βαδίσωμεν. ιε'. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω φαῦσιν, καὶ ἥλιον. ιζ'. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς· θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά. Ἀπὸ τῶν ἰδικῶν εὐεργεσιῶν ἐπὶ τὰς κοινὰς τὸν λόγον μετήνεγκε, καὶ κτίσην εἶναι διδάσκει τοῦ παντὸς τὸν τῶν ὅλων θεὸν, ἡμέρας τε καὶ νυκτὸς ποιητὴν, φωτὸς χορηγὸν, καὶ ἡλίου δημιουργὸν, καὶ τοῦ χρόνου πρύτανιν. διὰ γὰρ τοῦ ἔαρος καὶ τοῦ θέρους, ἐδήλωσε τὰς τροπάς. ἀντὶ δὲ τοῦ, σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς, ὁ μὲν Ἀκύλας, καὶ ὁ Θεοδοτίων, ἐξήλωσας, ὁ δὲ Σύμμαχος ἔτησας εἰρηκε. δηλοῖ δὲ ὁ λόγος, ὡς αὐτὸς αὐτῇ τὸ εἶναι δέδωκε, καὶ τὰ μὲν αὐτῆς εἰς πεδία, τὰ δὲ εἰς ὄρη καὶ νάπας ἀπένειμε· τὰ δὲ ἐκοίλανεν εἰς ὑποδοχὴν λιμναίων καὶ θαλατλίων ὑδάτων. ιή. Μνήθητι ταύτης. Ταῦτά φησιν ἅπαντα πεποιηκὼς ὁ τῶν τοσούτων καὶ τηλικούτων δημιουργὸς, μνήθητι ταύτης, τοῦτέστι τῆς συναγωγῆς, ἧς ἐκτήσω ἀπ' ἀρχῆς· πρὸς ἐκεῖνο γὰρ ἀποδέδωκε τοῦτο. ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. μὴ εἰς ἡμᾶς, φησὶν, ἀπίδῃς, ἀλλ' εἰς τὰς τῶν δυσμενῶν βλασφημίας. ιθ'. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. Οὐχ ἁπλῶς ὁ προφητικὸς πᾶσιν ἐπεύχεται λόγος· ἀλλὰ τοῖς τὸ θεῖον ὁμολογοῦσιν ὄνομα αἰτεῖ τὰ ἀγαθὰ, „ τοῖς „ ὁμολογοῦσι τὸν σταυρωθέντα Θεὸν ἐκ „ Θεοῦ, καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος „ ὁμοούσιον. „ θηρία δὲ καλεῖ, „ οὐ μόνον „ τὴν τῶν πολεμίων ὠμότητα, „ ἀλλὰ καὶ τῶν ἀθετούντων τὸν σταυ„ ρωθέντα καὶ μὴ ὁμολογούντων ὡς εἴρη„ ται Θεόν. „ τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. καὶ πένητες δὲ εἶεν ἂν οἱ τὸ φρόνημα ταπεινοί. μακάριοι γὰρ 8) „ ὡς αὐτὸς ὁ Κύ„ ριος ἐν εὐαγγελίοις φησὶ, „ οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. κ'. Ἐπίβλεψον εἰς τὴν διαθήκην τῶν δέλων σου, ὅτι

ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Οἱ γὰρ τῆς σῆς αἰγλης ἐκ ἀπολαύσαντες, ἀλλ' „ἄν-„θρωπόν σε μετὰ τῶν Ἰουδαίων βλασφη-„μοῦντες, καὶ μὴ ὁμολογοῦντές σε ἥλιον „δικαιοσύνης, καὶ „ τὸ τῆς ἀγνοίας ἀγα-πήσαντες σκότος, ἀνομίας καὶ τῆς ἐντεῦ-θεν φυείσης τιμωρίας μεσὰς ἔχουσιν οἰκίας, ἀντὶ τῦ, παντοδαπεῖς κακοῖς παρεδόθησαν, διὸ προείλοντο σκότος. κα'. Μὴ ἀποσραφήτω τεταπεινω-μένος κατηχυμμένος. Ἱκετεύομεν μὴ διαμαρτεῖν τῆς δεήσεως, μηδὲ μετ' αἰσχύνης ἀποπεμφθῆναι. πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου. οἱ δὲ τῆς σῆς δεόμενοι βοηθείας, καὶ ταύ-της τυχόντες, προσφέρειν σοι τὸν ὕμνον εἰώθασιν. κβ'. Ἀνάστα ὁ Θεὸς, δίκασον τὴν δίκην σε. μνήσθητι τῦ ὀνειδισμῦ σε, τῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Σφόδρα δὲ ἁρμοδίως τὴν ἀντωνυμίαν ἐνήλλαξεν· ἐκ εἶπε τὴν δίκην μὲ, ἀλλὰ τὴν δίκην σε. ἐγὼ μὲν γάρ φησιν ἐνδίκως ὑπέμεινα ταῦτα· ἐκεῖνοι δὲ πολλὰς ἐτόλ-μησαν κατὰ σῦ βλασφημίας. „οἱ μὲν „σαυρώσαντες, οἱ δὲ καὶ μετὰ τὸν σαυ-„ρὸν καὶ τὸ βάπτισμα ἀθετήσαντες. „ κγ'. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκε-τῶν σε· ἡ ὑπερηφανία τῶν μισέντων σε ἀνέβη διὰ παντός. Καὶ ἐν-ταῦθα τῷ ἑαυτῶν προσώπῳ τὴν τῶν πολεμίων ἀλαζονείαν συνέζευξαν, ἐ δι' ἑαυτὸς, ἀλλὰ δι' ἐκείνης, φειδῆς τινὸς ἀξιωθῆναι παρακαλῆντες.

ΕΡΜΗΝ. ΤΟΥ οδ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Ἀσὰφ ψαλμὸς ᾠδῆς. Ὁ δὲ Σύμμαχος, ἐπινίκιος περὶ ἀφθαρσίας ψαλμὸς τῷ Ἀσάφ· ἐπειδὴ πρόρρησιν ὁ ψαλμὸς ἔχει τῆς δικαίας τῦ Θεῦ κρί-σεως, καὶ προαγορεύει καὶ τῶν ἐργατῶν τῆς πονηρίας τὸν ὄλεθρον, καὶ τῶν τῆς ἀρετῆς ἐραστῶν τὰς ἀγαθὰς ἀντιδόσεις· εἰκότως διὰ τῆς ἐπιγραφῆς ὁ λόγος πα-ρακελεύεται, μὴ διαφθεῖραι τὰς εὐσε-βεῖς λογισμὰς, ἀλλ' ὑγιεῖς αὐτὰς φυ-λάξαι, καὶ τὴν ἀφθαρσίαν κληρονομῆ-σαι· εἴρηται μέντοι καὶ ἔτος ὁ ψαλμὸς ἐκ προσώπε τῶν ἐν Βαβυλῶνι δορυαλώ-των, ὑμνεῖν τὸν Θεὸν ὑπισχνουμένων, ἐὰν τῆς θείας χάριτος ἀπολαύ-σωσιν. β'. Ἐξομολογησόμεθά σοι ὁ Θεὸς, ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Καὶ ἐν-τεῦθεν δῆλον, ὡς ἀδέπω τῆς ἐπανόδε τε-τυχηκότες ταῦτα διεξίασιν. ὑπισχνῦνται δὲ τὸν Θεὸν ὑμνεῖν, καὶ τῷ σεβασμίῳ αὐτῦ ὀνόματι λαμπρυνθήσεσθαι· τὸ γὰρ ἐπικαλεσόμεθα τὸ ὄνομά σε τῦτο δηλοῖ, ὅτι πάλιν τῷ σῷ ὀνόματι προσαγορευ-θησόμεθα, καὶ λαὸς χρηματίσομεν σός. Διηγήσομαι πάντα τὰ θαυμάσιά σε. γ'. Ὅτ' ἂν λάβω καιρόν. Ὁ δὲ Ἀκύλας καὶ Σύμμα-χος ἔτως· ὅτ' ἂν λάβω τὴν συναγω-γήν· ὅτ' ἂν φησιν ἐπανέλθωμεν, καὶ εἰς τὸν ἱερόν σε συναθροισθῶμεν νεῶν, τότε σὲ καὶ ἐννόμως ὑμνήσομεν, καὶ τὰς σὰς εὐεργεσίας τὰς ἀγνοῦντας διδάξομεν· ἐκεῖνος γὰρ ἡμῖν ὁ καιρὸς τῦ-το ποιεῖν ἐπιτρέψει· νῦν γὰρ βοῶμεν, πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίε ἐπὶ γῆς ἀλ-λοτρίας; ἔτως ὁ προφητικὸς λόγος, ἃ ἐχρῆν εἰπεῖν τὰς ἐν Βαβυλῶνι δορυα-λώτας διδάξας, „καὶ τὰς διὰ μετα-νοίας

„νοίας ἐπιστρέφοντας πρὸς τὸν σωτῆρα „τῶ παντὸς παιδαγωγήσας „ ὑποδείκνυσι τὸν Θεὸν πρὸς τὰς γεγενημένας ἐπαγγελίας ἀποκρινόμενον, καὶ λέγοντα, ἐγὼ εὐθύτητας κρινῶ. ἐνδίκως, φησὶν, ὑμῖν καὶ Βαβυλωνίοις δικάσω. δ΄. Ἐτάκη ἡ γῆ, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Πάσης γάρ εἰμι τῆς οἰκουμένης κριτὴς, καὶ ἅπασι τὰς ἀξίας ἐποίσω τιμωρίας. ἐγὼ ἐξερέωσα τοὺς σύλους αὐτῆς· ἐγκρατὴς δὲ πάντων εἰμὶ, ὡς ἁπάντων ὑπάρχων δημιουργός. ἐγὼ γὰρ τὴν γῆν πεποίηκά τε καὶ ἥδρασα, οἷον σύλοις τισὶ τοῖς ἐμοῖς αὐτὴν ὄρεσι ἐρείσας· πρόσταγμα γὰρ ἐθέμην, καὶ ὁ παρελεύσεται· διὰ τοῦτο καὶ δικαστὴς ὢν, κολάζειν μὲν ὁ βούλομαι, ἀλλὰ προλέγω τοῖς τιμωρίας, ἵνα τῇ ἀπειλῇ σωφρονέσεροι τοὺς πλημμελοῦντας ἐργάσωμαι· καὶ παραινῶ, καὶ συμβουλεύω, πᾶν μὲν εἶδος ἀνομίας μυσάττεσθαι, ἐπιμελεῖσθαι δὲ τοῦ δικαίου, καὶ τοῦ μετρίου φρονήματος· ταῦτα γὰρ διὰ τῶν ἐπαγομένων ἐδίδαξεν. ε΄. Εἶπον τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας. Τοῦτο γὰρ πάντων χαλεπώτατον πάθος, τὸ μὴ μόνον ἁμαρτάνειν, ἀλλὰ καὶ γαυριᾶν ἐπὶ τούτῳ. ς΄. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν. Εἶτα δείκνυσι ποῖον ὕψος καλεῖ. καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν. καὶ γὰρ τὰ κερασφόρα ζῶα σφόδρα ἐπὶ τοῖς κέρασι γαυριᾷ· παρεγγυᾷ δὲ αὐτοῖς ὁ λόγος, μὴ αὔξειν τῇ ἀλαζονείᾳ τὴν ἀνομίαν, μηδὲ κατὰ τοῦ Θεοῦ τὴν γλῶτταν κινεῖν. ζ΄. Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων· ἡ. Ὅτι ὁ Θεὸς κριτής ἐστιν. Ἐξόδους τὰς ἀνατολὰς εἴρηκεν· οὕτω δὲ καὶ ἡ πέμπτη ἔκδοσις· ἔρημα δὲ ὄρη, τὰ βόρεια καὶ τὰ νότια τμήματα. ταῦτα γὰρ διὰ ἄκραν ψυχρότητα καὶ θερμότητα, ἀοίκητα μεμένηκε παντελῶς· διδάσκει τοίνυν, ὅτι τῶν ἀδυνάτων ἐστὶ τοῦ Θεοῦ τὴν κρίσιν διαφυγεῖν· κἂν γὰρ τὰ ἑῷα καταλάβῃ, κἂν τὰ ἑσπέρια, κἂν εἰς τὰ νότια, κἂν εἰς τὰ βόρεια πειραθῇ διαδρᾶναι, τῇ θείᾳ ὑπόκειται ψήφῳ. εἶτα διδάσκει τὰς τοῦ βίου μεταβολὰς, γνώμῃ Θεοῦ γινομένας. Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ. θ΄. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἶνος ἀκράτου πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. Περὶ δὲ τοῦ ποτηρίου, καὶ ἡ τοῦ θεσπεσίου Ἱερεμίου προφητεία διδάσκει· κελεύεται γὰρ ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ τοῦτο λαβεῖν, καὶ ποτίσαι τὴν Ἱερουσαλὴμ, καὶ τοὺς ἄρχοντας, καὶ τὰ ὅμορα ἔθνη· οἶνον δὲ τὴν τιμωρίαν καλεῖ, ὡς τῇ μέθῃ παραπλησίως ἀφαιρεμένην τὴν δύναμιν, καὶ τὰς τῶν μορίων διαλύουσαν ἁρμονίας· λέγει τοίνυν ὁ προφητικὸς λόγος, ὅτι ποτὲ μὲν ἡμῖν, ποτὲ δὲ ἐκείνοις ὁ δίκαιος κριτὴς προσφέρει τὴν τιμωρίαν· καὶ νῦν μὲν τοῦτον ὑψοῖ, ἐκεῖνον δὲ ταπεινοῖ, καὶ πάλιν τὸ ὕψος μετατίθησιν εἰς ἑτέρους, καὶ συμφορὰς ἐναλλάττει, καὶ εὐημερίας μεταβάλλει. ταῦτα δὲ οὐχ ἁπλῶς οἱ ἐν Βαβυλῶνι δορυάλωτοι ἐδιδάσκοντο λέγειν, ἀλλὰ προπαιδευόμενοι καὶ τὴν Βαβυλωνίων δουλείαν, καὶ τὴν οἰκείαν ἐλευθερίαν. ἐκ εἰς μακρὰν γὰρ ὁ Κῦρος ἐκείνων μὲν τὴν δύναμιν κατέλυσε, τούτοις δὲ τὴν προτέραν ἐλευθερίαν ἀπέδωκε.

πλὴν

πλὴν ὁ τρυγίας αὐτῷ ἐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. τὴν χαλεπωτέραν τιμωρίαν τρυγίαν ἐκάλεσεν. ἐγὼ μὲν φησὶ τὸ διεδέξερον ἔπιον, τοῦτ' ἔστιν ἐλάττοσιν ὑπεβλήθην κακοῖς· αὐτὴν δὲ τὴν ὑποταθμὴν Βαβυλώνιοι πίονται· ἀντὶ τοῦ, χαλεπώτερα ὧν εἰργάσαντο πείσονται· ἐγὼ μὲν γὰρ ἑβδομήκοντα ἔτη δουλεύσας τῆς ἐπανόδου τετύχηκα, ἐκεῖνοι δὲ διηνεκεῖ δουλείᾳ παραδοθήσονται. ί. Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ. Ὥσπερ γὰρ ἡμῶν πιόντων ἐκεῖνοι τοῖς ἡμετέροις κακοῖς ἐπετώθαζον· ἔτως ἡμεῖς τὴν ἐκείνων τιμωρίαν ὁρῶντες, τῷ Θεῷ τὴν ὑμνῳδίαν προσοίσομεν· ἐκ ἐκείνοις ἐπεμβαίνοντες, ἀλλ' εὐγνώμονες περὶ τὰς εὐεργεσίας γενόμενοι. ιά. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου. Διὰ τούτων δὲ τῶν λόγων προεδιδάχθησαν, ὡς καὶ τοὺς ἐπιστρατεύσαντας αὐτοῖς μετὰ τὴν ἐπάνοδον καταλύσουσι πολεμίους. διό τοι τοῦτο καὶ πάντα εἶπε τὰ κέρατα τῶν ἁμαρτωλῶν, ἐπειδὴ ἐκ διαφόρων συλλεγέντες τῶν ἐθνῶν, τὸν κατ' αὐτῶν ἀνεδέξαντο πόλεμον· μέμνηται δὲ τούτων καὶ ἡ τοῦ Ἰεζεκιὴλ προφητεία, καὶ μέντοι καὶ ἡ τοῦ Μιχαίου, καὶ ἡ τοῦ Ζαχαρίου· ὧν καταλυθέντων λαμπροὶ ἐγένοντο καὶ περίβλεπτοι, ἅτε δὴ τοιαύτην κατορθώσαντες νίκην. κέρας δὲ δικαίου τὸ εὐσεβὲς ἐκάλεσε φρόνημα. εἰ δέ τις τὸν Ζοροβάβελ νοῆσαι βελτιθείη, τὸν ἐνταῦθα καλούμενον δίκαιον, ᾧ χρησάμενος ὁ Θεὸς ὑπουργῷ τὴν νίκην ἐκείνην εἰργάσατο, τῆς ἀληθείας ἐκ ἁμαρτήσεται.

ΕΡΜΗΝ. ΤΟΥ οε΄ ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον. Τὴν τοῦ Ἀσσυρίου προθήκην ἐκ εὗρον ἐν τῷ ἑξαπλῷ, ἀλλ' ἐν ἑνίοις ἀντιγράφοις. ταύτην μέντοι ἔχει τὴν ὑπόθεσιν ὁ ψαλμός· τὰ γὰρ κατὰ τὸν Σενναχηρεὶμ προθεσπίζει, καὶ τὴν ἐπενεχθεῖσαν τῇ στρατιᾷ τιμωρίαν. β΄. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Ἐν μιᾷ γὰρ νυκτὶ τῶν τοσούτων μυριάδων δι' ἀγγέλου τὴν θανατηφόρον δεξαμένων πληγὴν, δῆλος ἐγένετο πᾶσιν ὁ τῶν ὅλων Θεὸς, ἄγαν τοῦ Ἰσραὴλ προμηθούμενος, καὶ ἐν τῇ Ἰουδαίᾳ τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν. γ΄. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών. Τοῦ γὰρ πλήθους ἀναιρεθέντος, οἱ ὑπολειφθέντες διέδρασαν, ἄγγελοι τῆς θείας γεγενημένοι δυνάμεως. τότε χάριν, σὺν τοῖς ἄλλοις ἐκ ἀνηρέθησαν. ἐντεῦθεν ἡ πόλις τῆς εἰρήνης ἀπήλαυσε, καὶ ὑπέλαβον ἅπαντες, ὡς ἀληθῶς ἐν τῇ Σιὼν κατοικεῖν ηὐδόκησεν ὁ Θεός· εἶτα διδάσκει, πῶς γνωστός ἐστιν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. δ΄. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον. Πρὸ τῶν τῆς πόλεως φησι περιβόλων, ὁπλίτας κατὰ ταυτὸν, καὶ τοξότας, καὶ πελταστὰς ἀνελὼν, ἄχρηστα παντελῶς τὰ τούτων ἀπέφηνεν ὅπλα. ε΄. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. Ὁ δὲ Σύμμαχος ἔτως, ἐπιφανὴς εἶ ὑπερμεγέθης ἀπὸ ὀρέων θήρας· ἐν γὰρ τοῖς ἡμετέροις ὄρεσι τῇ θήρᾳ τὸ θανάτῳ τὰς δυσμενεῖς παραδοὺς,

δὲς, ὑπερμεγέθης καὶ ἐπιφανὴς παρὰ πᾶσιν ἀνεδείχθης. Φωτίζεις γὰρ τῷ θαύματι τὲς ἀγνοοῦντας, καὶ διδάσκεις ὅσις ὑπάρχεις. ς'. Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ· ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν. Μείζονι γὰρ φρονήματι χρησάμενοι κατὰ σὲ, ἀθρόαν ὑπέμειναν ταραχὴν, διὰ τὴν τῆς ψυχῆς ἀφροσύνην. καὶ ἀδεῶς καθεύδειν ὑπολαβόντες, τῆς ἐλπίδος ἐψεύσθησαν. τὸν γὰρ ὕπνον θανάτου διεδέξατο· τὲτο καὶ ἡ ἱσορία διδάσκει, ὅτι ἀναξάντες εὗρον ἅπαντα τὰ σώματα νεκρά. πάντες οἱ ἄνδρες τῇ πλέτῳ ταῖς χερσὶν αὐτῶν. ὁ δὲ Σύμμαχος ἕτως, πάντες οἱ ἄνδρες οἱ ἰσχυροὶ τὰς χεῖρας αὐτῶν. ἐδὲν αὐτὲς, φησὶν, ὤνησε τῶν χειρῶν ἡ ῥώμη, δι' ἧς τὸν ἁπάντων ἁρπάσειν προσεδόκησαν πλῆτον· καὶ διδάσκων τί δήποτε οὐδὲν ἐντεῦθεν ἀπώναντο, ἐπήγαγεν· ζ'. Ἀπὸ ἐπιτιμήσεώς σου ὁ Θεὸς Ἰακὼβ ἐνύσαξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. Ἐνευσάς φησι, καὶ παραχρῆμα κατέπεσον οἱ τὴν ἱππικὴν εὐδείαν ἀλαζονευόμενοι τέχνην· διὰ δὲ τῆ ἐνύσαξαν τὴν τῆ θανάτῳ ἐδήλωσεν εὐκολίαν. καθάπερ γὰρ ὁ νυσάζων ῥαδίως ἐθελήσας καθεύδει, οὕτως ἐκεῖνοι σύντομον ἐδέξαντο τῇ βίᾳ τὸ πέρας. ἡ. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; Τίς γὰρ ἱκανὸς ἀντιστῆναί σοι, καὶ διαφυγεῖν τὴν ἐπαγομένην παρὰ σοῦ τιμωρίαν; ἀπὸ τότε ἡ ὀργή σου. εὐθὺς τῆς βλασφημίας ἀκούσας, ἠδύνασο τὰς ἀλιτηρίας κολάσαι, ἀλλ' ἐμακροθύμησας προσμένων τὴν μεταβολήν. θ'. Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν. Ἄνωθέν φησιν ἐκφέρεις τὰς ψήφους καθ' ὧν ἐθέλεις· τὸ μέντοι ἠκούτισας, ἀκουστὴν ποιήσεις ὁ Σύμμαχος εἰρηκε· Γῆ ἐφοβήθη, καὶ ἡσύχασεν, ἰ. Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, τῦ σῶσαι πάντας τὲς πραεῖς τῆς γῆς. Δέους φησὶν ἐπλήσθησαν ἅπαντες, καὶ τῆς καθ' ἡμῶν ἐπαύσαντο προσβολῆς, θεασάμενοί σε καθάπερ τινὰ δικαστὴν, κατ' ἐκείνων μὲν ἐξενεγκόντα τὴν ψῆφον, τὲς δὲ ὀρθοῖς λογισμοῖς χρησαμένες, καὶ τὴν σὴν βοήθειαν ἀπαγγείλαντας, τῆς σωτηρίας τετυχηκότας. ια'. Ὅτι ἐνθύμιον ἀνθρώπε ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίε ἑορτάσει σοι. Τούτων ἀπολαύσαντες τῶν ἀγαθῶν, εἰς ὑμνῳδίαν ἀφιερῶμεν τὲς λογισμὲς, ἐδὲ βραχὺ αὐτῶν μόριον εἰς ἑτέραν ἀσχολῆντες φροντίδα. ιβ'. Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ἀλλήλοις ἐγκελεύονται καὶ ὑποχέδαι δῶρα, καὶ πληρῶσαι τὰς ὑποχέσεις. αἰσχρὸν γὰρ καὶ ἀγνωμοσύνης μεστὸν, τὲς μὲν ὁμόρες ἅπαντας τῆτο δρᾶσαι διὰ τὸ δέος, τὲς δὲ τῆς εὐεργεσίας τετυχηκότας ἀχαριστίᾳ νοσῆσαι. τῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ, ιγ'. Καὶ ἀφαιρεμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Κομιῶσι δὲ τὰ δῶρα, ὑπὸ τῶν γεγενημένων ἐκδειματωθέντες θαυμάτων, καὶ διὰ τῶν πραγμάτων μεμαθηκότες, ὡς οὗτος ἀληθῶς ὑπάρχει Θεὸς, ὁ καὶ τοῖς δυναστεύουσι, καὶ τῆς γῆς βασιλεύειν ὑπειληφόσι, θάνατον ἐπάγων.

ΕΡΜΗΝ. ΤΟΥ οε' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθεὺμ, ψαλμὸς τῷ Ἀσάφ. Ὁ δὲ Σύμμα-

χος, διὰ ἰδιοθυμί· χοχὸν δὲ καὶ αὐτὸς ἐπεπίστευτο τὸν Θεὸν ἀνυμνέντων· τέτον τοίνυν ὁ Ἀσὰφ, ἢ αὐτὸς εἰρηκὼς, ἢ τῇ τε Δαβὶδ ὑπεργῶν προφητεία. ἀποφήνασθαι γὰρ περὶ τῶν ἀμφιβαλλομένων οὐκ ἀκίνδυνον. προλέγει δὲ τῶν ἐν Βαβυλῶνι δεδεύειν ἠναγκασμένων Ἰσραηλιτῶν, καὶ τὰς τῶν λογισμῶν διχονοίας, καὶ τὰς ἐντεῦθεν φυομένας ὀδύνας· διδάσκει δὲ καὶ ποίαν αὐτὲς προσήκει τῷ Θεῷ προσενεγκεῖν προσευχὴν, τὴν τῶν κακῶν αὐτὲντας ἀπαλλαγήν. ἐχημάτισε δὲ τὸν ψαλμὸν, ὡς μετὰ τὴν ἐπάνοδον ταῦτα αὐτὰ διηγουμένων, καὶ τὸν Θεὸν ἀνυμνέντων. β'. Φωνῇ μὲ πρὸς Κύριον ἐκέκραξα, Φωνῇ μου πρὸς τὸν Θεὸν, καὶ προσέχε μοι. Σπεδαίως, φησὶ, τὴν προσευχὴν προσενήνοχα, καὶ συντόμως τὴν αἴτησιν ἔλαβον. εἶτα τὸν τούτων διδάσκει καιρόν. γ'. Ἐν ἡμέρᾳ θλίψεώς με τὸν Θεὸν ἐξεζήτησα. Ὀδύναις γὰρ βαλλόμενος ἐπιμελῶς τὴν θείαν ἐπικουρίαν ἐξεζήτησα· τὸ γὰρ ἐξεζήτησα τὴν σπεδαίαν αἰνίττεται προσευχήν· ἔπειτα δείκνυσι τῆς ἱκετείας τὸν τρόπον. ταῖς χερσί με νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. ὁ δὲ Σύμμαχος οὕτως· ἡ χείρ μου νυκτὸς ἐκτέτακται διηνεκῶς· νύκτωρ ἡσυχίαν ἄγων τὰς χεῖρας ἐξέτεινον, τυχεῖν φιλανθρωπίας ἀντιβολῶν, καὶ ἐ διήμαρτον τῆς ἐλπίδος. τέτο γὰρ σημαίνει τὸ οὐκ ἠπατήθην, ἀντὶ τε, ἐμάτην ἠγρύπνησα, ἀλλ' ἐδρεψάμην τῆς εὐχῆς τὸν καρπόν. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μὲ. δ'. Ἐμνήσθην τε Θεε, καὶ εὐφράνθην. Πᾶσαν μὲν ἀπεσεισάμην παραψυχῆς ἀφορμὴν, ψυχαγωγίαν δὲ μόνην εἶχον τοῦ Θεοῦ τὴν μνήμην. ἠδολέχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. ὁ δὲ Σύμμαχος οὕτως· διελάλουν ἐμαυτῷ, καὶ ἐλειποθύμουν συνεχῶς ἐμαυτῷ προσδιαλεγόμενος, καὶ τὰ συνέχοντά με κακὰ λογιζόμενος, ἀπηγόρευον τὴν τούτων ἀπαλλαγὴν, καὶ πικρᾶς ἐδεχόμην τῆς ἀθυμίας τὰς ἀκίδας. ε'. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. Φυλακὰς καλεῖ, τὰς τῆς νυκτὸς διαιρέσεις, καθ' ἃς οἱ φύλακες ἀλλήλοις τὴν φυλακὴν ἐγχειρίζεσι· δηλοῖ δὲ διὰ τούτων τὴν διὰ πάσης τῆς νυκτὸς ἀγρυπνίαν. ἐταράχθην, καὶ οὐκ ἐλάλησα. ταῦτα οἱ αὐτοὶ καὶ ἐν τῷ ΜΑ' ψαλμῷ· πρὸς ἐμαυτὸν ἡ ψυχή μὲ ἐταράχθη· ἐγὼ γὰρ ἠνεχόμην ἄλλοις τοὺς ἐμοὺς λογισμοὺς ἐκφῆναι. ς'. Διελογισάμην ἡμέρας ἀρχαίας· καὶ ἔτη αἰώνια ἐμνήσθην. ζ'. Καὶ ἐμελέτησα. Τῶν προτέρων σου, φησὶν, εὐεργεσιῶν ἀνενέμην τὴν μνήμην, καὶ ἐνεθυμέμην, ὅσων παρὰ σε τετυχήκασιν εὐεργεσιῶν οἱ ἡμέτεροι πρόγονοι· ὅπως τῆς Αἰγυπτίων δεδείας ἠλευθερώθησαν, ὅπως τὴν ἐρυθρὰν διέβησαν θάλασσαν, ὅπως τὴν ἐπηγγελμένην τοῖς πατράσιν ἀπέλαβον γῆν. νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέχευν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου. τὸ δὲ ἔσκαλλεν, ὁ μὲν Θεοδοτίων, ἐξηρεύγησεν· ὁ δὲ Ἀκύλας, ἐσκάλευσεν εἶπε· ταῦτα δὲ φησι νύκτωρ πρὸς ἐμαυτὸν διαλογιζόμενος, ἀνηρεύνων, τί δήποτε τῶν μὲν ἡμετέρων προγόνων τοσαύτην ἐποιήσατο πρόνοιαν, ἡμῶν δὲ κακοπραγέντων ὑπερορᾷ; ἐλογιζόμην δὲ πρὸς τέτοις καὶ ταῦτα· ἡ. Μὴ εἰς τὲς αἰῶνας ἀπώσεται Κύριος,

καὶ

καὶ προθήσει τῷ εὐδοκῆσαι ἔτι; β'. Ἡ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; Ἆρα μὴ παντελῶς τὰ καθ' ἡμᾶς ἀπηγόρευσε, καὶ ἀλλοτρίους ἡμᾶς τῆς οἰκείας κηδεμονίας ἀπέφηνε; συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν. ὁ δὲ Σύμμαχος ἔτως· συνετέλεσε ῥῆσιν περὶ γενεᾶς ἑκάστης. ἐδεδίειν δὲ καὶ τοῦτό φησιν, ὅτι ἄνωθεν τὰ καθ' ἑκάστην γενεὰν προγινώσκων, τὰς καθ' ἑκάστην γενεὰν ὅρους ἐκφέρει. ι'. Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τὰς οἰκτιρμὰς αὐτοῦ; Ἀλλὰ πάλιν ἐμαυτὸν ἐψυχαγώγησα λογιζόμενος, ὡς ὁ φιλοικτίρμων Θεός, ἐκ ἀνέξεται οἷόν τινι λήθῃ τὰ καθ' ἡμᾶς παραδῦναι, καὶ καθάπερ τινὶ τειχίῳ τῇ ὀργῇ κωλῦσαι τὰς τοῦ ἐλέου πηγάς. ια'. Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. Ἐγὼ φησι πρόξενος ἐγενόμην ἐμαυτῷ τῆς τοιαύτης μεταβολῆς· ἐγὼ διὰ τῆς ἁμαρτίας τὴν τιμωρίαν ἐγέννησα. ἀρχὴν τοίνυν ἔχω τῶν κακῶν· νῦν ἠρξάμην παιδεύεσθαι ὑπὸ τῆς δεξιᾶς τοῦ ὑψίστου, ἀντὶ τῶν προτέρων εὐεργεσιῶν τὰς εὐωνύμους τιμωρίας ἐπιφερούσης. ἀλλοίωσιν γὰρ τῆς τοῦ Θεοῦ δεξιᾶς τὴν τιμωρίαν ἐκάλεσεν, ὡς τῆς δεξιᾶς τοῦ ὑψίστου εἰωθυίας τὰ ἀγαθὰ χορηγεῖν. ἀλλ' ἐδὲ τέτοις ἠρκέσθην τοῖς λογισμοῖς· ἀνέμνησα δὲ ἐμαυτὸν καὶ τῆς ἀγαθότητος τοῦ Δεσπότου. τοῦτο γὰρ λέγει. ιβ'. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου. ιγ'. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεχήσω. Πάντα γάρ σε τὰ ἐξ ἀρχῆς εἰς ἡμᾶς γεγενημένα θαυμάσιε εἰς μέσον προθήσω, καὶ ἐν αὐτοῖς διηνεκῶς τὴν μελέτην ποιούμενος, τὰς χρηστοτέρας ἐλπίδας ἐκ ἀποῤῥίψω. ιδ'. Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Ὁ δὲ Σύμμαχος ἔτως· ὁ Θεὸς ἐν ἁγιασμῷ ἡ ὁδός σου. ὁ δὲ Ἀκύλας, ἐν ἡγιασμένῳ· ἅγιος εἶ, φησὶ, καὶ ἐν ἁγίῳ ἀναπαύῃ, καὶ ἐν τούτοις ἐνοικεῖς, καὶ ἐμπεριπατεῖς. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; ιε'. Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος. Πάντων ὑπερέχεις Δέσποτα· μόνος γὰρ ἅπερ ἐθέλεις θαυματοποιεῖς. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δυναμίν σου. ιϛ'. Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. Ἅπασιν ἀνθρώποις τὸ σὸν δεδήλωκας κράτος, τῆς Αἰγυπτίων ἐλευθερώσας δουλείας τὸν χρηματίσαντά σου λαόν· οἱ πρόγονον μὲν ἔχον τὸν Ἰακὼβ, περιφανεῖς δὲ ἐκ τῆς τοῦ Ἰωσὴφ ἀπεφάνθησαν συγγενείας. ιζ'. Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι. ιη'. Πλῆθος ἤχους ὑδάτων. Διὰ πάντων, Δέσποτα, τὴν σὴν ἔδειξας δύναμιν. Αἰγυπτίους ἐμαστίγωσας, τὸν σὸν λαὸν ἠλευθέρωσας, ἐπεφάνης τῇ θαλάσσῃ, καὶ διηρέθη τὸ πέλαγος, καὶ ἡ ῥοώδης ἐκατέρωθεν ἔστη φύσις. Φωνὴν ἔδωκαν αἱ νεφέλαι· καὶ γὰρ τὰ βέλη σου διαπορεύονται. ιθ'. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Ὁ δὲ Σύμμαχος, ἦχον ἔδωκεν αἰθήρ· νότε γὰρ, ὡς φησὶν ἡ ἱστορία, βιαίε πνέοντος, διηρέθη τὸ πέλαγος· τοῦ δὲ ἀέρος συῤῥεφομένε, καὶ τῶν νεφῶν συνισαμένων, ὁ ἄνεμος τίκτεται· αἱ δὲ τιμωρίαι σου, φησὶ, δίκην βε-

λῶν κατὰ τῶν πολεμίων ἐχώρευν· τῷ δὲ κτύπῳ τῆς βροντῆς τὲς τῶν Αἰγυπτίων ἁρμάτων τροχὲς συνεπόδισας. τῦτο δὲ καὶ ἡ ἱστορία διδάσκει. ἐγενήθη γὰρ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ εἰσέβλεψε Κύριος εἰς τὴν παρεμβολὴν τῶν Αἰγυπτίων, καὶ συνέδησε τὲς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἦγεν αὐτὲς μετὰ βίας. ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκεμένῃ. τῆς γὰρ θαυμαστεργίας τὸ φῶς δίκην ἀστραπῆς εἰς πᾶσαν τὴν οἰκεμένην διέδραμεν. ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. δέος ἐπλήσθησαν ἅπαντες τὴν σὴν ἀκούσαντες δύναμιν· τῦτο καὶ Ῥαὰβ ἡ πόρνη πρὸς τὲς κατασκόπους ἔφη· ὁ φόβος ὑμῶν, καὶ ὁ τρόμος ὑμῶν, ἔπεσεν ἐφ' ἡμᾶς· ἠκούσαμεν γὰρ, ὅπως καταδιεῖλε Κύριος ὁ Θεὸς ὑμῶν τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπε ὑμῶν. κ. Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σε οὐ γνωσθήσονται. Ῥᾴδιόν σοι καὶ θάλασσαν διατεμεῖν, καὶ ἐπὶ ὑδάτων ἐποχεῖσθαι πολλῶν, καὶ μηδὲ ἴχνος καταλιμπάνειν· ἀσώματον γὰρ ἔχεις τὴν φύσιν. ταῦτα δὲ τοῖς ἄνω προστέθεικεν· ἀοράτως γάρ φησιν ἡγούμενος τοῦ λαοῦ, οὐδὲ ἴχνος ἡμῖν τῆς σῆς πορείας ἔδειξας. κά. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωσῆ καὶ Ἀαρών. Ἐκείνοις γὰρ χρώμενος ὑπουργοῖς, καὶ δι' ἐκείνων φθεγγόμενος, τὸν σὸν λαὸν ἐποδήγησας, καὶ τὸν σὸν ἐξεπαίδευσας νόμον. τούτων δὲ ἁπάντων ἐποιήσαντο μνήμην, εἰς ἔλεον τὸν τῶν ὅλων Θεὸν διεγείροντες, καὶ παρακαλοῦντες τῆς αὐτῆς ἀπολαῦσαι κηδεμονίας.

ΕΡΜΗΝ. ΤΟΥ οζ' ΨΑΛΜΟΥ.

ά. Συνέσεως τῷ Ἀσάφ. Τὸν παλαιὸν δεδωκὼς νόμον ὁ τῶν ὅλων Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ, προσέταξε τῦτον διηνεκῶς ἐκπαιδεύεθαι, καὶ τὰ τέκνα διδάσκειν· καὶ μὲν δὴ καὶ τῶν ἑορτῶν τὰς αἰτίας, τοῖς ἐκγόνοις ὑποδεικύναι, ὡς ἂν τὰς θείας εὐεργεσίας μανθάνοντες, εὐγνώμονες γένοιντο περὶ τὸν τὰ τοιαῦτα κεχαρισμένον. διδάξεις γὰρ αὐτὰ, φησὶ, τὲς υἱές σε, καὶ τὲς υἱὲς τῶν υἱῶν σου, καὶ φυλάξεσι τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ, ἵνα εὖ αὐτοῖς γένηται. τῦτο πεποίηκεν ἡ προφητικὴ χάρις, καὶ διὰ τῦ προκειμένε ψαλμῦ· ἀναμιμνήσκει γὰρ τὸν λαὸν, καὶ τὲς τῦτων ἐκγόνους, τῶν τε ὑπὸ Θεοῦ γεγενημένων, καὶ τῶν παραχεθέντων ἀγαθῶν, καὶ τῶν ταῦτα δεξαμένων τὴν ἀχάριστον γνώμην. Προσέχετε λαός με τὸν νόμον με. Ἐπιμελῶς ὑμᾶς ἀκέσαι τῶν λεγομένων παρεγγυῶ. οὐκ γάρ τινα νόμον ὑμῖν τὴν προκειμένην προσφέρω παραίνεσιν. κλίνατε τὸ ὖς ὑμῶν εἰς τὰ ῥήματα τῦ στόματός με. προθύμως τῶν παρ' ἐμῦ λεγομένων ἀκύσατε. β. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα με· φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Ἐπειδὴ γὰρ τὴν τῶν πατέρων ἐποιεῖτο κατηγορίαν εἰς ὠφέλειαν τῶν παίδων, παραβολὴν ἐκάλεσε τὴν τοιαύτην δίηγησιν, αἰνιγματώδη ἔσαν, καὶ κεκρυμμένην τὴν ὠφέλειαν προσφέρεσαν. προστέθεικε δὲ, ὅτι καὶ ἀρχαῖα προσφέρει προβλήματα. καὶ διδάσκων πόθεν ταῦτα μεμάθηκεν, ἐπήγαγεν· γ. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά. Εἶτα τὲς τῦτων διδασκάλους ὑπέδειξε. Καὶ οἱ πατέ-

πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. δ'. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν, ἀπαγγέλλοντες τὰς αἰνέσεις τῷ Κυρίῳ, καὶ τὰς δυναστείας αὐτῷ, καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε. Ἀνωθέν φησι καὶ ἐξ ἀρχῆς οἱ τῶν θαυμάτων αὐτόπλαι τὲς οἰκείους ταῦτα ἐδίδαξαν παῖδας, κἀκεῖνοι πάλιν τοῖς ἐκγόνοις τήνδε τὴν διδασκαλίαν παρέπεμψαν· τοῦτο δέ φησιν ἐποίουν τῷ θείῳ πειθόμενοι νόμῳ· τέτο γὰρ ἐπήγαγε. ε'. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ. Μαρτύριον καλεῖ τὴν ἐν τῇ ἐρήμῳ παγεῖσαν σκηνὴν, ὡς ἔχουσαν τὰς πλάκας τὲ μαρτυρίε. τὸν γὰρ νόμον, ὡς ἤδη προειρήκαμεν, καὶ ἐντολὰς καλεῖ, καὶ μαρτύρια, καὶ κρίματα, καὶ δικαιώματα· καὶ τέτο σαφέστερον ἡμῖν εἴρηται ἐν τῷ ΙΗ' ψαλμῷ. ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τὲ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν. τέτο φησὶ διὰ τῆς νομοθεσίας ἐκείνης παρεκελεύσατο, ὥστε καθάπερ τινὰ κλῆρον, τὴν τῶν θαυμάτων διήγησιν παραπέμψαι τὲς πατέρας εἰς τὲς ἐκγόνες. ς'. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι καὶ ἀναστήσονται, καὶ ἀπαγγελῶσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Οὕτω γὰρ ἔτοι παρὰ τῶν πατέρων ταῦτα μεμαθηκότες, πάλιν τοῖς ἐξ αὐτῶν τὴν αὐτὴν διδασκαλίαν προσέφερον, καὶ ἄλησος ἡ τέτων διεφυλάττετο μνήμη· καί τις ὁ τῆς διδασκαλίας καρπός; ζ'. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν· καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων αὐτῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσι. Μανθάνοντες γὰρ τὴν τοῦ Θεοῦ δύναμιν, καὶ ὅπως αὐτῷ τὰ ἀγαθὰ ποιεῖν ἅπαντα ῥάδιον, βεβαίαν κτήσονται τὴν εἰς αὐτὸν ἐλπίδα· καὶ τοῖς ὑπ' αὐτοῦ τεθεῖσιν ἀκολαθήσεσι νόμοις. η'. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνεσα. Μανθάνοντες γὰρ τῶν πατέρων τὴν ἀχάριστον γνώμην, καὶ ὅπως τῇ παραβάσει τῷ νόμῳ τὸν Θεὸν πολλάκις ἐκίνησαν εἰς ὀργὴν, τὴν ἐκείνων φυλάξονται μίμησιν. γενεὰ ἥτις οὐ καθεύθυνε τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεῦ τὸ πνεῦμα αὐτῆς. ἐκεῖνοι γὰρ βεβαίαν τὴν εἰς τὸν Θεὸν οὐκ ἐκτήσαντο πίστιν· τὴν εὐθεῖαν ἐκ ἐθελήσαντες πορείαν ὁδεῦσαι. ἀλλὰ γνώμην ἐχηκότες τοῖς θείοις ἐναντιωμένην θεσμοῖς. θ'. Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμε. Τῆς τε Ἐφραὶμ Φυλῆς διαφερόντως κατηγορεῖ, ὡς περὶ πολλοῦ ποησαμένης τῶν εἰδώλων τὴν θεραπείαν· τέτο γὰρ καὶ ἡ τῶν Κριτῶν ἡμᾶς ἱστορία διδάσκει, καὶ ἡ τρίτη τῶν Βασιλειῶν· αὐτοὶ γὰρ ἔστησαν τὰς δαμάλεις· καὶ τῆς κατὰ νόμον λατρείας ἀπέστησαν τὰς ἐννέα Φυλάς· καὶ οὕτω τῆς ἀποστάσεως ἐγένοντο πρόξενοι. τέτο μάλιστα προορῶσα τὸ πνεύματος ἡ χάρις, τῆς μηδέπω γεγενημένης ἁμαρτίας κατηγορεῖ· τὴν ἁρμόττεσαν αὐτοῖς προσφέρεσα συμβολήν. εἰδυῖα μὲν, ὡς ἃ δέχονται τὴν παραίνεσιν· τὴν προσήκεσαν δὲ ὅμως ὠφέλειαν προσφέρεσα· διδάξασα δὲ αὐτῶν τὴν ῥώμην, καὶ τὴν τοζικὴν ἐπιστήμην, ἐλέγχει καὶ τὴν δειλίαν. ἐστράφησαν γὰρ ἐν ἡμέρᾳ πολέμου· μεγάλα γὰρ ἐπὶ τῇ πολεμικῇ ἐμπειρίᾳ

ρίαν φρονοῦντες, πολέμου φανέντος ἐτρέποντο εἰς φυγήν. ι'. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ, οὐκ ἐβουλήθησαν πορεύεσθαι. Καλῶς ἐνέφηνε τὸ τῆς γνώμης αὐθαίρετον· οὐκ ἐβουλήθησαν γὰρ φησι κατὰ νόμον βιῶναι, οὐδὲ τὴν ἔννομον ἀσπάσασθαι πολιτείαν. ια'. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ· καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς. Καὶ δεικνὺς πότε ταῦτα εἰργάσατο, ἐπήγαγεν· ιβ'. Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια. Εἶτα τὸν χρόνον καὶ τὸν τόπον διδάσκει. ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως. ταῦτας ἅπαντες τοῦ Θεοῦ τὰς θαυματουργίας, τὰς ἐν Αἰγύπτῳ γεγενημένας, ὧν οἱ πατέρες αὐτῶν αὐτόπται γεγένηνται, τῆς μνήμης ἐξέβαλον. ιγ'. Διέρρηξε θάλασσαν, καὶ διήγαγεν αὐτοὺς, παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν. Συντόμως ποιεῖται τὴν τῶν θαυμάτων διήγησιν, καὶ τὸ μέγιστον τῶν ἄλλων προέταξεν· ὑπερφυὲς γάρ ἐστι τῆς θαλάσσης τὸ θαῦμα, καὶ ἡ διὰ ταύτης παραχεθεῖσα πορεία. τὴν γὰρ ἐπὶ τὸ πρανὲς χωρεῖν πεφυκυῖαν τῶν ὑδάτων φύσιν ἔστησεν ἑκατέρωθεν ὁ τῶν ὅλων Θεὸς, καθάπερ ἐν ἀσκῷ τινὶ καθείρξας τῷ λόγῳ. ἐπειδὴ γὰρ ἡ τῶν ἀσκῶν κατασκευὴ συνέχειν ἀκριβῶς τὴν ὑγρὰν δύναται φύσιν, εἰκότως ταύτην ἐπὶ τῆς διαιρεθείσης τέθεικε τὴν εἰκόνα, δεικνὺς τοῦ Θεοῦ λόγου τὴν δύναμιν. ιδ'. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Ἡ γὰρ αὐτὴ νεφέλη μεθ' ἡμέραν μὲν, τὸ τῆς ἀκτῖνος λυπηρὸν ἀπεκρύπτετο, νύκτωρ δὲ, τοῦ πυρὸς παρεῖχε τὴν χρείαν. ιε'. Διέρρηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς, ὡς ἐν ἀβύσσῳ πολλῇ. Οὐ γὰρ βραχεῖαν ἀνεξήγαγε λιβάδα, ἀλλὰ ταῖς πολλαῖς ἐκείναις μυριάσιν ἀρκοῦσαν πηγήν. καὶ τοῦτο σαφέστερον διὰ τῶν ἑπαγομένων ἐδίδαξε. ιϛ'. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. Τὸ γὰρ ἀναβλυσθὲν ὕδωρ εἰς πολλοὺς ὀχετοὺς διηρέθη, εὐμαρῆ καὶ φιλότιμον παρέχον τοῖς διψῶσι τὴν χάριν. ιζ'. Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ· παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ. ιη'. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν· τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. Ἀλλ' ὅμως οὐδὲ τοῦτο τῆς γνώμης αὐτῶν τὴν πονηρίαν ἐξέβαλεν, ἀλλ' ἐπέμενεν τὴν τῆς ἀχαριστίας περικείμενοι νόσον· καὶ μετὰ τοσαύτας εὐεργεσίας, πεῖραν λαβεῖν ἠβούλοντο τῆς θείας δυνάμεως, καὶ τροφῆς δεηθέντες, οὐ λαβεῖν τὴν χρείαν ἐζήτησαν, ἀλλ' ὡς ἀδυνάτου τοῦ Θεοῦ κατηγόρησαν. ιθ'. Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπαν· μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; κ'. Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύσθησαν· μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; Εὐπετές φησι τὸ τῶν ὑδάτων, καὶ ῥᾴδιον· τὸ γὰρ ἐν ταῖς λαγόσι κεκρυμμένον τῆς γῆς εἰς τὴν ἐπιφάνειαν ἀνεδόθη. τὴν δὲ τοῦ ἄρτου τροφὴν, τὴν σπειρομένην, καὶ χρόνῳ φυομένην, πῶς ἂν ἡμῖν ἀθρόως παράσχοι, καὶ τὸν ἐπικείμενον ἐξελάσοι λιμόν; κα'. Διὰ τοῦτο ἤκουσε Κύριος, καὶ ἀνεβάλετο· καὶ

πῦρ

πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ. Οὐ δὴ χάριν ἀγανακτήσας ὁ τῶν ὅλων Κύριος, φησὶν, ἀνεβάλετο μὲν αὐτοῖς δῆναι τὴν γῆν, τὴν τοῖς πατράσιν ἐπηγγελμένην, ταῖς δὲ παντοδαπαῖς τιμωρίαις ἐξέδωκεν. ἐπήγαγε δὲ αὐτοῖς τὸν ὄλεθρον σύντομον, τὰς ἐκείνων παῖδας αὐξηθῆναι προσμένων· μέμνηται δὲ τῆς διὰ τοῦ πυρὸς τιμωρίας καὶ τοῦ μακαρίου Μωσῆ τὰ συγγράμματα. ταύτην δὲ φησιν ὑπέμειναν τὴν πληγήν, κβ'. Ὅτι ἐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Ἀλλ' ὅμως καὶ τοιούτοις ὄσι τὴν ἀγαθοεργὸν παρέσχε τροφήν· τοῦτο γὰρ διδάσκει τὰ ἑπαγόμενα. κγ'. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. κδ'. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν. Οὐ γὰρ τὰς συνήθεις ὠδῖνας αἱ νεφέλαι παρέχον, ἀλλ' ἀντὶ τοῦ ὑετοῦ τοῦ ἄρδειν πεφυκότος τὰ καταβαλλόμενα σπέρματα, τὴν θαυμασίαν τροφὴν ἀπεκύησαν. θύρας δὲ οὐρανοῦ ἀνοίξασα, τὴν ἄνωθεν χορηγίαν ἐκάλεσε. ἐπειδὴ γὰρ τοῖς ταμιείοις ἐπιτιθέναι θύρας εἰώθαμεν, καὶ ταύτας ἀνοίγομεν ἐκφέρειν τι βουλόμενοι, δείκνυσιν ὁ προφητικὸς λόγος τὸν τῶν ὅλων Θεὸν, ὥσπερ ἀπό τινων ταμιείων, χορηγοῦντα τὸ μάννα. Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. κε'. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἄρτον ἀγγέλων καλεῖ, ὡς δι' ἀγγέλων χορηγηθέντα· ἄγγελοι γὰρ, ὡς ὑπὸ τῆς θείας γραφῆς ἐδιδάχθημεν, τοῖς θείοις νεύμασιν ὑπηρετοῦσι. λέγει δὲ οὕτως ὁ θεῖος ἀπόστολος· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; καὶ πάλιν· εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ τὰ ἑξῆς· ἄρτον δὲ οὐρανοῦ, ὡς ἄνωθεν ἐνεχθέντα καλεῖ. καὶ τοὺς ἀεροπόρους γὰρ ὄρνιθας πετεινὰ ἀρανὲ ἡ θεία προσαγορεύει γραφή. ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς, εἰς πλησμονήν. εἰς κόρον, φησὶ, ταύτης μετέδωκεν αὐτοῖς τῆς τροφῆς. εἶτα καὶ τὴν τῶν κρεῶν διέξεισι χορηγίαν. κς'. Ἀπῆρε νότον ἐξ οὐρανοῦ· καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα. κζ'. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας· καὶ ὡσεὶ ἄμμον θαλασσῶν, πετεινὰ πτερωτά. Διὰ γὰρ τῶν ἀνέμων συνελάσας πανταχόθεν τῶν ὀρνίθων ἐκείνων τὸ γένος, καταπλῆναι προσέταξε παρὰ τὰς τέτων σκηνὰς, αὐτόματον αὐτοῖς χαρισάμενος θήραν. κή. Καὶ ἔπεσεν εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. κθ'. Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα· καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. λ'. Οὐκ ἐξερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἀπήλαυσάν φησιν ὧν ὠρέχθησαν, καὶ τὴν γαστριμαργίαν ἐνέπλησαν· ἀλλ' ὅμως τῆς ἀπληστίας εἰσεπράχθησαν δίκας. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, λα'. Καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτοὺς, καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν. Ἐπειδὴ γὰρ πεῖραν πολλὴν λαβόντες τῆς θείας δυνάμεως, ἐκ ἐπίστευσαν δύνασθαι τὸν Θεὸν χορηγῆσαι τὴν τροφὴν, καὶ τὴν παιδείαν ἐπήγαγε, διδάσκων ὡς ἀμφότερα

ρα ποιεῖν ἱκανὸς, καὶ τὰ ἀγαθὰ παρέχειν, καὶ τὰς τιμωρίας ἐπάγειν. ἀλλ' ὅμως, οὐδὲν ἧττον ἐπέμειναν πλημμελοῦντες. τοῦτο γὰρ ἐπήγαγεν. λβ'. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. λγ'. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν· καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. Ἁμαρτάνοντες φησι, καὶ πλημμελοῦντες, καὶ τῶν μὲν ὠφελεῖν δυναμένων οὐδεμίαν ποιούμενοι πρόνοιαν, τοῖς δὲ ματαίοις καὶ ἀκερδέσι προστετηκότες ἐπιτηδεύμασι, καὶ μετὰ πάσης ταῦτα μετιόντες σπουδῆς, τὸν βίον ὑπεξῆλθον. λδ'. Ὅτ' ἂν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. λε. Καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Οὐ μάτην δὲ αὐτοῖς ὁ Φιλάνθρωπος Δεσπότης τὰς πέδας ἐπήγαγεν· ὠφέλειαν γὰρ ἐντεῦθεν οὐ σμικρὰν ἐκαρπεῦντο. ἀπολαύοντες μὲν γὰρ τῶν ἀγαθῶν, ἐκ ἠθάνοντο· κολαζόμενοι δὲ, τὴν θείαν προσήεσαν αἰτοῦντες Φιλανθρωπίαν. λϛ'. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν· καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. λζ'. Ἡ δὲ καρδία αὐτῶν ἐκ εὐθεῖα μετ' αὐτοῦ· οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Ἀγαπᾶν δὲ αὐτὸν ὑπισχνοῦντο ψευδέσι χρώμενοι λόγοις· ἀντεφθέγγετο γὰρ τοῖς λόγοις ὁ λογισμὸς, ἐναντία τοῖς θείοις βουλευόμενος νόμοις, καὶ πιστεύειν τοῖς θείοις λογίοις οὐκ ἀνεχόμενος. λή. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται τὰς ἁμαρτίας αὐτῶν, καὶ ἐ διαφθερεῖ. Ἀλλ' ὅμως αὐτὸς, τῇ οἰκείᾳ χρώμενος ἀγαθότητι, ἐκ ἠνέχετο αὐτοὺς παντελεῖ παραδῦναι φθορᾷ. καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. ὁ δὲ Σύμμαχος ἔτως· καὶ ἐπὶ πολὺ ἀπέστρεψε τὴν ὀργὴν αὐτοῦ, καὶ ἐ διήγειρεν ὅλον τὸν θυμὸν αὐτοῦ· ἐκ ἀξίαν αὐτοῖς, φησὶ, τῶν πεπλημμεληκότων τιμωρίαν ἐπήγαγεν. λθ'. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. Ἤδει γὰρ αὐτῶν τῆς φύσεως τὴν ἀσθένειαν· καὶ ὅτι οὐκ εἰς μακρὰν δέξονται τοῦ βίου τὸ πέρας. μ'. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ· παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. μά. Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν. Διὰ τούτων ἁπάντων, τὴν θείαν διδάσκει μακροθυμίαν. ἀκριβέστερον δὲ τούτων ἕκαστον ἐκ τῆς ἱστορίας καταμαθεῖν δυνατόν. ποτὲ μὲν γὰρ τὸν μόσχον ἐθεοποίησαν· ποτὲ δὲ τῷ Βεελφεγὼρ ἐτελέσθησαν. ἄλλοτε τὴν κατὰ τοῦ μεγάλου Μωσοῦ ἐμελέτησαν τυραννίδα· τῆς τοῦ μάννα τροφῆς ἀπολαύοντες, ἠχαρίστησαν· ἀπολαβεῖν τὴν ἐπηγγελμένην κελευσθέντες γῆν, τὸ δέος προσβάλλοντο. καὶ ἄλλα μυρία πρὸς τούτοις εἰργάσαντο, ἅπερ μηκύνειν οὐκ ἐθέλοντες τὸν λόγον παραλείψομεν. μβ'. Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Οὐκ ἐβουλήθησαν λαβεῖν εἰς διάνοιαν τὰς προτέρας εὐεργεσίας, οὐδὲ λογίσασθαι τῷ Θεῷ τὴν ἰσχὺν, δι' ἧς ἀπηλλάγησαν τῆς Αἰγυπτίων δουλείας. εἶτα διέξεισι τὰς ἐκεῖ γεγενημένας

νας θαυμάτεργίας. μγ'. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. Ἡ Τάνις εἶχε τοῦ Φαραὼ τὰ βασίλεια. ἐκεῖ δὲ τοῖς Αἰγυπτίοις τὰς τιμωρίας ὁ μέγας ἐπήγαγε Μωσῆς. μδ'. Καὶ μετέτρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν. Πρῶτον μὲν γὰρ, οὐ τὰ ποτάμια μόνον ὕδατα, ἀλλὰ καὶ τὰ ἐξ ὑετῶν συνισάμενα, μετέβαλεν εἰς αἵματος φύσιν, τῷ δίψει πιέζων τοὺς ἀντιλέγοντας. με'. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. μς'. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Κυνομυίᾳ δὲ καὶ βατράχοις ὑπουργοῖς τῆς ὀργῆς χρησάμενος, πικρὰς αὐτοῖς τὰς ὀδύνας ἐπήγαγεν. ἐρυσίβῃ δὲ καὶ ἀκρίδι τῆς γῆς διέφθειρε τοὺς καρπούς. μζ'. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. Ἐρυσίβῃ μὲν καὶ ἀκρίδι τὸν καρπὸν κατηνάλωσε, χαλάζῃ δὲ καὶ πάχνῃ καὶ αὐτὰς τὰς ῥίζας τῶν δένδρων ἐνέκρωσε. τὰς μέντοι συκαμίνους οἱ ἄλλοι ἑρμηνευταὶ συκομόρους ἡρμήνευσαν. μή'. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ὁ δὲ Σύμμαχος οὕτως· τοῦ ἐκδόντος λοιμῷ τὰ κτήνη αὐτῶν, καὶ τὰ κτήματα αὐτῶν οἰωνοῖς· ἀθρόαν γὰρ δεξάμενα τελευτὴν, θοίνη τῶν σαρκοβόρων ὀρνίθων ἐγένετο. μθ'. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ· θυμὸν, καὶ ὀργὴν, καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. Θυμὸν, καὶ ὀργὴν, καὶ θλῖψιν, τὰς πικρὰς τιμωρίας ἐκάλεσεν. ἀγγέλους δὲ πονηρὰς, τῆς τιμωρίας τοὺς ὑπουργούς. οὔτε Φύσεως, οὔτε προαιρέσεως μοχθηρίαν, τὴν πονηρίαν καλῶν, ἀλλὰ τὴν τῆς κολάσεως τιμωρίαν. οὕτω πονηρὰν ἡμέραν, τὴν τῆς τιμωρίας ἡμέραν καλεῖ· τοῦτο δὲ καὶ ὁ Σύμμαχος παρεδήλωσεν. ἀντὶ γὰρ ἀγγέλων πονηρῶν, ἀγγέλων κακούντων εἴρηκεν. νʹ. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. Ἀντὶ τοῦ, οὐκ ἐκώλυσεν ἡ Φιλανθρωπία τὴν τιμωρίαν, ἀλλ' ἔδωκε χώραν τῇ δικαίᾳ παιδείᾳ. τοῦτο καὶ διὰ τῶν ἐπαγομένων ἐδήλωσεν. Οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν· καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. να'. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ. Θεασάμενος γὰρ αὐτῶν τὴν ἀντίτυπον γνώμην, ἀφειδῶς αὐτοῖς τὰς τιμωρίας ἐπήγαγε· πρῶτον μὲν, τοῖς κτήνεσιν ὄλεθρον, ὕστερον δὲ τοῖς πρωτοτόκοις θάνατον ἐπάγων ἀπροσδόκητον. σκηνώματα δὲ Χὰμ, τὴν Αἴγυπτον προσηγόρευσεν, ἐπειδὴ τῷ Χὰμ υἱὸς ὁ Μεσρὲμ, Μεσρὲμ δὲ ἡ Αἴγυπτος. νβ'. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ· καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Οὕτως ἐκείνους παιδεύσας, ἐπὶ τὴν ἔρημον ἤγαγε τὸν οἰκεῖον λαόν· ποιμένα μιμούμενος, τῆς ποίμνης ἡγούμενον. νγ'. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν. Πολλὰ γὰρ ἐνέγγυα τῆς οἰκείας δυνάμεως δεδωκὼς, θαῤῥεῖν αὐτῷ, καὶ μὴ δεδιέναι προσέταξε, τοῦτο δὲ

παρὰ μὲν τῷ Θεῷ τῶν ὅλων ἐγένετο· ἐκεῖνοι δὲ τῇ δυνάμει τῷ Θεῷ θαρρεῖν ἐκ ἠβούλοντο. καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. ἡ γὰρ αὐτὴ θάλασσα, τούτοις μὲν παρέσχεν ὁδὸν, ἐκείνους δὲ τοῖς κύμασιν ἔχωσε. νδ'. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτῦ. Ἐκεῖθεν τοίνυν ἐλευθερώσας, ἔδωκεν αὐτοῖς ἣν ἐπηγγείλατο γῆν· διὰ γὰρ τῦ Σιὼν ὄρους, πᾶσαν τὴν γῆν παρεδήλωσε. καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν χοινίῳ κληροδοσίας. τῶν γὰρ παλαιῶν οἰκητόρων τὴν γῆν ἐκείνην ἐλευθερώσας, τούτοις κατὰ τὰς ὑποχέσεις τὴν ταύτης δέδωκε δεσποτείαν· τῦτο γὰρ δηλοῖ τὸ ἐν χοινίῳ κληροδοσίας. τὴν γὰρ οἰκείαν εἰώθασι γῆν οἱ κεκτημένοι μετρεῖν· τοὺς δὲ κλήρους, καὶ τὰς διανεμήσεις, ἀκριβέστερον διδάσκει τῷ Ἰησῦ τῷ Ναυῆ ἡ συγγραφή. νε'. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς Φυλὰς τῦ Ἰσραήλ. Κατὰ „Φυλὰς„ γὰρ τὴν γῆν διενείμαντο· οὕτω τὴν μετὰ τὴν ἔρημον αὐτῶν ἀπιστίαν διδάξας, διηγεῖται τὰς ἐν τῇ γῇ τῆς ἐπαγγελίας παρανομίας. νς'. Καὶ ἐπείρασαν, καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ ἐκ ἐφυλάξαντο. Μετὰ τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας, ἐπέμεναν παρανομοῦντες, καὶ τὰς θείας παραβαίνοντες ἐντολάς. νζ'. Καὶ ἀπέστρεψαν, καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν. Τὴν τῶν πατέρων ἐμιμήσαντο μοχθηρίαν, καὶ τὴν ἐκείνων θεασάμενοι τιμωρίαν, οὐδὲν ἐντεῦθεν ἀπώναντο. μετεστράφησαν εἰς τόξον στρεβλόν. τόξον, κατὰ μὲν τέχνην κατεσκευασμένον, κατὰ σκοπῦ πέμπει τὰ ἀφιέμενα βέλη· διαστροφὴν δέ τινα δεξάμενον, τὰ πεμπόμενα βέλη κατευθύνειν οὐ δύναται· καὶκεῖνοι τοίνυν τῆς διανοίας τὴν εὐθύτητα διαφθείραντες, οὔτε ταῖς θείαις εὐεργεσίαις εἰς δέον ἐχρῶντο, καὶ βλάβης ἀφορμὰς τὰς τῆς ὠφελείας ἀπέφαινον ἀφορμάς. νη'. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Παρὰ τῷ Θεῷ τῶν ὅλων δεχόμενοι τὰ ἀγαθὰ, τοῖς ἀψύχοις εἰδώλοις ἐδούλευον. νθ'. Ἤκουσεν ὁ Θεὸς, καὶ ὑπερεῖδε. Δεομένους φησὶ τῆς οἰκείας οὐκ ἠξίωσε προνοίας. ταῦτα δὲ σαφέστερον ἡ τῶν Κριτῶν ἱστορία διδάσκει· παρέδωκε γὰρ αὐτοὺς, ποτὲ μὲν Ἀμμανίταις, ποτὲ δὲ Μωαβίταις. ἄλλοτε δὲ Μαδιηναίοις, καὶ Ἀλλοφύλοις· ποινὴν αὐτοὺς τῆς ἀσεβείας εἰσπραττόμενος. καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ. τὸν γὰρ πολυθρύλλητον ἐκεῖνον λαὸν, τὸν παραδόξως τῆς Αἰγυπτίων δουλείας ἀπαλλαγέντα, ὃν ἡ θάλασσα εἶδε καὶ ἔφυγε, καὶ ὁ Ἰορδάνης ἀνεχώρησεν εἰς τὰ ὀπίσω, τοῦτον οἱ ὅμοροι ῥᾳδίως κατηγωνίζοντο. ξ'. Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλὼμ, σκήνωμα ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις. Ταῦτα δὲ λοιπὸν ἡ ἀρχὴ τῶν Βασιλειῶν διδάσκει, Ἠλεὶ μεμνημένη τῷ ἀρχιερέως, καὶ τῆς τῶν ἐκείνῳ παίδων παρανομίας. ξά. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν· καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν. Ἰσχὺν αὐτῶν καὶ καλλονὴν τὴν κιβωτὸν λέγει· ταύτην

δὲ

δὲ Ὀφνὶ καὶ Φινεὲς εἰς ἐπικερίαν τῶν ὁμοφύλων ἐξαγαγόντες, τῆς οἰκείας παρανομίας ἔτισαν δίκας· τὴν δὲ κιβωτὸν οἱ Ἀλλόφυλοι λαβόντες, ἀνέθεσαν οἷόν τι ἀκροθίνιον, τῷ Δαγών· εἴδωλον δὲ τοῦτο ἦν, ὑπ' ἐκείνων θεραπευόμενον. ξβ'. Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. Παρέδωκε γὰρ αὐτοὺς ταῖς τῶν πολεμίων χερσὶ, διὰ τὴν τῆς παρανομίας ὑπερβολήν· κληρονομίαν δὲ αὐτοὺς ὠνόμασεν, ὡς κηδεμονίας ὅτι μάλιστα πλείστης παρ' αὐτοῦ τετυχηκότας ἀεί. οὕτω δὲ αὐτὸς καὶ ὁ μέγας προσηγόρευσε Μωσῆς. ἐγενήθη γὰρ φησι μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. εἶτα καταλέγει τῆς τιμωρίας τὰ εἴδη. ξγ'. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ· καὶ αἱ παρθένοι αὐτῶν, οὐκ ἐπειθήθησαν. ξδ'. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. Τοὺς μὲν γὰρ πυρὶ παρέδωκε· τῶν δὲ ὁ συνήθης ἐκ ἐγένετο θρῆνος; ἑκάστῳ περὶ τὰ οἰκεῖα ἠχολημένῳ κακά. Ὀφνὶ δὲ καὶ Φινεὲς οἱ ἱερεῖς, αὐτὴν ἐπιφερόμενοι τὴν κιβωτὸν, ἐδέξαντο τὴν σφαγὴν, δι' αὐτῶν διδασκόμενοι τῶν πραγμάτων, μὴ θαῤῥεῖν παρανομίᾳ συζῶντας τῇ θείᾳ κηδεμονίᾳ. ξε'. Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος. Ἀλλ' ὅμως ταύταις αὐτοὺς ταῖς τιμωρίαις ὑποβαλὼν, καὶ τοὺς τούτων ἐδίδαξε πολεμίους τὰς τῶν γεγενημένων αἰτίας. Ὡς δυνατὸς, καὶ κεκραιπαληκὼς ἐξ οἴνου. ξς'. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτῶν εἰς τὰ ὀπίσω· ὀνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Οἷον γάρ τινα ὕπνον τὴν μακροθυμίαν ἀποσεισάμενος, τοῖς ἀλλοφύλοις ἐπήνεγκε τὴν πληγὴν, δι' ἣν ἐπονείδιστοι παρὰ πᾶσιν ἐγένοντο. λέγει δὲ τῆς ἕδρας τὸ πάθος, ὅπερ ἡ ἱστορία διδάσκει. τοῦτο δὲ καὶ ἡ προφητεία δεδήλωκεν· ἔφη γάρ· καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτῶν εἰς τὰ ὀπίσω· σεμνότερον τὸ μέρος δηλώσασα τὸ δεξάμενον τὴν πληγήν. ὕπνον δὲ τὴν μακροθυμίαν ἐκάλεσεν· ἐξ οἴνου δὲ κραιπάλην, τὴν ἀγανάκτησιν. καθάπερ γὰρ ἐπείσακτόν ἐστι Θεοῦ, τιμωρίαι δικαίως τοῖς πλημμελοῦσιν ἐπαγομένη. ξζ'. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν Φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο. Πάλιν τὰς ἄλλας καταλιπὼν Φυλὰς, μόνης μέμνηται τῆς Ἐφραὶμ, τὴν ἐσομένην προορῶν τυραννίδα. ἐκ ταύτης γὰρ Ἱεροβοὰμ ὁρμώμενος, τὰς δέκα Φυλὰς ἐκ τῆς Δαβιτικῆς ἀπέῤῥηξε βασιλείας· Ἰωσὴφ δὲ καὶ Ἐφραὶμ τὴν αὐτὴν λέγει Φυλήν· υἱὸς γὰρ τοῦ Ἰωσὴφ ὁ Ἐφραὶμ. ἀπωθῆναι δὲ αὐτὴν λέγει, τῷ μὴ διαμεῖναι ἐν τῇ Σηλὼμ τὴν σκηνήν· ἀλλ' ἐν τῇ Ἱερουσαλὴμ τῆς θείας κιβωτοῦ μεταβῆναι τὴν χάριν, ἐν ᾗ καὶ ὁ Σολομὼν μετὰ ταῦτα τὸν θεῖον νεὼν ἐδείματο. ξή. Καὶ ἐξελέξατο τὴν Φυλὴν Ἰούδα· τὸ ὄρος τὸ Σιὼν, ὃ ἠγάπησεν. Ἐξελέξατο μέντοι τὴν Φυλὴν Ἰούδα, διὰ τὴν ἐξ Ἰεσσαὶ ῥάβδον ἀνθήσειν προσδοκωμένην· ταύτην δὲ τὴν βλάστην καὶ ὁ πατριάρχης Ἰακὼβ προεθέσπισεν εὐλογῶν τὸν Ἰούδαν· μέμνηται δὲ αὐτῆς καὶ ὁ θεσπέσιος Παῦλος, ἔτωσὶ λέγων· πρόδηλον δὲ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. ταύτης ἕν ἕνεκα, τὴν Ἰούδα Φυλὴν τῶν ἄλλων προείλετο·

λετο· ἐπειδὴ δὲ τοῦτό πως ἠγνοεῖτο τοῖς πολλοῖς τὸ μυστήριον, μάλα σαφῶς ἐπήγαγε· τὸ ὄρος τὸ Σιὼν, ὃ ἠγάπησεν· ἵνα τῶν ἄλλων φυλῶν κατασβέσῃ τὸν φθόνον· μονονεχὶ λέγων· μηδεμίαν ἀφορμὴν ζηλοτυπίας εἰσδέξησθε. διὰ γὰρ τὸ Σιὼν ὄρος ἐξελέξατο τὴν Ἰούδα φυλήν. ἄλλως τε καὶ σεβάσμιον βέλεται δεῖξαι τὸ ὄρος, διὰ τὸν οἰκοδομηθησόμενον νεὼν ἐν αὐτῷ. ξθ'. Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ. Κέρατι τὸν μονόκερων ἐνὶ καθωπλίσθαι φασὶν· ἕνα δὲ προσκυνεῖν Θεὸν καὶ ὁ νόμος ἐδίδαξεν. εἰκότως τοίνυν ἀπείκασε μονοκέρωτι τὸν ἕνα νεὼν, τὸν τῷ ἑνὶ ἀφιερωμένον Θεῷ. ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὁ δὲ Σύμμαχος ἔτως· ὡς τὴν γῆν, ἣν ἐθεμελίωσας εἰς τὸν αἰῶνα· καὶ οἱ ἄλλοι δὲ τὴν αὐτὴν διάνοιαν ἡρμηνεύκασι. λέγει τοίνυν, ὅτι καθάπερ μίαν ἐδημιούργησε γῆν, ἔτω νεὼν Ἰουδαίοις ἕνα δημιουργῆσαι προσέταξε. ο'. Καὶ ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων. Κατὰ ταυτὸν διὰ τέτων ἐδήλωσε, καὶ τῷ Δαβὶδ τὴν ἀρετὴν, δοῦλον αὐτὸν ὀνομάσας Θεοῦ, καὶ τῷ Θεῷ τὴν φιλοτιμίαν, ὅτι τὸν προβατέα βασιλέα πεποίηκεν. οα'. Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν. Ὁ δὲ Σύμμαχος ἔτως· ἀκολουθοῦντα ἐγκύμοσιν ἤγαγεν αὐτόν· ἐπίτασις δὲ τῆς φιλοτιμίας καὶ τοῦτο· οὐδὲ γὰρ ποιμὴν τέλειος ἦν, ἀλλ' ὑπηρέτης ποιμένος, τοῖς τίκτεσι τῶν προβάτων ἑπόμενος. ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς· καὶ τοῦτο δὲ δείκνυσι τὴν τῆς κηδεμονίας ὑπερβολήν· ὁ γὰρ τοῖς τυχοῦσιν ἀνθρώποις ἐπέσῃσε τὸν τῶν προβάτων νομέα, ἀλλ' ἁπλότητι σύνεσιν κεράσας, κατὰ τοὺς θείους αὐτοὺς ἐποδήγησε νόμους. τέτοις ἔοικεν ἡ τοῦ Κυρίου νομοθεσία· γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί· ἑκατέρου γὰρ ἐξορίσας κακίαν, καὶ τοῦ μὲν τὴν κακεργίαν, τῆς δὲ τὴν ἄνοιαν ἐξελὼν, τὴν ἐπαινεμένην ἐκέρασεν ἀρετήν. ταύτην καὶ ἡμᾶς ἐν ἑαυτοῖς κατορθῶσαι προσήκει, καὶ τῷ μακαρίῳ Δαβὶδ κληθέντας παραπλησίως, μᾶλλον δὲ ἐπὶ μείζοσι· μειζόνων γὰρ πραγμάτων διακονίαν ἐνεχειρίσθημεν. ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθημεν, κατὰ τὴν τοῦ θεσπεσίου Παύλου νομοθεσίαν.

ΕΡΜΗΝ. ΤΟΥ ΟΗ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Ἀσάφ. Ἀντιόχου, τοῦ ἐπίκλην Ἐπιφανοῦς, τὴν κατὰ τοῦ λαοῦ τῶν Ἰουδαίων μανίαν ὁ προφητικὸς προθεσπίζει λόγος. τὴν δὲ χρησμολογίαν εἰς εὐχὴν χηματίζει, ὡς ὑπὸ τῶν εὐσεβῶν τῶν ἐσομένων τηνικαῦτα προσφερομένην· ἐδέπω μὲν νενικηκότων, ἔτι δὲ περικλυζομένων ταῖς συμφοραῖς. Ὁ Θεὸς, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σε, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σε. Σοφῶς ἡ τοῦ Πνεύματος χάρις τοὺς ταῖς χαλεπαῖς ἐκείναις προσπαλαίοντας συμφοραῖς ἐδίδαξεν ἄρξασθαι τῆς ἱκετείας. ὁ γὰρ τὰ οἰκεῖα πρότερον διηγήσαντο πάθη· ἀλλὰ τὴν κατὰ τοῦ θείου

νεὼ

νεὼ τολμηθεῖσαν ἀσέβειαν, ὡς τῷ νεὼ μηδὲν εἰς τὸν θεῖον πλημμελήσαντος νόμον. ἔθνη, φησὶ, δυσσεβείᾳ καὶ παρανομίᾳ συζῶντα τῆς σῆς κληρονομίας ἐκράτησαν· ἐπιβῆναι γὰρ τῶν ἀδύτων τῷ σῷ νεὼ κατετόλμησαν· ἐ βωμοῖς δὲ μόνον, καὶ θυσίαις δαιμόνων, τὰ σὰ κατεμίαναν ἅγια. β'. Ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον. Ἄρδην γὰρ πᾶσαν τὴν πόλιν πορθήσαντες, ἐδὲν σκηνῆς διαφέρειν εἰς ὀπωροφυλάκιον γενομένης, τὴν πολυθρύλλητον ἐπέφηναν Ἱερουσαλήμ. ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. τοσαύτη θηριωδίᾳ καὶ μανίᾳ κατὰ τῶν σῶν θεραπόντων ἐχρήσαντο, ὡς τοῖς θηρίοις, καὶ τοῖς τῶν πετεινῶν σαρκοβόροις, τὰ τούτων σώματα προθεῖναι θοίνην. γ'. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. Μιαιφόνον δὲ κεκτημένοι τὴν γνώμην, ἀναιρέσει μὲν τοὺς εὐσεβείᾳ συζῶντας· αἱμάτων δὲ ὀχετοὺς κατὰ τῆς γῆς παρασκευάζουσι φέρεσθαι, τάφου δὲ ἀξιοῦσθαι τοὺς σφαττομένους ἐ συγχωροῦσιν. δ'. Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. Ταῦτα ἡμᾶς ἐπονειδίσας τοῖς ὁμόροις εἰργάσαντο· διὰ ταῦτα ἐπίχαρτοι τοῖς πλησιοχώροις γεγόναμεν· γείτονας δὲ καλεῖ τοὺς Ἀλλοφύλους, τοὺς Ἰδουμαίους, τοὺς Ἀμμανίτας, τοὺς Μωαβίτας, καὶ τὰ ἄλλα ἔθνη τὰ ὅμορα, ἅπερ αὐτοῖς ἀντίπαλα καὶ πολέμια ἦν ἀεί. ε'. Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου; Νομοθετῶν ὁ Θεὸς αὐτῷ μόνῳ λατρεύειν προσέταξε, καὶ ἕτερον μηδένα καλούμενον προσκυνῆσαι Θεὸν, ὅτι ἐγώ φησι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής, πῦρ καταναλίσκον. „ἀλλ' ὡς πολλάκις ἡμῖν εἴρηται, μηδεὶς ἀκέων ἕνα Θεὸν „μοναρχίαν ὑπολάβοι· τὴν γὰρ ἀπερινόητον καὶ ἀεὶ οὖσαν θείαν τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι προσκυνουμένην, Θεὸν ὀνομάζει· ὅτι δὲ νομοθετεῖ ὁ Θεὸς λόγος, ὅς ἐστιν Ἰησοῦς „Χριστὸς ὁ σωτὴρ ἡμῶν, ἐκ ἂν ἀμφιβάλοι „τις ἕκαστος τῶν φιλομαθεστέρων. „τοῦτο καὶ ἐνταῦθα ὁ προφητικὸς ἀνέμνησε λόγος· ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου. μὴ ἐπιπλῆξον Δέσποτά φησιν ὀργιθῆς, μηδὲ πυρὸς δίκην διὰ τὰς ἡμετέρας πλημμελείας τὸν καθ' ἡμῶν ζῆλον ἐξάψῃς. ς'. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη, τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου ἐκ ἐπεκαλέσαντο. Ἐπειδὴ δίκας ἁμαρτημάτων τοὺς ἀνθρώπους εἰσπράττῃ, κατ' ἐκείνων ἱκετεύω σε τὴν ὀργὴν μεταθεῖναι, οἳ παντάπασι τὸν σὸν μαθεῖν ἐκ ἐθέλουσιν ὄνομα, ἀλλὰ τῇ ἀκροτάτῃ δυσσεβείᾳ δουλεύουσιν. ζ'. Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. Σαφὲς δὲ καὶ τοῦτο τῆς ἐκείνων παρανομίας τεκμήριον· ἐδὲν γὰρ παρ' ἡμῶν κακὸν ὑπομείναντες, ἡμᾶς μὲν σφαγαῖς κατανάλωσαν, τὴν δὲ χώραν ἐδήωσαν, καὶ τὰς πόλεις ἐπόρθησαν. τὸν δὲ τόπον αὐτοῦ, Ἀκύλας μὲν ὡραῖον αὐτοῦ, Σύμμαχος δὲ καλλονὴν αὐτοῦ· ὁ δὲ Θεοδοτίων, εὐπρέπειαν αὐτοῦ ἡρμήνευσαν· δι' ὧν μᾶλλον ὁ θεῖος οἶκος δεδήλωται. καλῶς δὲ τὸν

λαὸν Ἰακὼβ προσηγόρευσε, τῇ τῶ προπάτορος μνήμῃ τὸν Θεὸν εἰς ἔλεον διεγείρων. ἡ. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. Εὐσεβεῖς ἦσαν οἱ ταύτην προσφέροντες τὴν εὐχὴν, καὶ πολὺν ὑπὲρ εὐσεβείας ἀναδεξάμενοι ζῆλον. ἀοίδιμος γὰρ ἡ τῶν Μακκαβαίων ἀρετή. εἰκότως τοίνυν ἀντιβολῶσι, μὴ τῶν προτέρων ἁμαρτημάτων εὐθύνας τὸν λαὸν εἰσπραχθῆναι. ἀλλὰ τοῦτο μὲν τεθείκασιν, ὃ μὴν καὶ τὸ δεύτερον προστεθείκασιν, ὥστε τὸν Θεὸν τὴν παροῦσαν αὐτῶν εὐσέβειαν κατιδεῖν. τοῦτο γὰρ μάλιστα τὴν πολλὴν αὐτῶν δείκνυσιν ἀρετήν· τὸ τῶν μὲν προτέρων ἁμαρτημάτων μνησθῆναι, κρύψαι δὲ τὴν παροῦσαν εὐσέβειαν. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σε Κύριε, ὅτι ἐπλωχεύσαμεν σφόδρα. θ'. Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν. Ὄρεξον ὅτι τάχισα τὴν ἄμαχόν σε ἐροπήν· πάσης γὰρ ἐρημοι προνοίας γεγόναμεν· σὲ δὲ μόνον ἐπίκουρον ἔχομεν καὶ σωτῆρα. ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σε Κύριε ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου. ἐδαμοῦ τῆς σφετέρας μνημονεύουσιν ἀρετῆς, ἀλλὰ διὰ τὸ θεῖον ὄνομα τῆς θείας ἐπικουρίας ἀντιβολῆσαι τυχεῖν· ἡμῶν γάρ φησι κακοπραγούντων, κατὰ τοῦ σοῦ ὀνόματος ἡ βλασφημία χωρεῖ. ἀντιβολῶμεν τοίνυν, παριδεῖν μὲν σὲ τὰ πλημμελήματα· μεταβαλεῖν δὲ τὰς συμφορὰς, καὶ τὴν σὴν δύναμιν ὑποδεῖξαι τοῖς ἀγνοοῦσι. ι. Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Οἱ δὲ ἄλλοι ἑρμηνευταὶ ὡς γεγενημένον τοῦτο εἰρήκασιν. εἰς τί λέγει τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; τοῦτό με, φησὶν, ἀνιᾷ, τοῦτό με κεντεῖ πάσης ἀκίδος ὀξύτερον, τὸ ὑπὸ τῶν ἐθνῶν κατὰ σοῦ τὴν βλασφημίαν τολμᾶσθαι, καὶ ἐπιτωθάζοντας λέγειν, ποῦ ἐστιν ὁ Θεὸς ὑμῶν; ὃν λέγετε μαστιγῶσαι τὴν Αἴγυπτον, διιχνεύσαι τὴν θάλατταν, „ὑμῖν δὲ δωρῆσαι διάβασιν, „καὶ τ' ἄλλα πάντα δεδρακέναι „τὰ μεγάλα καὶ πολυθρύλλητα; καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σε, τοῦ ἐκκεχυμένου. ἀντιβολῶμεν τοίνυν, τοὺς μὲν τῆσαι τῆς μιαιφονίας ποινὴν, τοὺς δὲ ἄλλους ἅπαντας ἰδεῖν σὺν ἡμῖν τὴν δικαίαν σοῦ ψῆφον, καὶ τὴν ὑπὲρ τῶν ἀνῃρημένων σοῦ θεραπόντων ὀργήν. ια'. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Ἀπιδεῖν ἱκετεύω σε, καὶ εἰς τοὺς ἔτι μὲν περιόντας, δεσμὰ δὲ περιειμένους, καὶ προσδεχομένους τὸν θάνατον, καὶ μὴ παναληθείαν τοῦ ἡμετέρου καταψηφίσασθαι γένους· ἀλλὰ τῶν ἀνῃρημένων περισῶσαι τοὺς παῖδας, καὶ νεολαίαν ἐξ αὐτῶν καταξῆσαι. ιβ'. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν· τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε. Πταπλασίαν τοῖς ὁμόροις τῆς βλασφημίας τὴν τιμωρίαν ἐπάγαγε. ὃ γὰρ ὡρισμένον ἀριθμὸν διὰ τῶν εἰρημένων ἐδήλωσεν, ἀλλὰ μεγίστην αὐτοῖς ἐπαχθῆναι τιμωρίαν ἐζήτησε. τοῦτο καὶ τὸ, ἑπτὰ ἕτεκεν ἐπλὰ, ἀντὶ τοῦ πολλά. τὸν δὲ κόλπον εἴρηκεν, ἐκ μεταφορᾶς τῶν ἐν τῷ κόλπῳ τι φερόντων, καὶ ἀσφαλῶς συνεχόντων,

ὥστε

ὥστε μηδὲν ἐκπεσεῖν· ἀντὶ τοῦ, πλήρωσον αὐτὸς συμφορῶν ἐπικειμένων διηνεκῶς. ιγ'. Ἡμεῖς δὲ λαός σε, καὶ πρόβατα νομῆς σου· ἀνθομολογησόμεθά σοι ὁ Θεὸς εἰς τὸν αἰῶνα· εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου. Ἡμεῖς δὲ οἱ λαός σου χρηματίσαντες, καὶ ποίμνιον ὀνομαζόμενοι σὸν, ἐνδελεχῶς σοι τὸς ὕμνους προσοίσομεν· καὶ τὰς ὑπὲρ τῆς εὐεργεσίας ὁμολογήσομεν χάριτας· καὶ ἀναγράπτους ταύτας πεποιηκότες, τοῖς ἐσομένοις ἀνθρώποις προσοίσομεν τὴν τέτων διήγησιν· τὸ μέν τοι ἀνθομολογησόμεθα, ἀντὶ τοῦ ἐξομολογησόμεθα εἴρηκε. τὴν εὐχαριστίαν δὲ τὸ ὄνομα δηλοῖ.

ΕΡΜΗΝ. ΤΟΥ οθ' ΨΑΛΜΟΥ.

ά. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ὑπὲρ τῶν ἀλλοιωθησομένων. μαρτύριον τῷ Ἀσάφ. ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίε. Μεταβολὴν τινῶν πραγμάτων ὁ παρὼν προλέγει ψαλμός. ἡ γὰρ ἀλλοίωσις τέτο δηλοῖ, καὶ μαρτύρεται· διὰ τέτο καὶ μαρτύριον πρόσκειται· προθεσπίζει δὲ ἡ χάρις τοῦ Πνεύματος, τὸν τῶν Ἰεδαίων ἀνδραποδισμόν, καὶ τὴν ἐν Βαβυλῶνι δελείαν· ἐχημάτισαι δὲ εἰς εὐχὴν ὁ ψαλμὸς τῷ Θεῷ τῶν ὅλων, ὡς ὑπ' αὐτῶν ἐκείνων προσφερομένην. διδάσκει γὰρ αὐτὸς ἡ προφητικὴ χάρις, ὁποίοις δεῖ τὸν Θεὸν ἱλεώσασθαι ῥήμασι, καὶ εἰς ἔλεον διεγεῖραι· προλέγει δὲ καὶ τὴν ἐσομένην πᾶσιν ἀνθρώποις διὰ τοῦ Δεσπότε Χριτοῦ σωτηρίαν. β'. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. Σὲ Δέσποτα τὸν ποιμένος δίκην τοῦ λαοῦ προμηθέμενον δέξασθαί με τὴν ἱκετείαν ἀντιβολῶ. ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. οἷόν τισι λύκοις περιπεσόντα τοῖς ἀδελφοῖς, τῶν ἐκείνων ἀπαλλάξας χειρῶν, ἐποδήγησας εἰς Αἴγυπτον, καὶ κρεῖτλονα τῶν ἐπιβελευσάντων ἀπέφηνας. ἔτω τὴν εἰς αὐτὸς γεγενημένην κηδεμονίαν διεξελθὼν, ἐπὶ τὴν γενικωτέραν ἐξουσίαν μετέβη. ὁ καθήμενος ἐπὶ τῶν Χερεβὶμ ἐμφάνηθι. ἐπειδὴ γὰρ τέτων μόνων ὁ μέγας Μωσῆς ἐκτυπώματά τινα ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνέθηκε, καὶ μέσον τέτων τὸ ἱλαστήριον τέθεικε, δι' ἐκείνε δέ τις ἐπιφάνεια θεία τοῖς ἀρχιερεῦσιν ἐγένετο, εἰκότως ἐνταῦθα καὶ τῶν Χερεβὶμ ἐμνημόνευσε, καὶ τὸν τέτοις ἐπικαθήμενον ἐπιφανῆναι ἱκέτευσεν. γ'. Ἐναντίον Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆ. Ἐπιφανῆναί σε φησὶν ἱκετεύω τῷ σῷ λαῷ· διὰ γὰρ τῶν εἰρημένων φυλῶν, πάντα δεδήλωκε τὸν λαόν. τέτων δὲ ἐμνημόνευσεν, ἐπειδὴ καὶ τοῦ Ἰωσὴφ ἐποιήσατο μνήμην· τοῦ δὲ Ἰωσὴφ, ὁ μὲν Ἐφραὶμ καὶ ὁ Μανασσῆς παῖδες· ὁ δὲ Βενιαμὶν ἀδελφὸς ὁμομήτριος. ἐξέγειρον τὴν δυναστείαν σε, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ὡς μακροθυμῆντα, καὶ ἡσυχίᾳ χρώμενον, τὸν Θεὸν διανίστησιν. ἄπασάν σε τὴν δύναμίν φησι κίνησον, τὴν ἡμετέραν πραγματευσάμενος σωτηρίαν. „τέτο μέν, ὡς εἴ„ρηταί μοι ἀνωτέρω, ὁ ἀνδραποδισθεὶς τὸ „τηνικαῦτα παρὰ τῶν Ἀσσυρίων λαὸς, „τέτο δὲ τὰ ἔθνη ἀντιβολεῖ, κηδόμενα „τὴν παρὰ τοῦ εὐεργέτε σωτηρίαν· τοῦ„το γὰρ θέλει εἰπεῖν ὁ προφητικὸς νῦς „καὶ διὰ τῶν ἑξῆς.„ δ'. Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς. Τῆς δε-

λείας

λείας ἐλευθέρωσον, καὶ τὴν ἐπάνοδον χάρισαι. „ὁ μὲν τὴν ἐκ Βαβυλῶνος „ἱκετεύων, ὁ δὲ τὴν ἐκ εἰδώλων ἐπιστρο„φήν.„ εἶτα τῷ πράγματος διδάσκει τὴν εὐκολίαν. καὶ ἐπίφανον τὸ πρόσωπόν σε, καὶ σωθησόμεθα. ἀρκεῖς γὰρ φαινόμενος λῦσαι τὰς συμφορὰς. ε. Κύριε ὁ Θεὸς τῶν δυνάμεων· ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου. Μέχρι πότε Δέσποτα, τὰς ἐμὰς παραπέμπῃ λιτὰς, ἐπὶ τοῖς ἐμοῖς πλημμελήμασιν ὀργιζόμενος; δῆλον δὲ αὐτῷ τὸν λαὸν ὀνομάζει· καὶ γὰρ οἱ ἄλλοι ἑρμηνευταὶ, ἐπὶ τὴν προσευχὴν τῷ λαῷ σε, ἀντὶ τῷ δέλε σε τεθείκασιν. ς'. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων· καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. Ὁ χρόνος ἐνταῦθα ἐνήλακται· καὶ γὰρ οἱ ἄλλοι ὡς γεγενημένα ταῦτα εἰρήκασιν· ἐψώμισας ἡμᾶς ἄρτον δακρύων, καὶ ἐπότισας ἡμᾶς μετὰ δακρύων μέτρῳ· λέγει δὲ, ὅτι καὶ τὴν τροφὴν ἡμῶν, καὶ τὸ πόμα δάκρυσι συνεκέρασας· ὀδυρόμενοι γὰρ καὶ στένοντες μεταλαγχάνομεν τῆς ἀναγκαίας τροφῆς· τοῦτο δὲ πεποίηκεν ἀντιμετρήσας τοῖς ἁμαρτίαις τὴν τιμωρίαν· τοῦτο καὶ ὁ Κύριος· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· τοῦτο καὶ Ζαχαρίας εἶδεν ὁ προφήτης τὸ μέτρον, τῆς Βαβυλῶνος προδεσπίζων τὸν ὄλεθρον. δύο γὰρ ἔφησε θεᾶσθαι γυναῖκας, ἔποπος μὲν ἐχούσας πτερὰ, τὸ δὲ μέτρον φερούσας, καὶ τοῦτο προσταχθείσας εἰς Βαβυλῶνα κομίσαι· διὰ τούτων δὲ διδασκόμεθα τῆς θείας ψήφου τὸ δίκαιον. ζ'. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Ἐπονείδιστοι γεγόναμεν καὶ τοῖς γειτονεύουσιν ἔθνεσι, ἀεὶ τὴν πρὸς ἡμᾶς ἐχθροὶ δυσμένειαν· „ἀλλ' ὅ„μως ἐκ ἀπέστημέν σε· τοῦτο γὰρ διὰ „τῶν ἑξῆς ἐφη.„ η'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς· καὶ ἐπίφανον τὸ πρόσωπόν σε, καὶ σωθησόμεθα. Τῇ σῇ τοίνυν ἐπιφανείᾳ σπέδασον τὸ ζοφῶδες νέφος τῶν συμφορῶν, καὶ τὴν ἐπάνοδον χάρισαι· „τοῦτο μὲν „ὁ λαὸς ἀντιβολῶν· τοῦτο δὲ καὶ τὰ „ἔθνη· ἐπιφάνειαν λέγων τὴν ἔνσαρκον „παρουσίαν.„ δυνατὸς γὰρ εἶ, καὶ τῶν δυνάμεων κύριος. „τότε μὲν ἀοράτως „ἐκείνους ἐκ τῆς αἰχμαλωσίας ἀνακα„λούμενος, τὰ δὲ ἔθνη τῇ σῇ οἰκονομίᾳ „περιποιησάμενος.„ εἶτα τὰς παλαιὰς εὐεργεσίας διέξεισι, τῆς ὁμοίας ἀπολαῦσαι προμηθείας ἀντιβολῶν. θ'. Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. ι'. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς· καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν. Σὺ Δέσποτα, τὴν ἄδικον τῶν Αἰγυπτίων κατέλυσας δυναστείαν· σὺ τὰ τῶν Χαναναίων ἔθνη πανωλεθρίᾳ παρέδωκας, καὶ τὸν σὸν λαὸν καθάπερ ἄμπελον ἐξ Αἰγύπτου μεταγαγὼν, καὶ πᾶσαν κατὰ τὴν ὁδὸν δωρησάμενος εὐκολίαν, ἐν τῇ τῶν Χαναναίων αὐτὸν κατεφύτευσας γῇ. ια'. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ. ιβ'. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης· καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἄμπελον τροπικῶς τὸν λαὸν ὀνομάσας, ἐπέμεινε τῇ τροπῇ· καὶ ὄρη μὲν καλεῖ τὴν τῶν ὁμο-

ρων

ρων ἐθνῶν ἰσχύν· σκιὰν δὲ ταῦτα καλύπτουσαν τὴν τοῦ Ἰσραὴλ δυναστείαν τούτοις ἐπιτεθεῖσαν· κέδρους δὲ τοῦ Θεοῦ τοὺς ὑψηλοὺς ἄρχοντας, τοὺς ὑπὸ τοῦ Θεοῦ τὸ ἄρχειν εἰληχότας. ἀναδενδράδας δὲ τὰς κέδρους συγκαλυπτούσας, τὴν Ἰσραηλιτικὴν βασιλείαν περιφανεστέραν τούτων γεγενημένην. τοῦτο δὲ καὶ ἐπὶ τοῦ μακαρίου Δαβὶδ, καὶ ἐπὶ τοῦ Σολομῶντος, μεμαθήκαμεν γεγενῆσθαι. ὁ μὲν γὰρ „μέγας „ Δαβὶδ οὐ μόνον παρὰ τῶν Ἀλλοφύλων, καὶ Ἰδουμαίων, καὶ Ἀμμανιτῶν, καὶ Μωαβιτῶν, ἀλλὰ καὶ παρὰ Σύρων ἑκατέρων, δασμὸν ἐκομίζετο· πρὸς δὲ τὸν Σολομῶντα καὶ ἡ Αἰθιόπων ἔδραμε βασιλίς· οὕτω παρὰ πᾶσιν ἐγένετο πολυθρύλλητος· κλήματα δὲ τῆς ἀμπέλου, τοῦ λαοῦ λέγει τὸ πλῆθος· παραφυάδας δὲ, τοὺς προσηλύτους, τοὺς ἐκ τῶν ἐθνῶν προσεληλυθότας, καὶ τὴν θείαν ὑποδεξαμένους ἐπίγνωσιν. διὰ πάντων δὲ τὴν προτέραν εὐκληρίαν ἐδήλωσε τοῦ λαοῦ. ιγ'. Ἵνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Τί δήποτε τῆς σῆς αὐτὴν προνοίας ἐγύμνωσας, καὶ πεποίηκας τοῖς ἀδικεῖν βουλομένοις εὐχείρωτον; φραγμὸν δὲ τὴν ἀσφάλειαν κέκληκεν· ὃ γάρ ἐστιν ἀμπελῶνι φραγμὸς, τοῦτο ἡ τῷ Θεῷ πρόνοια τοῖς αὐτῆς ἠξιωμένοις· παραπορευομένους δὲ ὁδὸν, τοὺς πολεμίους. καθάπερ γὰρ οἱ ὁδοιπόροι τὴν ἄφρακτον καὶ ἀφύλακτον ἄμπελον τρυγῶσιν ἀδεῶς, καὶ τὸν αὐτῆς ἀφαιροῦνται καρπόν· οὕτως ὁ τῆς θείας γεγυμνωμένος κηδεμονίας τοῖς ἀδικεῖν ἐθέλουσιν εὐχείρωτος γίνεται. ιδ'. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ· καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Τὰς διαφόρους τῶν Ἀσσυρίων ἐφόδους διὰ τούτων ἐδήλωσε. Σαλμανασὰρ γὰρ καὶ Σεναχηρεὶμ, τὰς ἄλλας ἐξεπόρθησαν πόλεις· ὁ δὲ Ναβουχοδονόσορ τὴν Ἱερουσαλὴμ πολιορκήσας, τοὺς τὸν θάνατον διαφυγόντας ἐξηνδραποδίσατο· καὶ ἐπειδὴ ἄμπελον τὸν Ἰσραὴλ προσηγόρευσεν, εἰκότως ὗν ἄγριον ὠνόμασε τὸν τούτου πολέμιον· διαφερόντως δὲ τόδε τὸ θηρίον ἀμπέλων ἐπίβουλον. μονιὸν δὲ ἄγριον καλεῖ, τὸν καθ' ἑαυτὸν διάγοντα σῦν, ὃς τῶν ἄλλων ἐστὶν ἀγριώτερος, ἅτε δὴ καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν ἀποστρεφόμενος. ἐπειδὴ τοίνυν καὶ ὁ Ναβουχοδονόσορ τῶν ἄλλων βασιλέων θηριωδέστερος ἦν, εἰκότως αὐτὸν ὠνόμασε μονιὸν ἄγριον. ιε. Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή· καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε· καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. ις'. Καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Ἱκετεύω σὲ τοίνυν τὸν δυνατὸν Δεσπότην, ἰδεῖν ἄνωθεν τῆς ἀμπέλου τὴν λώβην, καὶ θεραπείας ἀξιῶσαι τὸ πάθος. ἡ σὴ γὰρ αὐτὴ πρόνοια τὴν προτέραν ἔδωκεν εὐκληρίαν· δεξιὰν δὲ καλεῖ τὴν πρόνοιαν. καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας ἑαυτῷ. ἐνταῦθα τὴν ἐκεῖθεν βλάστησιν τοῦ Δεσπότου διδάσκει Χριστοῦ· ἱκετεύει γὰρ ἐπιμελείας ἀξιωθῆναι τὴν ἄμπελον, διὰ τὸν ἐξ αὐτῆς ληφθησόμενον ναὸν, ὃν υἱὸν ἀνθρώπου σαφῶς προσηγόρευσεν· οὕτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐ-

ἀγγελίοις, καί τοι Θεὸς ὢν ὁμοῦ καὶ ἄνθρωπος, υἱὸν ἀνθρώπου ἑαυτὸν ὀνομάζει, ἀπὸ τῆς ὁρωμένης Φύσεως τὴν προσηγορίαν τιθεὶς· διδάσκει τοίνυν ὁ προφητικὸς λόγος, τὸς δορυαλώτους γεγενημένους ἱκετεῦσαι τὸν τῶν ὅλων Θεὸν, Φειδώ τινα τῆς ἀμπέλου ποιήσασθαι διὰ τὴν ἐκεῖθεν Φυομένην σωτήριον ῥίζαν· οὕτω γὰρ ἑαυτὸν καὶ ὁ Κύριος ὀνομάζει λέγων· ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὑμεῖς τὰ κλήματα, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν. ὡς γὰρ ἄνθρωπος, ἄμπελός ἐστιν· ὡς δὲ Θεὸς, καὶ γεωργός, σπείρων σπέρμα καλὸν ἐν τῷ ἀγρῷ αὐτοῦ. ἐπειδὴ γὰρ ἐκ ταύτης ἐβλάστησε τῆς ἀμπέλου, τῆς ἀχρήστου γεγενημένης, καὶ ἀκάνθας ἀντὶ βοτρύων τῷ γεωργῷ προσενεγκούσης, αὐτὸς ἀληθινὴ γέγονεν ἄμπελος, καὶ κλήματα ἐβλάστησε μέγιστα, τῶν εἰς αὐτὸν πεπιστευκότων τὸ πλῆθος. τούτων ἀληθῶς ἡ σκιὰ ἐκάλυψε τὰ ὄρη, καὶ αἱ ἀναδενδράδες τὰς κέδρους· αὕτη ἀληθῶς ἡ ἄμπελος ἐξέτεινε τὰ κλήματα ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς· „ἐδὲ γάρ ἐστι τό„πος, οὐκ ἔστιν ὑπὸ τὸν οὐρανὸν, ἐν ᾧ „οὐχ ἵδρυνται τῆς ἀμπέλου ταύτης αἱ „θεῖαι λῆνοι.„ διὰ ταύτην ἱκετεύουσι κἀκείνην ἀπολαῦσαι Φειδοῦς, τὰ παντοδαπὰ αὐτῆς διηγούμενοι πάθη. ιζ'. Ἐμπεπυρισμένη πυρὶ, καὶ ἀνεσκαμμένη. Ἐντεῦθεν μάλιστα δῆλον, ὡς τὰ κατὰ τὸν Βαβυλώνιον ὁ ψαλμὸς, καὶ οὐ τὰ κατὰ τὸν Ἀντίοχον, ὡς τισὶν ἔδοξε, προθεσπίζει. ὁ Βαβυλώνιος γὰρ καὶ τὸν νεὼν ἐνέπρησε, καὶ τῆς πόλεως τὸ πλεῖστον πυρὶ παραδέδωκεν· ἔτω καὶ ἐνταῦθά Φησιν, ὅτι ἐ μόνον τὸν καρπὸν ἀπῆλθον τρυγήσαντες, ἀλλὰ καὶ ἀνέσκαψαν, καὶ πρόβριζον αὐτὴν ἀνέσπασαν, καὶ πυρὶ κατηνάλωσαν. Ἀπὸ ἐπιτιμήσεως τῆ προσώπου σου ἀπολοῦνται. „ἀλλὰ σοῦ Φαινομένου καὶ „κινουμένου, Φροῦδοι γενήσονται παντε„λῶς καὶ τὸν ὄλεθρον δέξονται.„ ιή. Γενηθήτω ἡ χείρ σε ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ· „ἀπολαύσω„μεν τοίνυν τῆς σῆς κηδεμονίας διὰ τὸ „οὕτω σε Φιλανθρωπίᾳ νικώμενον ἐξ ἡ„μῶν σαρκοῦσθαι· υἱὸν δὲ ἀνθρώπου τὸν „Κύριον τῆς δόξης ὀνομάζει· περὶ οὗ „Παῦλος· εἰ γὰρ ἔγνωσαν, οὐκ αὐτὸν Κύ„ριον τῆς δόξης ἐσταύρωσαν.„ ιθ'. Καὶ ἐ μὴ ἀποστῶμεν ἀπό σου.„ ἀψευδὴς γὰρ „ὑπάρχεις τὰς σὰς πληρῶσαι ὑποχέ„σεις.„ Ταύτης γὰρ ἐξ ἡμῶν λαμβανομένης τῆς ἀπαρχῆς, πᾶσα τῶν ἀνθρώπων ἡ Φύσις τὸν ἀληθῆ Θεὸν ἐπιγνώσεται, καὶ τὴν γεγενημένην Φιλανθρωπίαν ὑμνήσει. ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σε ἐπικαλεσόμεθα. τῷ τρόπῳ δὲ τούτῳ καὶ τὸ θανάτου τὸ κράτος λυθήσεται, καὶ ἡμεῖς τῆς ζωῆς τῆς αἰωνίου τευξόμεθα, σὲ προσκυνοῦντες τὸν σωτῆρα Θεόν. κ'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς· καὶ ἐπίΦανον τὸ πρόσωπόν σε, καὶ σωθησόμεθα. Διὰ ταῦτα τοίνυν ἅπαντα, καὶ τὴν ἐσομένην δι' ἡμῶν ἅπασιν ἀνθρώποις σωτηρίαν, λῦσον μὲν ἡμῖν τὰ σκυθρωπὰ, χάρισαι δὲ τὴν ἐπάνοδον· εἰ γὰρ μόνον Φανῇς, τῆς σωτηρίας τευξόμεθα.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ π' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Ἀσάφ. Τὴν Ἰουδαίων οὗτος ὁ ψαλμὸς ἀνάκλησιν προθεσπίζει, καὶ τὴν μετὰ ταῦτα γενομένην ἀλλοτρίωσιν· μεθ' ἣν ἡ κλῆσις τῶν ἐθνῶν, καὶ ὁ τῆς εὐσεβείας καρπὸς, ὡς ἐν ληνοῖς τισὶ ταῖς ἁγίαις ἐκκλησίαις τῷ Θεῷ προσφερόμενος· ἐχημάτισαι δὲ τῇ ψαλμῷ τὸ προοίμιον, ὡς ἐπανελθόντων ἤδη τῶν τὴν ἱκετείαν προσενηνοχότων ἐκείνην, καὶ χορευόντων, καὶ ἀλλήλοις παρεγγυώντων ὑμνεῖν τὸν σεσωκότα Θεόν. β'. Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν. Ὁ δὲ Σύμμαχος, εὐφημεῖτε εἴρηκεν· ὁ δὲ Ἀκύλας, αἰνοποιεῖτε. προσενέγκατέ φησι τῷ Θεῷ τὸν χαριστήριον ὕμνον, τῷ τῆς οἰκείας ἡμῖν μεταδεδωκότι προνοίας. ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. ἐπινίκιος ὁ ἀλαλαγμὸς, ὡς πολλάκις εἰρήκαμεν. παρακελεύονται τοίνυν ἀλλήλοις τῷ τὴν νίκην δωρησαμένῳ Θεῷ τὴν ὑμνῳδίαν ὑφῆναι. γ'. Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον· ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Διαφόροις ὀργάνοις κεχρημένοι τὴν θείαν ἀνεκρούοντο μελῳδίαν· καὶ τοῦτο τῶν παραλειπομένων ἡ ἱστορία διδάσκει· παρεγγυᾷ τοίνυν τοῖς χοροῖς ἐκείνοις ὁ λόγος ἀλλήλοις ἀντιδιδόναι τὴν παναρμόνιον τῶν ὀργάνων ἐκείνων ἠχήν· καὶ τούτους μὲν λύραις, ἐκείνους δὲ τυμπάνοις, ἄλλους δὲ κιθάραις τὸν Θεὸν ἀνυμνῆσαι· τὸ δὲ ψαλτήριον ὁ Σύμμαχος λύραν ἐκάλεσεν. δ'. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. ε'. Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστιν· καὶ κρίμα τῷ Θεῷ Ἰακώβ. Ταῖς σάλπιγξιν ἐκέλευσεν ὁ Θεὸς τοὺς ἱερέας κεχρῆσθαι. ἀνεμίμνησκον δὲ αὗται τὸν λαὸν τῶν ἐν τῷ ὄρει γενομένων σαλπίγγων· τοῦ Θεοῦ γὰρ τῶν ὅλων ἐν τῷ Σινᾷ ὄρει διαλεγομένου, φωνὴ, φησὶ, τῆς σάλπιγγος ἦχει μέγα· ἐκείνης τοίνυν τῆς ἐπιφανείας ἀνεμίμνησκον τὸν λαὸν ταῖς σάλπιγξιν οἱ ἱερεῖς κεχρημένοι· καὶ οὗτοι τοίνυν τὲς τῆς ἐπανόδε τετυχηκότας, καὶ τῆς θείας ἐπικουρίας ἀπολαύσαντας, εἰκότως μετὰ τῶν ἄλλων ὀργάνων, καὶ ταῖς σάλπιγξι παρεκελεύοντο χρήσασθαι. ς'. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτό· ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτε. Ἰωσὴφ ἐνταῦθα πάντα καλεῖ τὸν λαόν· ἐπειδὴ γὰρ τῆς εἰς Αἴγυπτον εἰσόδε ὁ Ἰωσὴφ αὐτοῖς ἐγένετο πρόξενος, ἐξ αὐτῆ τὸν λαὸν προσηγόρευσε· λέγει δὲ ὅτι ταύτην ἔδωκε τῷ λαῷ τὴν νομοθεσίαν, τῆς Αἰγύπτου τοῦτον ἐλευθερώσας. εἶτα τὰς γεγενημένας εὐεργεσίας διέξεισιν. γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν. Φωνῆς γὰρ πώποτε θείας ἐκ ἀπολαύσας, ταύτης ἐπήκουσεν ἐν τῇ ἐρήμῳ τὸν νόμον δεχόμενος. ζ'. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτῆ· αἱ χεῖρες αὐτῆ ἐν τῷ κοφίνῳ ἐδούλευσαν. Τοὺς ἐν Αἰγύπτῳ πόνους, καὶ τὴν πικρὰν δουλείαν, καὶ τὴν πλινθουργίαν διὰ τούτων ἐδήλωσε· τοῖς ὤμοις γὰρ, ὡς εἰκὸς, φέρειν ἠναγκάζοντο τὸν πηλόν· τὰ δὲ νῶτα διαφερόντως τῶν τοιούτων ἐπαιθάνεται πόνων. ἐντεῦθεν τὸ τοῦ Θεοῦ

πρόσωπον εἰσάγει διαλεγόμενον· καὶ πρῶτον μὲν τῶν εὐεργεσιῶν τῶν γεγενημένων ἀναμιμνήσκει, εἶτα παραίνεσιν εἰσφέρει καὶ συμβουλήν· μετὰ ταῦτα προλέγει τὴν ἀπείθειαν, καὶ τῆς ἀπειθείας τὴν τιμωρίαν. ἡ. Ἐν θλίψει ἐπεκαλέσω με· καὶ ἐρυσάμην σε. Ἐξέναξας ἐν Αἰγύπτῳ τοῖς πόνοις ταλαιπωρούμενος, καὶ παραυτίκα φιλανθρωπίας ἠξίωσα· τοῦτο καὶ ἡ ἱστορία διδάσκει. ἐξέναξαν γάρ φησιν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεόν. ἐπήκουσά σε ἐν ἀποκρύφῳ καταιγίδος. ὁ δὲ Σύμμαχος οὕτως· ἐπήκουσά σε διὰ κρυφαίας βροντῆς· καὶ οἱ ἄλλοι δὲ τὴν βρόντησιν ὁμοίως τεθείκασι· δηλοῖ δὲ διὰ τοῦτο ὅτι μὴ φαινόμενος, ἀλλ' ἀόρατον ἔχων τὴν φύσιν, κατάδηλον πᾶσιν ἀνθρώποις τὴν σωτηρίαν πεποίηκα, οἵαν τινα βροντὴν, ταῖς κατὰ τῶν Αἰγυπτίων πληγαῖς σημάναι ἅπασιν ὅσην ποιοῦμαί σου πρόνοιαν. ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. εἰς Μερρὰν ἐλθόντες, καὶ πικρὸν εὑρόντες τὸ ὕδωρ, καὶ Μωσοῦ κατεβόησαν, καὶ τῷ Θεῷ κατελάλησαν· ἀπὸ τοῦ πράγματος τοίνυν ὁ τόπος τὴν προσηγορίαν ἐδέξατο· λέγει τοίνυν, ὅτι διήλεγξά σε παρ' ἐκεῖνο τὸ ὕδωρ τὴν ἀχάριστον γνώμην· ῥᾳδίως δὲ αὐτοῦ μετέβαλον τὴν ποιότητα, καὶ γλυκεῖαν ἀπέφηνα τὴν πικράν. β'. Ἄκουσον λαός μου, καὶ διαμαρτύρομαί σου. Πεῖραν τοίνυν τῆς ἐμῆς δυνάμεως εἰληφὼς, δέξαι προθύμως τὰς παρ' ἐμοῦ σοι προσφερομένας νομοθεσίας. διαμαρτυρία γάρ ἐστι προλέγουσά σοι τῆς ἀπειθείας τὴν τιμωρίαν, καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. Ισραὴλ ἐὰν ἀκούσῃς μου, ί. Οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ. „ καὶ σα„φέστερον αὐτοῖς ἑαυτὸν φανερὸν τῷ εἰ„πεῖν.„ ια'. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου. Ταῦτα καὶ τῷ νόμου τὸ προοίμιον ἔχει· ἐγὼ γάρ εἰμὶ, φησὶ, Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. καὶ ἐνταῦθα τοίνυν παρακελεύεται ἀλλότριον καὶ νέον μὴ προσκυνῆσαι Θεὸν, ἀλλὰ τὸν τὴν ἐλευθερίαν αὐτοῖς δωρησάμενον. ταῦτα δὲ καὶ τὴν Ἀρείου καὶ Εὐνομίου παραπληξίαν ἐλέγχει. εἰ γὰρ οὐχ ὁμούσιος ὁ μονογενὴς, ἀλλότριος ἄρα καλοῖτο ἂν εἰκότως· καὶ εἰ ἦν ὅτε οὐκ ἦν, πρόσφατος καὶ οὐκ ἀΐδιος. τὸν θεῖον τοίνυν προφανῶς παραβαίνουσι νόμον, „ καὶ „ μάλιστα οἱ τὰ τῶ δυσσεβοῦς Νεσο„ρίου δογματίζοντες, „ ἀλλότριον καὶ πρόσφατον προσκυνοῦντες Θεόν· ἀλλὰ γὰρ οὐ καιρὸς τὴν ἐκείνων ἐμβροντησίαν διελέγχειν· ἀπόχρη δὲ ὅμως καὶ ταῦτα εἰς ἔλεγχον τῆς αὐτῶν παρανομίας. πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. εὐπειθῆ, φησὶν, ἑαυτὸν διὰ τῆς εὐπειθείας κατάστησον, καὶ δέξαι τὴν ἀφθονίαν τῶν ἀγαθῶν· ἐντεῦθεν ἐπὶ τὴν κατηγορίαν μεταφέρει τὸν λόγον. γβ'. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχέ μοι. Ἐγὼ μὲν οὖν

οὖν ταύτην αὐτῷ τὴν συμβουλὴν προσενήνοχα· αὐτὸς δὲ οὔτε ἀκοῦσαι, οὔτε προσέχειν τοῖς ὑπ' ἐμοῦ λεγομένοις ὑπέχετο. ιγ'. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Ὁ δὲ Σύμμαχος ἔτως, ἀφῆκα οὖν αὐτοὺς τῇ ἀρεσκείᾳ τῆς καρδίας αὐτῶν, ὁδεύειν ταῖς βουλαῖς αὐτῶν· ἔτω δὲ καὶ ὁ Ἀκύλας, καὶ ἐξαπέστειλεν αὐτοὺς ἐν σκολιότητι καρδίας αὐτῶν, πορεύσονται ἐν βουλεύμασιν αὐτῶν· ἀπειθῆ γὰρ αὐτὸν θεασάμενος, τῆς μὲν ἑμαυτοῦ κηδεμονίας αὐτὸν ἐγύμνωσα. εἴασα δὲ αὐτὸν τοῖς οἰκείοις φέρεσθαι λογισμοῖς, ὡς ἀνερμάτιστον καὶ ἀκυβέρνητον σκάφος· πρόκειται δὲ εἰς θεωρίαν τοῖς βουλομένοις ἡ τῆς προφητείας ἀλήθεια. ἔρημοι γὰρ τῆς τοῦ Θεοῦ βοηθείας οἱ Ἰουδαῖοι γενόμενοι, εἰς ἅπασαν γῆν μὲν καὶ θάλασσαν διεσπάρησαν, δοῦλοι δὲ αἰτ' ἐλευθέρων ἐγένοντο. δυσσεβείᾳ δὲ πάσῃ συζῶσι, γοητείαις καὶ δαιμόνων ἐπῳδαῖς κεχρημένοι, τὸν δὲ σεσωκότα Θεὸν προσκυνεῖν ἐκ ἐθέλοντες. ιδ'. Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη. ιε'. Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου. Εἰ δὲ τῶν ἐμῶν ἠνέχετο παραινέσεων, καὶ ταῖς ἐμαῖς ἠκολούθησεν ἐντολαῖς, ῥᾳδίως ἂν αὐτῶν κατέλυσα τοὺς ἐχθρούς· τὸ γὰρ ἐν τῷ μηδενὶ τὴν εὐκολίαν δηλοῖ, ἀντὶ τοῦ, ἀκοντὶ καὶ ἀπόνως, καὶ ἐν ἀκαρεῖ τὸν ἐκείναν ὄλεθρον ἐπενεγκεῖν ἠδυνάμην. ιϛ'. Οἱ ἐχθροὶ Κυρίῳ ἐψεύσαντο αὐτῷ. Ὁ δὲ Ἀκύλας οὕτως, μισοποιοῦντες Κύριον ἀρνήσονται· τῇ γὰρ ἀρνήσει τοῦ Δεσπότου Χριστοῦ τὸ καθ' ἑαυτῶν κατεσκεύασαν μῖσος, καὶ ἐχθροὺς ἑαυτοὺς τοῦ Κυρίου κατέστησαν, ψευσάμενοι αὐτῷ, καὶ τὰς γεγενημένας παραβάντες συνθήκας. μετὰ γὰρ τὴν νομοθεσίαν ἀπεκρίνατό φησιν ὁ λαὸς, πάντα ὅσα εἶπε Κύριος ὁ Θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα· καὶ αἱ μὲν ὑποχέσεις τοιαῦται, τὰ δὲ ῥήματα ἄντικρυς ἐναντία· φανέντα γὰρ τὸν οἰκεῖον δεσπότην ἐξαύρωσαν. ἀλλ' ἐδέξαντο τῆς ἀσεβείας ἐπιτίμιον, τὸν αἰώνιον ὄλεθρον. „οὐκ αὐτοὶ δὲ μόνον, ἀλλὰ καὶ Ἄρειος „καὶ Εὐνόμιος καὶ Νεστόριος καὶ οἱ τὰ „ἐκείνων θρησκεύοντες. „ τοῦτο δὲ καὶ ἡ προφητεία δεδήλωκεν. καὶ ἔσαι ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. σαφέστερον δὲ ὁ Σύμμαχος εἴρηκεν· εἰρηκὼς γὰρ, μισοποιοὶ Κυρίου οἱ ψευσάμενοι αὐτῷ, ἐπήγαγεν, ἀλλ' ἔσαι ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. καιρὸν δὲ καλεῖ τὰς συμφοράς· οὕτω γὰρ καὶ οἱ Σύροι, καὶ οἱ Ἑβραῖοι „ταύτας „ ὀνομάζειν εἰώθασι· πολλοὶ δὲ καὶ παρ' ἡμῖν οὕτω ταύτας ἀποκαλοῦσι. λέγει τοίνυν, ὅτι ταύταις Ἰουδαῖοι οὐ κατά τινα ῥητὸν περιπεσοῦνται χρόνον, ἀλλ' εἰς αἰῶνα διατελοῦσι τῆς θείας ἐξερημένοι κηδεμονίας· ἔοικε δὲ τοῦτο τῷ ΟΓ' ψαλμῷ τῷ προοιμίῳ, ἵνατί ὁ Θεὸς ἀπώσω εἰς τέλος; καὶ γὰρ ἐκεῖ τὴν παντελῆ τῶν Ἰουδαίων ἀποβολὴν προηγόρευσεν. ιζ'. Καὶ ἐψώμισεν αὐτὸς ἐκ στέατος πυρῶ· καὶ ἐκ πέτρας

τρας μέλι ἐχόρτασεν αὐτές. Πολλὴν δὲ φησιν ἀχαριστίαν γενοσηκότες, οὐκ ἐμνήσθησαν τῶν ἤδη παραχεθέντων αὐτοῖς ἀγαθῶν. ἐν μὲν γὰρ τῇ ἐρήμῳ τὸ ἥδισεν αὐτοῖς ἐκ τῆς πέτρας ἐξήγαγεν ὕδωρ, ὃ δι᾽ ὄψων αὐτοῖς ἐνομίσθη μιμεῖσθαι γλυκύτητα μέλιτος· ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας τὸ ἀπὸ τῆς γῆς αὐτοῖς ἀφθόνως ἐδωρήσατο καρπούς. ἀπὸ γὰρ τοῦ μέρους τὸ πᾶν παρεδήλωσε, καὶ διὰ τοῦ σίτου, καὶ τῶν ἄλλων καρπῶν τὴν χορηγίαν ἐσήμανεν.

ΕΡΜΗΝ. ΤΟΥ πά΄ ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Ἀσάφ. Τὴν ἀποβολὴν εἰπὼν τῶν Ἰουδαίων ἐν τῷ πρὸ τέτε ψαλμῷ, ἐνταῦθα καὶ τὰς αἰτίας σαφέστερον ἐκτίθησι, δι᾽ ἃς αὐτὸς ὁ Θεὸς ἀπεβάλλετο· διδάσκων πάντως, ὡς εἴγε ἐκείνες μιμησόμεθα, τοῖς αὐτοῖς ἢ χείροσι περιπέσομεν. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεὺς διακρινεῖ. Τὲς Ἰεδαίων ἄρχοντας θεὺς, ὡς τὸ κρίνειν πεπιστευμένους, ὠνόμασεν· οὕτως αὐτοὺς καὶ ὁ νόμος ἀποκαλεῖ· θεὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τῦ λαῦ σε ἐκ ἐρεῖς κακῶς. ἐπειδὴ γὰρ ἀληθῶς κριτὴς ὁ Θεός ἐστιν, ἐνεχειρίθησαν δὲ καὶ οἱ ἄνθρωποι κρίνειν, προσηγορεύθησαν οἱ ταῦτα πεπιστευμένοι Θεοὶ, ἅτε δὴ Θεὸν ἐν τύτῳ μιμούμενοι· ἀλλὰ τὲς ἐκ ἐνδίκως δικάζοντας, ἐδὲ ἀκλινῶς κατέχοντας τὰ τῆς δίκης ζυγὰ, ὁ δίκαιος ἐνταῦθα διελέγχει κριτὴς, καὶ τὴν ἐσομένην ὑπ᾽ αὐτῦ δικαίαν κρίσιν προαγορεύει. β΄. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Μέχρι τίνος φησὶν ἀδέκαστον ἐκ ἐκφέρετε ψῆφον, ἀλλὰ τῶν δυνατῶν καὶ παρανόμων ἐλέγχειν παραιτεῖσθε τὴν ἀδικίαν, καὶ παροράτε τὲς πενίᾳ συζῶντας ἀπὸ τύτων ἀδικεμένες; γ΄. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἑκάτερος δὲ τέτων ἐνδεὴς βοηθείας. δ΄. Ἐξέλεσθε πένητα καὶ πτωχόν· ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσασθε αὐτόν. Μὴ γένηται τοῖς ἀδικεῦσιν ὁ πένης εὐχείρωτος ὑμῶν προσατευόντων, καὶ τὸ δικάζειν πεπιστευμένων. ε΄. Οὐκ ἔγνωσαν, ἐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται. Ἀλλὰ τέτων ἐδὲν ἠθέλησαν συνιδεῖν, ἐδὲ τῷ τῶν ἐμῶν λόγων καταυγασθῆναι φωτί· διά τοι τοῦτο, ὡς ἐν νυκτὶ καὶ ζόφῳ διάγοντες πολιτεύονται. σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. ταύτης ἕνεκα τῆς ἀληθείας, ταραχῆς καὶ ζάλης ὁ βίος ἐμπέπλησται, καὶ τοῖς ἐπαλλήλοις ἡ γῆ κλονεῖται κακοῖς. ς΄. Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου, πάντες. Ἐγὼ μὲν ἔν ὑμᾶς τετίμηκα· καὶ τῆς ἐμαυτοῦ προσηγορίας μετέδωκα, καὶ υἱὲς ἐμὲς προσηγόρευσα. ζ΄. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ὁ δὲ Σύμμαχος ἔτως· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθανεῖσθε, καὶ ὡς εἷς τῶν ἀρχόντων πεσεῖσθε. τὴν γὰρ οἰκείαν τιμὴν ἀγνοήσαντες, τὰ αὐτὰ τῷ διαβόλῳ πεπόνθατε, ὃς ἀρχὴν παρ᾽ ἐμᾶ πιστευθεὶς, καὶ χρήσασθαι τοῖς δοθεῖσιν εἰς δέον ἐκ ἐθελήσας, ἐξέπεσε τῆς τιμῆς·

μῆς· τὸν αὐτὸν δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὑπομένετε θάνατον, εὐκλειαν οὐδεμίαν μετὰ θάνατον ἔχοντες. ἕτως ὁ προφητικὸς λόγος τῶν ἀδίκων κριτῶν τὸν ἔλεγχον ποιησάμενος, τὸν ἀληθῆ καὶ δίκαιον ἱκετεύει κριτὴν τῆς εἰκαμένης τὴν κρίσιν ποιήσασθαι. ή. Ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν. Ταῦτα δὲ ἀντικρυς τῷ δεσπότῃ Χριστῷ τὴν κρίσιν δηλοῖ· πρὸς αὐτὸν γὰρ κατὰ τὸ ἀνθρώπινον εἴρηκεν ὁ πατὴρ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σε, καὶ τὴν κατάσχεσίν σε τὰ πέρατα τῆς γῆς. τοιγάρτοι τοῦτον ὁ προφήτης ἀνλιβολεῖ ἐπιφανῆναι ταχέως, καὶ κρῖναι δικαίως, καὶ τοὺς ἀδίκους παῦσαι κριτὰς, καὶ τὴν μὲν Ἰεδαίων κληρονομίαν καταλιπεῖν, ἀντιλαβεῖν δὲ τὴν τῶν ἐθνῶν, „ μᾶλλον δὲ ταύτην „ περιποιήσασθαι „ καὶ πᾶσιν ἀνθρώποις ὀρέξαι τὴν σωτηρίαν „ διὰ τῆς ἀκα„ταλήπλε αὐτῦ οἰκονομίας.„

ΕΡΜΗΝ. ΤΟΥ πβ' ΨΑΛΜΟΥ.

ά. Ὠιδὴ ψαλμοῦ τῷ Ἀσάφ. Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τὴν νευρογίαν τοῦ θείου νεὼ, καὶ τὴν τῶν Ἰουδαίων περιφάνειαν οἱ ἀσυγχύτους θεασάμενοι, κατὰ ταυτὸν συναγείρονται, καὶ ἕτερα βάρβαρα συναθροίσαντες ἔθνη, τὸν πρὸς Ἰουδαίους ἐδέξαντο πόλεμον. καὶ ταῦτα προλέγουσι μὲν οἱ θειότατοι Ἰωὴλ, καὶ Ἐζεκιὴλ, προλέγει δὲ Μιχαίας, καὶ Ζαχαρίας, οἱ θαυμάσιοι προφῆται· νικῶσι δὲ ὅμως ἅπαντας, στρατηγοῦντος μὲν τοῦ Ζοροβάβελ, ἄνωθεν δὲ τοῦ Θεοῦ συμμαχοῦντος, καὶ τὸ τῶν πολεμίων καταλύοντος θράσος. ταῦτα οὗτος ὁ ψαλμὸς προθεσπίζει· ἐχημάτισαι δὲ εἰς εὐχὴν ἡ προφητεία τοῦ θείου πνεύματος τοὺς τηνικαῦτα πολεμουμένους διδάσκοντος, πῶς δεῖ τὸν Θεὸν ἱλεώσασθαι. β'. Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι. Οὐδὲ πᾶσά φησι κατὰ ταυτὸν συναθροισθεῖσα τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων ἡ Φύσις παραβληθῆναι τῇ σῇ δυνάμει δυνήσεται· ἀσύγκριτον γὰρ ἔχεις τὸ κράτος. τὸ δὲ τίς, ἀντὶ τοῦ οὐδεὶς τέθεικεν. μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός. ἱκετεύομέν σε Δέσποτα, μὴ χρήσασθαι τῇ συνήθει μακροθυμίᾳ· τὸ γὰρ μὴ καταπραΰνῃς τοῦτο δηλοῖ. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε, μὴ ἡρεμήσῃς. εἶτα διδάσκει τῆς ἐντεύξεως τὴν αἰτίαν. γ'. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Δίκην φησὶ θαλάττης ἠχοῦσι, καὶ κυμαίνουσι, καθ' ἡμῶν ἀλαζονείᾳ καὶ θρασύτητι κεχρημένοι, οἱ διὰ τὴν πρός σε δυσμένειαν τὸν καθ' ἡμῶν ἀναδεξάμενοι πόλεμον· πρός σε γὰρ ἀπεχθανόμενοι τὸν ἀνακείμενόν σοι πολιορκοῦσι λαόν. δ'. Ἐπὶ τὸν λαόν σε κατεπανουργεύσαντο γνώμην, καὶ ἐπεβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Ὁ δὲ Σύμμαχος ἕτως· ἀντὶ τῶν ἁγίων σου, κατὰ τοῦ ἀποκρύφου σου· ὁ δὲ Ἀκύλας, κατὰ τοῦ συγκεκρυμμένου σου· οὕτω καὶ ὁ Θεοδοτίων· ἐπειδὴ γὰρ ἐξ αὐτῶν ἔμελλε κατὰ σάρκα

Franckesche Stiftungen zu Halle

καὶ βλαστήσειν ὁ Δεσπότης Χριστὸς, συνελήλυθε δὲ τὰ ἔθνη πρόῤῥιζον ἀναστᾶσαι τῶν Ἰουδαίων τὸ γένος βουλόμενα, ταύτην αὐτοὺς προσενεγκεῖν διδάσκει τὴν δέησιν τὸ πανάγιον Πνεῦμα, ὅτι οὐ καθ' ἡμῶν μόνον τῇ πανουργίᾳ καὶ ταῖς ἐπιβολαῖς κέχρηνται, ἀλλὰ καὶ κατὰ τοῦ ἀποκρύφου σου, καὶ ἐν ἡμῖν ἀποκεκρυμμένου, ὃν ἀνθήσειν ἐκ τῆς Ἰούδα φυλῆς προηγόρευσε· τῆς γὰρ ῥίζης ἐκτεμνομένης, πόθεν ὁ καρπὸς φυήσεται; τοῦτο δὲ καὶ διὰ Ἡσαΐου δεδήλωκεν ὁ τῶν ὅλων Θεός. ὃν τρόπον, φησὶν, ὅτ' ἂν εὑρεθῇ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία Κυρίου ἐστὶν ἐν αὐτῷ, οὕτω ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι· διὰ τοῦτον οὐ μὴ ἀπολέσω πάντας, καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ Ἰούδα, καὶ τότε, φησὶ, τοὺς λοιποὺς παναλεθρίᾳ παραδώσω. διὰ τὴν ῥῶγα τοίνυν τὴν μίαν ἅπας ὁ βότρυς κηδεμονίας ἀπήλαυσε, μᾶλλον δὲ ἅπας ὁ ἀμπελών· ἐκείνης δὲ ληφθείσης, καὶ μετ' ἐκείνου συλλεγέντος τοῦ ἄλλου καρποῦ, ὁ λοιπὸς ἀμπελὼν παρεδόθη θηρίοις, καὶ λυμαίνεται αὐτὸν ὗς ἐκ δρυμοῦ, καὶ μονὶς ἄγριος κατανέμεται, καὶ πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν συμπατοῦσιν ὡς βέλονται· τοῦτο δὲ καὶ ἐνταῦθα προσευχόμενοι λέγουσιν, ὅτι οὐ καθ' ἡμῶν μόνον, ἀλλὰ καὶ κατὰ τοῦ ἀποκεκρυμμένου σου τολμῶσι λυτλᾶν. „ τὸ „ γὰρ ἄρον, ἄρον, σαύρωσον, δήλους αὐ„ τοὺς πεποίηκε ὡσανεὶ κυνῶν δίκην λυτ„ τῶντας· τούτοις δὲ σύμφωνα καὶ τὰ „ ἐπαγόμενα. „ ε'. Εἶπον δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους· καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι. Πανωλεθρίαν ἡμῖν ἐπάγειν βούλονται, καὶ λήθην παραδοῦναι τὸν πολυθρύλλητον Ἰσραήλ. εἶτα καταλέγει τοὺς ὁμόρους, ὑφ' ὧν συγκληθέντες καὶ οἱ ἄλλοι συνῆλθον. ς'. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ, κατὰ σοῦ διαθήκην διέθεντο. Οἱ δὲ τὸν κατὰ σοῦ πόλεμον συμφώνως ἀναδεξάμενοι, εἰσί· ζ'. Τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ Ἰσμαηλῖται. Ἰδουμαῖοι ἀπὸ τοῦ Ἡσαῦ τὸ γένος κατῆγον· Ἐδὼμ γὰρ ὁ Ἡσαῦ ὠνομάσθη· Ἰσμαηλῖται δὲ, τοῦ Ἰσμαὴλ ἀπόγονοι. Μωὰβ, καὶ οἱ Ἀγαρηνοί. Μωὰβ τοῦ Λὼτ υἱὸς, ἔθνος δὲ καὶ ἐκ τούτου συνέστη· Ἀγαρηνοὶ, ἄλλη φυλὴ τοῦ Ἰσμαὴλ, ἀπὸ τῆς Ἄγαρ ὠνομασμένη· μήτηρ δὲ αὕτη τοῦ Ἰσμαήλ. η'. Γεβὰλ, καὶ Ἀμμὼν, καὶ Ἀμαλήκ. Ὁ δὲ Ἀμαλὴκ, ἔκγονος καὶ αὐτὸς τοῦ Ἡσαῦ ἔθνος μέντοι καὶ ἀπὸ τούτου συνέστη· Ἀμμὼν, τοῦ Λὼτ υἱός· τιμῆμα δέ εἰσι καὶ οὗτοι τῆς Ἀραβίας· καὶ Γεβαληνοὶ δὲ τῆς Ἰδουμαίας περίοικοι. Ἀλλόφυλοι μετὰ τῶν καλοικούντων Τύρον. Ἀλλοφύλους οἱ ἄλλοι Φιλισταίους καλοῦσιν ἑρμηνευταί· οὓς ἡμεῖς ὀνομάζομεν Παλαιστινούς· οὗτοι γὰρ μόνοι καταλειφθέντες ἐκ τοῦ γένους τοῦ Χαναὰν, καὶ παρὰ τὸν Ἰσραὴλ οἰκοῦντες, εἰκότως ἀλλόφυλοι διαφερόντως ἐκλήθησαν. θ'. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν. Ἀσσύριοι καὶ ἐκεῖνοι ἐκ ἐβασίλευον τὸν καιρόν· αἰνίττεται τοίνυν ὁ λόγος

γος τοὺς Σαμαρείτας, ἀποίκους Ἀσσυρίων ὄντας, μετὰ τὴν αἰχμαλωσίαν τῶν δέκα φυλῶν ἐν ταῖς ἐκείνων οἰκήσαντας πόλεσιν. ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. δηλοῖ δὲ ὁ λόγος, Μωαβίτας καὶ Ἀμμανίτας διαφερόντως κατὰ τοῦ λαοῦ θρασυνθέντας, καὶ τὰ λοιπὰ συναγείραντας ἔθνη. ι'. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ· ὡς τῷ Ἰαβὶν ἐν τῷ χειμάρρῳ Κισσῶν. ια'. Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ. Τῶν προτέρων εὐεργεσιῶν μνημονεύουσιν εὐγνώμονες, τὴν αὐτὴν αἰτοῦντες ἐπικουρίαν· τούτους μέν τοι τοὺς στρατηγοὺς Βαρὰκ καὶ ἡ προφῆτις Δεβόρρα κατέλυσεν. ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. ἄταφοι γὰρ διαμείναντες διελύθησαν, καὶ οἷον τις κόπρος τῇ γῇ συνεμίγησαν. ιβ'. Θοῦ τοὺς ἄρχοντας αὐτῶν, ὡς τὸν Ὠρήβ, καὶ Ζήβ, καὶ Ζεβεὲ, καὶ Σαλμανᾶν. ιγ'. Πάντας τοὺς ἄρχοντας αὐτῶν. Καὶ τούτων ἡ τῶν Κριτῶν ἱστορία μέμνηται· ἀνεῖλε δὲ αὐτοὺς Γεδεὼν ὑπὸ τῆς θείας χάριτος στρατηγούμενος. τούτοις παραπλησίως, καὶ τοὺς σφετέρους πολεμίους ἀντιβολοῦσι καταλυθῆναι, καὶ τὴν αἰτίαν διδάσκουσιν. οἵτινες εἶπον κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ. νεανιεύονται γὰρ, καὶ θρασύνονται καὶ τοῦ ἀνακειμένου σοι κρατήσειν ναοῦ. ἁγιαστήριον γὰρ τοῦ Θεοῦ τὸν ναὸν προσηγόρευσεν. ὁ δὲ Σύμμαχος τὸ ἁγιαστήριον δίκαιαν εἴρηκεν· ἐντεῦθεν δήλη γέγονε πᾶσα τοῦ ψαλμοῦ ἡ ὑπόθεσις. ἐπειδὴ γὰρ ἐπανελθόντες ἀνῳκοδόμησαν τὸν νεὼν, πᾶσα δὲ ἡ νομικὴ λατρεία διὰ τούτου ἐπετελεῖτο· τούτου γὰρ δίχα λατρεύειν οὐκ ἦν κατὰ νόμον· διὰ δὲ τὴν κατὰ νόμον πολιτείαν ἀπηχθάνοντο πρὸς Ἰουδαίους οἱ ἀσυγείτονες· κατὰ τοῦ ναοῦ πᾶσαν ἐποιήσαντο τὴν ὁρμὴν, ὥσε σὺν τούτῳ καὶ τὸ ἔθνος, καὶ τὴν κατὰ νόμον καταπαῦσαι λατρείαν. ιδ'. Ὁ Θεός μου θοῦ αὐτοὺς ὡς τροχόν. Ἀντὶ τοῦ, ἐν συμφοραῖς αὐτοὺς παντοδαπαῖς περιστρέφεσθαι κέλευσον, καὶ κακοῖς ἐπαλλήλοις περίβαλε. ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. σκέδασον αὐτοὺς δίκην καλάμης ὑπὸ ἀνέμου ῥιπιζομένης. ιε'. Ὡς πῦρ, ὃ διαφλέξει δρυμὸν, ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη. ις'. Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σοῦ ταράξεις αὐτούς. Ἐν τοῖς δρυμοῖς αὐτομάτως ἐξάπλεται φλὸξ, τῶν δένδρων ὑπὸ σφοδροτέρου πνεύματος κινουμένων, καὶ ἀλλήλοις συντριβομένων, καὶ τῇ τρίψει τὸ θάλπος ἐργαζομένων, καὶ κατὰ μικρὸν δι' ἀλλήλων ἐξαπλομένων. παραπλησίως τοίνυν καὶ τούτους ἱκετεύουσιν ὑπ' ἀλλήλων ἀναλωθῆναι, καὶ ταῖς οἰκείαις ἐκδοθῆναι παρανομίαις, κατὰ τὴν προφητείαν τὴν λέγουσαν· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἣ ἐξεκαύσατε. ιζ'. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας· καὶ ζητήσουσι τὸ ὄνομά σου Κύριε. Διαμαρτόντες γὰρ ὧν βούλονται, καὶ αἰσχύνης ἐμπλησθέντες, ἐπιγνώσονταί σου τὴν δύναμιν. ιη'. Αἰσχυνθήτωσαν, καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ ἐντραπήτωσαν, καὶ ἀπολέσθωσαν. ιθ'. Καὶ γνώτωσαν

ὅτι ὄνομά σοι Κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. Ἀγαθὰ τοῖς ἐχθροῖς αὐτοῦσι καὶ πολεμοῦμενοι· ἱκετεύουσι γὰρ αὐτοὺς, ἀντὶ μὲν τῆς θρασύτητος αἰσχύνη περιβληθῆναι· διὰ δὲ τῆς αἰσχύνης καρπώσασθαι τὴν θείαν ἐπίγνωσιν· καὶ τῆς μὲν τῶν εἰδώλων πλάνης ἀπαλλαγῆναι, μαθεῖν δὲ τῇ πείρᾳ, ὡς αὐτός ἐστι μόνος καὶ Θεὸς καὶ Δεσπότης, ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ πᾶσαν κυβερνῶν καὶ πρυτανεύων τὴν κτίσιν, „ἧς τὴν σωτηρίαν ἐπραγματεύσατο „ὁ ἐκ Θεοῦ Θεὸς, ὁ μονογενὴς υἱὸς μετὰ „τὴν ἀκατάληπτον αὐτοῦ ἐνανθρώπη„σιν.„

ΕΡΜΗΝ. ΤΟΥ πγ΄ ΨΑΛΜΟΥ.

α΄. Ὑπὲρ τῶν ληνῶν, τοῖς υἱοῖς Κορέ. Διπλῆ τοῦ ψαλμοῦ ἡ προφητεία· προαγορεύει γὰρ οὐ μόνον τὴν Ἰουδαίων ἀνάκλησιν, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης τὴν σωτηρίαν· ληνοὺς δὲ, ὡς καὶ ἤδη προειρήκαμεν, τὰς ἐκκλησίας καλεῖ· ἐν ταύταις γὰρ καὶ ὁ πνευματικὸς ἀμπελὼν τὸν οἰκεῖον προσφέρει καρπὸν, καὶ τὸν σωτήριον κατασκευάζομεν οἶνον, τὸν ἀληθῶς εὐφραίνοντα τῶν πεπιστευκότων τὰς καρδίας. β΄. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου Κύριε τῶν δυνάμεων. γ΄. Ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ταῦτα καὶ οἱ ἐν Βαβυλῶνι διάγοντες ἐδιδάχθησαν λέγειν, ἵνα ποθήσωσι τὴν ἐπάνοδον, καὶ τῆς κατὰ νόμον ὀρεχθῶσιν λατρείας· καὶ μέντοι καὶ ἡμεῖς, οἱ τῆς σωτηρίας τετυχηκότες, καὶ ἐκ τῶν θείων σηκῶν τὴν ὠφέλειαν καρπούμενοι. διαφερόντως δὲ ἡμῖν ἡ προφητεία προσήκει. πολλὰ γὰρ ἔσεσθαι προλέγει σκηνώματα, καὶ πολλὰς ὀνομάζει ληνοὺς, καὶ θυσιαστηρίων ὡσαύτως μνημονεύει πολλῶν· Ἰουδαῖοι δὲ ἕνα εἶχον νεὼν, καὶ ἓν ὁμοίως θυσιαστήριον. ἑκάστη μὲν τῶν εἰρημένων λέξις εἰς ἔρωτα θεῖον πυρσεύει τὴν γνώμην· ἀγαπητὰ μὲν γὰρ λέγει, καὶ ἀξιέραστα τοῦ Θεοῦ τὰ σκηνώματα· οὐχ ἁπλῶς δὲ ποθεῖν, ἀλλὰ καὶ ἐκλείπειν εἰς τὰς αὐλὰς τοῦ Κυρίου. σύμφωνα δὲ τούτοις καὶ τὰ μετὰ ταῦτα. ἡ καρδία μου, καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. οὐχ ἡ ψυχὴ δὲ μόνη γάννυται, καὶ ἀγάλλεται, ἀλλὰ καὶ τὸ σῶμα κεκοινώνηκε τῆς θυμηδίας, δεξάμενον τὴν ἐλπίδα τῆς ἀναστάσεως· τοῦτο γὰρ ὁ λόγος αἰνίττεται. διὰ τοῦτο καὶ ζῶντα τὸν Θεὸν προσηγόρευσεν, ὡς ζωῆς ὑπάρχοντα χορηγόν. ἐπειδὴ γὰρ καὶ οἱ Βαβυλωνίων θεοὶ, καὶ μὲν δὴ καὶ οἱ τῶν ἡμετέρων προγόνων, καὶ ἄψυχοι ἦσαν καὶ ἀναίσθητοι παντελῶς, μάλα εἰκότως οἱ ἐκείνων ἀπαλλαγέντες ζῶντα τὸν ἀληθῆ Θεὸν ὀνομάζουσιν. „αὐτοῦ γάρ „ἐστι φωνή· ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνά„στασις. καὶ ὁ τρώγων με ζήσεται ἐν ἐ„μοί.„ δ΄. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Ὁ δὲ Ἀκύλας οὕτω· καὶ γε ὄρνεον εὗρεν ἑαυτῷ οἶκον, καὶ στρουθίον νοσσιὰν αὐτῷ, οὗ ἔθετο νεοσσοὺς αὐτοῦ. καθάπερ γὰρ στρουθία καὶ τρυγόνες, καὶ μὲν δὴ καὶ οἱ ἄλλοι ὄρνιθες, πλανῶνται μὲν οὐκ ἔχοντες καλιὰν, πήξάμενοι δὲ

δὲ ταύτην ἐν αὐτῇ διατρίβειν εἰώθασι, καὶ τοὺς οἰκείους ἑαυτῶν τρέφουσι νεοττούς· οὕτως ἡμεῖς πάλαι μὲν ἐπλανώμεθα, νῦν δὲ ὑπὸ τῆς σῆς χάριτος προκληθέντες, καὶ τὰς σὰς εὑρόντες σκηνὰς, παρὰ τὰ θυσιαστήριά σε τοὺς οἰκείους ἐκπαιδεύομεν νεοττοὺς, μετὰ τῶν ἡμετέρων σοι προσεδρεύοντες παίδων, καὶ τὴν πνευματικὴν τροφὴν παρὰ σοῦ κομιζόμενοι. τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου. ἡμῶν γὰρ καλιὰ, καὶ νοττιὰ, καὶ ἀπόλαυσις ἀγαθῶν, τὰ ἅγιά σου θυσιαστήρια· παρ' ἐκεῖνα γὰρ, καθάπερ νεοττοὶ κεχηνότες, παρὰ σοῦ κομιζόμεθα τὴν θείαν τροφὴν καὶ σωτήριον. ε'. Μακάριοι πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Τούτων δὲ ἕκαστον τυπικῶς μὲν τοῖς ἐν Βαβυλῶνι συμβαίνει. ἡμῖν δὲ προσήκει κατ' αὐτὴν τὴν ἀλήθειαν. καὶ γὰρ ἐκεῖνοι πόρρω ὄντες τοῦ θείου νεὼ, μακαρίζουσι τοὺς τῆς ἐκεῖθεν ἀπολαύοντας προμηθείας· καὶ ἡμεῖς γευσάμενοι τῆς θείας γλυκύτητος, ζηλωτοὺς ἀποκαλῶμεν τοὺς διηνεκῶς τῷ Θεῷ προσεδρεύοντας, καὶ τοῖς θείοις ἀγαθοῖς ἐντρυφῶντας. ς'. Μακάριος ἀνὴρ οὗ ἐστιν ἀντίληψις αὐτῷ παρά σου, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ. Μακαρίζει ὁ λόγος τὸν τῆς θείας ἀεὶ κηδεμονίας τυγχάνοντα, καὶ τῇ θείᾳ χάριτι τὸν νοῦν φωτιζόμενον, καὶ ἀεὶ τοὺς εὐσεβεῖς ἐν αὐτῷ στρέφοντα λογισμούς. Θεοῦ γὰρ ἀναβάσεις εἰς καρδίαν γινομένας, τὰς εὐσεβεῖς περὶ Θεοῦ λογισμὰς ὁ προφητικὸς ὠνόμασε λόγος. ζ'. Διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τόπον ὃν ἔθετο. καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. Ὁ γὰρ τοῦ Θεοῦ τὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ δεχόμενος, καὶ τοῦ νομοθέτου τὰς εὐλογίας μεμαθηκὼς, οὐκ εἰς γέλωτα ἑαυτὸν ἐκδίδωσι καὶ τρυφὴν, ἀλλὰ εἰς κλαυθμὸν καὶ δάκρυα, τῆς ἐντεῦθεν ἀπαλλαγῆς ἐφιέμενος· ἤκουσε γὰρ τοῦ Θεοῦ λέγοντος· μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται, καὶ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται. ταύτας τοίνυν τὰς συνθήκας ποιησάμενος, προσμένει τοῦ νομοθέτου τὴν εὐλογίαν· κοιλὰς δὲ κλαυθμῶνος τυπικῶς μὲν ὁ τόπος, ἐν ᾧ Φανεὶς ἄγγελος, τὴν τοῦ λαοῦ παρανομίαν διήλεγξε, καὶ εἰς κλαυθμὸν τὸ πλῆθος ἐκίνησεν. οὕτω γὰρ ἐκεῖνο τὸ χωρίον ἐξ ἐκείνου προσηγορεύθη. κυρίως δὲ καὶ ἀληθῶς κλαυθμῶνος κοιλὰς ὁ παρὼν βίος, ἐν ᾧ καὶ ὁ Ἀδὰμ ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίει τὸν ἄρτον, καὶ ἡ Εὔα ἐν λύπαις τίκτει τέκνα· καὶ οὐ μόνον οἱ ἁμαρτάνοντες, ἀλλὰ καὶ οἱ ἅγιοι στένουσι, καὶ ὁ μὲν φησὶν ἕως θανάτου λυπεῖται, ὁ δὲ βοᾷ, λάβε τὴν ψυχήν μου, καὶ ὅτι καλόν μοι τὸ ἀποθανεῖν, ἢ ζῆν με· καὶ ὁ μέγας δὲ κῆρυξ τῆς ἀληθείας φησὶ, καὶ ἡμεῖς τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες ἐν αὐτοῖς στενάζομεν· οὕτως ἐστὶν ἰδεῖν καὶ τοὺς ἀγωνιζομένους ἁγίους δάκρυσιν ἐνδελεχῶς κεχρημένους, καὶ τὴν ἐντεῦθεν εὐφροσύνην κομιζομένους. ἐν ταύτῃ τοίνυν τῇ κοιλάδι τοῦ κλαυθμῶνος οἱ τὰς ἀναβάσεις δεξάμενοι, καὶ τὰ δάκρυα προχέουσι, καὶ τὸν ἐπίπονον

ἀσπάζονται βίον, καὶ τοῦ νομοθέτου τὴν εὐλογίαν προσμένουσιν. ἡ. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν. Αὔξουσι γὰρ ὁσημέραι τὴν ἰσχύν, καὶ τῇ προθήκῃ τῆς ἀρετῆς πολλὴν ἐπικλῶνται ῥώμην· οὕτως οἱ τὸν ἀσκητικὸν ἀσπαζόμενοι βίον ἀπὸ προσευχῆς εἰς ὑμνῳδίαν βαδίζουσιν· ἀπὸ τῆς ὑμνῳδίας ἐπὶ τὴν ἱκετείαν· ἐξ ἐκείνης ἐπὶ τὴν τῶν θείων λογίων ἀνάγνωσιν· ἐντεῦθεν ἐπὶ τῶν ἀτελεστέρων παραίνεσίν τε καὶ συμβολήν, καὶ ἀπὸ δυνάμεως εἰς δύναμιν μεταβαίνοντες καθ' ἑκάστην ἡμέραν τὸν οἰκεῖον αὔξουσι πλοῦτον. ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών. ταύτην δέ φησι τῶν πραγμάτων εἰργάσατο τὴν μεταβολὴν ἐνανθρωπήσας ὁ Θεὸς λόγος, καὶ διὰ σαρκὸς τοῖς ἀνθρώποις ἐπιφανεὶς, καὶ πρῶτον ἐν τῇ Σιὼν τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν. θ'. Κύριε ὁ Θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. ι'. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ταῦτα ὁ προφήτης ἐπεύχεται, πόρρωθεν τῶν ἀνθρώπων τὴν σωτηρίαν ἰδών, καὶ ἀντιβολῶν τὸν τῶν ὅλων Θεὸν, τὴν ἱκετείαν δεξάμενον, ἀεὶ τῆς οἰκείας κηδεμονίας τὸν σεσωσμένον ἀξιῶσαι λαόν· τοῦτον γὰρ ἐπεκάλεσε πρόσωπον τοῦ Χριστοῦ· οὕτω γὰρ αὐτὸν καὶ ὁ θεῖος ἀπόστολος προσηγόρευσεν· ὑμεῖς γάρ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέλους. καὶ πάλιν, οὐ δύναται ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ, χρείαν ἡμῶν οὐκ ἔχω. ια'. Ὅτι κρεῖσσον ἡ ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Τῆς σῆς γὰρ κηδεμονίας ὁ σὸς λαὸς ἀπολαύων ἀεὶ τῷ σῷ προσεδρεύει ναῷ· πολλὴν ἐντεῦθεν τὴν ὠφέλειαν καρπούμενος. ἃ γὰρ ἐν μιᾷ τὶς ἡμέρᾳ δρέψαιτο ἐντεῦθεν, οὐκ ἂν ἑτέρωθεν συναγάγοι πολλὰς ἀναλώσας ἡμερῶν χιλιάδας· ταῦτα μέν τοι καὶ τοῖς ἐν Βαβυλῶνι δορυαλώτοις λέγειν ἥρμοττεν, ἀσεβέσι μὲν ἀνθρώποις συμβιοτεύειν ἠναγκασμένοις, κέρδος δὲ ἐκεῖθεν πορίζομένοις οὐδέν, λογιζομένοις δὲ τὴν ἀπὸ τοῦ θείου νεὼ παλαιὰν ὠφέλειαν. ἐξελεξάμην παραρριπεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. οὕτω δέ μοι ὁ θεῖος ἀξιέραστος οἶκος, ὡς αἱρεῖσθαι παρὰ τοῦτον ἐπ' ἐδάφους ἐρρίφθαι, καὶ πρὸ τῶν τούτου καλινδεῖσθαι θυρῶν, ἢ ἐν ταῖς μεγάλαις καὶ λαμπραῖς τῶν παρανομίᾳ συζώντων οἰκίαις διαιτᾶσθαι· ὡσαύτως καὶ ταῦτα καὶ τοῖς ἐν Βαβυλῶνι πρόσφορα, καὶ ἡμῖν ἐπιτήδεια· καὶ γὰρ ἐκείνους ἐδίδασκεν ἡ χάρις τοῦ πνεύματος, μὴ παραβλέπειν τοῦ θείου οἴκου τὴν ἐρημίαν, καὶ ἡμεῖς παιδευόμεθα καὶ τοὺς τῷ Θεῷ ἀφιερωμένους οἴκους ποθεῖν ἀεί· „ὅταν μάλιστα ὦσιν οἱ „τούτων πρόεδροι ἀνεπίληπτοι καὶ πί„στει καὶ βίῳ λαμπροί.„ ιβ'. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός· „οὐδὲν γὰρ οὕτως Θεῷ προσ„φιλὲς ὡς ἡ ἐλεημοσύνη καὶ ἡ ταύτης „σύντροφος ἀλήθεια.„ χάριν καὶ δόξαν δώσει Κύριος. ιγ'. Οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Οἱ γὰρ ταύτην ἔχοντες περὶ τὸν Θεὸν τὴν διάθεσιν, τούτων ἁπάντων ἀπολαύουσι τῶν ἀγαθῶν· ἔλεος γὰρ ἐκ τῶν

Θείων

θείων ἀναβλαστάνει σηκῶν· καὶ πολλὴ ἐκεῖθεν καὶ ἄφθονος τῆς ἀληθείας ἡ χορηγία. ἐκεῖθεν γὰρ τῶν ἀγαθῶν δογμάτων τὴν διδασκαλίαν δεχόμεθα, καὶ χάριν δὲ θείαν ἐκ τῶν τῆ παναγίᾳ πνεύματος κρουνῶν ἀρυόμεθα· καὶ μέντοι καὶ περιβλεπτοι γινόμεθα ἐντεῦθεν, καὶ λίαν περιφανεῖς· καὶ συλήβδην εἰπεῖν, πᾶσαν τῶν ἀγαθῶν δεχόμεθα τὴν ἀπόλαυσιν, κακίας μὲν καὶ πονηρίας ἀπαλλατόμενοι, ἁπλότητι δὲ καὶ ἀληθείᾳ συζῆν προαιρούμενοι. Κύριε ὁ Θεὸς τῶν δυνάμεων· μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. κατάλληλον παντὶ τῷ ψαλμῷ τὸ ἀκροτελεύτιον· μακαρίζει γὰρ, καὶ ζηλωτὸν ὀνομάζει, τὸν πάσης βιωτικῆς εὐκληρίας καταφρονοῦντα· μόνῃ δὲ τῇ ἐπὶ τὸν Θεὸν ἐλπίδι θαῤῥοῦντα, καὶ τὴν ἐντεῦθεν φυομένην σωτηρίαν τρυγῶντα.

ΕΡΜΗΝ. ΤΟΥ πδ΄ ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. Καὶ τὴν σκιὰν κατὰ ταυτὸν καὶ τὴν ἀλήθειαν ὁ ψαλμὸς προδεσπίζει· ἐσκιαγράφησε γὰρ ὁ τῶν ὅλων Θεὸς τοῖς κατὰ τὸν Ἰσραὴλ πάντων ἀνθρώπων τὴν σωτηρίαν. καὶ γὰρ ἐκείνους ἠλευθέρωσε, ποτὲ μὲν τῆς Αἰγυπτίων, ποτὲ δὲ τῆς Βαβυλωνίων δουλείας, καὶ πάντων ἀνθρώπων τὴν φύσιν ἐῤῥύσατο τῆς ἐπικρατέσης διαβόλῳ τυραννίδος καὶ φθορᾶς. προλέγει τοίνυν ὁ ψαλμὸς, τήν τε Ἰουδαίων ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ τῆς οἰκουμένης ἁπάσης τὴν σωτηρίαν. β΄. Εὐδόκησας Κύριε τὴν γῆν σου. Εὐδοκήσαι ἐστὶ τὸ ἀγαθόν τι θελῆσαι· ἐπειδὴ τοίνυν καὶ τῆς Ἰουδαίας διὰ τὴν τῶν οἰκητόρων παρανομίαν ἐρημίαν κατεψηφίσατο· καὶ τῷ Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν τιμωρίαν ἐπήγαγε τῆς γῆς ἀρὰν· ἀκάνθας γὰρ ἔφη καὶ τριβόλους „ἀνατελεῖ σοι,, τὴν τῶν λυπηρῶν ἀποβολὴν διὰ τῆς εὐδοκίας ὁ προφητικὸς παρεδήλωσε λόγος, „καὶ τῆς φύσεως ἁπάσης τὴν „ἀνανέωσιν.„ Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. γ΄. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου· ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Ἔλυσας τὰ λυπηρὰ τῆς δουλείας δεσμὰ, καὶ τὴν ἐλευθερίαν ἐδωρήσω τοῖς αἰχμαλώτοις, τὰ πεπλημμελημένα παριδεῖν ἐθελήσας· ὅτι δὲ καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις αἰχμάλωτος ἦν, καὶ παρὰ τοῦ σωτῆρος ἡμῶν Θεοῦ τὴν ἐλευθερίαν ἐδέξατο, μάρτυς αὐτὸς διὰ Ἡσαΐου βοῶν· πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· ταύτην γὰρ ἐν τῇ συναγωγῇ τὴν προφητείαν ἀναγνοὺς ὁ Δεσπότης ἔφη πρὸς Ἰουδαίους· σήμερον ἡ γραφὴ αὕτη ἐπληρώθη ἐν τοῖς ὠσὶν ὑμῶν. δ΄. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου· ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἔλυσας τὴν καθ' ἡμῶν ἀγανάκτησιν, καὶ τὴν εὐμένειαν ἔδειξας. ε΄. Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Ἐοίκασι καὶ οὗτοι κἀκεῖνοι τὰ μὲν εὐαγγέλια τῆς ἐλευθερίας δεδέχθαι, μηδέπω δὲ ταύτης τετυχηκέναι· ὃ δὴ χάριν ἀντιβολοῦσι τελείως τυχεῖν τῆς φιλανθρω-

θρωπίας. ε'. Μὴ εἰς τὸς αἰῶνας ὀργισθῇς ἡμῖν, ἢ διατενεῖς τὴν ὀργήν σε ἀπὸ γενεᾶς εἰς γενεάν. Πρέπει καὶ τοῖς ἀπαλλαγεῖσι τῶν συμφορῶν τέτοις κεχρῆθαι τοῖς ῥήμασι, καὶ μὴ θαῤῥεῖν τῇ τῶν ἁμαρτημάτων ἀφέσει, ἀλλὰ δεδιέναι καὶ τὸν κριτὴν ἐκμειλίσσεσθαι· ἱκετεύσι τοίνυν καὶ ἔτοι, μὴ ἐπιταθῆναι τὴν αὐτὴν ὀργὴν, ὥσε εἰς ἑτέραν γενεὰν διαρκέσαι, ἀλλὰ λυθῆναι ταχέως. ζ'. Ὁ Θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σε εὐφρανθήσεται ἐπί σοι. Ἴσμεν σε Δέσποτα τὸ φιλάνθρωπον, καὶ πεποίθαμεν, ὅτι σὺ καὶ τὴν ἐπάνοδον παρέξεις, καὶ τὴν ζωήν. ἡμεῖς δὲ τέτων ἀπολαύσαντες, μετ' εὐφροσύνης σοι τὸν ὕμνον προσοίσομεν. η'. Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σε· καὶ τὸ σωτήριόν σε δῶης ἡμῖν. Κύρε τῶ Περσῶν βασιλεύσαντος κατὰ τὴν Ἡσαΐε προφητείαν δεδωκότος τῆς ἐπανόδε τὴν ἐξεσίαν, ἐπείγονται τὴν ἐνεγκεῖσαν καταλαβεῖν· διὰ δὴ τέτο τὸν Θεὸν ἱκετεύσι, ταχεῖαν αὐτοῖς διὰ φιλανθρωπίας παραχεῖν σωτηρίαν. τάχισά φησιν δὲ ὦ Δέσποτα τὴν σὴν ἡμῖν ἀγαθότητα δεῖξον, καὶ τύχωμεν τῆς σωτηρίας, καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς· ἔτω τὴν ἱκετείαν ὁ προφήτης ὡς ἐξ ἐκείνων προσενεγκὼν, δέχεται τῶ Θεῶ τὴν ἀπόκρισιν, καὶ φησί· θ'. Ἀκέσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτῦ· καὶ ἐπὶ τὸς ὁσίους αὐτοῦ· καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Ἤκουσέ φησι τῆς ἱκετείας ὁ φιλάνθρωπος Δεσπότης, καὶ τῆς εἰρήνης τὴν ψῆφον ἐξήνεγκε, καὶ δεδώρηται ταύτην τοῖς μεταμελείᾳ χρησαμένοις, καὶ πρὸς τὸν Θεὸν νεύειν τὸν λογισμὸν ἐκπαιδεύσασιν· ἡ γὰρ πρὸς τὸν Θεὸν τῆς καρδίας ἐπιστροφὴ, τὸ πλάνην ἀπαλλαγὴ, καὶ τῆς δικαιοσύνης ἀρχή· „εἰρηται δὲ καὶ ἐκ προσώπου „τέτο μὲν τῶν μακαρίων ἀποστόλων, „τέτο δὲ καὶ τῶν πιστευόντων δι' αὐτῶν „τῷ σωτῆρι· καὶ φησίν· ἀκέσομαι τί λα„λήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, ὅτι λα„λήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτῦ, ἣν „διὰ τῶν ἀποστόλων ἐχαρίσατο τοῖς προ„φίμοις τῆς χάριτος· τέτο γὰρ λέγει „διὰ τῶν ἑξῆς· καὶ ἐπὶ τὸς ὁσίους αὐτῦ „καὶ ἐπὶ τὸς ἐπιστρέφοντας τὴν καρδίαν „ἐπ' αὐτόν· καὶ πότε ταύτην ἐδωρήσα„το; ὅτε ἐκ τῦ ὄρες τῶν ἐλαιῶν ὁ ἀπαν„ταχῦ καὶ τῦ πατρὸς ἀχώριστος ἀνε„λαμβάνετο, ὅθεν καὶ καταβάς· εἰρή„νην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν „ἐμὴν ἀφίημι ὑμῖν· αὕτη γὰρ τῆς δι„καιοσύνης ἡ ἀρχή. „ τέτοις καὶ τὰ ἐπιφερόμενα συμφωνεῖ. ι'. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτῦ· τῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Πελάζει γὰρ τοῖς τὸν Θεὸν φοβεμένοις ἡ σωτηρία, καὶ ταύτης ἀπολαύσιν οἱ τὰς θείας πληρῶν προαιρέμενοι νόμες. ἡ τοιαύτη μεταβολὴ καὶ ἡμῖν κεχάρισται τὴν ἐπάνοδον, ἣν μετ' εὐκλείας ποιησόμεθα, καὶ τὴν προτέραν τῆς πατρίδος ὀψόμεθα περιφάνειαν. ια'. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἁμαρτάνσι μὲν, καὶ μεταμελείᾳ χρωμένοις, χορηγῦσι τὸν ἔλεον οἱ τῆς φιλανθρωπίας κρουνοὶ, τοῖς δὲ τὴν ἀλήθειαν ἀσπαζομένοις ἐπικλύ-

ζσι

ζεσι τῷ ἐλέῳ τὰ νάματα· διὰ τοῦτο ἔφη, ἔλεος καὶ ἀλήθεια συνήντησαν. Ἰεδαῖοι μὲν γὰρ, καὶ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, προσεννοήσασι τῷ Θεῷ τὴν τῆς ἀληθείας ἐπίγνωσιν. ἀντέδωκε δὲ τὸν ἔλεον ὁ φιλάνθρωπος· οὕτω πάλιν τὴν δικαιοσύνην τούτων προσενεγκάντων, τὴν εἰρήνην αὐτοῖς ἐδωρήσατο, καὶ τὰς καταλλαγὰς ἐχαρίσατο, καὶ κατέλυσε τὴν προτέραν δυσμένειαν. καὶ προσέθραμεν, ἡ μὲν εἰρήνη τῇ δικαιοσύνῃ, τῇ δὲ ἀληθείᾳ ὁ ἔλεος. „ Θεωρεῖτε δὲ τὸ ἔλεος καὶ ἀλήθεια συνήντησαν· ὁ γὰρ ἐλεήμων ὁ φέρων τὰ „ πάντα ἐφέρετο ὑπὸ τῆς παρθένε καὶ „ μητρός· καὶ ὁ δίκαιος Ἰωάννης ἐσκίρτα „ ἐν τῇ μήτρᾳ τῆς Ἐλισάβετ· ἡ γ' οὖν „ φέρουσα τὴν δικαιοσύνην, τουτέστι τὸν „ Ἰωάννην, κατεφίλει τὴν φέρουσαν τὴν „ εἰρήνην· αὐτὸς γὰρ ἐστὶν, ὡς φησιν ὁ „ ἀπόστολος, ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ „ ἀμφότερα ἕν.„ καὶ τοῦτο σαφέστερον διὰ τῶν ἐπιφερομένων ἐδήλωσε. ιβ'. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε· „ καὶ „ μυριάκις ἐστὶ καθαρὰ ἡ θεοτόκος· ἀλλ' „ ὅμως ἐκ τοῦ Ἀδὰμ, ἐκ τοῦ Ἀβραὰμ, „ ἐκ τοῦ Δαβὶδ, ἐξ αὐτῆς γ' οὖν ἀνέτειλεν „ ἡ ὄντως ἀλήθεια.„ καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.„ ἡ δικαία ἐπὶ τὸν „ μονογενῆ υἱὸν τοῦ Πατρὸς μαρτυρία· „ ἡ Φάσκουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ „ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.„ Ἀσπασαμένων γὰρ τὴν ἀλήθειαν τῶν ἀνθρώπων, τούτων δικαίαν ἐποιήσατο πρόνοιαν ὁ τῶν ὅλων Θεὸς, καὶ τὸν διάβολον τῆς τυραννίδος ἐξέβαλεν, „ καὶ τοῦ θανάτου τὰ κέντρα συνέτρι„ ψε· τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.„ ιγ'. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα· καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Τῇ αὐτῇ πάλιν ἐχρήσατο συζυγίᾳ· ἔφη γὰρ τὸν μὲν Θεὸν οἴκτῳ καὶ φιλανθρωπίᾳ χρήσασθαι, αὐτὸς δὲ τῷ Θεῷ τὸν προσφυᾶ προσοίσειν καρπόν· ἐὰν γὰρ εὐεληρίαν διὰ τούτων ἐδήλωσεν, ἀλλὰ τὴν καρποφορίαν τῆς ἀρετῆς. ιδ'. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, „ ὁ Ἰωάννης δηλαδή· περὶ „ γὰρ τούτου Ἀμβακοὺμ ὁ προφήτης „ φησὶ, πρὸ προσώπου αὐτοῦ, λέγων, „ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς „ παιδείαν κατὰ πόδας αὐτοῦ· ὁμοίως „ καὶ Ζαχαρίας πρὸς τὸν ἑαυτοῦ παῖδα· „ καὶ σὺ παιδίον προφήτης ὑψίστου κλη„ θήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου „ Κυρίου ἑτοιμάζων ὁδοὺς αὐτῷ. καλῶς „ ἓν ἔχει ὁ προφητικὸς νοῦς· περὶ τοῦ „ Ἰωάννου ἔφη, δικαιοσύνη ἐνώπιον αὐτοῦ „ προπορεύσεται καὶ θήσει εἰς ὁδὸν τὰ „ διαβήματα αὐτοῦ· ἀντὶ τοῦ Κύριος εἶ ὁ „ ἐνανθρωπήσας Θεὸς λόγος· τῶν ἀμ„ φοτέρων τὴν πρόρρησιν. Ἰωάννου γάρ ἐστι „ φωνὴ, τὸ ὁ ὀπίσω μου ἐρχόμενος ἔμ„ προσθέν μου γέγονεν, ὅτι πρῶτός μου „ ἦν· καὶ ἵνα συνελὼν εἴπω, ἴδε ὁ ἀμνὸς „ τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κό„ σμου.„ καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. Τὸ τέλος μάλιστα τοῦ ψαλμοῦ διδάσκει ἡμᾶς σαφῶς, ὡς τὴν κοινὴν πάντων ἀνθρώπων προλέγει σωτηρίαν ἡ προκειμένη προφητεία· λέγει γὰρ, ὅτι δικαιοσύνῃ χρώμενος ὁ Δεσπότης, οἷόν τις ξεναγὸς τῆς ἡμετέρας ἡγεῖται πορείας, τρίβων τῆς ἀρετῆς τὴν ὁδὸν, καὶ τοῖς οἰκείοις ἴχνεσι δήλην ταύτην ἡμῖν ἐργαζόμενος· βεβαιοῖ δὲ τὸν λόγον

αὐτὸς

αὐτὸς ὁ Δεσπότης, νῦν μὲν πρὸς τὸν Ἰωάννην, ἄφες ἄρτι, οὕτω γὰρ δεῖ πληρωθῆναι πᾶσαν δικαιοσύνην· νῦν δὲ πρὸς τοὺς οἰκείους μαθητὰς, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ἄλλοτε δὲ νίψας αὐτῶν τοὺς πόδας, μεθ' ἕτερα καὶ ταῦτα ἔφη· ἐγὼ ὁ κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς πόδας· ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ποιῶ, καὶ ὑμεῖς ποιῆτε. αὐτὸς τοίνυν πρότερος ὥδευσεν τὴν τῆς δικαιοσύνης ὁδὸν, καὶ μετέβαλε τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ τὴν τραχεῖαν εἰς ὁδὸν λείαν, καὶ γέγονεν ἡμῖν ὁδὸς, ἣ φησὶν αὐτὸς ὁ Δεσπότης· ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

ΕΡΜΗΝ. ΤΟΥ πε΄ ΨΑΛΜΟΥ.

Προσευχὴ τῷ Δαβίδ. Ὁ μὲν μακάριος Δαβὶδ, κατὰ τὴν ἐπιγραφὴν, προσενήνοχε τὴν προσευχὴν τῷ Δεσπότῃ Θεῷ, ἐπικουρίας τινὸς ἀπολαῦσαι δεόμενος· προθεσπίζει δὲ καὶ τὴν τῶν Ἀσσυρίων τὴν κατὰ τῆς Ἰερουσαλὴμ προσβολὴν, καὶ τῷ Ἐζεκίᾳ δὲ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα· προαγορεύει δὲ καὶ τῶν ἐθνῶν ἁπάντων τὴν κλῆσιν, καὶ σωτηρίαν. α΄. Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Ταπεινῷ φρονήματος τῆς προσευχῆς τὸ προοίμιον· τῆς γὰρ δικαιοσύνης ἅμφω κεκτημένοι τὸν πλοῦτον, καὶ ὁ θεσπέσιος Δαβὶδ, καὶ ὁ θαυμάσιος Ἐζεκίας, τοῦτον μὲν ἔχ ἑώρων, εἰς δὲ τὴν τῆς φύσεως πενίαν ἀπέβλεπον, καὶ τὸν Θεὸν ἠντιβόλουν οἰκτεῖραι ταύτην πτωχείᾳ συνεζευγμένην· τὸ δὲ, κλῖνον Κύριε τὸ οὖς σου, ἐκ μεταφορᾶς τέθεικεν ἀῤῥώστου τινὸς ὑπ' ἀσθενείας γεγωνότερον ἢ δυναμένου λαλεῖν, καὶ τὸν ἰατρὸν προσκλίνειν τῷ σώματι τὴν ἀκοὴν ἀναγκάζοντος. β΄. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. Οὐκ ἐναντίαν ὁ προφήτης ἐφθέγξατο, πτωχὸν ὁμοῦ καὶ ὅσιον ὀνομάσας. ἀλλ' ἐπειδὴ καὶ ἕτος κἀκεῖνος πολεμίους ἔσχον ἀδίκους καὶ παρανόμους, ἀδίκου μὲν παρ' αὐτῶν ἠδικημένους, ἀδίκου δὲ σφαγῆς ἐφιεμένους· ὅσιον δὲ καὶ ἑαυτὸν καὶ τὸν Ἐζεκίαν ὠνόμασεν, εὐδεμίαν αἰτίαν δεδωκότας τοῖς πολεμίοις· ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πλωχός εἰμι, καὶ πένης κατ' ἐμαυτὸν κρινόμενος, καὶ εὐδεμίαν ἀρετῆς ἔχω περιουσίαν· τοῖς μέντοι πολεμίοις παραβαλλόμενος, ὅσιος ἀποφανθήσομαι· οἱ μὲν γὰρ δυσσεβεῖς καὶ παράνομοι· ἐγὼ δὲ τὴν σὴν ἐπίγνωσιν ἔχω· καὶ οἱ μὲν ἀδίκως ἐπίασιν· ἐγὼ δὲ τὴν ἄδικον προσδέχομαι προσβολήν. „ταῦτα δ' ἂν εἴποι καὶ μέχρι τοῦ „παρόντος καὶ παντὸς βίου ὁ παρὰ τὸ „δοκεῖν αὐτῷ τῷ δικαίῳ πολεμούμενος ὑ„πὸ τῶν ἀδικεῖν ἐθελόντων. καλῶς ἔν„ἔχων διὰ τῶν ἑξῆς ἔφησε· „σῶσον τὸν „δοῦλόν σου, ὁ Θεός μου τὸν ἐλπίζοντα „ἐπὶ σέ. ἐγὼ ἤλπισά σοι Δέσποτα, σῶσον· δὸς τῇ ἐλπίδι τῆς σωτηρίας ἀντίδοσιν. γ΄. Ἐλέησόν με Κύριε, ὅτι πρός σε κεκράξομαι ὅλην τὴν ἡμέραν. Τὴν σὴν μοι Δέσποτα φιλανθρωπίαν παράσχου· διηνεκῶς γὰρ τὸν σὸν ἔλεον ἐπαγγέλλω· τὸ γὰρ ὅλην τὴν ἡμέραν

ὁ Σύμ-

ὁ Σύμμαχος καθ' ἑκάστην ἡμέραν εὗρηκεν. δ'. Εὔφρανον τὴν ψυχήν τοῦ δέλε σε· „ καὶ τίνος ἕνεκεν λέγει. „ ὅτι πρός σε ἦρα τὴν ψυχήν με. Λῦσον τὴν ἀθυμίαν τῷ τὴν σὴν δουλείαν ἀσπαζομένῳ, καὶ παράσχε θυμηδίαν ψυχῇ πρός σε νευούσῃ „ καὶ τὸν σὸν ἔλεον „ προσμενέσῃ. „ ε'. Ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Πέφυκας ἀγαθὸς, καὶ φιλάνθρωπος, καὶ χορηγεῖς τοῖς δεομένοις τὰς τῆ ἐλέε πηγάς. τὸ δὲ ἐπιεικὴς Ἀκύλας καὶ Θεοδοτίων ἵλαως εἰρήκασι· καὶ ἡ ἐπιείκεια τοίνυν τὴν μακροθυμίαν αἰνίτλεται. ς'. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου· καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Τοσαύτη τοίνυν ἀγαθότητι χρώμενος, εὐμενῶς μου δέξαι τὴν δέησιν. „ ὁμοῦ δὲ καὶ τὸν καιρὸν ἐσήμανε „ διὰ τῶν ἑξῆς, ἐν ᾧ ἠντιβόλει τὴν ἱκε„ τείαν δεκτὴν γενέσθαι. „ ζ'. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Πεῖραν ἔχων τῆς σῆς ἡμερότητος προσφέρω τὴν ἱκετείαν· καὶ ἤδη γὰρ ἀντιβολήσαντί μοι τὴν αἴτησιν ἔδωκας. η'. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Ἐπειδὴ Ῥαψάκης ὁ δυσσεβὴς τοῖς ἀλαζονικοῖς ἐκείνοις ἐχρήσατο λόγοις, μὴ ἠδυνήθησαν οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος ῥύσασθαι τὴν ἑαυτῆ χώραν ἐκ χειρός μου, ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μὲ; διδάσκει τοίνυν Ἐζεκίαν ἡ προφητεία βοᾷν, οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σε. ἐκεῖνοι μὲν γὰρ πράγματος ἔρημον ἔχουσιν ὄνομα, καὶ τοῦτο δὲ συλήσαντες ἔλαβον· σὺ δὲ συμβαίνουσαν ἔχεις προσηγορίαν τῷ πράγματι. μάλα γὰρ προσφυῶς τὰ ἔργα τῇ θείᾳ προσηγορίᾳ συνέζευξεν. οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. οἱ μὲν γὰρ ἄψυχοι παντελῶς εἰσὶν, οὐδὲ σφίσιν αὐτοῖς ἐπαμῦναι δυνάμενοι· ἡ δὲ σὴ μεγαλοπρέπεια τὰς τῶν ἀνθρώπων γλώττας νικᾷ. θ'. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε. Τοῦτο δὲ ἐπὶ μὲν τῆ μακαρίᾳ Δαβὶδ ἐδαμῶς γεγενῆσθαι μεμαθήκαμεν· ἐπὶ δὲ τῆ Ἐζεκίᾳ εἰκός τινας τὴν τῶν Ἀσσυρίων καταπλαγέντας ἀναίρεσιν τῷ Θεῷ προσδραμεῖν. τὴν δὲ τῆς προφητείας ἀλήθειαν ἔδειξεν ὁ μετὰ τὴν ἐνανθρώπησιν τῆ Θεῆ καὶ σωτῆρος ἡμῶν καιρός· μετὰ γὰρ τὸ σωτήριον πάθος ἀπεσάλη μὲν εἰς πᾶσαν τὴν οἰκουμένην ὁ θεῖος τῶν ἀποστόλων χορός· ἔφη γὰρ πρὸς αὐτὲς ὁ Δεσπότης, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. ἐμαθήτευσαν δὲ ὡς προσετάχθησαν· καὶ τὸ τῆς ἀγνοίας ἀποσκεδάσαντες νέφος, ἰδεῖν παρεσκεύασαν „ τοὺς πιστεύοντας „ τῆς δικαιοσύνης τὸν ἥλιον, καὶ τὸν σεσωκότα προσκυνῆσαι Θεόν· τοῦτο καὶ τὰ ἐπιφερόμενα διδάσκει. Καὶ δοξάσουσι τὸ ὄνομά σου. ι'. Ὅτι μέγας εἶ σύ· καὶ ποιῶν θαυμάσια σὺ ὁ Θεὸς μόνος. Προσοίσουσι δέ σοι τὸν ὕμνον, σὲ μόνον μεμαθηκότες εἶναι Θεόν· ἡ γὰρ τῶν σῶν θαυμάτων μεγαλουργία ταύτην αὐτοῖς παρέξει τὴν γνῶσιν. „ καὶ ὅρα, „ πῶς σαφέστερον αὐτὸ διὰ τῶν ἑξῆς „ ἔθηκεν ἐν τῷ εἰπεῖν· „ ιά. Ὁδήγησόν

γησόν με Κύριε ἐν τῇ ὁδῷ σου· καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Προθεσπίσας τοῖς ἔθνεσι τὴν ἐσομένην τῆς πλάνης ἀπαλλαγὴν, ἱκετεύει καὶ αὐτὸς ταύτης ἀπολαῦσαι τῆς ποθητῆς, καὶ ἐν τῇ τῆς ἀληθείας ὁδῷ τὴν πορείαν ποιήσασθαι. „καὶ ὅρα τί φησὶ διὰ τῶν „ἑξῆς. „ εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σε. ὁ τὴν περὶ Θεὸν εὐλάβειαν κεκτημένος τὴν ἔννομον ἀσπάζεται πολιτείαν· μήτηρ δὲ εὐφροσύνης ἡ τοιαύτη ζωή. εἰκότως τοίνυν ὁ προφήτης τῷ φόβῳ τῷ θείῳ τὴν οἰκείαν εὐφρανθῆναι καρδίαν ἱκέτευσεν· οὕτω γὰρ καὶ ἀλλαχοῦ φησιν, εὐφρανθήτω καρδία ζητέντων τὸν Κύριον· καὶ πάλιν, ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην. ιβ'. Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. ιγ'. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ. Οἶδά φησιν ὡς παρέξεις τὴν αἴτησιν, καὶ λύσεις τὰ σκυθρωπὰ, καὶ παρασκευάσεις με τὴν χαριστήριον ὑμνῳδίαν ὑπὲρ τῆς εἰς ἐμὲ γεγενημένης φιλανθρωπίας προσενεγκεῖν. καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. τὸ μέγεθος τῶν κινδύνων διὰ τούτων ἐδήλωσε· καὶ γὰρ ὁ θεῖος Δαβὶδ τοιούτοις πολλάκις ὑπέμεινε, καὶ ὑπὸ τοῦ Σαοὺλ πολεμούμενος, καὶ ὑπὸ τοῦ Ἀβεσαλὼμ διωκόμενος· καὶ τῶν Ἀσσυρίων δὲ ἡ προσβολὴ πρέσβυς ἦν ὄλεθρος. ὃ δὴ χάριν θάνατον ἔχαλον, καὶ ᾅδην κατώτατον, τὰς τοιούτους κινδύνους ὠνόμασεν. „ ἀλλ' ὅτι καὶ ὁ τοῦ „παντὸς δημιουργὸς, τουτέστιν ὁ Θεὸς „λόγος σαρκωθεὶς ἐκ παρθένου καὶ σταυ„ρὸν καὶ θάνατον ἑλόμενος εἰς τὰ κατώτερα μέρη τῆς γῆς κατέβη, ἵνα τοὺς „ἀπ' αἰῶνων κρατηθέντας ὑπὸ τῆς „φθορᾶς μὴ μόνον ἐγείρῃ, ἀλλὰ καὶ „τῆς ἀθανασίας ἐμπλήσῃ. εἶτα φησί „ιδ'. Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ· καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου. Καὶ οἱ τοῦ Δαβὶδ πολέμιοι παρανομίας συνέζων, καὶ οἱ Ἀσσύριοι δυσσεβείας ἦσαν καὶ πονηρίας ἐργάται· „τοὺς γὰρ ἀμφοτέρους συνάψας „συναγωγὴν κραταιὰν πρὸς τὴν τότε „κρατοῦσαν κατάστασιν ὠνόμασεν.„ καὶ ἔτοι μέντοι κἀκεῖνοι δύναμιν εἶχον τῇ πονηρᾷ γνώμῃ συμπράττουσαν· διπλοῦν δὲ ἐντεῦθεν τοῖς ἀδικουμένοις τὸ δέος ἐφύετο. διὸ πρὸς τὸν Θεὸν καταφεύγουσι, καὶ τὴν ἐκεῖθεν αἰτοῦσιν ἐπικουρίαν. καὶ ὃ προέθεντό σε ἐνώπιον αὐτῶν. τὴν σὴν πρόνοιαν οὐκ ἔλαθεν εἰς διάνοιαν. ιε. Καὶ σὺ Κύριε ὁ Θεός μου οἰκτίρμων καὶ ἐλεήμων· μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. ις'. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. Ἐπειδὴ φιλανθρωπίας ὑπάρχεις πηγὴ, καὶ οἴκτου, καὶ ἐλέους προχέεις τὰ νάματα, πρόσεσι δέ σοι καὶ ἀλήθεια, καὶ κρίνεις τοὺς πονηρίᾳ συζῶντας· τῶν τῆς ἀγαθότητος μετάδος ψεκάδων, καὶ κρείττονα δεῖξον τῶν πολεμούντων. δὸς τὸ κράτος σου τῷ παιδί σου· καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σε. δοῦλός τε γάρ εἰμι σὸς, καὶ σῆς θεραπαίνης υἱός· ἀντὶ τε, ἄνωθεν καὶ ἐκ προγόνων ὑπὸ τὴν σὴν δεσποτείαν τελῶ· διόπερ ὡς δοῦλος παρὰ Δεσπότου τὴν σωτηρίαν αἰτῶ. ιζ'. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν. Τῶν σημείων τὰ μὲν ἦσι τιμωρίας, ὡς ἐπὶ τῶν Αἰγυπτίων·

τὰ

τὰ δὲ σωτηρίας, ὡς ἐπὶ τῶν Ἑβραίων· διό τοι τοῦτο καὶ ὁ προφήτης τῷ διορισμῷ προσεχρήσατο, καὶ οὐχ ἁπλῶς σημεῖον, ἀλλ' ἀγαθὸν σημεῖον ἐξήτησεν· ἀντὶ τοῦ, ποίησον σημεῖον ἐμοὶ φέρον τὴν σωτηρίαν, καὶ τῇ θαυματουργίᾳ ἐμοὶ πραγματευόμενον τῶν ἀγαθῶν τὴν φοράν. „ λέγει καὶ τίνος ἕνεκεν ἀντι-„βολεῖ δοθῆσεθαι αὐτῷ τὸ σημεῖον τοῦ-„το. „ καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ Κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με. τὴν γὰρ εἰς ἐμὲ πρόνοιαν οἱ δυσμενεῖς θεώμενοι, αἰσχύνης ἀναπλησθήσονται, καὶ ἐπονείδιστοι παρὰ πᾶσι γενήσονται. „ κυ-„ρίως δὲ σημεῖον ἀγαθὸν τοῖς ἔθνεσιν ὁ „ἐκ Θεοῦ Θεὸς τὸν σαυρὸν ἐχαρίσατο, „δι' ὃ τὸν κοινὸν ἐχθρὸν ἐτροπώσατο „καὶ τρόπαιον κατὰ δαιμόνων καὶ πα-„θῶν ἔπηξεν· ἀμήν.„

ΕΡΜΗΝ. ΤΟΥ πϛ΄ ΨΑΛΜΟΥ.

εά. Τοῖς υἱοῖς Κορὲ, ψαλμὸς ᾠδῆς. Τῶν ἐθνῶν καὶ ἔτος ὁ ψαλμὸς προαγορεύει τὴν σωτηρίαν, καὶ τὴν εὐσεβῆ πολιτείαν προλέγει, ἣν ὁ Δεσπότης Χριστὸς ἐνανθρωπήσας ἐδίδαξεν. οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. θεμέλια τῆς εὐσεβείας, τὰ θεῖα παιδεύματα· ὄρη δὲ ἅγια, ἐφ' ὧν ταῦτα πέπηγε τὰ θεμέλια, οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι. περὶ τούτων γὰρ ὁ μακάριος ἔφη Παῦλος· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι· καὶ ὁ Κύριος τῷ Πέτρῳ, μετὰ τὴν ἀληθῆ καὶ θείαν ἐκείνην ὁμολογίαν, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ αὖθις· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. ἐπὶ τούτων τῶν ἁγίων ὀρῶν ὁ δεσπότης Χριστὸς κατέπηξε τὰ τῆς εὐσεβείας θεμέλια. β΄. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Τίς δὲ αὕτη ἡ Σιὼν, ὁ θεσπέσιος Παῦλος ἑρμηνευέτω· προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς· καὶ πάλιν· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥ τις ἐστὶ μήτηρ ἡμῶν· καὶ περὶ τοῦ πατριάρχου Ἀβραὰμ ἐν τῇ πρὸς Ἑβραίους διαλεγόμενος, καὶ ταῦτα προστέθεικεν· ἐξεδέχετο γὰρ τὴν τὰς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· καὶ αὖθις περὶ τῶν ἄλλων ἁγίων· οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζητοῦσι. καὶ εἰ μὲν ἐκείνης μνημονεύουσιν, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου· διδασκόμεθα τοίνυν εἶναί τινα πόλιν ἐπουράνιον, καὶ Ἱερουσαλὴμ ὀνομαζομένην, οὐ πύργους ἔχουσαν, καὶ περιβόλους, οὐδὲ λίθων μαρμαρυγαῖς ἀποστίλβουσαν, ἀλλὰ χοροῖς ἁγίων λαμπρυνομένην, καὶ ἀγγελικῇ πολιτείᾳ καλλυνομένην. ταύτης τῆς πόλεως ἐκ ἂν τις ἁμάρτοι πύλας προσαγορεύσας τὰς ἐπὶ γῆς ἐκκλησίας· διὰ τούτων γὰρ εἰσ-

ελθεῖν εἰς ἐκείνην δυνατόν· ἐν ταύταις γὰρ παιδευόμενοι καὶ προγυμναζόμενοι, ἐκείνης τῆς πόλεως διδασκόμεθα πολιτείαν. ταύτας ἔφη τὰς πύλας ὁ προφητικὸς λόγος ἐπεράστους εἶναι τῷ τῶν ὅλων Θεῷ, καὶ τῶν Ἰουδαικῶν σκηνωμάτων προτετιμῆσθαι. γ'. Δεδοξασμένα ἐλαλήθη περί σου, ἡ πόλις τοῦ Θεοῦ. Θαυμαστά τινα καὶ παράδοξα τὰ περί σε θεσπιζόμενα, καὶ πᾶσαν ἀνθρωπίνην ὑπερβαίνοντα προσδοκίαν· ὅτι δὲ οὐδαμῶς τῇ κάτω Σιὼν ἁρμόττει τὰ εἰρημένα, τὰ ἑπαγόμενα μαρτυρεῖ. δ'. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με· καὶ ἰδὲ ἀλλόφυλοι καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ. Ταῦτά φησιν, ὦ θεία πόλις, λελάληται περὶ σοῦ, ὥστε τοὺς πάλαι δυσσεβείᾳ συζῶντας, καὶ τῷ ζόφῳ τῆς ἀγνοίας κατεχομένους, τῆς ἐν σοὶ κατοικίας ἀξιωθῆναι, καὶ τῆς σῆς πολιτείας μεταλαχεῖν· διά τοι τοῦτο τῶν προειρημένων ἐθνῶν ἀνέμνησεν, ὡς παρανομωτάτων, καὶ τῆς ἀσεβείας ἀναδησαμένων τὸ κράτος, ἵνα διὰ τούτων καὶ τοὺς ἄλλους δηλώσῃ· Ῥαὰβ μὲν γὰρ καὶ Χαναναίαν καὶ πόρνην· Βαβυλὼν δὲ, θηριώδης καὶ δυσσεβής· οἱ δὲ ἀλλόφυλοι ἤ τοι Φυλισταῖοι· δεδηλώκαμεν δὲ ἤδη τίνες οὗτοι· καὶ δεισιδαίμονες καὶ παράνομοι· τῆς δὲ Τύρου καὶ τὴν ἀσέβειαν, καὶ τὴν ἀσέλγειαν, ὁ προφήτης Ἰεζεκιὴλ ἐτραγῴδησε· λαὸν δὲ τῶν Αἰθιόπων, οὐ μόνον αὐτοὺς Αἰθίοπας, ὧν αἱ ψυχαὶ τὴν τοῦ σώματος ἐμιμήσαντο χροιάν, ἀλλὰ καὶ πάντας τοὺς μέλανας τῇ ψυχῇ, ὁ προφητικὸς ἐκάλεσε λόγος· ᾗ γὰρ ἐν τῷ ἁσματι τῶν ἀσμάτων ἡ νύμφη βοᾷ· μέλαινά εἰμι καὶ καλὴ, θυγατέρες Ἰερουσαλήμ· „ μέλαινα μὲν ἐξηπατημένη, τῇ κνίσῃ τῶν ἀλόγων κατεσπιλωμένη· καλὴ δὲ περιμένουσά „ σε τὸν ἐξ οὐρανῶν ἥξοντα Δεσπότην „ διὰ τὴν ἐμὴν σωτηρίαν. „ καὶ δεδήλωκε κατὰ ταυτὸν τῆς τε δυσσεβείας τὸν ζόφον, καὶ τὴν δεδομένην ὑπὸ τῆς θείας χάριτος ὥραν· ταῦτα μέντοι τὰ ἔθνη, ἐπὶ μὲν τῶν Ἰουδαίων, εἰς τὴν Ἰερουσαλὴμ οὐ συνῆλθεν, οὐδὲ τὴν νομικὴν πολιτείαν ἠγάπησεν· μετὰ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, καὶ ταύτην κατοικεῖ τὴν Ἰερουσαλὴμ, καὶ τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας πληροῖ, καὶ εἰς τὴν ἄνω μεταβαίνει Σιὼν, καὶ τῆς μακαρίας ἐκείνης πολιτείας μεταλαγχάνει. „ ἐκ „ ποίων γὰρ ἐθνῶν οὐκ ἐπίστευσαν τῷ „ σωτῆρι; τίνες δὲ τούτων οἱ μὴ καταλαβόντες καὶ τὴν κάτω Ἰερουσαλὴμ διὰ τὸ προσκυνῆσαι τὰς ἐπιφανεστάτους καὶ σεπτοὺς τόπους, ἐν οἷς „ οὐ μόνον ὁ ἐκ Θεοῦ Θεὸς σαρκωθεὶς, „ ἀλλὰ καὶ ποσὶ φιλανθρωπίας ἐβάδισε. καλῶς οὖν ἔχων διὰ τῶν ἑξῆς ἔφησε „ ε'. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος. Μητέρα δὲ ἔκαστος τὴν Σιὼν ὀνομάσει· καὶ πᾶς ἄνθρωπος ἐρεῖ, ὅτι μήτηρ ἡ Σιών. „ οὕτω καὶ „ ὁ μακάριος λέγει Παῦλος, ἡ δὲ ἄνω „ Ἰερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ „ μήτηρ πάντων ἡμῶν. „ Καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ. Τῷ ἐρεῖ ἄνθρωπος καὶ τοῦτο συνῆψαι· ὁ γὰρ τὴν Σιὼν ὀνομάζων μητέρα, ὁμολογήσει καὶ τοῦ ἐν αὐτῇ τεχθέντος ἀνθρώπου

που τὴν γέννησιν· καὶ ἵνα μή τις ἄνθρωπον τοῦτον ὑπολάβοι ψιλόν, εὐθὺς ἐπήγαγεν. Καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. Οὗτος γὰρ ὁ ἐν αὐτῇ τεχθεὶς ἄνθρωπος, καὶ ποιητής ἐστι, καὶ δημιουργὸς, Ὕψιστος ὢν καὶ Θεός. ε'. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων γεγεννημένων ἐν αὐτῇ. Ὁ δὲ Σύμμαχος οὕτως· Κύριος ἀριθμήσει γράφων λαούς· οὗτος ἐτέχθη ἐκεῖ· ὁ γὰρ τοὺς ἐν αὐτῇ πολιτευομένους λαοὺς τῆς παρ' αὐτοῦ γραφῆς ἀξιῶν, ἐν αὐτῇ κατὰ τὸ ἀνθρώπινον ἐγεννήθη Κύριος ὢν καὶ Θεός. ταύτην δὲ τὴν ἀρίθμησιν καὶ ὁ Κύριος ἡμῶν ἐδίδαξε πρὸς τοὺς ἱεροὺς εἰρηκὼς ἀποστόλους· ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί. καὶ τὴν ἀναγραφὴν δὲ τοῖς οἰκείοις μαθηταῖς ἐδήλωσε λέγων, μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς. ζ'. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Ἡ γὰρ ἐν οὐρανοῖς πολιτεία, πάσης ἀθυμίας κεχωρισμένη, τὴν ἀκραιφνῆ καὶ καθαρὰν εὐφροσύνην ἔχει, καὶ θυμηδίαν· ταύτην δὲ οὐ παροικοῦσιν, ἀλλ' εἰς αἰῶνα κατοικοῦσιν, τῆς εὐσεβείας οἱ τρόφιμοι.

ΕΡΜΗΝ. ΤΟΥ πζ' ΨΑΛΜΟΥ.

α'. Ὠδὴ ψαλμῷ, τοῖς υἱοῖς Κορέ· εἰς τὸ τέλος, ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι· συνέσεως, Αἱμὰν τῷ Ἰσραηλίτῃ. Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ ὑπὲρ Μαελὲθ, διὰ χορῶν εἴρηκεν. ὁ δὲ Ἀκύλας, ἐπὶ χορείας· καὶ ὁ Αἱμὰν δὲ χορῶν τινὸς ἐξῆρχεν ᾀδόντων, καὶ τὸν Θεὸν ἀνυμνούντων· ἡ δὲ ἀπόκρισις αἰνίττεται τὰ ἀντιφθεγγόμενα τάγματα τῶν χορῶν. ἡ μέντοι προφητεία προθεσπίζει τὰς Ἰουδαίων συμφορὰς, καὶ τὴν ἐν Βαβυλῶνι δουλείαν. διδάσκει δὲ κατὰ ταυτὸν καὶ πάσης ὁμοῦ τῆς ἀνθρωπίνης φύσεως τὰς μετὰ τὴν ἁμαρτίαν ὀδύνας· ἐσχημάτισται δὲ εἰς ἱκετείαν ἡ τοῦ ψαλμοῦ προφητεία, ὑπό τε τέτων, ὑπό τε κοινῆ πάντων προσφερομένη τῷ φιλανθρώπῳ Θεῷ· ἁρμόττει δὲ τοῖς εὐσεβεστέροις ἡ προσευχή. β'. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. γ'. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου. Σὲ Δέσποτα Κύριον οἶδα τῆς ἐμῆς σωτηρίας· διά τοι τοῦτο νύκτωρ καὶ μεθ' ἡμέραν ἀντιβολῶ τὴν ἐμὴν ἱκετείαν δεχθῆναι. „Τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς·„ Κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. „ καὶ τίνος ἕνεκεν ἀντιβολεῖ διὰ τῶν „ ἑξῆς καὶ λέγει „ δ'. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισεν. Τὸ πλῆθος ἀντιβολῶ σε τῶν περιεστοιχιζόντων με θεωρήσας κακῶν „ ἀποσόβησον· „ παρ' αὐτὸν γάρ εἰμι τὸν θάνατον, καὶ τῆς σῆς δέομαι βοηθείας. „ ἧς γεγυμνωμένος δε- „ δέλωμαι τῇ ἁμαρτίᾳ· τοῦτο γὰρ λέγει „ ε'. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· Ἀφύκτοις τισὶ περιπέπλωκα συμφοραῖς, καὶ ἀπαλλαγὴν εὐδεμίαν εὑρίσκω, ἀλλ' ἔοικα τοῖς εἰς λάκκον ἐμπεπτωκόσι, καὶ ἀναβῆναι μὴ δυναμένοις. ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος. πάσης προνοίας καὶ κηδεμονίας γεγύμνωμαι. ς'. Ἐν

νεκροῖς ἐλεύθερος. Καὶ μηδέπω τὴν τελευτὴν ὑπομείνας, μηδὲ τῷ θανάτῳ τὴν δουλείαν δεξάμενος, ἐμαυτὸν συναριθμῶ τοῖς ἐν νεκροῖς. ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σε ἀπώσθησαν. τῷ ἐγενήθην καὶ ταῦτα συντέτακται· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος, καὶ μηδέπω τῷ θανάτῳ τὴν δουλείαν δεξάμενος· ἐγενήθην ὡς τραυματίας ἐν πολέμῳ τετρωμένος, καὶ ταφῇ παραδεδομένος· τοῦτο γὰρ οὕτως ὁ Σύμμαχος εἴρηκεν· ὡς οἱ τετρωμένοι οἱ κείμενοι ἐν τάφῳ, ὧν οὐ μνημονεύσῃ οὐκ ἔτι, οἵ τινες ὑπὸ τῆς χειρός σου ἐξεκόπησαν. „ ἐκεῖνοι γάρ φησιν ὑπὸ „ τῆς προνοίας τῆς σῆς ἐξεκόπησαν· „ φθάσει δὲ ἡ σὴ ξοπὴ, ἵνα μὴ τῷ αὐτῷ „ βόθρῳ κἀγὼ περιπέσω. „ ζ'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ· ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. Καὶ ταῦτα τοῖς ἐν Βαβυλῶνι διάγειν ἠναγκασμένοις ἁρμόττει τὰ ῥήματα, καὶ πάσῃ τῶν ἀνθρώπων τῇ φύσει. ἐκεῖνοι τε γὰρ πονηροῖς ἀνθρώποις δουλεύοντες ὀδυνηρὸν βιὸν ἔζων· καὶ ἅπαντες ἄνθρωποι παντοδαπαῖς μετὰ τὴν ἁμαρτίαν περιέπεσαν συμφοραῖς. μετὰ γὰρ τὴν παράβασιν τῆς ἐντολῆς θάνατος, καὶ πένθος, καὶ δάκρυα, οἰμωγαί τε, καὶ ὀλοφύρσεις, χῆραι, καὶ ὀρφανίαι, καὶ πενίαι, καὶ δυσκληρίαι, καὶ τ' ἄλλα μυρία καὶ δυσδιήγητα, σκότον καὶ τοῖς ζῶσιν ἐπάγοντα. „ ὁρᾶτε πηλίκον κα„ κὸν ἡ παρακοή· ὥσε μὴ μόνον θεὸν χω„ ρίσαι, ἀλλὰ καὶ τοσούτων κακῶν περι„ στοιχίζειν. „ ἡ. Ἐπ' ἐμὲ ἐπεσηρέχθη ὁ θυμός σου· καὶ πάντας τοὺς μετεωρισμούς σε ἐπήγαγες ἐπ' ἐμέ. Ὁ δὲ Σύμμαχος οὕτως· ἐμοὶ ἐπέσφρησεν ὁ θυμός σε, καὶ ταῖς καταιγίσι σου ἐκάκωσάς με· ἐπιμένεις, φησὶ, τιμωρέμενος, καὶ παντοδαπάς μοι συμφορῶν προσβολὰς ἐπιφέρων. ἐκ μεταφορᾶς τῶν ναυαγούντων, καὶ πολλὰς μὲν κυμάτων προσβολὰς, πολλὰς δὲ ἀνέμων ἐμβολὰς δεχομένων. θ'. Ἐμάκρυνας τοὺς γνωστούς μου. Ἔρημός εἰμι, καὶ συνήθων, καὶ συγγενῶν· οἱ μὲν γὰρ ἐν Βαβυλῶνι δορυάλωτοι, τῆς δουλείας δεξάμενοι τὸν ζυγὸν, ἐσκεδασμένοι, καὶ τῆς τῶν φίλων συγγενείας καὶ συνουσίας ἐστερημένοι, τὴν ἐντεῦθεν ἐκ ἔσχον παραψυχήν· πάντες δὲ ἄνθρωποι δυσσεβείαι συζῶντες τῆς παρὰ τῶν ἀγγέλων κηδεμονίας ἐμετελάγχανον. ἔθεντό με βδέλυγμα ἑαυτοῖς. τετέσιν οἱ πολέμιοι. παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην. τῶν ἐπικειμένων μοι κακῶν ἀπαλλαγὴν εὐδαίμονα εὑρίσκω. ι'. Οἱ ὀφθαλμοί μου ἠθένησαν ἀπὸ πτωχείας. Ὁ δὲ Σύμμαχος οὕτως· ὁ ὀφθαλμός μου ἐξέρρευσεν ἀπὸ τῆς κακώσεως. εἰς δάκρυα γὰρ τοὺς ὀφθαλμούς μου κατεδαπάνησα, κλαίειν ὑπὸ τῆς ὀδύνης καταναγκαζόμενος. ἐκέκραξα πρὸς σὲ Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. ἕνα τοίνυν πόρον δὸς τῆς τῶν δεινῶν ἀπαλλαγῆς, τὴν σὴν Δέσποτα προμήθειαν· ἐκτείνων γὰρ ἀεὶ τὰς χεῖρας ἀντιβολῶ σε. τὴν πικρὰν δὲ τῆς ψυχῆς ὀδύνην τοῦτο τὸ ῥῆμα δηλοῖ· ὑπὸ γὰρ τῆς χρείας ἀναγκαζόμενος σπουδαιότερόν τις οὕτως

των ἱκετεύει τὸν δοῦναι δυνάμενον. ιά. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσασι, καὶ ἐξομολογήσονταί σοι; Ἔτι μοι ζῶντι, φησὶ, τὴν σὴν δεῖξον θαυματουργίαν· ἀποθανὼν γὰρ ταύτην ἐκ ὄψομαι. ὁ γάρ ἐστιν ἰατρὸς ἀπαλλάξαι θανάτου δυνάμενος· ποῖον γὰρ φάρμακον ταύτην ἔχει τὴν δύναμιν; ιβ. Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; „ τουτέστιν, ἐὰν εἰς δι-„ γήσεται ἐὰν ἐξομολογήσεται μετὰ τὴν „ ἐνθένδε ἐκδημίαν. „ ιγ. Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Μὴ δυνατὸν φησι τὸν εἰς κόνιν διαλυθέντας νεκροὺς, καὶ ἐν τῷ τάφῳ τοῦ θανάτου διάγοντας, καὶ λήθῃ παραδεδομένους, τῆς σῆς αἰωθέσθαι φιλανθρωπίας, καὶ τῶν σῶν θαυμάτων θεατὰς καταστῆναι; ιδ. Κἀγὼ πρὸς σὲ Κύριε ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. „ ὁ δὲ Σύμμαχος οὕ-„ τως· ἐμοῦ δὲ πρὸς σὲ Κύριε ἡ οἰμωγὴ, „ καὶ κατ' ὄρθρον ἡ προσευχή μου προ-„ φθάσει σε. „ Ἐπιθυμῶν γὰρ ἐν τῇ ζωῇ τῶν ἐπικειμένων ἀπαλλαγῆναι κακῶν, ὀδυνώμενος ποτνιῶμαι, καὶ φθάνω τῇ δεήσει τὸν ὄρθρον. ιε. Ἱνατί Κύριε ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Τί δήποτε τοίνυν ἀποπέμπεις με Δέσποτα· καὶ τῆς εὐμενείας σου μεταδίδως τῆς σῆς; ις. Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου. Νεότης τοῦ μὲν Ἰσραὴλ, ἡ ἐξ Αἰγύπτου ἔξοδος· πάντων δὲ ἀνθρώπων ἡ μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἔξω τοῦ παραδείσου ζωή· καὶ ἕτοι δὲ κἀκεῖνοι πάντα τὸν ἐν μέσῳ χρόνον ταλαιπωρούμενοι διετέλεσαν. ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. οἵ τε γὰρ Ἰουδαῖοι μετὰ τὴν περιφάνειαν περιέπεσον τῇ δουλείᾳ· καὶ τῶν ἀνθρώπων ἡ φύσις, κατ' εἰκόνα θείαν γεγενημένη, καὶ τῆς ἐν παραδείσῳ ζωῆς ἠξιωμένη, μείζονων ἐπιθυμήσασα, καὶ τῶν δεδωρημένων ἐξέπεσεν. ιζ. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξεταράξαν με. ιή. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. Πᾶσάν φησιν ἐκίνησας κατ' ἐμοῦ τὴν ὀργὴν, καὶ ταῖς φοβερωτάταις με διεταράξας τιμωρίαις, καὶ ταύταις καθάπερ ὕδασιν ὑποβρύχιον με πεποίηκας. ὅλην τὴν ἡμέραν περιέχον με ἅμα. ὑπὸ τούτων καθ' ἑκάστην περικλύζομαι τὴν ἡμέραν. ιθ. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Τοσαύταις δὲ συμφοραῖς προσπαλαίων ἐδὲ τὴν ἀπὸ τῶν συνήθων ἔχω παραψυχήν, ἔρημος τῆς τέτων συνεσίας διὰ τὴν τῆς δουλείας ταλαιπωρίαν γενόμενος. ταῦτα δὲ ὁ μόνον Ἰουδαίοις ἥρμοττε λέγειν, οὐδὲ πᾶσιν ἀνθρώποις πρὸ τῆς τοῦ σωτῆρος ἐπιφανείας, ἀλλὰ καὶ νῦν τοῖς τὰ ὁμοια πάσχουσιν ἡ ἱκετεία προσφυὴς καὶ κατάλληλος· ὅσα γὰρ προεγράφη, κατὰ τὸν θεῖον ἀπόστολον, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς, καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν.

ΕΡΜΗΝ. ΤΟΥ πή ΨΑΛΜΟΥ.

ά. Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ. Ὁ μακάριος Δαβὶδ σκηνῆς τε-

τιμη-

τιμημένως ὁρῶν τὰς ψευδωνύμως θεὰς, μόνην δὲ τῷ Θεῷ τὴν κιβωτὸν ἀγέραστον διαμένουσαν, ὑπέσχετο τὸν θεῖον οἰκοδομήσειν νεών. ταύτην αὐτῷ τὴν γνώμην ἀποδεξάμενος ὁ Θεὸς, τὴν καλὴν ἐπαγγελίαν ἀμείβεται, καὶ ὑπισχνεῖται ἐκ τῆς ὀσφύος αὐτῷ λογικὸν ἑαυτῷ κατασκευάσαι νεών, καὶ διὰ τέτου τὴν ἀπάντων ἀνθρώπων πραγματεύεσθαι σωτηρίαν, καὶ ἀτελεύτητον αὐτῷ παρέξειν τὴν βασιλείαν. ταύτας δὲ τὰς ὑποσχέσεις διὰ τοῦ προφήτου Νάθαν πρὸς αὐτὸν ἐποιήσατο· καὶ τοῦτο σαφῶς ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν βασιλειῶν Νάθαν πρὸς αὐτὸν ἔφη, καὶ ἀπαγγελεῖ σοι Κύριος, ὅτι οἶκον οἰκοδομήσει ἑαυτῷ· μέμνηται δὲ τέτων καὶ ἡ τῶν πράξεων ἱστορία. ὁ γὰρ μακάριος Πέτρος ἐν Ἰουδαίοις δημηγορῶν, πρὸς ἄλλοις πολλοῖς καὶ ταῦτα διεξελήλυθεν· προφήτης ὢν ὑπάρχων ὁ Δαβὶδ, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν τὸ κατὰ σάρκα τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ· προιδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως αὐτοῦ, ὅτι οὐκ ἐγκατελείφθη εἰς ᾅδου ἡ ψυχὴ αὐτοῦ, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν „ ὁ δίχα ἁμαρτίας· „ οὐκ ἔστι δὲ ἐν ἀνθρώποις τις δίχα ἁμαρ„τίας, εἰ μὴ Ἰησοῦς ὁ Χριστὸς, ὁ ἐκ Δαβὶδ „ σαρκωθεὶς Θεοῦ λόγος.„ ταύτας τὰς ὑποσχέσεις καὶ πρὸς τὸν πατριάρχην Ἀβραὰμ ἐποιήσατο· ἔφη γὰρ πρὸς αὐτόν· ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς. ἑρμηνεύων δὲ τοῦτο ὁ θεσπέσιος Παῦλος ἔτως ἔφη· τῷ δὲ Ἀβραὰμ ἐῤῥήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει, καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς, καὶ τῷ σπέρματί σου, ὅς ἐστιν ὁ Χριστός. εἰς ταύτας ἀφορῶντες τὰς ἐπαγγελίας οἱ τέτων ἀπόγονοι, καὶ βλέποντες σφᾶς αὐτὸς αἰχμαλώτους γεγενημένους καὶ τὴν ἀλλοτρίαν οἰκεῖν ἠναγκασμένους, καὶ τὴν μὲν βασιλίδα πόλιν ἔρημον γεγενημένην, ἐσβεσμένην δὲ τὴν βασιλείαν, ἀναμιμνήσκεσι τῶν ὑποσχέσεων τὸν τῶν ὅλων Θεόν· καὶ ποτὲ μὲν τὸν πατριάρχην Ἀβραὰμ εἰς μέσον προφέρουσι, καὶ τὸν υἱὸν τὸν ἐκείνε, καὶ τὸν ἔκγονον, τῶν συνθηκῶν ἀναμιμνήσκοντες τὸν Θεόν· ποτὲ δὲ τὸν μακάριον Δαβὶδ, καὶ τὰς πρὸς αὐτὸν γεγενημένας ἐπαγγελίας. ἔτως οἱ μακάριοι μάρτυρες, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰσραὴλ, ἐν τῇ καμίνῳ τὸν Θεὸν ἀντιβολοῦντες ἐποιήσαντο μνήμην. καὶ τοῦτον τοιγαροῦν τὸν ψαλμὸν εἰς τὴν ἐκείνων ὠφέλειαν ἡ προφητικὴ συνέγραψε χάρις· διδάσκουσα πῶς δεῖ τὸν Θεὸν ἐκμειλίξασθαι, καὶ τὴν παρ᾽ αὐτοῦ φιλανθρωπίαν καρπώσασθαι. διὰ τοῦτο καὶ συνέσεως ἐπιγέγραπται. ταύτης γὰρ δεῖ τοῖς παιδευομένοις διαφερόντως, ἵνα μηδὲν ἀπηχὲς εἴπωσι χετλιάζοντες, ἀλλὰ τὸν θεῖον προσμείνωσιν ἔλεον. ὁ δὲ Αἰθὰμ, χορὸν καὶ αὐτὸς ἐμπεπίστευτο ᾀδόντων ἐν τῷ ναῷ, καὶ τὸν Θεὸν ὑμνούντων. „ οὐ „ γὰρ, ὥς τινες ἔφασαν εἶναι τὸν ψαλ„μὸν τοῦ Αἰμάν· ἀλλ᾽ ὡς ἔφαμεν, ἐξῆρχε „ χορῷ τῶν ᾀδόντων καὶ αὐτὸς ἔτος· „ παραλαμβάνων παρὰ τοῦ θειοτάτε „ Δαβὶδ καὶ ᾄδειν μετὰ καὶ τῶν λοιπῶν.„

β. Τὰ

β'. Τὰ ἐλέη σε Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σε ἐν τῷ στόματί μου. Τὸν θεῖον αἰτοῦντες ἔλεον, ὑμνοῦσι τὸν ἔλεον, καὶ τῶν πρὸς τὸν Δαβὶδ ὑποχέσεων ποθοῦντες ἰδεῖν τὴν ἀλήθειαν, ἑκάστην γενεὰν ὑπισχνοῦνται διδάξειν. γ'. Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται ἐν τοῖς οὐρανοῖς, ἑτοιμασθήσεται ἡ ἀλήθειά σε. Τῷ Θεῷ ἐστι λόγος πρὸς τὸν Δαβὶδ εἰρημένος, ὡς Φυλάξει τὸν ἔλεον εἰς τὸν αἰῶνα τῷ σπέρματι· τῆς ἐπαγγελίας τοίνυν ἀναμιμνήσκουσι ταύτης· σὺ, φησὶν, εἶπας αὐξήσειν, ἀλλ' ἐμειώσειν τὸν ἔλεον· τὸ γὰρ οἰκοδομηθήσεται, ἀντὶ τοῦ αὐξηθήσεται „καὶ προθήκην λήψεται τέ„θεικεν. „ ἑδραιωθήσεται ὁ Σύμμαχος εἴρηκεν. ὑπέχθ, φησὶν, ἔργῳ βεβαιοῦν τὴν τῶν λόγων ἀλήθειαν. δ'. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου. „ἐκ προσώπου Θεοῦ καὶ πατρὸς „εἴρηται ταῦτα, ὑμῖν δὲ καὶ τὰ ἑξῆς. „ ὤμοσα Δαβὶδ τῷ δούλῳ μου. ε'. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Τῷ εἶπας καὶ ταῦτα συνῆπται· ὅτι ταύτας πρὸς τοὺς ἐκλεκτοὺς ἐποιησάμην τὰς συνθήκας. ἐκλεκτοὺς δὲ καλεῖ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰσραήλ· πρὸς δὲ τούτοις ἔφη ὀμωμοκέναι καὶ τῷ Δαβὶδ, ἀνώλεθρον αὐτοῦ φυλάξαι τὸ σπέρμα, καὶ ἐν πάσῃ γενεᾷ τὸν τούτου θρόνον ἀνθήσειν. οὕτω τοῦ Θεοῦ τὰς ὑποχέσεις διεξελθόντες, καὶ τῶν πραγμάτων τὸ τέλος οὐ βλέποντες, ἀπηχὲς μὲν οὐδὲν ὑπὸ τῶν συμφορῶν εἰπεῖν ἀναγκάζονται, ὑμνοις δὲ γεραίρουσι τὸν τῶν ὅλων πρύτανιν. ς'. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σε Κύριε· καὶ γὰρ τὴν ἀλήθειάν σε ἐν ἐκκλησίᾳ ἁγίων. Ὁ δὲ Θεοδοτίων, καί γε τὴν πίστιν σε ἐν ἐκκλησίᾳ ἁγίων· „ἀντὶ τοῦ, τὴν πίστιν σε „ἅπαντες οἱ τὴν πεποίθησιν ἔχοντες εἰς „σὲ διαφυλάξουσιν. „ σὲ γὰρ προσήκει παρὰ πάντων ὑμνεῖσθαι· ἐχ ἥκιστα δὲ παρὰ τῶν τὸν οὐρανὸν οἰκούντων, ἀκριβέστερον τὰ σὰ καθορώντων θαυμάσια, καὶ τῶν ἐπαγγελιῶν ἐπισταμένων τὸ βέβαιον· τῆς ἐπουρανίου ταύτης ἐκκλησίας καὶ ὁ μακάριος μέμνηται Παῦλος· προσεληλύθατε, λέγων, Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. ζ'. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; Ὁ δὲ Σύμμαχος ἔτως· τίς γὰρ ἐν αἰθέρι ἀντιπαραθήσει τῷ Κυρίῳ, ἐξισάσει τῷ Κυρίῳ ἐν υἱοῖς θεῶν; υἱὸς Θεοῦ καλεῖ τοὺς θεοὺς, ὡς υἱὸς ἀνθρώπων τοὺς ἀνθρώπους. καλεῖ δὲ θεοὺς, οὐχ ὡς ὄντας, ἀλλ' ὡς παρὰ τοῖς ἀπίστοις νομιζομένους· λέγει τοίνυν, ὅτι καὶ τῶν ἐπουρανίων ὑπέρκεισαι, καὶ πάντων ἀσυγκρίτως ὑπέρτερος εἶ, καὶ οὐδείς σοι τῶν ὄντων παραβληθῆναι δυνήσεται· ἐλέγχεται γὰρ τῶν ὑπὸ τῶν ἀνθρώπων θεοποιουμένων τὸ ψεῦδος. ἡ δὲ σὴ δύναμις διαρκὴς καὶ ἀνώλεθρος. τοιούτοις καὶ ἀλλαχοῦ κέχρηται λόγοις Φάσκων, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. ταύτην δὲ ποιοῦνται τὴν παρεξέτασιν, ἐκ ἀγνοοῦντες οἱ προφῆται τῆς διαφορᾶς τὴν ὑπερβολὴν, ἀλλὰ τῇ τῶν ἀπίστων ἀσθενείᾳ σύμμετρον

διδασκαλιαν προσφέροντες. ή. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βελῇ ἁγίων· μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ. Ἐπειδὴ τῶν ἐκ ὄντων θεῶν ἐμνημόνευσεν, ἠγνοεῖτο δὲ παρὰ τοῖς δυσσεβέσιν ὁ ὢν Θεὸς, εἰκότως τοὺς ἁγίους παρήγαγε, παρ' ὧν ὁ ἀληθὴς ὑμνεῖται Θεὸς, οἷς καὶ φοβερός ἐστιν, ἅτε δὴ πελάζουσιν αὐτῷ, καὶ τὴν ἄῤῥητον αὐτοῦ γινώσκουσι δύναμιν· βελὴν δὲ ἁγίων ὠνόμασεν ἐνταῦθα τῶν ἁγίων τὸν σύλλογον. θ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀληθειά σε κύκλῳ σε. Συνεχῶς τῆς ἀληθείας μνημονεύουσι, ποθοῦντες ἰδεῖν τὸ τῶν ὑποχέσεων ἀψευδές· καὶ φασὶ πρὸς αὐτὸν, τίς σοι Δέσποτα τῶν ὄντων δύναται συγκριθῆναι; τῶν δυνάμεων εἶ Κύριος καὶ Θεὸς, δύναμιν ἔχεις σύνδρομον τῇ βελήσει· ἀληθῆ πάντα καὶ βέβαια παρά σοι. εἶτα διέξεισι τῆς δυνάμεως τὰ τεκμήρια. ί. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης· τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. ια. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· ἐν τῷ βραχίονι τῆς δυνάμεώς σε διεσκόρπισας τοὺς ἐχθρούς σε. Σὺ εἶ φησὶ, τῶν ἁπάντων δημιουργὸς καὶ δεσπότης· καὶ ῥᾴδιόν σοι καὶ διεγεῖραι τὴν θάλασσαν, καὶ γαλήνην ἐργάσασθαι· τῆς δὲ θαλάσσης μνημονεύσας, καὶ τῶν ἐν ταύτῃ γεγενημένων ἀναμιμνήσκει. ὑπερήφανον γὰρ τὸν Φαραὼ καλεῖ, καὶ ἐχθροὺς τοὺς Αἰγυπτίους, ὃς τῇ θαλάττῃ παρέδωκε, καὶ διέσωσε τὸν οἰκεῖον λαόν. προλέγει δὲ κατὰ ταυτὸν καὶ τῶν τῆς ἀλαζονείας διδασκάλων τὸν ὄλεθρον· καὶ τότε γὰρ σὺν τῇ πονηρᾷ στρατιᾷ ἐν τῷ παναγίῳ καταλύει βαπτίσματι· „καθάπερ ἐκεῖ διὰ Μωϋσέως, ἐνταῦθα „διὰ τοῦ ἱερέως.„ ιβ. Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς, σὺ ἐθεμελίωσας. Οὐ γὰρ μόνον τῆς θαλάττης, καὶ τῆς γῆς ἁπάσης, ἀλλὰ καὶ τῶν ὑπερκειμένων οὐρανῶν σὺ εἶ ποιητὴς καὶ δημιουργός· σὸν γὰρ ἔργον ἐστὶ μόνον ὁ ὁρώμενος οὐρανὸς, ἀλλὰ καὶ ὁ τούτου ὑπέρτερος. ιγ. Τὸν Βορῥᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Ὁ δὲ Θεοδοτίων οὕτως· Βορῥᾶν καὶ Νότον σὺ ἔκτισας. „τὸν δὲ Νότον θάλασσαν καλεῖ, ἐπει„δὴ αὐτὸς μάλιστα τὸ κύτος αὐτῆς συν„ταράσσει·„ καὶ οἱ ἄνεμοι, φησὶ, καὶ αὐτὰ τῆς οἰκουμένης τὰ τμήματα, σὺ ὑπάρχει δημιουργήματα. ἐχ ἁπλῶς δὲ τῶν δύο τμημάτων ἐμνημόνευσε τούτων· ἀλλ' ἐπειδὴ τῆς Ἱερουσαλὴμ κατὰ Νότον μὲν εἰσιν οἱ Αἰγύπτιοι, κατὰ Βορῥᾶν δὲ οἱ Ἀσσύριοι· καταλύσας δὲ Αἰγυπτίων τὸ θράσος, τὴν ἐλευθερίαν αὐτοῖς ἐδωρήσατο· ῥᾴδιόν σοι, φησὶ, καταλῦσαι καὶ τούτους ὡς ἐκείνους. ὃ γενομένῳ, Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σε ἀγαλλιάσονται. διὰ τούτων δὲ πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας παρεδήλωσε. ταῦτα γὰρ ἐκείνης εἰσὶ τὰ ὄρη τῆς γῆς· τὸ δὲ ἀγαλλιάσονται, ὁ μὲν Ἀκύλας αἰνέσουσιν, ὁ δὲ Σύμμαχος, εὐφημήσουσιν εἰρηκεν. ὃ μὴν τὰ ὄρη τοῦτο 8) δράσειν εἴρηκεν, ἀλλὰ τοὺς τὰ ὄρη, ἢ παρὰ τὰ ὄρη, οἰκοῦντας ἀνθρώπους. ιδ. Σὸς ὁ βραχίων μετὰ δυναστείας. Ἰδιόν σε τὸ δυνατῶς ἅπαντα ἐνεργεῖν· τὸν γὰρ βραχίονα ἐπὶ τῆς ἐνεργείας,

τὴν

τὴν δὲ δυναστείαν ἐπὶ τῆς δυνάμεως ἔλαβε. καὶ γὰρ ὁ Ἀκύλας ἀντὶ δυναστείας δύναμιν τέθεικεν. κραταιωθήτω ἡ χείρ σε· ὑψωθήτω ἡ δεξιά σε. ὁ δὲ Σύμμαχος ἔτως· ἀήττητος ἡ χείρ σε, ὑψηλὴ ἡ δεξιά σε· πολλάκις εἰρήκαμεν, ὡς διὰ τῆς χειρὸς τὴν ἐνέργειαν δηλοῖ· διὰ δὲ τῆς δεξιᾶς, τὴν ἀγαθὴν ἐνέργειαν· διπλῆς τοίνυν ἐνεργείας δεόμενοι, ἀμφοτέρων ἐμνήσθησαν. καὶ γὰρ τὰς πολεμίας καταλυθέντας ἐπιθυμεῖσιν ἰδεῖν, καὶ αὐτοὶ τῆς σωτηρίας ποθεῖσι τυχεῖν· ἃ δὴ χάριν ἀήττητον μὲν τὴν χεῖρα, ὑψηλὴν δὲ καλεῖσι τὴν δεξιάν, ὡς δυναμένην κἀκείνας κολάσαι, καὶ αὐτὰς ἐλευθερῶσαι· τοῦτο δὲ καὶ διὰ τῶν ἑπιφερομένων δηλοῖ. ιέ. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τῷ θρόνῳ σε· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Αὐτοῖς γὰρ καὶ Βαβυλωνίοις δικάσαι τὸν Θεὸν ἱκετεύοντες, ἀντιβολοῦσι κατ' ἐκείνων μὲν δικαίαν τὴν ψῆφον ἐξενεγκεῖν, αὐτοῖς δὲ τὸν ἔλεον παραχεῖν, καὶ τῆς ὑποχέσεως τὴν ἀλήθειαν δεῖξαι· διό τοι τοῦτο τῇ μὲν δικαιοσύνῃ καὶ τῷ κρίματι τὸν δικαστικὸν ἔφασαν κεκοσμῆσθαι θρόνον, ἔλεον δὲ καὶ ἀλήθειαν τῷ Θεῷ προοδεύειν, ὡς πρὸ πολλῶν γενεῶν τῆς ὑποχέσεως γενομένης. ιϛ. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Ἀλαλαγμὸς, ὡς πολλάκις εἰρήκαμεν, νενικηκότων ἐστὶ φωνή· ἐπειδὴ τοίνυν ἡττηθέντες ἠνδραποδίσθησαν, μακαρίζουσι τοὺς νικήσαντας· προθεσπίζει δὲ ὁ λόγος καὶ τὸν λαὸν, τὸν ἐν πάσῃ γῇ καὶ θαλάττῃ τὸν μυστικὸν ἀλαλαγμὸν προσφέροντα τῷ Θεῷ, καὶ τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. ταύτῃ δὲ διανοίᾳ καὶ ἑπαγόμενα συμφωνεῖ. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται. ιζ. Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν· καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. Ἀλαλάζουσι δὲ, καὶ κατὰ τῶν ἐχθρῶν παιανίζουσι, καὶ σοὶ τῷ νικοποιῷ τὸν ἐπινίκιον ὕμνον προσφέρουσι, τῇ σῇ ἐπιφανείᾳ καταυγαζόμενοι, καὶ τὸ παρά σου δεχόμενοι φῶς „ διὰ „ τῆς τοῦ λυτροῦ παλιγγενεσίας, „ καὶ δικαίως ἀπολαύοντες θυμηδίας, καὶ τὴν νενομοθετημένην κατορθοῦντες δικαιοσύνην, καὶ ὑψηλοὶ καὶ περιφανεῖς ἐντεῦθεν γινόμενοι. ιή. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. Μέγα φησὶν ἐπὶ τῇ σῇ δυνάμει φρονοῦσι· παρά σου γὰρ ταύτην ἐδέξαντο. καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. καὶ ἡμεῖς δὲ φησι ταύτην ἔχομεν τὴν ἐλπίδα, καὶ τὴν σὴν ἐπικουρίαν προσμένομεν· διὰ ταύτην γὰρ κρείττους τῶν πολεμίων ἐσόμεθα· κέρας γὰρ τὴν ἰσχὺν καὶ τὸ κράτος ἐκάλεσεν, ἐκ μεταφορᾶς τῶν κερασφόρων ζώων, ἃ τοῖς κέρασι καθωπλισμένα, τούτοις κέχρηνται καὶ τῶν ἐπιόντων. ιθ. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν. Ταύτῃ δὲ τῇ ἐλπίδι τρεφόμεθά σε βασιλέα ἔχοντες, ὑπὸ τὴν σὴν κηδεμονίαν τελοῦντες. κ. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου. Ὁ δὲ Σύμμαχος οὕτως· τότε ἐλάλησας δι' ὁράσεως τοῖς υἱοῖς σου· οἴδαμεν γάρ σε τὰς διὰ τῶν προφητῶν γεγενημένας ἐπαγγελίας· τότε γὰρ καὶ ὁρῶντας καὶ βλέποντας ὠνόμαζον. Καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ

δυνατόν· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. κά. Εὗρον Δαβὶδ τὸν δοῦλόν μου· ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Σύ φησι τῷ Θεράποντί σου Δαβὶδ ἐμαρτύρησας, καὶ δυνατὸν ἐν τοῖς τῆς ἀρετῆς εὑρὼν κατορθώμασι τῆς σῆς βοηθείας ἠξίωσας, καὶ ἐξελέξω, καὶ ἔχρισας, καὶ βασιλέα κεχειροτόνηκας. κβ. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. Εἶπας δὲ αὐτῷ παρέξειν ἰσχύν, καὶ τῆς σῆς αὐτῷ μεταδώσειν κηδεμονίας. κγ. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ. καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. Ὑπέχου δὲ καὶ τὰς τῶν ἐχθρῶν αὐτοῦ ματαίας δέξειν ἐπιβουλὰς, καὶ τῶν λωβᾶσθαι πειρωμένων κρείττονα κατασήσειν. κδ. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ· καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. κε. Καὶ ἡ ἀλήθειά μου, καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ· καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Ἐπηγγείλω δὲ καὶ ἅπαντας αὐτοῦ καταλύσειν τοὺς πολεμίους, καὶ βεβαίαν αὐτῷ τὴν σὴν παρέξειν φιλανθρωπίαν, καὶ περιφανῆ ποιήσειν αὐτὸν καὶ περίβλεπτον. κς. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ· καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Δώσω δὲ αὐτῷ κατὰ θάλασσαν καὶ κατ' ἤπειρον κράτος· διὰ γὰρ τῶν ποταμῶν, τὴν ἤπειρον παρεδήλωσεν. κζ. Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ· Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. „ἐν τῷ λέγειν τὸν Χριστὸν, Πάτερ εἰ „δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ πο„τήριον τοῦτο· καὶ ἐν τῷ λέγειν αὐτὸν „πάλιν τοῖς ἀποστόλοις· πορεύομαι εἰς „τὸν πατέρα μου, καὶ Θεόν μου καὶ „Θεὸν ὑμῶν.„ κή. Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν· ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Ταῦτα μέντοι ἔστε ἐπὶ τοῦ Δαβὶδ, ἔστε ἐπὶ τοῦ πολυθρυλλήτου Σολομῶντος τετύχηκε πέρατος. ἔστε γὰρ τῆς θαλάττης ἐκράτησε Σολομὼν, ἢ Δαβὶδ, ἔστε πρωτότοκος ὠνομάσθη Θεοῦ, ἔστε τῶν βασιλέων ἁπάντων τὴν ἐξουσίαν ἐδέξατο. ἔτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσεν, ὕψιστον „παρὰ„ τοῖς βασιλεῦσι τῆς γῆς· καὶ ὁ Σύμμαχος, ἀνώτατον τῶν βασιλέων τῆς γῆς. εἰ δὲ μήτε τῷ Δαβὶδ, μήτε τῷ Σολομῶντι ἁρμόττει ταῦτα τὰ ῥήματα, ἀψευδὴς δὲ τοῦ Θεοῦ ἡ ὑπόσχεσις, τυφλώττουσιν Ἰουδαῖοι τὸν ἐκ Δαβὶδ κατὰ σάρκα προσκυνεῖν οὐκ ἐθέλοντες, ὃς καὶ τῆς γῆς καὶ τῆς θαλάττης ἔχει τὸ κράτος, καὶ πάντων ἐστὶ τῶν βασιλέων ὑπέρτερος· τοὺς μὲν ἑκόντας ἔχων προσκυνητὰς, τῶν δὲ ἀντιλέγειν τολμώντων τὴν ἀσθένειαν διελέγχων· μυρίοις γὰρ χρώμενος μηχαναῖς, τῶν ὑπ' αὐτῶν τεθέντων περιγενέσθαι νόμων οὐ δύναται. πρωτότοκον δὲ αὐτὸν καὶ ὁ μακάριος ὀνομάζει Παῦλος, εἰς τὸ εἶναι „αὐ„τὸν „ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· καὶ, πρωτότοκος ἐκ τῶν νεκρῶν· καὶ, πρωτότοκος πάσης κτίσεως. καὶ αὐτὸς δὲ ὁ Δεσπότης τῇ Μαρίᾳ μετὰ τὴν ἀνάστασιν ἔφη· πορευθεῖσα εἰπὲ τοῖς ἀδελφοῖς μου· πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ὥσπερ γὰρ μονογενὴς ἐστιν ὡς Θεός· μόνος γὰρ ἐκ Πατρὸς ἐγεννήθη· πρωτότοκος δὲ ὡς ἄνθρωπος·

πος· ἀδελφὲς γὰρ ἔχει τὲς πεπιστευκότας ὡς ἄνθρωπος· ἔτω πατέρα αὐτῷ καλεῖ τὸν Θεὸν ὡς Θεὸς, Θεὸν δὲ αὐτῷ ὀνομάζει ὡς ἄνθρωπος· ἐπ' αὐτῷ τοίνυν ἡ προφητεία τὸ τέλος ἐδέξατο· μαρτυρεῖ δὲ καὶ τὰ ἐπαγόμενα. κθ. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μὲ πιστὴ αὐτῷ. „διαθήκην δὲ λέγει ἣν διέθετο „τοῖς πατράσιν ὁ Θεὸς Πατὴρ, ἀνατεί„σειν, ὡς φαμὲν, ἐκ τῷ σπέρματος αὐ„τῶν τὸν Κύριον.„ λ'. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τῷ αἰῶνος τὸ σπέρμα αὐτῷ· καὶ τὸν θρόνον αὐτῷ ὡς τὰς ἡμέρας τῷ οὐρανῷ. „σπέρμα αὐτῷ ἡ τῆς χάρι„τος τρόφιμοι, καὶ ἡ βασιλεία, ἣν αὐ„τὸς ἐδωρήσατο αὐτοῖς· περὶ ἧς αὐτὸς „ὁ Κύριος πρὸς τὲς πιστεύοντας εἰς αὐ„τὸν ἔφη· δεῦτε οἱ εὐλογημένοι τῷ Πα„τρός μου, κληρονομήσατε τὴν ἡτοιμα„σμένην ὑμῖν βασιλείαν ἀπὸ καταβο„λῆς κόσμου.„ Δειξάτωσαν τοίνυν οἱ Ἰουδαῖοι τὸν βασιλικὸν τῷ Δαβὶδ θρόνον μέχρι καὶ τήμερον διαρκέσαντα, ὃν εἰς αἰῶνα φυλάξειν ὁ Θεὸς ἐπηγγείλατο. δειξάτωσαν δὲ καὶ τὸ σπέρμα τὸ ἐκείνῳ τῇ βασιλείᾳ κοσμούμενον. εἰ δὲ τούτων οὐδέτερον δύναιντο ἂν ἀποδεῖξαι, καὶ ταῦτα λίαν ἀναισχυντῦντες· λείπεται δυοῖν θάτερον, ἢ ψευδῆ καλεῖν τῷ Θεῷ τὴν ὑπόσχεσιν, ἢ ἀληθῆ τὴν ἐπαγγελίαν ὁμολογοῦντας δέχεσθαι τῶν πραγμάτων τὴν μαρτυρίαν. ὁ γὰρ ἐκ Δαβὶδ κατὰ σάρκα Χριστὸς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γινόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα· τίνι γὰρ εἶπε ποτὲ τῶν ἀγγέλων· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; περὶ τούτου ὁ μακάριος Δαβὶδ ἔφη, κάθε ἐκ δεξιῶν μὲ, ἕως ἂν θῶ τὲς ἐχθρές σου ὑποπόδιον τῶν ποδῶν σε· τοιγαροῦν διὰ τῷ Δεσπότου Χριστοῦ τὸ σπέρμα τοῦ Δαβὶδ εἰς αἰῶνα διέμεινε, καὶ ὁ θρόνος „αὐτοῦ„ ἔχει τὸ διαρκές. ἔτω γὰρ καὶ ὁ μακάριος ἐθέσπισεν Ἡσαΐας. εἰρηκὼς γὰρ, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, ἧ ἡ ἀρχὴ ἐπὶ τῷ ὤμῳ αὐτοῦ· „ἵνα μή τις ὑπολάβῃ τὸ „παιδίον ἄνθρωπον καὶ οὐ Θεὸν, διὰ τῶν „ἔξῆς σαφέστερον ἔδειξε, τῷ εἰπεῖν· „καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, ἐπήγαγε μετ' ὀλίγον· ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ τὴν βασιλείαν αὐτῷ, κατορθῶσαι αὐτὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον. ἔτω τὰ περὶ τῷ Δεσπότου Χριστῷ προθεσπίσας ὁ λόγος, περὶ τῶν ἐν μέσῳ γενομένων διεξέρχεται βασιλέων. λά. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτῷ τὸν νόμον μὲ, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν. λβ'. Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. λγ'. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν· καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν. λδ'. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῷ, οὐδ' ἐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. Κἂν μυρία, φησὶ, παράνομα δράσωσιν οἱ ἐκ τῷ Δαβὶδ τὸ γένος κατάγοντες, αὐτοὺς μὲν ὑποβαλῶ τιμωρίαις, τὴν δὲ πρὸς τὸν Δαβὶδ ἐπαγγελίαν βεβαίαν διαφυλάξω. τὸ δὲ

ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, τουτέστι τοῦ Δαβίδ, οὐδ' ἀ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. τὸ ἀδικήσω, παραβήσομαι ὁ Σύμμαχος εἴρηκεν. ὁ δὲ Ἀκύλας, ἀ ψεύσομαι. „οὐδ' „ἀ μὴ ἀδικήσω, ἀντὶ τοῦ οὐ μὴ παραβι„βάσω, οὐδ' οὐ μὴ ψεύσομαί μου τὰς „ἐπαγγελίας.„ λέ. Οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μὲ οὐ μὴ ἀθετήσω. Οὐ ψεύσομαί με τὰς ἐπαγγελίας, ἀ παραβήσομαι τὰς συνθήκας, ἀλλὰ δείξω τῶν ὑποχέσεων τὴν ἀλήθειαν. „ὅτε ὁ ἐμὸς υἱὸς ὁ συνάναρ„χός μοι καὶ συναίδιος ἐκ Δαβὶδ σαρ„κωθῇ· τοῦτο γὰρ λέγει διὰ τῶν ἑξῆς.„ λς'. Ἅπαξ ὤμοσα τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι. Βεβαίαν γὰρ πρὸς αὐτὸν ποιησάμενος τὴν ὑπόχεσιν, ἐπιθήσω ταύτῃ τὸ πέρας· τὸ γὰρ ὤμοσα ἐπὶ τοῦ βεβαίου τέθεικεν, ὡς τῶν ἐπαγγελλομένων ὅρκῳ βεβαιούντων τὰς ὑποχέσεις. λζ'. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ· καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου. λή. Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Ἀντὶ τοῦ ὁ μάρτυς, ὁ Σύμμαχος ὁ διαμαρτυράμενος τέθεικε· καὶ ἐν τῷ ἑβδομηκοστῷ καὶ πρώτῳ ψαλμῷ ὁ μακάριος Δαβὶδ περὶ τοῦ Δεσπότου Χριστοῦ προηγόρευσε· πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν. ἐπειδὴ γὰρ ὁ ἥλιος τὸν χρόνον μετρεῖσθαι ποιεῖ ἀνίσχων τε καὶ δυόμενος, καὶ ἡμέραν καὶ νύκτα ποιῶν, διὰ τοῦ ἡλίου, τοῦ θρόνου τὸ ἀκατάλυτον ἠβελήθη δηλῶσαι, τὸ δὲ σπέρμα εἰς αἰῶνα διατηρήσειν ὑπέσχετο. „σπέρμα δὲ τοῦ „Θεοῦ λόγου οἱ εἰς αὐτὸν πιστεύοντες ἅ„παντες.„ ὁ δὲ ταῦτα ὑποχόμενος, καὶ διαμαρτυράμενος, ἐν οὐρανῷ τε ἐστὶ, καὶ ἀληθέσι καὶ πιστοῖς κέχρηται λόγοις. „ὡς μόνος ὑπάρχων ἀψευδής· „ ἕτω τὰς πρὸς τὸν Δαβὶδ γεγενημένας ὑποχέσεις εἰρηκότες, τὰς συμβάσας αὐτοῖς ὀλοφύρονται συμφοράς. λθ'. Σὺ δὲ ἀπώσω, καὶ ἐξουδένωσας· ἀνεβάλου τὸν Χριστόν σε. μ'. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου. Ὁ δὲ Σύμμαχος οὗτος, σὺ δὲ αὐτὸς ἀπεβάλε, καὶ ἀπεδοκίμασας, ἐχολώθης πρὸς τὸν Χριστόν σε, εἰς κατάραν ἔδωκας τὴν συνθήκην τοῦ δούλου σε. σὺ δὲ αὐτὸς, ὁ ἐκεῖνα παρέξειν ὑποχόμενος, ἀπώσω μὲν τοὺς τοῦ Δαβὶδ ἀπογόνους, καὶ εὐτελεῖς ἔδειξας, καὶ εἰς δουλείαν παρέδωκας, κατέλυσας δὲ τὴν τούτου βασιλείαν, καὶ τὰς γεγενημένας πρὸς τὸν σὸν θεράποντα συνθήκας διέλυσας. Χριστὸν γὰρ ἐνταῦθα βασιλείαν καλεῖ. ἀϊχμάλωτοι δὲ ἀπηνέχθησαν οἱ δύο τοῦ Δαβὶδ ἀπόγονοι, Ἰεχωνίας καὶ Σεδεκίας· εἰς τούτους δὲ κατέληξεν ἡ τοῦ Δαβὶδ βασιλεία. Ζοροβάβελ γὰρ, ὁ μετὰ τὴν αἰχμαλωσίαν ἡγεμονεύσας, δημαγωγὸς ἦν, οὐ βασιλεύς. ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. ἁγίασμα τὸν ναὸν καλεῖ, ὃν ἠβελήθη μὲν ὁ Δαβὶδ οἰκοδομῆσαι, ἐδείματο δὲ Σολομὼν μετὰ τὸν Δαβὶδ· τοῦτον λέγει βεβηλωθῆναι τῇ τῶν Βαβυλωνίων ἐφόδῳ, καὶ γενέσθαι προσόμοιον βοτάνῃ ἀνθούσῃ. καταλυθεὶς γὰρ εἰς χῶμα κατέπεσε, καὶ χέρσῳ παραπλήσιος

ἦν.

ἦν. μά. Καθεῖλες πάντας τὲς φραγμοὺς αὐτῦ. Πάσης αὐτὸν ἀσφαλείας ἐγύμνωσας. ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. τοῖς γὰρ τῶν πόλεων περιβόλοις πάλαι θαρρῶν, ἐξέπεσε τῦ θάρσους, καὶ δειλίαν περίκειται. μβ. Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν. Μωαβῖται, Ἀμμανῖται, Ἀλλόφυλοι, Ἰδουμαῖοι, Σύροι, Ἀσσύριοι, Βαβυλώνιοι. ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτῦ. ἐπίχαρτος ἐγένετο καὶ ἐπονείδιστος τοῖς ὁμόροις. μγ. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν. Ἰσχυροτέρους αὐτῦ τὲς πολεμίους ἀπέφηνας. εὐφράνας πάντας τὲς ἐχθρὲς αὐτῦ. καταγέλασον αὐτὸν τοῖς δυσμενέσι πεποίηκας. μδ. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτῦ, καὶ ἐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. Ἄχρηστα αὐτῷ τὰ ὅπλα γεγένηται, τῆς σῆς γυμνωθέντι κηδεμονίας. με. Κατέλυσας ἀπὸ καθαρισμῦ αὐτῦ. Ὁ δὲ Σύμμαχος οὕτως, ἀπέπαυσας τὴν καθαρότητα αὐτῦ· οὐ γὰρ δύναται περιῤῥαντηρίοις καθαίρεσθαι αἰχμάλωτος ὢν, καὶ πόῤῥω τῦ σε διάγων νεώ. τὸν θρόνον αὐτῦ εἰς τὴν γῆν κατέῤῥαξας. πάμπαν αὐτῦ τὴν βασιλείαν κατέλυσας. μς. Ἐσμίκρυνας τὰς ἡμέρας τῦ χρόνυ αὐτῦ. Εἰς αἰῶνα φυλάξειν τὴν βασιλείαν ἐπαγγειλάμενος, ὀλίγῳ ταύτην περιώρισας χρόνῳ. κατέχεας αὐτῷ αἰσχύνην. ἐπονείδιστος γεγένηται, καὶ αἰσχύνης ἐμπέπλεται· Σεδεκίας μὲν γὰρ, ἐκκοπέντων τῶν ὀφθαλμῶν, μύλωνι παρεδόθη πάντα τὸν λειπόμενον χρόνον· Ἰεχωνίας δὲ καὶ αὐτὸς ἐδούλευσεν· αἰσχύνης δὲ καὶ ὀνειδισμοῦ ταῦτα μεστά. οὕτω τὰς συμφορὰς ὁ προφητικὸς διηγησάμενος λόγος, ποτνιᾶσθαι καὶ ἱκετεύειν παρεγγυᾷ. μζ. Ἕως πότε Κύριε ἀποστρέφῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου. Ὁ δὲ Σύμμαχος, ἕως τίνος Κύριε ἀποκρυβήσῃ εἰς τέλος, φλεγήσεται ὡς πῦρ ὁ θυμός σε; μέχρι τίνος, φησὶ, Δέσποτα ἐκ ἐθέλεις ἰδεῖν τὰς ἡμετέρας ὀδύνας, οὐδὲ ἐπιφαίνῃ, καὶ λύεις τὰς συμφορὰς· ἀλλὰ καθάπερ πῦρ τὴν ὀργὴν τῇ μνήμῃ τῶν ἡμελέρων ἁμαρτάδων ἐκκαίεις; μή. Μνήσθητι, τίς μου ἡ ὑπόστασις. Ποιητὴς εἶ καὶ πλάστης, καὶ τῆς ἐμῆς δυνάμεως τὰ μέτρα γινώσκεις. μὴ γὰρ ματαίως ἔκτισας πάντας τὲς υἱοὺς τῶν ἀνθρώπων; οὐκ εἰκῇ, οὐδὲ μάτην τὲς ἀνθρώπους διέπλασας, ἀλλ' ἀγαθότης τῆς δημιουργίας ἡγήσατο· διὰ ἀγαθότητα γὰρ μονὴν ἡμᾶς ἐδημιούργησας. μὴ παρίδῃς τοίνυν τοσούτοις συγκληρωθέντας κακοῖς. μθ. Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτῦ ἐκ χειρὸς ᾅδου. Παντὸς ἀνθρώπου τέλος ἡ τελευτή· περιγενέσθαι γὰρ αὐτῦ τῦ θανάτου τῶν ἀδυνάτων· ζῶσι τοίνυν μετάδος φιλανθρωπίας. ἔστα πάλιν ἀναμιμνήσκει τῶν ὑποχέσεων. ν. Πῦ εἰσὶ τὰ ἐλέη σε τὰ ἀρχαῖα Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου; Καλῶς δὲ πανταχοῦ τῆς ἀληθείας προσφέρει τὴν μαρτυρίαν, εἰς τὴν βεβαίωσιν τῶν ἐπαγγελιῶν διεγείρων τὸν ὑποχόμενον· καὶ τὸ προοίμιον δὲ ἀπὸ τοῦ ἐλέε ἐξύφηνε, καὶ ἐν τῷ τέλει

τοῦ

τοῦ ἐλέε πάλιν ἀναμιμνήσκει· τοῦτο γὰρ ἐδέοντο μάλιστα· ναί. Μνήσθητι Κύριε τῆς ὀνειδισμοῦ τῶν δούλων σε, ἣ ὑπέσχον ἐν τῷ κόλπῳ με πολλῶν ἐθνῶν. Ὁ δὲ Σύμμαχος οὕτως, καὶ ἐβάστασα ἐν τῷ κόλπῳ μου παμπολλῶν ἐθνῶν· μὴ παρίδῃς με, φησὶν, ὀνειδιζόμενον, οὐχ ὑφ' ἑνὸς ἔθνους, ἀλλ' ὑπὸ μυρίων· ἐ γὰρ μόνον Ἀσσύριοι μοι ἐπικερτομοῦσι, καὶ Βαβυλώνιοι, ἀλλὰ καὶ οἱ πλησιόχωροι πάντες, οἱ τὴν πρὸς ἐμὲ δυσμένειαν ἐχηκότες ἀεί· οὐκ ἐμοὶ δὲ μόνον ἐπιχαίρουσιν, ἀλλὰ καὶ κατὰ σοῦ τὴν γλῶτταν κινοῦσι, καὶ βλασφήμοις κέχρηνται λόγοις, ἀσθένειαν σὴν τὴν ἐμὴν δουλείαν νομίζοντες· τοῦτο γὰρ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. νβ'. Οὗ ὠνείδισαν οἱ ἐχθροί σε Κύριε· οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. Ὁ δὲ Σύμμαχος, καὶ ὁ Θεοδοτίων οὕτως· ὠνείδισαν τὰ ἴχνη τοῦ Χριστοῦ σε· ἴχνη δὲ Χριστοῦ προσηγόρευσε τοὺς καθ' ἐκεῖνον τὸν καιρὸν βασιλέας, δι' ὧν ᾠδευσεν ὁ περὶ τῆς Χριστοῦ βασιλείας λόγος· καὶ οἱ ἑβδομήκοντα δὲ ἀντάλλαγμα αὐτοὺς προσηγόρευσαν, ὡς κατὰ σάρκα αὐτοῦ γεγενημένους προγόνους, καὶ ὡς ἐν σκοτίᾳ τινὶ τὴν βασιλείαν ἰθύνοντας. διὰ τὸν Χριστόν σε τοίνυν, οὗ ἴχνη οὗτοι τυγχάνουσι, καὶ ἀντάλλαγμα, παῦσον ἡμῶν Δέσποτα τὰ ὀνείδη. νγ'. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο. Ἀγαθῆς ἐλπίδος ἡ ὑμνῳδία· πιστεύσαντες γὰρ αἰτήσεις δέξασθαι, τόνδε τὸν ὕμνον προσενηνόχασι τῷ Θεῷ· ταύτην δὲ τὴν διάνοιαν καὶ ὁ Ἀκύλας δεικνυσιν ἀκριβέστερον, τὸ ἀμὴν ἀμὴν ἑρμηνεύσας· ἔφη γὰρ πεπιστωμένος καὶ πεπιστευμένος, ἀντὶ τοῦ, ἀληθὴς εἶ, καὶ λίαν ἀληθής· εὐλογητὸς τοίνυν εἰς τὸν αἰῶνα· βεβαιοῖς γάρ σε τοῖς ἔργοις τὰς ὑποσχέσεις.

ΕΡΜΗΝ. ΤΟΥ πθ' ΨΑΛΜΟΥ.

ά. Προσευχὴ τῷ Μωσεῖ ἀνθρώπῳ τοῦ Θεοῦ. Τινὲς μὲν τῶν συγγραφέων τὸν μέγαν ἔφασαν Μωσῆν τήνδε ποιῆσαι τὴν προσευχήν· τινὲς δὲ συγγραφέα αὐτῆς εἶπον τὸν μακάριον Δαβὶδ εἶναι, προσαρμόσαι δὲ αὐτὴν Μωσῆ τῷ θεσπεσίῳ· διπλῆν δὲ ὅμως ὁ ψαλμὸς χρησμολογίαν ἔχει· προθεσπίζει γὰρ, οὐ μόνας τῶν Ἰουδαίων τὰς συμφορὰς, ἀλλὰ καὶ πάσης τῆς ἀνθρωπείας φύσεως διδάσκει τὸ φθαρτὸν, καὶ ἐπίκηρον· προλέγει δὲ τὴν ἐπὶ τὸ κρεῖττον καὶ τούτων κἀκείνων μεταβολήν. „ ἀκριβῶς δὲ καὶ ὁ παρὼν „ ψαλμὸς παρὰ τοῦ μακαρίου Δαβὶδ „ ἐγράφη, ὡς καὶ οἱ λοιποὶ ἅπαντες. „ Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἰουδαίων μὲν γὰρ ἐγένετο καταφυγὴ, οὐκ ἐν Αἰγύπτῳ μόνον, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ καὶ ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ ἐπὶ Γεδεὼν, Βαράκ τε καὶ Ἰεφθάε, καὶ Σαμψὼμ, καὶ Σαμουὴλ, καὶ Δαβίδ· καὶ διὰ τῶν προφητῶν αὐτὸς πάσης κηδεμονίας ἠξίωσε, καὶ βασιλευομένοις πάσης ἐπικουρίας μετέδωκε, πᾶσα δὲ τῶν ἀνθρώπων ἡ φύσις τούτοις κέχρηται τοῖς λόγοις, τῶν παντοδαπῶν εὐεργεσιῶν ἀναμιμνήσκουσα τὸν Θεὸν, ὅπως τὸν Ἐνὼχ μετέθηκεν, ὅπως ἁπάντων τὸν θηριώδη βίον ἀσπασαμένων, σπινθῆρα τῷ γένει τὸν

τὸν θεσπέσιον διεφύλαξε Νῶε, ὅπως τὸν πατριάρχην Ἀβραάμ, ἐκλεξάμενος, πᾶσιν ὑπέχετο τὴν εὐλογίαν τοῖς ἔθνεσιν. οὐ γὰρ, ὥς τινες τῶν ἀπίστων τολμῶσι λέγειν, ἐκ μεταμελείας εἰς τὴν τῶν ἐθνῶν ἦλθεν εὐεργεσίαν τῶν ὅλων ὁ Κύριος, ἀλλὰ ἀεὶ πάντων ἀνθρώπων προμηθούμενος διετέλεσε. „ τῶν ὅλων „ ὁ Κύριος, καὶ πρὸ τῆς ἀκαταλή- „ πτου αὐτοῦ ἐνανθρωπήσεως. „ καὶ τοῦτο ἡμᾶς ἡ προφητεία ἐδίδαξε λέγειν, Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ· ἀεὶ γὰρ τῆς σῆς ἐλπίδος ἀπηλαύσαμεν Δέσποτα. β'. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως αἰῶνος σὺ εἶ. Τῶν γενητῶν γὰρ προϋπάρχεις ἁπάντων, καὶ τῶν ὀρῶν, καὶ τῆς γῆς, καὶ τῆς οἰκουμένης ἁπάσης. αἰώνιος γὰρ εἶ, ἀναρχός τε, καὶ ἀτελεύτητος, οὐδενὶ περιοριζόμενος πέρατι· τῷ γὰρ πρὸ τοῦ ὄρη γενηθῆναι, τὸ σὺ εἶ συναπλέον. γ'. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν. Ἱκετεύω σε τοίνυν τὸν ἀΐδιον, τὸν αἰώνιον, τὸν ἀεὶ καταφυγὴ ἡμῖν γενόμενον, μὴ παντελῶς ἡμᾶς παριδεῖν τοσούτοις περικλυζομένους κακοῖς. ἐπειδὴ γὰρ αὐτὸς τοῦ Ἀδὰμ τοὺς ἰδρῶτας, καὶ τοὺς πόνους κατεψηφίσατο ἐρηκὼς, ἐν ἱδρῶτι τοῦ προσώπου φαγῇ τὸν ἄρτον σε, ἕως οὗ ἀποστρέψῃς εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ἁρμοδίως ὁ προφητικὸς λόγος ἱκετεύειν διδάσκει, μὴ ἀποστραφῆναι παντάπασιν εἰς ταπείνωσιν, καὶ εἰς τὴν συγκληρωθεῖσαν ταλαιπωρίαν. καὶ μέντοι καὶ Ἰουδαῖοι δουλεύειν ἠναγκασμένοι τήνδε τὴν ἱκετείαν προσφέρουσι, τὸν ἀνδραποδισμὸν καὶ τὴν δουλείαν ὀλοφυρόμενοι. καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. ὁ δὲ Ἀκύλας οὕτως, καὶ ἐρεῖς, ἐπιστράφητε υἱοὶ τῶν ἀνθρώπων. οὐ μάτην, φησὶν, ἀντιβολοῦμεν, ἀλλ' εἰδότες σαφῶς, ὡς δέξῃ τὰς ἡμετέρας ἱκετείας, καὶ μεταβολὴν ἡμῖν τῶν παρόντων ἐργάσῃ κακῶν· παραινῶν ἐπιστρέψαι, καὶ τῆς προτέρας πονηρίας ἀπαλλαγῆναι. δ'. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου Κύριε· ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Μεθυπέρβατός ἐστι τῶν ῥημάτων ἡ διάνοια· τοῦτο γὰρ τῷ προτέρῳ συνήρμοσαι, μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σοῦ Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥ τις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί· διὰ μέσου δὲ πρόσκειται τὸ, καὶ εἶπας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. λέγει δὲ ὅτι σμικρά τίς ἐστι, καὶ ἀλγεινὴ λίαν ἡ τῶν ἀνθρώπων ζωή· σοὶ δὲ τῷ ἀϊδίῳ, καὶ αἰωνίῳ, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμὸς μία ἡμέρα παρείκασαι, μᾶλλον δὲ σμικρῷ μορίῳ νυκτός· φυλακὴν γὰρ νυκτερινὴν, τὸ τέταρτον μόριον ἐκάλεσε τῆς νυκτός· τετραχῇ γὰρ οἱ ταύτην φυλάττειν πεπιστευμένοι διῆρον· τετάρτη δὲ φυλακῇ καὶ ὁ Κύριος πρὸς τοὺς ἀποστόλους ἀφίκετο. ε'. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Ἐπὶ πλεῖον δὲ αὐτοὺς φησι ταύτῃ τῇ ταλαιπωρίᾳ συνέζευξας· σημαίνει δὲ κατὰ ταυτὸν, καὶ τὴν μετὰ τὸ πάθος τοῦ σωτῆρος ἡμῶν Ἰουδαίων ἀποβολὴν, καὶ τῆς θείας κηδεμονίας τὴν στέρησιν, οὐκ ἐπ' ὀλίγον

χρόνον, ἀλλ' ἐπὶ πλεῖσον ἐσομένην. Τὸ πρωΐ ὡσεὶ χλόη παρέλθοι. ε'. Τὸ πρωΐ ἀνθήσαι, καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη, καὶ ξηρανθείη. Εὐθὺς μὲν γὰρ Ἰουδαῖοι τῆς θείας ἐπιμελείας ἀξιωθέντες, καὶ ἤνθησαν καὶ ἐβλάστησαν, καὶ πολλὴν ἐκλήσαντο περιφάνειαν· ὥριμον δὲ καρπὸν τῷ γεωργῷ δοῦναι μὴ βουληθέντες, ἀλλὰ τὴν καρδίαν σκληρύναντες, παντελῶς ἐξηράνθησαν· τῆς γὰρ προτέρας ἀρδείας οὐκ ἔτι μετέλαχον· πρωΐ δὲ καλῶ, τὴν ἀρχὴν τῆς Ἰουδαίων ἐπιμελείας· ἑσπέραν δὲ, τῆς θείας κηδεμονίας τὴν παῦλαν. ταύτης δὲ μετὰ τὸν σαυρὸν ἐγυμνώθησαν, „ ὅτι τὸν κατὰ τὸ Θεῖον „ καὶ σωτῆρος ἀνέσησαν σαυρόν· τοῦτο „ γὰρ λέγει διὰ τῶν ἑξῆς. „ ζ'. Ὅτι ἐξελιπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σε ἐταράχθημεν. Καὶ Ἰουδαίοις ταῦτα, καὶ πᾶσιν ἀνθρώποις ἀρμόδια· καὶ γὰρ τῶν ἀνθρώπων ἡ Φύσις, παρανομίας τίνουσα δίκας, ὑπεβλήθη ταῖς συμφοραῖς, καὶ ταῖς παντοδαπαῖς περικλύζεται τρικυμίαις, καὶ Ἰουδαῖοι διὰ τὴν πονηρίαν τῆς γνώμης τῆς ἐλευθερίας ἐξέπεσον· „ ὡς καὶ πολλοὶ τῶν „ ἀνθρώπων διὰ τῆς ἀπιστίας βόθρον ἑαυ„ τοῖς ὤρυξαν· λάκκον γὰρ ὤρυξε καὶ „ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς „ βόθρον ὃν εἰργάσατο. „ η'. Ἔθετας ἀνομίας ἡμῶν ἐναντίον σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τῷ προσώπῳ σε. Ὁ δὲ Σύμμαχος οὕτως· προσέθηκας τὰς ἀνομίας ἡμῶν ἀντικρύς σου, τὰς ἀμελείας ἡμῶν φαίνεσθαι τῷ προσώπῳ σου· ταύτας ἡμᾶς ταῖς τιμωρίαις ἐξέδωκας, θεασάμενος ἡμᾶς τῶν μὲν σῶν ἀμελήσαντας νόμων, ἀνομίᾳ δὲ προσελομένους συζῆν. θ'. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Ἡ ἁμαρτία φησὶν ὀργὴν ἐκίνησε καθ' ἡμῶν, ἡ δὲ ὀργὴ τὴν τιμωρίαν ἐπήγαγεν, ἡ δὲ τιμωρία τὰς ὀδύνας ἐπήνεγκεν· ἐν ὀδύναις γὰρ τὸν ὀλίγον ἡμῶν διετελέσαμεν βίον. ι'. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων. Οὐδὲν βέβαιον, φησὶν, οὐδὲ σαθερὸν ἡ ἀνθρωπεία Φύσις ἔχει· δίκην ἀράχνης διασπᾶται ῥᾳδίως. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη· καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. ἔοικε ταῦτα τοῖς ὑπὸ τοῦ πατριάρχου Ἰακὼβ εἰρημένοις· αἱ ἡμέραι μου σμικραὶ καὶ πονηραὶ, οὐκ ἔφθασαν εἰς τὰς ἡμέρας τῶν πατέρων μου. εἰσὶ μὲν οὖν οἱ καὶ πλείονα τοῦ εἰρημένου διαβιοῦσι χρόνον, ἀλλ' ἐκεῖνο ἐπ' ὀλίγων συμβαίνει· τὸ δὲ κοινὸν, καὶ ὡς ἐπὶ πλεῖσον κρατοῦν, ἐνταῦθα διδάσκει. ὥσπερ γὰρ τῶν πρόωρον δεχομένων τὴν τελευτὴν ἐκ προοιμίου μνήμην, οὕτω καὶ τῶν σφόδρα γηρώντων τὸ μακρόβιον καταλέλοιπεν· ἀλλ' ὅμως, φησὶ, καὶ ὁ βραχὺς οὗτος χρόνος ὀδύνης καὶ πόνων ἐμπέπλησαι· „ καθάπερ καὶ τῶν ἀνδραποδισθέντων ἐκ „ τῆς Ἱερουσαλὴμ ὁ τῶν ὁ. ἐτῶν χρόνος „ ὃν ἐδούλευον τοῖς ἀνδραποδίσασιν καὶ„ τώδυνος καὶ λίαν ὀδυνηρὸς ἐγένετο· „ ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. ἰδοὺ γὰρ πόσοις περικλυζόμεθα κακοῖς διὰ τὴν σμικρὰν ὀργήν σου. πραότητα γὰρ ἐπελθοῦσαν αὐτοῖς τὴν μετρίαν τιμωρίαν ἐκάλεσεν.

ια'. Τίς

ια'. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου· καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου; Ὁ δὲ Σύμμαχος οὕτως· τίς οἶδε τὴν ἰσχὺν τῆ θυμοῦ σου, καὶ κατὰ τὸν φόβον σου τὴν ὀργήν σου; εἰ ἡ μετρία σου, φησὶν, ἀγανάκτησις τοσαύτην ἡμῖν παιδείαν ἐπήγαγε, τίς ἱκανὸς συνιδεῖν τὴν ἀπὸ τῆς ὀργῆς σου τιμωρίαν προσφερομένην; αἰνίττεται δὲ ὁ λόγος τὴν αἰώνιον κόλασιν. ιβ'. Ἐξαρίθμησαι τὴν δεξιάν σου οὕτως γνώρισόν μοι· καὶ τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἀπολαῦσαι, φησὶ, τῆς σῆς εὐεργεσίας ἀντιβολῶ, καὶ τῆς σῆς δεξιᾶς ἀριθμεῖν καὶ διηγεῖσθαι τὰ δῶρα, καὶ μιμεῖσθαι τὲς ὑπὸ τῆς σῆς χάριτος σοφισθέντας, οἱ τὲς ἄλλους πρὸς τὴν σὴν ποδηγοῦσιν ἐπίγνωσιν. ιγ'. Ἐπίστρεψον Κύριε· ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοὺς δέλους σε. Μὴ ἐπὶ πλεῖον Δέσποτα παρίδης ὀδυνωμένες, ἀλλὰ δέξαι τὴν ἱκετείαν, καὶ φιλανθρωπίας τὲς σὲς ἀξίωσον δέλες. ιδ'. Ἐνεπλήσθημεν τὸ πρωῒ τῆ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα, καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Ὁ χρόνος ἐνήλλαξαι παρὰ τοῖς ἑβδομήκοντα· ὁ γὰρ Ἀκύλας, καὶ οἱ ἄλλοι οὕτως εἰρήκασιν, ἔμπλησον ἡμᾶς ἐν πρωΐᾳ ἐλέες σε, καὶ αἰνέσομεν, καὶ εὐφρανθησόμεθα ἐν πάσαις ἡμέραις ἡμῶν, πρωΐαν καὶ ὄρθρον καλοῦσι τῶν συμφορῶν τὴν μεταβολήν· καὶ ἱκετεύουσιν ἐκεῖνο μὲν σκεδασθῆναι τὸ σκότος, ἀνατεῖλαι δὲ αὐτοῖς φῶς, ὃ διὰ τὴν οἰκείαν ἀρετὴν, ἀλλὰ διὰ τὸν θεῖον ἔλεον. τότε γάρ φησιν ἐσομένε, πάσης θυμηδίας ἐμφορηθέντες, τὴν προσήκεσαν ὑμνῳδίαν προσοίσομεν. ιε'. Εὐφράνθημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς· ἐτῶν, ὧν εἴδομεν κακά. Καὶ ἐνταῦθα ὁμοίως ὁ χρόνος ἐνήλλαξαι· ὁ Σύμμαχος γὰρ, καὶ οἱ λοιποὶ, εὐφρανον ἡμᾶς εἰρήκασι. παράσχε, φησὶν, εὐθυμίαν ἀντὶ τῆς ἀθυμίας, καὶ χάρισαι τῆς ἐπικειμένης ἡμῖν δυσκληρίας μεταβολήν. ις'. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σε. Καὶ ἐντεῦθεν δῆλον, ὅτι ἐχ ὡς γεγενημένα ταῦτα εἰρήκασιν, ἀλλ' ὡς ἐσόμενα. οὐ γὰρ εἶπον, εἶδες ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου. σὰ γάρ φησιν ἡμεῖς ποιήματα, καὶ τῆς σῆς ὑπάρχομεν δεσποτείας οἰκέται· διὸ τῆς σῆς προνοίας ἀντιβολῶμεν τυχεῖν. καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. τουτέςι τοὺς δούλους σε· οἵ τε γὰρ ἐν Βαβυλῶνι τὴν ἱκετείαν προσφέροντες ἀντιβολῶσι τὸν Θεὸν τῶν τετελευτηκότων αὐτῆ δέλων ἐπαναγαγεῖν τὲς υἱὲς, καὶ ἡ ἀνθρωπεία φύσις ὁδηγηθῆναι πρὸς τὴν ἀλήθειαν παρακαλεῖ τοὺς εὑρισκομένες ἀνθρώπους ἐν τῇ τῆ σωτῆρος ἡμῶν ἐπιφανείᾳ. ιζ'. Καὶ ἔσω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. „ λαμπρότητα τὴν ἐνανθρώπησιν τοῦ „ Θεῆ λόγε καλεῖ· τότε γὰρ „ καὶ ἡμᾶς λαμπρὲς καὶ περιφανεῖς ἀπέφηνε τῆς θεογνωσίας τὸ φῶς· „ περὶ γὰρ „ τότε ὁ τῆς βροντῆς υἱὸς ἔφησε· τὸ „ φῶς ἐν τῇ σκοτείᾳ φαίνει. „ καὶ Ἰουδαῖοι μετὰ τὴν ἐπάνοδον περίβλεπτοι πάλιν ἐγένοντο. καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς· καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. καλῶς ἐφ' ἡμᾶς ἡ προσθήκη· ἡμέ-

κη· ἡμέτερον γὰρ τῆς δικαιοσύνης τὸ κέρδος· καὶ ὁ μὲν Θεὸς συνεργεῖ τοῖς τῆς ἀρετῆς ἐρασταῖς, καὶ τὰ ταύτης συγκατορθοῖ, τὸν δὲ τέτων καρπὸν οἱ σπείροντες δρέπονται. ὁ γὰρ Θεὸς ἀνενδεής· χαίρει δὲ ὅμως τῇ τῶν ἀνθρώπων εὐκληρίᾳ τε καὶ εὐπραξίᾳ. „ὅτ' ἂν ὅλους „ἑαυτοὺς αὐτῷ θυσίαν προσκομίζω„σι· καθάπερ Παῦλος ἐκπαιδεύει· πα„ρακαλῶν δὲ ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τῦ „Θεῦ, παραστῆσαι τὰ σώματα ὑμῶν „θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, „τὴν λογικὴν λατρείαν ὑμῶν. ἀμήν.„

ΕΡΜΗΝ. ΤΟΥ ϟ'. ΨΑΛΜΟΥ.

Ἄνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Ἀνεπίγραφος μὲν ὁ ψαλμὸς, διδάσκει δὲ τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον· ὁ γὰρ μακάριος Δαβὶδ πνευματικοῖς ὀφθαλμοῖς τὰ κατὰ τὸν μακάριον Ἐζεκίαν πόρρωθεν θεασάμενος, καὶ ἰδὼν ὅπως εἰς Θεὸν ἐλπίσας τὴν Ἀσσυρίων κατέλυσε στρατείαν, τοῦτον εἴρηκε τὸν ψαλμὸν, πάντας διδάσκων ἀνθρώπες, ὅσην ἀγαθῶν ἔχει φορὰν τὸ πεποιθέναι Θεῷ. „ἦν ἕκαστος διὰ ταύτης πο„δηγούμενος τῆς ᾠδῆς τὸν ἑαυτοῦ „βίον ἀσφαλιζόμενος καὶ τὴν ἑαυτοῦ „πεποίθησιν ἔχων πρὸς τὸν σωτῆρα „ἀντιβολεῖ. „ ϛ'. Ὁ κατοικῶν ἐν βοηθείᾳ τῇ Ὑψίςε, ἐν σκέπῃ τῦ Θεῦ τῦ οὐρανῦ αὐλισθήσεται. Ὁ τῇ θείᾳ, φησὶ, κηδεμονίᾳ θαῤῥῶν, τῆς παρὰ τῦ Θεῦ τῦ οὐρανῦ φυλακῆς ἀπολαύσεται, καὶ τέτον ἕξει περίβολον ὀχυρὸν, καὶ ἀσφάλειαν ἄσυλον. „ὅτε δὲ Φο„ρέσειε τὸν θυρεὸν τέτον καὶ ὑπ' αὐτῦ „βοηθέμενος ἄτρωτος φυλαχθείη· τό„τε ἐρεῖ· „ β'. Ἐρεῖ τῷ Θεῷ, ἀντιλήπτωρ με εἶ, καὶ καταφυγή με· ὁ Θεός με, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Βεβαίαν γὰρ ἔχων τὴν εἰς αὐτὸν ἐλπίδα, καὶ προσάτην καλέσει, καὶ κηδεμόνα, καὶ περίβολον ἀκατάλυτον. γ'. Ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐντεῦθεν λοιπὸν πρὸς αὐτὸν ποιεῖται τὸν πεπιστευκότα τὸς λόγος, καὶ παραθαῤῥύνει λέγων, ὡς ἐ μόνον προφανῶν αὐτὸν πολεμίων ἀποφαίνει κρείττονα, ἀλλὰ καὶ τῶν ἐνεδρευόντων, καὶ λοχώντων, καὶ λάθρα τυρευόντων τὴν ἐπιβελήν. διὰ μὲν γὰρ τῆς παγίδος τὰς λαθραίας ἐπιβελὰς παρεδήλωσε. τὸν δὲ ταραχώδη λόγον ἐπηρείας λόγον ὁ Σύμμαχος εἴρηκε· τοιοῦτοι δὲ οἱ ψεῦδος καὶ συκοφαντίας ῥάπλοντες· ἀλλ' ὅμως καὶ τέτων κρείττες ἐγένοντο διὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος πολλοί. ἔτως ὁ μέγας Ἰωσὴφ, μοιχείας ὑπομείνας συκοφαντίαν, τὲς ταύτης παγίδας ἀπέφυγεν· ἔτως ἡ θαυμασία Σεσάννα τῆς ἄνωθεν ἐπικουρίας ἀπήλαυσεν. „καὶ οὐ μόνον, „ἀλλὰ καὶ μέχρι τῦ παρόντος μυριά„δας ἀναριθμήτες καὶ ἠκέσαμεν καὶ „ἔγνωμεν σωθείσας.„ δ'. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Πρόμαχος γάρ σε γενήσεται, καὶ καλύψει σε πολεμέμενον. τέθεικε δὲ τῦτο ἐκ μεταφορᾶς τῶν πρώτων ἐν πολέμοις ἑξώτων, καὶ τοῖς μεταφρένοις καλυπτόντων τὲς ὄπισθεν· πτέρυγας δὲ καλεῖ τῆς προνοίας τὰς ἐνεργείας· τέθεικε δὲ τῦτο τῇ τῶν ὀρνίθων εἰκόνι χρησάμενος· καὶ γὰρ

γὰρ ἐκεῖνοι τοῖς πτεροῖς τοὺς νεοττοὺς συγκαλύπτουσιν. οὕτως ὁ μακάριος Μωσῆς τὴν τῦ Θεῦ κηδεμονίαν ἐκάλεσε· διεφύλαξεν αὐτὲς φησιν ὡς κόρην ὀφθαλμῦ, ὡς ἀετὸς, σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε. διεὶς τὰς πτέρυγας αὐτῦ ἐδέξατο αὐτὲς, καὶ ἀνέλαβεν αὐτὲς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· τοῦτο καὶ ὁ Δεσπότης πρὸς τὴν Ἱερσαλὴμ ἔφη· ποσάκις ἐθέλησα συναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νεοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε; ε'. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Ἐπειδὴ λόγου παραχώδες καὶ ψεύδες ἐμνημόνευσεν ἄνω, εἰκότως ἐνταῦθα ὑπέσχετο παιοπλίαν αὐτοῦ γενέσθαι τὴν ἀλήθειαν. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλες πετομένου ἡμέρας. ϛ'. Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίε μεσημβρινοῦ. Οὐ μόνων δὲ τῶν αἰσθητῶν, ἀλλὰ καὶ τῶν νοητῶν περιγενήσῃ δυσμενῶν διὰ τῆς θείας ἐλπίδος, καὶ διαφεύξῃ καὶ τὰς νύκτωρ ἐπιούσας ἐπιβουλὰς, καὶ τὰς μεθ' ἡμέραν γενομένας παρὰ τῶν ἐχθρῶν προσβολὰς, καὶ θάρσος ἔχων, ἅτε δὴ ὑπὸ τῦ Θεῦ φρεμένος, ἐξελάσεις τὸ δέος, καὶ οὔτε μεσούσης ἡμέρας ἀγωνιάσεις, ἀλλὰ τὰς τῶν δαιμόνων ἐπιβελὰς διαφεύσεις, τῆς ἄνωθεν ἐπικουρίας μεταλαγχάνων. δαιμόνιον δὲ μεσημβρινὸν κατὰ τὴν παρὰ τοῖς πολλοῖς κατέχουσαν τέθεικε δόξαν· εἰκὸς δὲ καὶ τὰς τῶν ἀνθρώπων ἐπιβέλες, μετὰ τροφὴν καὶ τὸν κόρον, ὡς ἐφ' ἕτοιμον θήραμα τρέχειν, καὶ τοὺς ἐρήμες τῆς ἄνωθεν κηδεμονίας καταδελῶσθαι ῥαδίως. ζ'. Πεσεῖται ἐκ τῦ κλίτες σε χιλιὰς· καὶ μυριὰς ἐκ δεξιῶν σου· πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. η'. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ἀντὶ τοῦ κλίτους σου· ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας, ἐκ πλαγίου τεθείκασιν. λέγει δὲ, ὅτι κἂν ἐκ δεξιῶν σου, κἂν ἐξ εὐωνύμων σου, πλῆθος ἄπειρον ἐξέλθῃ, σοὶ μὲν εὐδαιμία προσγίνεται λώβη, ὄψῃ δὲ ἐκείνες θείᾳ καταβαλλομένες πληγῇ. τῦτο καὶ ἐπὶ τῦ Ἐζεκίε γεγένηται· ὀκτωκαίδεκα γὰρ μυριάδες, καὶ πέντε χιλιάδες τῶν Ἀσσυρίων κατηκοντίσθησαν πολεμικῶν ὀργάνων χωρὶς. οὕτως ἐπὶ τῦ Γεδεὼν, οὕτως ἐπὶ τοῦ Ἰωνάθαν, καὶ μέντοι καὶ ἐπὶ τῦ Ἰωσαφὰτ, καὶ ἐπὶ τῦ προφήτε Ἐλισσαίε αὐτὸ τῦτο γεγένηται. θ'. Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σε. Ταύτης δὲ φησι τῆς προμηθείας ἀπολαύσας, τῇ εἰς Θεὸν ἐλπίδι χρησάμενος, καὶ τοῦτον καταφυγὴν ποησάμενος· ἐλλείπει γὰρ τῇ συνθήκῃ τῦ λόγε τὸ εἶπας σὺ Κύριε ἡ ἐλπίς μου· ἰδίωμα γὰρ τοῦτο τῆς προφητικῆς συγγραφῆς, διαφερόντως δὲ τῶν ψαλμῶν· ἀλλ' ὅμως ἡ ἀκολθία δῆλον ποιεῖ τὸ ἀμφίβολον. ἐπειδὴ γάρ φησιν ἐλπίζεις εἰς τὸν Θεὸν, καὶ εἰς ἐπικουρίαν αὐτὸν καλεῖς, τῆς παρ' αὐτοῦ κηδεμονίας τυγχάνεις. ι'. Οὐ προσελεύσεταί πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Κρειττων ἔση τῶν διαβολικῶν προσβολῶν, καὶ βλάβην ἐκεῖθεν ἐ δέξῃ· ἔτως ἡ θεία χάρις τὴν τοῦ Ἰωβ περιέφρατ-

τεν οἰκίαν· καὶ μάρτυς ὁ πολέμιος βοῶν, οὐ σὺ περιέφραξας τὰ ἔσωθεν, καὶ τὰ ἔξωθεν τῆς οἰκίας αὐτοῦ; ἐπειδὴ δὲ συνεχώρησε, κἀκεῖνος τὴν οἰκείαν ἔδειξε πονηρίαν, καὶ ὁ δίκαιος κριτὴς τὸν νικηφόρον ἐξεφάνωσεν ἀθλητήν. ια'. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Τοῦτο καὶ ἐν τῷ ΛΓ' ἔφη ψαλμῷ· παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς· ἠκούσαμεν δὲ καὶ Ἰακὼβ τῷ πατριάρχῃ λέγοντος, ὁ ἄγγελος ὁ ῥυσάμενός με ἐκ πάντων τῶν κακῶν. καὶ ὁ μέγας Ἀβραὰμ τὸν οἰκέτην παραθαῤῥύνων ἔφη, ὁ Θεὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, καὶ λήψῃ γυναῖκα Ἰσαὰκ τῷ υἱῷ μου ἐκεῖθεν. πανταχόθεν τοίνυν μανθάνομεν, ὡς δι' ἀγγέλων φρουρεῖ τοὺς εἰς αὐτὸν πεποιθότας ὁ τῶν ὅλων Θεός. ιβ'. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Τῆς παντοδαπῆς παρ' αὐτῶν ἀπολαύσεις προνοίας, ἵνα μηδὲ βραχεῖα σου ποδὶ προσγένηται βλάβη· τὸ σμικρὸν γὰρ τῆς βλάβης, διὰ τοῦ προσπταῖσαι τῷ λίθῳ δεδήλωκε. τὸ δὲ, ἐπὶ χειρῶν ἀροῦσί σε, ἀντὶ τοῦ χειραγωγήσουσι, ποδηγήσουσι, παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν. ιγ'. Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Τῶν δυνατωτάτων καὶ πικροτάτων ἐμνήσθη θηρίων, τὴν κατὰ παντὸς εἴδους πονηρίας ἐπικράτειαν δηλῶσαι θελήσας. διὰ μὲν γὰρ τοῦ λέοντος καὶ τοῦ δράκοντος τὴν ἰσχὺν ἐσήμανε· δυνατὰ γὰρ ταῦτα κομιδῇ τὰ θηρία. διὰ δὲ τῆς ἀσπίδος καὶ τοῦ βασιλίσκου, τὴν ἄκραν πονηρίαν ἐνίξατο· ἡ μὲν γὰρ ἐνίοις θανατηφόρον ἰὸν, ὁ δὲ καὶ τῇ θέᾳ λώβην ἐργάζεται. καὶ αὐτῶν μέντοι τῶν θηρίων κρείττους ἐγένοντο πολλοὶ πεπιστευκότες Θεῷ· οὕτως ὁ θαυμάσιος Δανιὴλ τὰ τῶν λεόντων ἐπέδησε σώματα· οὕτως ὁ θεσπέσιος Παῦλος τὴν ἀπὸ τῆς ἐχίδνης οὐκ ἐδέξατο βλάβην· „ καὶ ἵνα συντόμως „ εἴπω, ἐπὶ τὰ παλαιὰ ἀναδραμοῦμεν· „ οὕτως ὁ Νῶε τοῖς θηρίοις συνδιαιτώμενος ἀλύμαντος διεσώθη· ἕτω μυρίοι τὸν ἐρημικὸν ἀσπασάμενοι βίον, καὶ θηρίοις συμβιοτεύοντες διὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος τῆς τέτων περιγίνονται λύμης. ιδ'. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. ιε'. Κεκράξεταί πρός με, καὶ ἐπακούσομαι αὐτοῦ. Ταῦτα λοιπὸν ὁ τῶν ὅλων ἔφη Θεὸς, διδάσκων, τίς ὁ τῆς ἐλπίδος καρπός· ῥύσομαι γὰρ αὐτόν φησιν ἐκ τῶν εἰρημένων ὁρατῶν τε καὶ ἀοράτων ἐπιβούλων, τῇ ἐμῇ ἐλπίδι φραξάμενον· διὰ τοῦτο αὐτὸν φρουρήσω τε καὶ σκεπάσω, καὶ λαλοῦντος ἀκούσομαι, καὶ τὴν δέησιν δέξομαι. μετ' αὐτοῦ εἰμι ἐν θλίψει· κἂν τινι πειρασμῷ περιπέσῃ, συνέσομαι, καὶ τὴν ἀρκοῦσαν προσοίσω παραψυχήν. ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. οὐ μόνον δὲ αὐτὸν ἐλευθερώσω τῶν λυπηρῶν, ἀλλὰ καὶ περίβλεπτον ἀπεργάσομαι. ις'. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Παρέξω δὲ αὐτῷ καὶ τὸ εἰς γῆρας ἐλάσαι βαθὺ, καὶ τὴν ἐσομένην αὐτῷ κατὰ

τὸν

τὸν μέλλοντα βίον σωτηρίαν προδείξω· τούτων καὶ ὁ μακάριος ἀπήλαυσεν Ἐζεκίας· προθήκην γὰρ αἰτήσας ζωῆς, πέντε καὶ δέκα ἐτῶν ἔλαβεν ἀριθμόν· πολλὴν δὲ καὶ ἐκ τῆς τῶν Ἀσσυρίων ἀπωλείας ἐκτήσατο περιφάνειαν· καὶ λίαν αὐτῷ ἁρμόττει τὸ ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. ἀλλὰ καὶ ἅπαντες οἱ εἰς τὸν Θεὸν ἠλπικότες παντοδαπῶν ἀπολαύσουσιν ἀγαθῶν· ὡς καὶ αἱ παλαιαὶ διδάσκουσιν ἱστορίαι, καὶ τὰ νῦν ὁρώμενα μαρτυρεῖ.

ΕΡΜΗΝ. ΤΟΥ ϟά ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ σαββάτου. Τὸ σάββατον ἀργίαν ἐνομοθέτει, ἀλλ' οὐ πᾶσαν ἀργίαν· τὴν γὰρ πνευματικὴν ἐργασίαν πολλαπλασίαν ἐποίει· εὐχαῖς γὰρ καὶ ὕμνοις προσεδρεύειν ἐκέλευσε, καὶ τῷ Θεῷ διπλᾶς ἱερεύειν θυσίας· τῶν σωματικῶν τοίνυν πόνων παῦλαν ἔχειν ὁ περὶ τοῦ ἰσαββάτου διηγόρευσε νόμος. ἐπεὶ τοίνυν καὶ ὁ μέλλων βίος τῶν τοιούτων ἐστὶ φροντίδων ἐλεύθερος, εἰκότως κατάπαυσις προσηγόρευται· διάτοι τοῦτο καὶ ὁ μακάριος Παῦλος βοᾷ· σπεύδωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ· καὶ πάλιν· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. ἐπειδὴ τοίνυν ὁ ψαλμὸς τῶν δικαίων τὴν τιμὴν, καὶ τῶν ἀδίκων προλέγει τὴν τιμωρίαν, ἐν ἐκείνῃ δὲ τῇ καταπαύσει ταῦτα γενήσεται, εἰκότως ταύτην ἐδέξατο τὴν ἐπιγραφήν. β'. Ἀγαθὸν ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε. γ'. Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σε, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Ἐπωφελὲς φησι καὶ κερδαλέον τὸ νύκτωρ καὶ μεθ' ἡμέραν σὲ τὸν εὐεργέτην ὑμνεῖν, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι, τὴν περὶ ἡμᾶς φιλανθρωπίαν, τὴν κατὰ τῶν ἀδικούντων ἀλήθειαν. ἐκείνους μὲν γὰρ ἀληθείᾳ χρώμενος κολάζεις ἐνδίκως, ἡμᾶς δὲ τὴν σὴν ἐπίγνωσιν ἔχοντας προμηθείας ἀξιοῖς. δ'. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ. Τοιούτοις ὀργάνοις εἰώθασι τὸν Θεὸν ὑμνεῖν· λέγει τοίνυν, ὅτι καὶ ἐν τοῖς νενομισμένοις ἀνακρουομένοις ὀργάνοις, καὶ τῇ τῆς γλώττης μελῳδίᾳ χρωμένους, δίκαιόν σοι προσφέρειν τὸν χαριστήριον ὕμνον. ε'. Ὅτι ἠὔφρανάς με Κύριε ἐν τῷ ποιήματί σε, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σε ἀγαλλιάσομαι. Ὁρῶν γάρ σε τὰς δημιουργίας, καὶ τὰς ἀῤῥήτους οἰκονομίας, ἀγάλλομαί τε καὶ γάννυμαι, καὶ τῇ τῆς ψυχῆς ἡδονῇ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κινῶ. ς'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ λογισμοί σου. Ὁ δὲ Σύμμαχος οὕτως· σφόδρα βαθεῖς οἱ διαλογισμοί σε· Ἀκύλας δὲ καὶ Θεοδοτίων, ἐβαθύνθησαν· τὰ μὲν γὰρ ἔργα σου, φησὶ, μεγάλα καὶ θαυμαστά· τὸ γὰρ ὡς ἐπιτατικῶς τέθεικεν· ἡ δὲ σοφία σε ἀνέφικτον ἔχει τὸ βάθος· ποῖος γὰρ νοῦς ἱκανὸς ἐξετάσαι τῆς σῆς προνοίας τὸς λόγους; ἀλλ' ἡμεῖς μὲν τοῦτο καὶ τοὺς ἀγνοοῦντας διδάσκομεν· οἱ δὲ φρενῶν ἐξερημένοι, καὶ τὸ λογικὸν ἀπολέσαντες, οὔτε συνιδεῖν ἐθέλουσιν, οὔτε μαθεῖν παρ' ἑτέρων ἀνέχονται· ταῦτα γὰρ ἐπιφέρει. ζ'. Ἀνὴρ ἄφρων οὐ γνώ-

γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. Διαφόρως ταῦτα εἴρηκεν· ὅτι ὁ τὰς φρένας νοσῶν, καὶ συνέσεως ἔρημος, τούτων οὐδὲν γινώσκει, οὔτε μὴν ἀκοῦσαι βούλεταί τι περὶ τούτων. ή. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλὲς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τὸ διέκυψαν, ἤνθησαν ὁ Ἀκύλας εἴρηκεν· οὕτω δὲ καὶ ὁ Σύμμαχος. οὐκ ἠβουλήθησαν συνιέναι οἱ ἄφρονες, ὅτι ὁμοίως χόρτῳ ἤνθησαν, καὶ χλόη παραπλησίως ἀπὸ τῆς γῆς διέκυψαν οἱ τῆς ἀνομίας ἐργάται, καὶ τὸν ὀλεθρον τὸν αἰώνιον μετὰ τὴν παροῦσαν εὐημερίαν κομίσονται. ζηλωτοὺς δὲ αὐτοὺς, καὶ μακαρίους καλέσαντες ὄψονται συντόμως ἑαυτῶν τὸ τρισάθλιον τέλος. θ. Σὺ δὲ ὕψισος εἰς τὸν αἰῶνα Κύριε. ί. Ὅτι ἰδοὺ οἱ ἐχθροί σε Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σε ἀπολοῦνται· καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Ἐκεῖνοι μὲν γὰρ χόρτῳ παραπλησίως μαραίνονταί τε, καὶ φθείρονται· σὺ δὲ κατὰ πάντων ἔχεις τὸ κράτος, πάντων ὑπέρτερος ὤν, καὶ τιμωρίαις ὑποβάλλων τοὺς παραπληξίας κατεχομένους. ιά. Καὶ ὑψωθήσεταί ὡς μονοκέρωτος τὸ κέρας μου. Ἡμεῖς δὲ οἱ τὴν σὴν ἐπίγνωσιν ἔχοντες, τὴν τῶν ἐχθρῶν σου κατάλυσιν θεασάμενοι γαυριάσομεν ἐπὶ σοὶ, καὶ μεγεφρονήσομεν· ἅτε δὴ τῆς πολυθέου πλάνης ἀπηλλαγμένοι, καὶ σὲ τὸν ὄντως ὄντα προσκυνοῦντες Θεόν, „ τὸ κέρας „ τοῦ σταυροῦ ὅπλον κατὰ παθῶν καὶ „ δαιμόνων δεξάμενοι· „ τὸν γὰρ μονόκερων πάλιν ἐνταῦθα παρήγαγεν, ἵνα διὰ τῆς ἑνὸς κέρατος τὸν ἕνα παραδηλώσῃ Θεόν. ὥσπερ γὰρ ἐκεῖνο τὸ ζῶον ἓν ἔλαβε παρὰ τῆς φύσεως κέρας, οὕτω τῆς εὐσεβείας οἱ τρόφιμοι μίαν προσκυνοῦσι θεότητα. Καὶ τὸ γῆρας μου ἐν ἐλαίῳ πίονι. Ὁ δὲ Σύμμαχος οὕτως· ἡ παλαίωσίς μου, ὡς ἐλαία εὐθαλής· ἀνθήσω γὰρ, καὶ τὸ γῆρας ἀποθήσομαι, ἐλαίαν τεθηλυῖαν μιμήσομαι, καὶ κατὰ τοὺς ἑβδομήκοντα οἷόν τινι ἐλαίῳ πιανθήσομαι τῇ θυμηδίᾳ. ιβ. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου· καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου. Τὸ ἐπεῖδε καὶ ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων, καὶ αὐτὸς ὁ Ἑβραῖος ἐπόψεται εἴρηκε· μελλόντων γὰρ προρρήσεις τὰ λεγόμενα· ἀλλὰ συνήθως οἱ ἑβδομήκοντα, ὡς γεγενημένα τὰ ἐσόμενα ἡρμήνευσαν· τὸ ἀναντίρρητον τῆς προρρήσεως καὶ ἐν τούτῳ δηλοῦντες. ὥσπερ γὰρ ἀδύνατον τὰ γεγενημένα μὴ γεγενῆθαι· οὕτως ἀδύνατον τὴν τῶ πνεύματος πρόρρησιν ἀπέραντον διαμεῖναι· λέγει τοίνυν, ὅτι οὐ μόνον ὄψομαι τῶν ἀδίκων τὸ ἐπώδυνον τέλος, ἀλλὰ καὶ ἀκούσομαι πάντων τοῦτο διαγγελλόντων, καὶ θαυμαζόντων τῆς τιμωρίας τὸ δίκαιον· οὕτω μέν τοι διαιρεῖται· καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις· ἐνταῦθα δεῖ ὑποσίζαι, εἶτα ἐπαγαγεῖν, ἀκούσεται τὸ οὖς μου· τῶν παρανεμίας συζώντων, καὶ μυρία μοι τυρευόντων κακὰ τὸν ὀλεθρον πολλῶν διηγουμένων ἀκούσομαι. ιγ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λι-

βάνῳ

βάνω πληθυνθήσεται. Οἱ μὲν ἓν ἁμαρτωλοὶ, χόρτῳ παραπλησίως ἀνθήσαντες, συντόμως ἀπέσβησάν τε καὶ διεφθάρησαν· ὁ δὲ δίκαιος τῆς μὲν κέδρου τὸ βασὺ, καὶ θερμὸν, καὶ θρέψιμον, τοῦ δὲ φοίνικος μιμήσεται τὸ ὑψικομόν τε καὶ κάρπιμον· διαρκεῖ δὲ ἀμφότερα καὶ ἐπὶ πλεῖστον διαμένοντα χρόνον, χρόνε δὲ καὶ εἰς αὔξησιν δεῖται. τοιαύτη καὶ ἡ τῆς ἀρετῆς φυτουργία, πόνῳ πολλῷ καὶ χρόνῳ φυομένη, ἀλλ' εἰς ὕψος αἰρομένη, ὥριμόν τε καὶ ἥδιστον φέρουσα τὸν καρπὸν, καὶ σκέπην ἱκανὴν τῷ κεκτημένῳ παρέχουσα. „ὡς ἐν θείῳ παραδείσῳ καταφυτευέ„ται ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τοῦτο γὰρ διὰ „τῶν ἑξῆς σαφέστερον λέγει τῷ εἰπεῖν„, ιδ'. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου· ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν. Οὗτοι δέ φησιν οἱ τούτοις ἀπεικασμένοι τοῖς δένδροις φυτουργὸν μὲν ἔχουσι τὸν Θεὸν, παράδεισον δὲ τὸν θεῖον νεών. ιε'. Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται. ις'. Τοῦ ἀναγγεῖλαι ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Ὁ δὲ Σύμμαχος οὕτως· ἔτι καρποφορήσουσι γηρῶντες. πίονες καὶ εὐθαλεῖς ἔσονται, ἀπαγγέλλοντες ὅτι ὀρθὸς Κύριος ὁ περιφράσσων με· καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. ἐν τῷ μέλλοντι γὰρ βίῳ τὴν ἐπηγγελμένην ἀπολαμβάνοντες τελειότητα, πλείονά τε καὶ πίονα προσοίσουσι τῷ Θεῷ τὸν καρπὸν, τὴν δικαίαν αὐτοῦ ψῆφον ὑμνοῦντες· τὴν γὰρ νῦν κεκρυμμένην οἰκονομίαν τηνικαῦτα φανερουμένην ὁρῶντες, καὶ τὴν σοφίαν θαυμάσουσι, καὶ τὸ δίκαιον ἀνυμνήσουσι· γῆρας μέντοι τὴν τελειότητα κέκληκε· τέλειον γὰρ καὶ ἡμεῖς τὸν γεγηρακότα καλοῦμεν, ἀτελῆ δὲ τὸν νέον. διὰ τοῦ γήρους τοίνυν τὴν μέλλουσαν παρεδήλωσε τελειότητα, ἐν ᾗ φυήσεται πολυαπλάσιος ὁ τῆς δικαιοσύνης καρπὸς, καὶ τοῦ Θεοῦ τὸ δίκαιον δῆλον πᾶσι γενήσεται.

ΕΡΜΗΝ. ΤΟΥ λβ' ΨΑΛΜΟΥ.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Τὸ ἀνεπίγραφος παρ' Ἑβραίοις ἐκ ἔστιν ἐν τῇ ἑξαπλῷ, οὔτε παρ' Εὐσεβίῳ. τὴν τῶν ἀνθρώπων μεταβολὴν ὁ ψαλμὸς προθεσπίζει· ὁ Θεὸς γὰρ ἄτρεπτός τε καὶ ἀναλλοίωτος, ἀεὶ ὡσαύτως καὶ καθὰ τὰ αὐτὰ ἔχων. ὃ γὰρ νῦν μὲν βασιλεύει, νῦν δὲ βασιλείαν ἐκ ἔχει· ἀλλὰ φύσει μέν ἐστιν ἀεὶ βασιλεὺς, ἐκ ἀεὶ δὲ τοῦτο δῆλον τοῖς ἀνθρώποις γεγένηται. ἐπὶ πλεῖστον γὰρ χρόνον οἱ πλείους αὐτὸν ἀγνοήσαντες, τὴν τῷ Θεῷ προσήκουσαν θεραπείαν τοῖς εἰδώλοις προσήνεγκαν· μετὰ δὲ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, δίκην φωτὸς εἰς πᾶσαν τὴν οἰκουμένην ἡ θεογνωσία διέδραμεν. „αὐτὸς γάρ ἐστι τὸ φῶς τὸ ἀληθινὸν, „ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον „εἰς τὸν κόσμον· διὰ δὴ ταῦτά φησιν ὁ „προφητικὸς νοῦς προθεωρῶν„, α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐπειδὴ γὰρ τὸ πάθος σκυθρωπὸν ὤφθη τοῖς τὸν ἐντεῦθεν φυόμενον καρπὸν ἐπιζαμένοις, ὡς βοᾶν τὸν προφήτην, καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς

τῶν ἀνθρώπων· μετὰ δὲ τὴν „ἐκ παρ-
„θένου γέννησιν καὶ τὸν ἑκούσιον σταυρὸν
„καὶ τὴν „ εἰς οὐρανοὺς ἄνοδον, τὰς
θεοπρεπεῖς ἀφῆκεν ἀκτῖνας· εἰκότως ὁ
προφήτης βοᾷ, ὁ Κύριος ἐβασίλευσεν,
εὐπρέπειαν ἐνεδύσατο· οὐ γὰρ ἃ μὴ
εἶχεν ἔλαβεν, ἀλλ' ἅπερ εἶχεν ὑπέδει-
ξεν. οὕτω καὶ πρὸς τὸν οἰκεῖον πατέρα
φησὶν, „ Πάτερ „ δόξασόν με ἐν τῇ
δόξῃ, ἣν εἶχον παρά σοι, πρὸ τοῦ τὸν
κόσμον γενέσθαι. „οὐκ ἄδοξος μετὰ
„τὴν ἐνανθρώπησιν· ἀλλ' ἵνα μαρτυρη-
„θῇ τὸ οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπη-
„τός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε.„
ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιε-
ζώσατο. ὅτι Χριστὸς Θεοῦ δύναμις,
καὶ Θεοῦ σοφία, σαφῶς ἡμᾶς ὁ θεῖος
Παῦλος ἐδίδαξε· τοιγαροῦν οὐχ ἑτέρω-
θεν ποθὲν ἐδέξατο δύναμιν, ἣν μὴ πρό-
τερον εἶχεν, ἀλλὰ τῇ οἰκείᾳ δυνάμει κα-
τὰ τῶν πολεμίων ἐχρήσατο· σχηματίζει
δὲ αὐτὸν ὁ προφητικὸς λόγος, οἷον τινα
βασιλέα βασιλικὴν πανοπλίαν περι-
βαλλόμενον, καὶ ζώνῃ χρώμενον, καὶ κα-
τὰ τῶν πολεμίων ἀγωνιζόμενον· εἶτα
δείκνυσι τὰ ἐντεῦθεν γινόμενα κατορθώματα. καὶ γὰρ ἐσερέωσε τὴν
οἰκουμένην, ἥ τις οὐ σαλευθήσεται.
ἑδραίαν, φησὶ, τὴν οἰκουμένην ἀπέφηνε,
καὶ σεβρᾶν, τὸ βέβαιον τῆς θείας γνώ-
σεως ἔχουσαν, καὶ τῆς τοῦ ψεύδους πλά-
νης ἀπηλλαγμένην· οὐκέτι γὰρ οἱ ἄν-
θρωποι, νῦν μὲν τούτους, νῦν δὲ ἐκείνους
τοὺς θεοὺς προσκυνοῦσιν, ἀλλὰ τῷ ἀλη-
θινῷ Θεῷ τὸ σέβας προσφέρουσιν.
β'. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀ-
πὸ τοῦ αἰῶνος σὺ εἶ. Οὐ νῦν, φησὶ,
τῆς βασιλείας ἐδέξω χειροτονίαν,
ἀλλ' ἀΐδιον ἔχεις τὸ κράτος, καὶ τὴν βα-
σιλείαν αἰώνιον· καὶ περὶ μὲν τῆς βα-
σιλείας, καὶ ἐν τῷ Μ' καὶ Δ' ἔφη ψαλ-
μῷ· ὁ θρόνος σε ὁ Θεὸς εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος· τὸ δὲ ἀναλλοίωτον αὐτοῦ,
καὶ ἄτρεπτον, ἐν τῷ ΡΑ' ψαλμῷ, πάλιν
ἡμᾶς ἐδίδαξε· σὺ γὰρ αὐτὸς εἶ, φησὶ,
καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. „εἰ
„γὰρ καὶ ἄνθρωπος ἐγένου, οὐκ ἐνδεὴς
„τῆς θεότητος, οὐδὲ τοῦ Πατρὸς ἢ τοῦ
„παναγίου πνεύματος ἐχωρίσθης· μία
„γὰρ οὐσία τῆς ἀχρόντου τριάδος· μία
„βασιλεία, μία κυριότης.„ ἀμφοτέρας
μέντοι τὰς μαρτυρίας ὁ μακάριος
Παῦλος προσήρμοσε τῷ δεσπότῃ Χρι-
στῷ. γ'. Ἐπῆραν οἱ ποταμοὶ Κύριε,
ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀ-
ροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.
Ποταμοὺς τοὺς ἱεροὺς ἀποστόλους καλεῖ,
καὶ τοὺς μετ' ἐκείνους δεξαμένους τὸ
κήρυγμα· οὗτοι γὰρ ποταμῶν δίκην
ἅπασαν ἀνθρώποις τὴν ἀρδείαν προσ-
ήνεγκαν οὕτως αὐτοὺς καὶ ὁ μακά-
ριος προσηγόρευσεν Ἀββακούμ· ποτα-
μῶν βαγήσεται γῆ, τουτέστι διαιρεθή-
σεται, καὶ τὴν ἀρδείαν δέξεται· ἔτω καὶ
ὁ Κύριος ἔφη, ὁ πιστεύων εἰς ἐμὲ, καθὼς
εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας
αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· οὗτοι
τοίνυν οἱ ποταμοὶ ἐπῆραν αὐτῶν τὴν φω-
νὴν, τὰ θεῖα κηρύττοντες δόγματα,
καὶ τὰς οἰκείας πορείας ποιούμενοι·
τρίψεις γὰρ τὰς τρίβους ἐκάλεσεν·
ἐπειδὴ γὰρ πέφυκε τῶν ὑδάτων ἡ φύσις
τρίβειν τὴν ὑποκειμένην γῆν, καὶ πο-
ρείαν ἐργάζεσθαι, εἰκότως τριψιν τῶν
ποταμῶν τὴν πορείαν ἐκάλεσεν· οἱ γὰρ
πρῶτοι πιστευθέντες τὸ κήρυγμα τὴν

ὁδὸν

ὁδὸν δευτέροις ηὐτρέπισαν, καὶ ἄπονον αὐτοῖς καὶ ἀταλαίπωρον τὴν διδασκαλίαν ἐπραγματεύσαντο. δ΄. Ἀπὸ φωνῶν ὑδάτων πολλῶν, θαυμασοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. Καθάπερ τῶν μεγάλων ποταμῶν εἰς τὸ πέλαγος εἰσβαλλόντων, καὶ τὴν κατὰ τῆς ψάμμε τῶν κυμάτων προσβολὴν ἐπεχόντων, ἐπὶ πλεῖσον κυρτοῦται τὰ κύματα τῇ μάχῃ τῶν ποταμίων ῥευμάτων· οὕτω καὶ τῆς γλυκείας καὶ ποτίμε τῶν ἀποστόλων διδασκαλίας τῇ ἁλμυρᾷ καὶ πικρᾷ τῆς οἰκεμένης θαλάττῃ προσφερομένης, ζάλη τις ἐγένετο, καὶ κύματα ἐπάλληλα διανίσατο· τοῦτο καὶ ὁ μακάριος προείρηκεν Ἀββακούμ· εἰρηκὼς γὰρ, ποταμῶν ῥαγήσεται γῆ, ὄψονταί σε καὶ ὠδινήσουσι λαοὶ, σκορπίζων ὕδατα πορείας, ἐπήγαγεν· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. τῆς τοιαύτης ἅπασα πόλις ἐπέπληξο ζάλης· αὐτῷ γάρ ἐστι τῷ Κυρίε φωνὴ, ἐκ ἦλθον βαλεῖν εἰρήνην εἰς τὴν οἰκεμένην, ἀλλὰ μάχαιραν, διχάσαι ἄνθρωπον ἀπὸ πλησίον αὐτῷ, υἱὸν ἀπὸ τῷ πατρὸς αὐτῷ, θυγατέρα ἀπὸ τῆς μητρὸς αὐτῆς, νύμφην ἀπὸ τῆς πενθερᾶς αὐτῆς· ἀλλ' ἡ μὲν ἀρχὴ τῷ κηρύγματος εἶχε τὴν ζάλην· νῦν δὲ ὁ τῆς θαλάττης δεσπότης ἐπετίμησε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὖραν, καὶ ἐσίγησε τὰ κύματα αὐτῆς, καὶ ἐγένετο γαλήνη μεγάλη. θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. ὁ δὲ Ἀκύλας ἔτως· ὑπερμεγέθης ἐν ὕψει Κύριος. μάλα δὲ ἀκολούθως τοῦτο τοῖς εἰρημένοις προστέθεικε, τῷ κατορθοῦντος δεικνὺς τὴν ἰσχύν. ὑπερμεγέθης γάρ ἐστι, καὶ ὕψιστος, καὶ Κύριος, καὶ δύναμιν ἔχων, ὥτε γλώττῃ μετρητὴν, ὥτε διανοίᾳ καταληπτήν. „ὑψηλὸς δὲ καλεῖ τοὺς με„γάλους πατριάρχας, προφήτας τε καὶ „τοὺς ἱερεῖς ἀποστόλους καὶ τοὺς κατ' ἐκεί„νους ἅπαντας.„ ε΄. Τὰ μαρτύριά σε ἐπιστώθησαν σφόδρα. Ταῦτα δὲ ἅπαντα ἄνωθεν προεθέσπισας, καὶ διὰ τῶν ἁγίων σε προφητῶν προεκήρυξας· τῇ δὲ μαρτυρίᾳ τῶν πραγμάτων δέδεικται ἀληθῆ· καλὴ δὲ καὶ ἡ τῷ σφόδρα προθήκη, ἀντὶ τῷ, ὑδὲ τὸ τυχὸν ἐν ταῖς προρρήσεσιν ἔνεστι θεωρῆσαι ψεῦδος, ἀλλ' ἀκριβῶς ἅπαντα τὰ νῦν ὁρώμενα προερρήθη. τῷ οἴκῳ σε πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν. τὸ δὲ πάντων μέγιστόν τε καὶ κάλλιστον τῶν ἀγαθῶν, ὅτι οὐ πρόσκαιρος ἡ τῶν δεδωρημένων ἀπόλαυσις, ὑδὲ χρόνοις τισὶ περιωρισμένη, κατὰ τὴν Ἰουδαίων λατρείαν· ἀλλὰ διαρκὴς, καὶ μόνιμος, καὶ αἰώνιος· τῷ νέῳ γάρ σε οἴκῳ ταῦτα πρόσφορά τε καὶ πρέποντα. οἶκον δὲ τῷ Θεῷ τὸν τῶν πιστῶν προσηγόρευσε σύλλογον ὁ θεσπέσιος Παῦλος, ᾧ τὸν ἁγιασμὸν ἐπιπρέπειν εἰρηκεν ὁ προφήτης. προσήκει τοίνυν ἡμᾶς, κατὰ τὴν ἀποστολικὴν παραίνεσιν, καθαίρειν μὲν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμῷ σαρκὸς καὶ πνεύματος, ἐπιτελεῖν δὲ ἁγιωσύνην ἐν φόβῳ Θεῷ· ἵνα ἄξιον τὸν οἶκον τῷ Θεῷ κατασκευάσαντες, τὸν αἰώνιον ἔνοικον εἰσδεξώμεθα.

ΕΡΜΗΝ. ΤΟΥ ΡΛΓ΄ ΨΑΛΜΟΥ.

Ψαλμὸς τῷ Δαβὶδ· τετράδι σαββάτε· ἀνεπίγραφος παρ' Ἑβραίοις. Δῆλον, ὡς τὴν ἐπιγραφὴν

ἄλλοι τινὲς τεθείκασι, καὶ ἔτε ὁ προφήτης, ἔτε οἱ τῦτον ἐξ ἀρχῆς ἑρμηνεύσαντες· τῷ δὲ ψαλμῷ ἡ ὑπόθεσις αὕτη· πολλοὶ τῶν Ἰουδαίων, καὶ ἄρχοντες καὶ βασιλεῖς, τὴν παρανομίαν ἠγάπησαν, καὶ δικάζοντες ἀδίκως ἐξήγον τὴν ψῆφον, καὶ μιαιφονίας ἐτόλμων, δώροις ἀπεμπολῶντες τῶν ἀθώων τὸ αἷμα. τῦτων δὲ καὶ ὁ μακάριος κατηγόρησεν Ἡσαΐας, ἀκύσατε, λέγων, ἄρχοντες Σοδόμων· καὶ πάλιν· οἱ ἄρχοντές σε ἀπειθῦσιν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς δὲ κρίνοντες, καὶ κρίσει χηρῶν δὲ προσέχοντες. δὲ μόνον δὲ κατηγόρησεν, ἀλλὰ καὶ παρήνεσε· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· ταύτην καὶ ὁ μακάριος Ἀββακὲμ τὴν κατηγορίαν ἐποιήσατο, καὶ τῷ Θεῷ προσφέρων τὴν ἔντευξιν ἔλεγε, ποιήσεις τὸς ἀνθρώπυς, ὡς τὸς ἰχθύας τῆς θαλάσσης, καὶ ὡσεὶ ἕρπετὰ μὴ ἔχοντα ἡγέμονα, καὶ καταφάγεται ὁ ἀσεβὴς τὸν δίκαιον· ἔτω καὶ ὁ θαυμάσιος Ἱερεμίας, καὶ μέντοι καὶ οἱ ἄλλοι προφῆται, τῆς τῦτων ἀδικίας διετέλεν κατηγορῦντες· ταῦτα πόρρωθεν προφητικοῖς ὀφθαλμοῖς προϊδὼν ὁ θεῖος Δαβὶδ, τῦτον ἔγραψε τὸν ψαλμόν· ἵνα διὰ τῆς μελῳδίας, τῆς ἐν τῷ θείῳ ναῷ γινομένης, τὴν ὠφέλειαν οἱ τηνικαῦτα καρπώσωνται· διδάσκει δὲ τὸ Θεὸ τὴν πρόνοιαν, καὶ τὴν ἐντεῦθεν τιμωρίαν τῶν πονηρίᾳ συζώντων· χηματίζει δὲ τὸν ψαλμὸν ἐκ προσώπε τῶν εὐσεβείᾳ συντεθραμμένων, ταῦτα παρ' ἐκείνων ὑπομενόντων. ά. Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο. Ἀντὶ δὲ τῦ ἐπαῤῥησιάσατο, ὁ Ἀκύλας ἐπιφάνηθι εἴρηκεν· ἔτω δὲ καὶ οἱ ἄλλοι ἑρμηνευταί· σέ φησιν ἱκετεύω τὸν τῶν ἁπάντων Θεὸν, καὶ Δεσπότην, καὶ τὴν κτίσιν ἰθύνοντα, καὶ τὴν ἀξίαν τιμωρίαν τοῖς ἀδίκοις ἐπάγοντα, ἐπακῦσαι, καὶ τὴν ἔντευξιν δέξασθαι. β. Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. Δεῖξον ἅπασι τῆς σῆς δεσποτείας τὸ ὑψηλὸν, καὶ κατάλυσον τὴν τῶν ἀλαζόνων ὀφρῦν, διδάσκων διὰ τῆς πείρας, ὅτι σὺ εἶ τῆς οἰκεμένης κριτής. γ. Ἕως πότε ἁμαρτωλοὶ, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; δ. Φθέγξονται, καὶ λαλήσυσιν ἀδικίαν, λαλήσυσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Οὐκ ὄλεθρον ὑπομεῖναι τὸς παρανόμυς ἱκετεύει· ἀλλὰ μὴ δυναστεύειν, καὶ τὴν ἐξυσίαν ἐφόδιον ἔχειν εἰς ἀδικίαν. ε. Τὸν λαόν σε Κύριε ἐταπείνωσαν· καὶ τὴν κληρονομίαν σε ἐκάκωσαν. ς. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν. Πᾶν εἶδος ἀδικίας Δέσποτα παρ' αὐτῶν τολμᾶται· ἐπὶ τῇ δυναστείᾳ βρενθύονται, ἀδίκοις δὲ κέχρηνται λόγοις. τὰ πράγματα τῶν λόγων ἐστὶ χαλεπώτερα· αἱ τῶν ὁμοζύγων ἐστερημέναι, καὶ οἱ πατέρων ἐρημίαν ὀλοφυρόμενοι πρόκεινται τύτοις, ὡς ἕτοιμον θήραμα. οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ κατὰ τὸς σὸς νόμυς ποθήσαντες πολιτεύεσθαι, τὴν ἄδικον παρ' αὐτῶν σφαγὴν ὑπομένυσι· προσηλύτυς γὰρ τύτυς ὠνόμασε. ζ. Καὶ εἶπαν, ἐ- ὄψεται ἄνθρωπος, ἐδὲ συνήσει ὁ Θεὸς τῷ Ἰακώβ. Αὕτη τῆς ἀσεβείας ἐπίτασις· ταῦτα γάρ φησι τολμῶ-

τολμῶσιν, ἐχ ἡγέμενοί σε ἐφορᾶν, ἀδὲ προμηθεῖσθαι τῶν ἀνθρωπείων πραγμάτων· ἐχ ἁπλῶς δὲ πρόσκειται τὸ ὁ Θεὸς Ἰακώβ, ἀλλ' εἰς αὔξησιν τῆς κατηγορίας· πολλὴν γὰρ περὶ τὸν λαὸν τὲ Θεὲ καταμαθόντες πρόνοιαν, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἱερέων, τὴν ἐν πολέμῳ, τὴν ἐν εἰρήνῃ, οὐ θεμαίνεσιν ὡς ἐφορῶντα τὸν τῶν ὅλων Θεόν· ἐντεῦθεν αὐτοῖς εἰσφέρει συμβουλὴν καὶ παραίνεσιν. „ἐ μόνον δὲ τὸ „τηνικαῦτα τοῖς τοιαῦτα νενοσηκόσιν, „ἀλλὰ καὶ μέχρι τὲ νῦν καὶ παντὸς τὲ „βίε κρατῆσιν. „ ἡ. Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ, ποτὲ φρονήσατε. Ὀψὲ γ' ἔν ποτέ, ὦ ἀνόητοι, συνιδεῖν ἐθελήσατε, καὶ μαθεῖν τῶν πραγμάτων τὴν φύσιν· „ὅ„τι ἀράχνη ἔοικεν ἡ τὲ παρόντος βίου „κατάστασις. „ θ΄. Ὁ φυτεύσας τὸ ἓς ἐχὶ ἀκέει, ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν ἐχὶ κατανοεῖ; Σφόδρα συλλογιστικῶς τὴν διδασκαλίαν προσήνεγκεν. ὁ ἐκ πηλὲ γάρ φησι τὸν ὀφθαλμὸν διαπλάσας, καὶ τὴν ὀπτικὴν ἐνέργειαν αὐτῷ δωρησάμενος, καὶ τὰ ὦτα ὡσαύτως δημιεργήσας, καὶ τὴν ἀκεστικὴν αἴσθησιν χαρισάμενος, αὐτὸς ἐχ ὁρᾷ, ἐδὲ ἀκέει, ἀλλὰ ὁ τέτων δημιεργὸς ἐξέρηται τῆς ἐνεργείας, ἣν τοῖς ἄλλοις κεχάρισται; ι΄. Ὁ παιδεύων ἔθνη ἐχὶ ἐλέγξει; Τὰ ἔθνη, φησὶν, ἃ μήτε νόμον ἐδέξαντο, μήτε προφητικῆς ἀπολαύει διδασκαλίας, ὑποβάλλει παιδείαις, καὶ τὴν ὑμετέραν ἐκ ἐλέγξει παρανομίαν; ὁ διδάσκων ἄνθρωπον γνῶσιν. καὶ μὴν τῶν ἀνθρώπων τὴν φύσιν αὐτὸς ἐδημιέργησε λογικὴν, καὶ διὰ τῶν ἐν τῇ κτίσει θεωρεμένων, καὶ καθ' ἑκάστην γιγνομένων ἡμέραν, πλείονα τὴν γνῶσιν ἐργάζεται. ια΄. Κύριος γινώσκει τὲς διαλογισμὲς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Ἀλλὰ γὰρ ἐ μόνον ὁρᾷ καὶ ἀκέει· ἀλλὰ καὶ τὲς ἡμετέρες ἐπίσταται λογισμὲς, τὲς ψευδῆ περὶ τῆς αὐτὲ προνοίας τοπάζοντας· ἔτως ἐκείνοις τὴν προσφυῆ ποιησάμενος θεραπείαν, προσφέρει τοῖς ἀδικεμένοις ἀποχρῶσαν ψυχαγωγίαν· πιθανωτέραν δὲ αὐτὴν ἐργαζόμενος ποιεῖται τὲς λόγες. ιβ΄. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε· καὶ ἐκ τῆ νόμε σε διδάξεις αὐτόν. Πολλοὶ μὲν γὰρ ἀθλίες εἰώθασιν ἀποκαλεῖν τὲς τὴν εὐσέβειαν ἀσπαζομένες „καὶ ἀδι„κίαν ὑφισαμένες. ἐγὼ δὲ αὐτὲς ζηλω„τὲς καὶ μακαρίσες ἀποκαλῶ, παιδευ„σιν γυμναζομένες, „ καὶ τὲς θείε νόμε καρπεμένες τὴν ὠφέλειαν. ιγ΄. Τῆ πραΰναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν. Ὁ γὰρ μικρὰν παιδείαν κατὰ τὸν παρόντα βίον δεχόμενος, πρᾳότερον ἕξει τὸ μέλλον κριτήριον· ἡμέραν γὰρ πονηρὰν, τὴν αἰώνιον ἐκάλεσε κόλασιν. ἕως ἂ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος. οἱ γὰρ τὴν παρανομίαν ἀσπαζόμενοι τῇ δικαίᾳ τιμωρίᾳ παραδοθήσονται· ὥσπερ γὰρ τὸν εἰς βαθὺ ἐμπεσόντα βόθρον ἀναβῆναι τῶν ἀδυνάτων, μηδενὸς ἐπαμύνοντος· ἔτω διαφυγεῖν τὴν αἰώνιον ἀδύνατον κόλασιν, μὴ τῆς θείας τέτο βελομένης φιλανθρωπίας. ιδ΄. Ὅτι ἐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ· καὶ τὴν κληρονομίαν αὐτῆ ἐκ ἐγκαταλείψει. „Κληρονομίαν δ' τὸν Ἰσ„ραὴλ ὠνόμασε μόνον, ἀλλὰ καὶ τὸν ἐξ „ἐθνῶν λαόν. καὶ μάλιστα τῆτον· περὶ

„μὲν γὰρ ἐκεῖνε ὁ μακάριος ἔφη Μωϋ-
„σῆς, καὶ ἐγενήθη μερὶς Κυρίε λαὸς αὐ-
„τῦ Ἰακὼβ χοίνισμα κληρονομίας αὐτῦ
„Ἰσραὴλ· περὶ δὲ τῦ νέε λαῦ, ὃν ὁ ἐκ
„Θεῦ Θεὸς τῷ ἑκουσίῳ θανάτῳ περι-
„εποιήσατο, συγκληρονόμες ὀνομάζει ὁ
„θεῖος ἀπόστολος· αὐτὸς γὰρ τὴν νέαν
„διαθήκην καὶ ἀληθινὴν μερίδα ὁρίζεται·
„ἐς διὰ λετρῦ παλιγγενεσίας ἀνέπλα-
„σεν.„ Καὶ κατὰ τὸν παρόνταδὲ βίον τῆς προσηκέσης ἀπολαύσεται προμηθείας ὁ θεῖος λαὸς, ἅτε δὴ κληρονομία καὶ λαὸς αὐτῦ χρηματίσας. ιέ. Ἕως ἂ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν. Ταύτης μέντοι τεύξεται τῆς προνοίας, ἕως ἂν ἡ τῦ Θεῦ δικαιοσύνη φανῇ πάντων ἀνθρώπων ποιεμένη τὴν κρίσιν. ἀνίτλεται δὲ ὁ λόγος τῦ Θεῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐναντιρώπησιν, καὶ τῶν Ἰουδαίων τὴν ἄρνησιν· δικαιοσύνην γὰρ αὐτὸν ἐκάλεσε τὸν Δεσπότην Χριστόν· αὐτὸς γὰρ καὶ ἥλιος δικαιοσύνης ὠνόμασαι, καὶ περὶ αὐτῦ ἔφη ὁ μακάριος Παῦλος, ἐδόθη ἡμῖν σοφία ἀπὸ Θεῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. τῆς τῦ Θεῦ τοίνυν μνημονεύσας προνοίας, καὶ εἰρηκὼς, ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, καὶ τὴν ἐσομένην αὐτῶν προθεασάμενος ἄρνησιν, εἰκότως ἐπήγαγεν, ἕως οὗ ἐπιστρέψῃ δικαιοσύνη εἰς κρίσιν· ἕως γὰρ ἂν μὴ ἀρνηθῶσι τῆς δικαιοσύνης τὴν ἐπιφάνειαν, τῆς ἄνωθεν τεύξονται προμηθείας. καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, καὶ ὀπίσω αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ· τούτῳ γὰρ φησι τῷ σωτηρίῳ, ὃ δικαιοσύνην ἐκάλεσεν, ἀκολουθήσασιν οἱ καθαρὰν ἀπιστίας διάνοιαν ἔχοντες, καὶ εὐθέσι χρώμενοι λογισμοῖς. συμβαίνει δὲ τοῖς εἰρημένοις καὶ τοῦ Κυρίε τὰ ῥήματα· ἰδὼν γὰρ τὸν Πέτρον, καὶ τὸν Ἀνδρέαν, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν, εἶπεν αὐτοῖς, δεῦτε ὀπίσω με, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· καὶ τῷ εἰρηκότι, ἐπίτρεψόν μοι ἀπελθεῖν θάψαι τὸν πατέρα με, εἶπεν ὁ Κύριος, ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ ἐλθὼν ἀκολούθει μοι. Ἰουδαίων μὲν οὖν, φησὶ, μέχρι τῆς ἀρνήσεως ποιήσεται πρόνοιαν, τοὺς δὲ εὐθεῖς τῇ καρδίᾳ ἀκολούθες ἕξει, ἐχομένες αὐτοῦ, καὶ ἀντεχομένους, καὶ καταλιπεῖν οὐδ' ὅλως ἀνεχομένους. ιϛ. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν; Σαφέστερον δὲ ὁ Σύμμαχος, τίς ἀναστήσεται ὑπὲρ ἐμοῦ πρὸς κακοῦργους; τίς ἐνστήσεται ὑπὲρ ἐμοῦ πρὸς ἐργαζομένους ἀδικίας; πάσης ἀνθρωπίνης εἰμὶ φησιν ἔρημος βοηθείας, ἀλλ' ἔχω τὸν μέγαν ἐπίκουρον, τὸν σκεδάσαι ῥᾳδίως δυνάμενον τῶν ἐναντίων τὸ σῖφος· τοῦτο γὰρ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. ιζ. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ μὴ γὰρ τῆς παρ' αὐτοῦ προνοίας ἀπήλαυσα, πάντως ἂν με θανάτῳ παρέδωκαν. ιή. Εἰ ἔλεγον, σεσάλευταί ὁ πούς με, τὸ ἔλεός σε Κύριε ἐβοήθει μοι. Παραυτίκα γὰρ τὴν σὴν ἐπικαλούμενος πρόνοιαν, καὶ τὴν σὴν εἰκείαν διδάσκων

ἀδέ-

ἀσθένειαν, τῆς σῆς φιλανθρωπίας ἀπήλαυον. ιθ'. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὐφραναν τὴν ψυχήν μου. Ἀναλογοῦσαν δὲ ταῖς ὀδύναις τὴν παρὰ τῆς σῆς ἀγαθότητος ἐδεχόμην παραψυχήν· ἔτω καὶ ὁ μακάριος ἔφη Παῦλος· καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν· καὶ πάλιν, ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. κ'. Μὴ συμπροσέσαι σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα. Σαφέστερον δὲ ὁ Σύμμαχος, μὴ συναφθήσεταί σοι θρόνος ἐπηρείας, ὁ πλάσσων ταλαιπωρίαν κατὰ προστάγματος; οὐκ ἀνέξη, φησὶ, κοινωνήσαι τῆς ἀδικίας τοῖς παρανόμως δικάζουσιν· οἱ ἐναντίαν τοῖς ὑπὸ σοῦ προστεταγμένοις τὴν ψῆφον ἐκφέροντες, τὴν ἐντεῦθεν φυομένην ἐπισπῶνται ταλαιπωρίαν· θρόνον γὰρ ἐπηρείας καὶ ἀνομίας τοὺς ἀδίκους ἐκάλεσε δικαστὰς, οἱ κόπον καὶ ταλαιπωρίαν δρέπονται τῆς ἀδικίας καρπόν. κα'. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίᾳ, καὶ αἷμα ἀθῶον καταδικάσονται. Ἔργον γὰρ τοῖς παρανόμοις τούτοις δικασταῖς, πάσῃ μηχανῇ κατὰ τῶν δικαίων κεχρῆσθαι, καὶ τῶν ἀθώων καὶ ἀναιτίων καταψηφίζεσθαι θάνατον. „καὶ τὰς ἄλλας τι„μωρίας· δημεύσεις λέγω καὶ ἐξορίας, „καὶ τὰ ὅμοια τούτοις.„ κβ'. Καὶ ἐγένετό μοι Κύριος καταφυγή· καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Ἐγὼ δὲ τῆς παρὰ τοῦ Δεσπότου προνοίας ἀπήλαυσα, καὶ αὐτὸν ἔχον περίβολον ἰσχυρόν. κγ'. Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός. Ἐκεῖνοι δὲ τρυγήσεσι τὰς τῶν ἰδίων πόνων καρπὰς, καὶ τῆς πονηρίας ἄξια τὰ ἐπίχειρα δέξονται· ταῦτα οὐκ ἐκείνοις μόνοις, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἐγράφη· πάντων γὰρ ἀνθρώπων ὁ τῶν ὅλων Θεὸς προμηθούμενος, πᾶσι τὴν πρόσφορον προσφέρει θεραπείαν.

ΕΡΜΗΝ. ΤΟΥ ρδ' ΨΑΛΜΟΥ.

Ἄινος ᾠδῆς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Ἰωσίας ὁ βασιλεὺς κομιδῇ γέγονεν εὐσεβής· οὗτος θεασάμενος τὸ λαὸ τὸ πλεῖστον τὴν τῶν εἰδώλων ἀσπασάμενον θεραπείαν, προσέταξε μὲν ἅπαντας κατασφαγῆναι τῶν εἰδώλων τοὺς ἱερέας, τοὺς δὲ τέτων βωμοὺς ἐκ βάθρων ἀνασπασθῆναι· τῶν δὲ τετελευτηκότων ἱερέων ἀνορύξας τοὺς τάφους, τὰ τούτων ὀστᾶ κατέκαυσεν ἐν αὐτοῖς τοῖς τῶν δαιμόνων βωμοῖς· εἶτα τὸν λαὸν ἅπαντα συναθροίσας, μεταμελείᾳ χρήσασθαι παραινεῖ, καὶ τὸν Θεὸν ἱλεώσασθαι, καὶ τέτῳ διαφυγεῖν τῷ τρόπῳ τὴν ἠπειλημένην πανωλεθρίαν. Ὅλδὰ γὰρ ἡ προφῆτις δεινὰ καὶ χαλεπὰ παντὶ προεθέσπισε τῷ λαῷ. ταῦτα τοίνυν πόρρωθεν ὁ μακάριος Δαβὶδ τοῖς προφητικοῖς ὀφθαλμοῖς προιδὼν, τέτον συνέγραψε τὸν ψαλμὸν, καὶ εἰς ἐκείνων ὠφέλειαν, καὶ διδασκαλίαν πάντων ἀνθρώπων· ἐχημάτι-

μάτισαν δὲ ὁ ψαλμὸς ἐκ προσώπου τοῦ Ἰωσίου, καὶ τῶν τοῦ Θεοῦ ἱερέων. α'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. Χορευόντων ἐστὶ τὸ προοίμιον, καὶ ἡδομένων ἐπὶ τῇ τῆς ἀσεβείας ἀπαλλαγῇ· κοινῇ, φησὶ, τῷ Θεῷ τὸν ἐπινίκιον ἀναπέμψωμεν ὕμνον. ὁ γὰρ ἀλαλαγμὸς νικώντων ἐστὶ φωνή. ἐνίκησε δὲ τῶν εὐσεβῶν ὁ χορὸς τὸ τάφος τῶν δυσσεβῶν. εἰκότως τοίνυν τὴν ἐπινίκιον ᾠδὴν προσφέρουσι τῷ Θεῷ· „καὶ μάλιστα ὁ τῶν ἀποστό-„λων καὶ μαρτύρων χορός· ἄλλως δ' ἂν „νοήσειαν καὶ ἅπαντες οἱ κατ' αὐτοὺς, „δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλα-„λάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν, τῷ „τὴν ἡμετέραν σωτηρίαν διὰ παθημά-„των πραγματευσαμένῳ· ἵνα πάντας „ἡμᾶς ἀπαθείας ἀξιώσειε· τῷ ἑλομένῳ „κατελθεῖν μέχρι τοῦ ἅδου ἵνα ἡμᾶς εἰς „τοὺς οὐρανοὺς ἀναγάγῃ. „ β'. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει· καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. Πρὸ τοῦ καιροῦ τῆς τιμωρίας τῇ μεταμελείᾳ χρησώμεθα, καὶ πρὶν τὴν καθ' ἡμῶν ἐξενεχθῆναι ψῆφον, τὸν Δεσπότην ἐκμειλιξώμεθα· προσενέγκωμεν δὲ αὐτῷ καὶ τὴν πρέπουσαν ὑμνῳδίαν· εἶτα διδάσκει τοῦ Θεοῦ τὴν νίκην, καὶ τῶν εἰδώλων τὴν ἧτταν. γ'. Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ἀῤῥήτος γὰρ ἡ τοῦ ἡμετέρου Δεσπότου δύναμις· οὗτος Θεὸς ἀληθὴς, οὗτος κατὰ πάντων ἔχει τὸ κράτος, καὶ τὴν ψευδῆ προσηγορίαν ἐλέγχει τῶν καλουμένων θεῶν. εἶτα ὡς δυνατὸν ἀνθρωπείᾳ Φύσει τῆς θείας δυνάμεως τὰ τεκμήρια δείκνυσιν. δ'. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσίν. ε'. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν· καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Πάντων ἐστὶ ποιητὴς, πάντων Δεσπότης, αὐτὸς τὰ πάντα κυβερνᾷ· ἐν τῇ χειρὶ περιέχει τὴν κλίσιν, τὴν ὑγρὰν οὐσίαν, καὶ τὴν ξηρὰν αὐτὸς ἐδημιούργησε λόγῳ· αὐτοῦ εἰσὶ καὶ τῶν ὀρέων αἱ κορυφαὶ, κἂν μυριάκις οἱ δαίμονες πείθωσι τῶν ἀνθρώπων τοὺς ἀνοήτους ἐν τούτοις αὐτοῖς τὰ τεμένη πηγνύναι. ς'. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον „Κυρίου „ τοῦ ποιήσαντος ἡμᾶς. Συνδραμώμεν τοίνυν προθύμως, καὶ τὸ προσῆκον αὐτῷ προσενέγκωμεν σέβας, καὶ ὀλοφυρόμενοι, καὶ δακρύοντες, τὸν ἔλεον ἐξαιτήσωμεν· αὐτὸς γὰρ ἡμῶν καὶ ποιητὴς καὶ δεσπότης. διδάσκει δὲ καὶ ἡ ἱστορία καὶ τοῦ Ἰωσίου, καὶ τοῦ λαοῦ τὰ δάκρυα, ἃ μετὰ τὴν ἀνάγνωσιν τοῦ Δευτερονομίου προέχεαν. ζ'. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς „νομῆς „ αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. Καὶ Φύσει Δεσπότης ἡμῶν ἐστὶ, καὶ διαφερόντως ἡμῶν ὑπάρχει Θεός. λαὸν γὰρ ἡμᾶς οἰκεῖον καλεῖ, καὶ ὡς οἰκείοις προβάτοις προσφέρει τὴν ἐπιμέλειαν. „λέγει δὲ „καὶ αὐτὸς ὁ Κύριος μετὰ τὴν ἀνακατά-„ληψιν αὐτοῦ ἐνανθρώπησιν· τὰ πρό-„βατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει· „καὶ πάλιν, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς „καὶ τὴν ψυχήν τίθημι ὑπὲρ τῶν προ-„βάτων, καὶ τὰ ἑξῆς. „ εἶτα λοιπὸν ἀπειλεῖ τοῖς μὴ πειθομένοις τὴν τιμωρίαν,

ρίαν, καὶ τῇ τῶν πατέρων δεδιτλόμενοι μνήμῃ, καὶ διὰ τῆς ἐκείνης κατηγορίας τὴν ὠφέλειαν πραγματευόμενοι. ἡ. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. θ'. Ὡς ἐν τῷ παραπικρασμῷ. Ἐπειδὴ τὴν προτέραν ὑμῶν ἀσέβειαν διὰ τὴν οἰκείαν φιλανθρωπίαν ὁ Δεσπότης παρεῖδε, νῦν γοῦν αὐτοῦ παραινοῦντος ἀκούσατε, καὶ τὴν σωτήριον διδασκαλίαν προσφέροντος, καὶ μὴ μιμήσησθε τῶν πατέρων τὴν ἀτέρμονα καὶ ἀντίτυπον γνώμην. παραπικρασμὸν γὰρ κέκληκε τὴν ἐν τῇ ἐρήμῳ πολλάκις γεγενημένην ἀντιλογίαν. ἕτω καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ; ἔδειξε δὲ καὶ τὸ τῆς γνώμης αὐθαίρετον· οὐ γὰρ ἁπλῶς ἔπε, μὴ σκληρυνθῆτε, ἀλλὰ μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, διδάσκων ὡς αὐτοὶ εἰσὶ τῆς τοιαύτης καρδίας δημιουργοί· εἶτα σαφέστερον τῆς τῶν πατέρων ἀπειθείας ἀναμιμνήσκει. Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου. ι'. Τεσσαράκοντα ἔτη. Ἐπειδὴ γὰρ εἰς τὴν ἐπηγγελμένην εἰσελθεῖν οὐκ ἠβουλήθησαν γῆν, „ ἀλλ' ἀντεῖπον κελεύοντι τῷ Θεῷ „ δέος ἄλογον προβαλλόμενοι, καὶ δειλίαν φάσκοντες, ὡς αὐτοὶ μὲν ἀναιρεθήσονται, δορυάλωτα δὲ τὰ παιδία γενηθήσεται, τὸν τεσσαρακοντέτην αὐτὸς ἐν τῇ ἐρήμῳ διαγαγεῖν παρεσκεύασε χρόνον, ἕως αὐτοὶ κατηναλώθησαν. προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ. ὁ δὲ Ἀκύλας, καὶ ὁ Σύμμαχος, ἀντὶ τοῦ προσώχθισα, δυσηρεστήθην εἰρήκασι· τότε, φησὶν, ἕνεκα τῆς γενεᾶς ἐκείνης ἐβδελυξάμην, τὸ κῆφον αὐτῶν καὶ εὐρίπιστον τῆς γνώμης ἰδών. ια'. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδές μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Οἱ δὲ ταῖς ὠμοσμέναις ἀπειλαῖς προσέχειν οὐκ ἠθέλησαν, οὐδὲ μεταμελείᾳ λύσαι τὴν ἀπειλὴν ἠβουλήθησαν· ἃ δὴ χάριν τῆς τοῖς πειρασμοῖς ἐπηγγελμένης οὐκ ἀπήλαυσαν γῆς· τὴν γῆν γὰρ ἐκείνην κατάπαυσιν αὐτοῖς προσηγόρευσεν, ἣ κατὰ τὰς ἄλλας ἑρμηνευτὰς ἀνάπαυσιν. ἐπειδὴ γὰρ ἐν τῇ ἐρήμῳ μεταβάσεις ὁδοιποροῦντες ἐποιοῦντο συχνὰς, τῆς σκηνῆς ἡγουμένης, ἐν ᾗ κατοικεῖν ὁ Θεὸς ἐνομίζετο, ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας, καὶ αὐτοὶ τῆς ὁδοιπορίας ἐπαύσαντο, καὶ ἡ σκηνὴ τοῖς ἀφιερωθεῖσιν ἐνεπάγη χωρίοις, εἰκότως κατάπαυσιν ἐκάλεσε τῆς ἐπαγγελίας τὴν γῆν, ὁδοὺς δὲ Θεοῦ τὰς οἰκονομίας ἐκάλεσεν.

ΕΡΜΗΝ. ΤΟΥ λε' ΨΑΛΜΟΥ.

α'. Ὠδὴ τῷ Δαβὶδ, ὅτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν, ἀνεπίγραφος παρ' Ἑβραίοις. Οὐδὲ ταύτην ὁ μακάριος Δαβὶδ ἔγραψε τὴν ἐπιγραφὴν, οὔτε μὴν οἱ ἐξ ἀρχῆς τὴν προφητείαν ἡρμηνευκότες· ἄλλος δέ τις ὡς ἔοικεν τὴν ἐξ ἐπιπολῆς διάνοιαν τῷ ψαλμῷ κατιδὼν, ταύτην τέθεικε τὴν ἐπιγραφήν· ἁρμόττει δὲ καὶ τοῖς ἐκ Βαβυλῶνος ἐπανελθοῦσι, καὶ τὸν θεῖον δειμαμένοις νεὼν ἡ τοῦ γράμματος ἐπιφάνεια· ἐπειδήπερ ἐν αὐ-

τοῖς ἐσκιαγραφήθη πάντων ἀνθρώπων ἡ σωτηρία. προθεσπίζει δὲ ὅμως ἡ προφητεία καὶ τὴν πρωτέραν, καὶ τὴν δευτέραν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καὶ τὴν ἐσομένην κρίσιν, καὶ τὴν παραχεθεῖσαν ἤδη τοῖς ἔθνεσι σωτηρίαν. ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἐπὶ καινοῖς γὰρ πράγμασι, καινῆς χρεία καὶ τῆς ὑμνῳδίας. ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. πῶς ταῦτα Ἰουδαίοις ἁρμόττει παρὰ πάντων πολεμουμένοις ἀνθρώπων; οὐ γὰρ ἤθησαν οἱ τὴν ἐκείνων ἰδόντες ἐλευθερίαν· ἀλλὰ τοὐναντίον ἠχθέθησαν, καὶ παντοδαποῖς αὐτοὺς κακοῖς περιβαλεῖν ἐπειράθησαν· ὁ δὲ προφητικὸς λόγος πᾶσαν τὴν οἰκουμένην εἰς χορείαν καλεῖ. β. ᾄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ· εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Καθ' ἑκάστην, φησὶν, ἡμέραν ἐξηγεῖσθε τὴν γεγενημένην εὐεργεσίαν. εἶτα διδάσκει καὶ τίσι χρὴ προσενεγκεῖν τὴν τοιαύτην ὑφήγησιν. γ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ· ἐν πᾶσι λαοῖς τὰ θαυμάσια αὐτοῦ. Πᾶν γένος ἀνθρώπων τῆς τοιαύτης διδασκαλίας ἀπολαυέτω, καὶ τὰς θείας μανθανέτω θαυμαστουργίας. δ. Ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα· φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς. Ἄῤῥητον γὰρ ἔχει τὸ μέγεθος τῶν ὅλων ὁ Κύριος, καὶ κατὰ τῶν ψευδωνύμων θεῶν τὴν οἰκείαν ἔδειξε δύναμιν, καὶ τὴν ἐκείνων ἀπάτην ἐξήλεγξε· τοῦτο γὰρ διὰ τῶν ἑπαγομένων ἐδήλωσεν. ε. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. „περὶ γὰρ αὐτοῦ „ἡ μακάριος Παῦλος φάσκει· εἰ γὰρ „ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης „ἐσταύρωσαν.„ Οἱ μὲν γὰρ καλούμενοι θεοὶ δαίμονες ὤφθησαν πονηροὶ, ὁ δὲ ἡμέτερος τῶν οὐρανῶν ποιητὴς ἀπεφάνθη. „ἐπὶ γὰρ τοῦ ἐκουσίου πά„θους οὐ μόνον ἥλιος ἐσκοτίσθη καὶ πέ„τραι διερράγησαν, καὶ τὸ τοῦ ναοῦ κα„ταπέτασμα κατεσχίζετο· ἀλλὰ καὶ οἱ „τῶν οὐρανῶν δυνάμεις ἐσαλεύοντο. καὶ „συντόμως εἰπεῖν τὸ πᾶν ἀνυπαρξίαν „ἠπείλει βλέπον τὸν φέροντα τὰ πάν„τα ἐπὶ σταυροῦ κρεμάμενον.„ ς. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Καὶ γὰρ ἀνθρωπείαν φύσιν ἀναλαβὼν, καὶ διὰ ταύτης τοῖς ἀνθρώποις ἐπιφανεὶς, τὰς τῆς οἰκείας μεγαλοπρεπείας ἐκπέμπει μαρμαρυγὰς, καὶ πάντας εἰς προσκύνησιν ἕλκει· ἁγίασμα γὰρ αὐτοῦ τὸν ναὸν προσηγόρευσεν, ὃν ἀνείληφε. τῆς δὲ ὡραιότητος ἐμνημόνευσεν ἤδη καὶ ἐν τῷ ΜΔ΄ ψαλμῷ· ὡραῖος γὰρ ἔφη κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ζ. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν. η. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Προσδράμετε τοίνυν ἅπαντες ἄνθρωποι τῷ σῶσαι βουλομένῳ Δεσπότῃ, καὶ τὸ πρεσῆκον αὐτῷ προσενέγκαντες σέβας, καὶ τὸν εὐεργέτην τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐχ ὁρῶντες, τῷ ὀνόματι αὐτοῦ τὴν ὑμνῳδίαν προσοίσατε. Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. θ. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Θυσίας λέγει τὰς λογικὰς,

κὰς, ἃς ὁρῶμεν διηνεκῶς ὑπὸ τῶν ἱερέων προσφερομένας καὶ ἱερουργουμένας. καὶ τῶν αὐλῶν δὲ τὸ πλῆθος τὰς ἐκκλησίας δηλοῖ· ἄλλως τε οὐδὲ Ἰουδαίοις τοῦτο προσέταξεν, ἵνα τὶς τὰς νομικὰς ὑποπλεύσῃ θυσίας· ἀλλὰ ταῖς πατριαῖς τῶν ἐθνῶν, αἱ τὰς τῆς καινῆς διαθήκης θυσίας ἐν ταῖς ἐκκλησίαις προσφέρουσι. περὶ τούτων καὶ δι' ἑτέρου προφήτου προσηγόρευσεν ὁ Θεὸς πρὸς Ἰσδαίοις διαλεγόμενος· ἐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ τὸ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. ὁ δὲ Ἀκύλας, ὠδινήσατε ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· ἔτω δὴ καὶ ὁ Σύμμαχος. ἔοικε δὲ ταῦτα τοῖς ὑπὸ τοῦ προφήτου Ἡσαΐου λεχθεῖσι, διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. καὶ ἐνταῦθα τοίνυν ὁ προφητικὸς λόγος παρακελεύεται τοῖς ἔθνεσι δεξαμένοις τὰ σωτήρια σπέρματα, ὠδινῆσαι καὶ τεκεῖν τὴν εὐσέβειαν, καὶ σαλευθῆναι μὲν ἀπὸ τῆς προτέρας πάσης, ἐν δὲ τοῖς θείοις ἐρεισθῆναί τε καὶ παγῆναι νόμοις. ί. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥ τις οὐ σαλευθήσεται. Κηρύξατε τοίνυν τοῦ Θεοῦ τῶν ὅλων τὴν βασιλείαν· ἡ τὴν οἰκουμένην πλανωμένην μετέβαλε, καὶ τῇδε κἀκεῖσε φερομένην βεβαίαν ἀπέφηνεν· ἔτω δὲ καὶ ὁ Σύμμαχος, Κύριος ἐβασίλευσε, καὶ ἔδρασε τὴν οἰκουμένην ἀπερίτρεπτον. δῆλον μέντοι, ὡς αἰώνιος ἡ τοῦ Θεοῦ βασιλεία· ἐδείχθη δὲ τηνικαῦτα διὰ τῆς τῶν πραγμάτων μεταβολῆς. Κρινεῖ λαοὺς εὐθύτητι. ἐπειδὴ βασιλέα τὸν Θεὸν ἔδειξεν, εἰκότως καὶ κρίσεως μέμνηται, τὸ εὐθὲς ταύτης ἀνακηρύττων, καὶ δίκαιον. ια'. Εὐφρανέθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. Πᾶσά φησιν ἡ κτίσις κοινωνείτω τοῖς ἀνθρώποις τῆς εὐφροσύνης, καὶ τὰ οὐράνια, καὶ τὰ ἐπίγεια θυμηδίας ἐμφορηθήτω. εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν οἱ ἄγγελοι, μείζονα δήπου δεῖν ἔχουσιν εὐφροσύνην ἐπὶ τῇ πάντων ἀνθρώπων μεταβολῇ. Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. ὁ δὲ Θεοδοτίων καὶ ὁ Σύμμαχος οὕτως· ἠχήσει ἡ θάλασσα σὺν πληρώματι αὐτῆς· ἅπας γὰρ τῶν ἀνθρώπων ὁ βίος, ὁ τὴν θαλαττίαν μιμούμενος ζάλην, τῶν θείων κηρυγμάτων δέξεται τὴν ἠχήν. προλέγει δὲ κατὰ ταυτὸν, καὶ τὰς γεγενημένας τῶν ἀπίστων ἐπαναστάσεις κατὰ τῶν κηρύκων τῆς ἀληθείας, ὡς καὶ ἐν ἑτέροις ψαλμοῖς ἀπεδείξαμεν. ιβ'. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ὁ δὲ Σύμμαχος οὕτως· γαυριάσει ἀγρὸς, καὶ πάντα τὰ ἐν αὐτῷ. ἑρμηνεύων δὲ ὁ Κύριος τὴν τῶν ζιζανίων παραβολὴν, ἀγρὸν τὸν κόσμον ὠνόμασε· λέγει τοίνυν, ὅτι ἅπαντα χαρᾶς καὶ θυμηδίας πληθήσονται. Τότε ἀγαλλιάσεται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. ὁ δὲ Ἀκύλας· τότε αἰνέσουσι πάντα τὰ ξύλα τοῦ δρυμοῦ. ἐκεῖνα διαφερόντως τῷ

Θεῷ προξενήσει τὸν ὕμνον. ἐξ αὐτῶν γὰρ τὸ σωτήριον ξύλον, ἐν ᾧ τοῦ σωτῆρος προσηλώθη τὸ σῶμα, δι' οὗ τοῖς ἀνθρώποις ἀναβλάστανει τὰ ἀγαθά. εἰδέναι μέντοι προσήκει, ὡς προσωποποιΐᾳ ὁ προφητικὸς ἐχρήσατο λόγος. οὔτε γὰρ οὐρανὸς, οὔτε γῆ, οὔτε θάλασσα, οὔτε πεδία, οὔτε τὰ ξύλα, λογικά τε καὶ ἔμψυχα, ἀλλ' οἱ ἐν τούτοις ὄντες τὴν ὑμνῳδίαν τῷ Θεῷ προσφέρουσι. τὴν γὰρ θάλασσαν οἰκοῦσιν οἱ νησιῶται, τὴν δὲ γῆν ἠπειρῶται, τὸν δὲ οὐρανὸν ἄγγελοι· οἱ δὲ τοὺς δρυμοὺς ἐρῶντες τῆς τῶν εἰδώλων θεραπείας ἀπηλλαγμένους, τῷ Θεῷ τὸν ὕμνον προσφέρουσιν· ἔτω καὶ τῶν υἱῶν Ἰσραὴλ τὴν ἐξ Αἰγύπτου πορείαν διδάσκων ὁ προφήτης, τῇ προσωποποιΐᾳ πάλιν ἐχρήσατο· ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. καὶ προσφέρει τὴν πεῦσιν, καὶ τὴν ἀπόκρισιν δέχεται, τῶν σεσωσμένων τὴν εὐθυμίαν διὰ τέτων δηλῶν. ιγ'. Ἀπὸ προσώπε Κυρίε, ὅτι ἔρχεται· ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Καλῶς τὰ δύο τέθεικε, καὶ ὅτι ἥκει, καὶ ὅτι ἔρχεται· ἡ πρώτη μὲν γὰρ ἐπιφάνεια δέδωκε τοῖς ἀνθρώποις τὴν θείαν ἐπίγνωσιν· ἡ δὲ δευτέρα ποιήσεται τὴν τῶν πραγμάτων διάκρισιν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτε. τότε γάρ φησι, τότε τὴν δικαίαν κρίσιν ποιήσεται, οὐκ ἔτι τῇ προτέρᾳ μακροθυμίᾳ χρώμενος, ἀλλὰ τὴν τῶν πραγμάτων ἐξετάζων ἀλήθειαν, καὶ ὀρθὴν ἐκφέρων κατὰ πάντων τὴν ψῆφον.

ΕΡΜΗΝ. ΤΟΥ ϟϛ' ΨΑΛΜΟΥ.

Τῷ Δαβὶδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσατο· ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὡμολόγησε καὶ ὁ ταύτην τεθεικὼς τὴν ἐπιγραφὴν, μὴ εὑρηκέναι αὐτὴν παρ' Ἑβραίοις, ἀλλ' αὐτὸς τεθεικέναι· οὐκοῦν οὐδὲ αὐτὴ ἡ προφητική· ἐδὲ γὰρ ἁρμόττει τῇ τε ψαλμῳ διανοίᾳ· ἁπάσης γὰρ τῆς γῆς, ἀλλ' ὲ τῆς Ἰουδαϊκῆς μόνης, τὴν κατάσασιν ὁ προφήτης λέγει· εἰκὸς δὲ καὶ τὸν τὴν ἐπιγραφὴν ἐπιτεθεικότα τοῦ προφήτου νοῆσαι γῆν πᾶσαν τὴν οἰκουμένην, ὡς τῇ τότε μελῳδίᾳ πάντων χρησαμένων ἀνθρώπων· προθεσπίζει δὲ ὅμως ὁ ψαλμὸς καὶ τὴν προτέραν, καὶ τὴν δευτέραν τε Θεε καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καὶ τῶν ἐθνῶν τὴν θεογνωσίαν, καὶ τὸ μέλλον κριτήριον. α'. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Διὰ τούτων τὴν προτέραν τε σωτῆρος ἐπιφάνειαν προλέγει. ὲ δὴ χάριν, καὶ ἠπειρώτας, καὶ νησιώτας εἰς χορείαν διήγειρεν καὶ θυμηδίαν· καὶ τοῦτοι γὰρ κἀκεῖνοι τῇ τῶν μελλόντων ἐλπίδι ψυχαγωγούμενοι γάνυνται· βασιλεῦσαι δὲ τὸν Κύριον ἔφη, οὐχ ὡς τὸ τηνικαῦτα τὴν βασιλείαν δεξάμενον, ἀλλ' ὡς τότε τοῖς ἀνθρώποις τὴν οἰκείαν δείξαντα βασιλείαν. καὶ ἵνα μὴ ταυτολογῶμεν, τοῖς ἤδη παρ' ἡμῶν ἑρμηνευθεῖσιν ἐντυχεῖν παρακαλοῦμεν τοὺς τε μαθεῖν ἀκριβέστερον βουλομένους. β'. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ· δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνε αὐτε. Διὰ τε γνόφε, καὶ τῆς νεφέλης, τὸ ἀθέατον τῆς θείας ἐδίδαξε φύσεως· ὥσπερ γὰρ καὶ τὸν νεφέλη τινὶ,

τινὶ, καὶ γνόφῳ συγκαλυπτόμενον ἀδύνατον κατιδεῖν· οὕτω πάμπαν ἀδύναλον θεάσασθαι τὴν ἀόρατον Φύσιν. ἀναμιμνήσκει δὲ ὅμως, ὡς αὐτός ἐστιν ὁ ἐν τῷ Σινᾷ ὄρει διὰ νεφέλης καὶ γνόφου τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν· καὶ διδάσκει, ὅτι εἰ καὶ τὴν θείαν Φύσιν ἀδύνατον κατιδεῖν, ἀλλ' οὖν διὰ τῆς ἐνεργείας τὴν ταύτης δύναμιν ἔνεστι θεωρῆσαι· δικαιοσύνην γὰρ τὲς ἀνθρώπους ἐπαίδευσε, καὶ τὲς ἀδιακρίτως ἅπαντα δρῶντας, μετὰ κρίσεως ὀρθῆς ἐδίδαξε πολιτεύεσθαι· ταῦτα αὐτῷ ὁ θρόνος καὶ ἡ βασιλεία κατώρθωσεν. γ'. Πῦρ ἐνώπιον αὐτῷ καυθήσεται, καὶ Φλογιεῖ κύκλῳ τὲς ἐχθροὺς αὐτῷ. Ταῦτα τῆς δευτέρας ἐπιφανείας τὰ θεσπίσματα. ταῦτα καὶ ὁ θεῖος ἐθεάσατο Δανιήλ· ὁ θρόνος αὐτῷ, φησὶ, Φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ Φλέγον· ποταμὸς πυρὸς ἐκπορευόμενος εἵλκεν ἔμπροσθεν αὐτῷ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. δ'. Ἐφαναν αἱ ἀστραπαὶ αὐτῷ τῇ οἰκουμένῃ. Δύο τοῦ πυρὸς αἱ ἐνέργειαι· οὐ γὰρ μόνον τὸ καίειν, ἀλλὰ καὶ τὸ φωτίζειν ἔχει· ἀλλὰ τῆς μὲν ὁ τῶν ἁγίων ἀπολαύει χορὸς, θατέρας δὲ οἱ παρανομίᾳ συζήσαντες· ἀστραπὴ δὲ αὐτοῦ τὴν παρουσίαν καὶ ὁ Δεσπότης ἀπείκασεν· ἔφη δὲ οὕτω· ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ Φαίνεται ἕως δυσμῶν, οὕτως ἔσαι ἡ παρουσία τῷ υἱοῦ τοῦ ἀνθρώπου. Εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. τίς γὰρ οὐ δειμαίνει τὸ Φοβερὸν ἐκεῖνο δικαστήριον; ε'. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπε Κυρίε, ἀπὸ προσώπε Κυρίε πάσης τῆς γῆς. Οὐ μόνοι γὰρ οἱ ἀρχόμενοι, ἀλλὰ καὶ αὐτοὶ οἱ δυναστεύοντες καὶ βασιλεύοντες, κηρῷ δίκην πυρὶ πελάζοντος, τῷ Φόβῳ διαλυθήσονται· ὅσῳ γὰρ πλειόνων πραγμάτων οἰκονομίαν ἐνεχειρίθησαν, τοσούτῳ πλείοσιν εὐθύναις ὑπόκεινται· ὅσῳ δὲ πλέον τὸ χρέος, τοσούτῳ πλέον τὸ δέος. ϛ'. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτῷ· καὶ εἶδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτῷ. Τοῦτο καὶ γέγονε, καὶ γενήσεται. ἡνίκα μὲν γὰρ ὁ Δεσπότης ἐτέχθη Χριστὸς, χορὸς ἀγγέλων Φανεὶς τῷ Θεῷ τὸν ὕμνον ἐπὶ τῇ τῶν ἀνθρώπων προσενήνοχε σωτηρίᾳ, καὶ ἔδοων ὑμνοῦντες, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. οὐρανοὺς τοίνυν ἐκάλεσε τὰς οὐρανίας δυνάμεις, ὥσπερ αὖ καὶ γῆν πολλάκις τοὺς τὴν γῆν οἰκοῦντας καλεῖ. εἶδον δὲ καὶ οἱ κατὰ τὴν οἰκουμένην λαοὶ, διὰ τῆς οἰκείας μεταβολῆς, τὸ Θεῷ καὶ σωτῆρος ἡμῶν τὴν δύναμιν· ἡ δευτέρα μέντοι παρουσία σαφῶς ἅπαντας ἀνθρώπες διδάξει τὸ Δεσπότε τὴν βασιλείαν· τότε καὶ τῆς ἀγγέλων ὑμνωδίας ἀκουσόμεθα πάντες. ζ'. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Τὸ ἀληθινὸ τοίνυν Φωτὸς ἀνατείλαντος, ὑποχωρείτω τὸ σκότος, καὶ καταδυέσθωσαν οἱ τῇ πλάνῃ δελεύοντες, ἐγκαλυπτέσθωσαν οἱ τοῖς εἰδώλοις λατρεύοντες. Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτῷ. καὶ ταύτην ὁ μακάριος Παῦλος τὴν προφητείαν τῷ σωτῆρι προσήρμοσε.

φησὶ δὲ ἔτως ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὅτ' ἂν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. εἰς καιρὸν δὲ τοῦτο καὶ ἐνταῦθα τέθεικεν ὁ προφήτης· δείξας γὰρ αἰσχυνομένους καὶ ἐγκαλυπτομένους τοὺς τῶν εἰδώλων προσκυνητὰς, ὑποδείκνυσι τὰς ἀναρίθμους τῶν ἀγγέλων μυριάδας, τὸν ἡμέτερον προσκυνοῦντας Θεόν. ή. Ἤκουσε καὶ εὐφράνθη Σιὼν, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σοῦ Κύριε. Καὶ ἐνταῦθα Σιὼν τὴν εὐσεβῆ πολιτείαν καλεῖ· θυγατέρας δὲ τῆς Ἰουδαίας, τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας. ἐξ Ἰουδαίων γὰρ κατῆραν τὸ γένος οἱ τοῦ σωτῆρος ἀπόστολοι, οἱ ταύτας φυτεύσαντες καὶ γεννήσαντες· καὶ μάρτυς ὁ θεσπέσιος Παῦλος Κορινθίοις ἐπιστέλλων, καὶ διαρρήδην λέγων· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. ἐπειδὴ τοίνυν καὶ μία ἡ τοῦ σωτῆρος ἐκκλησία· εἰς σῶμα γὰρ ἓν ἅπαντες τελοῦσιν οἱ πιστεύσαντες· καὶ αὖ πάλιν πολλαί· πολλὰ γὰρ τὰ μέλη τοῦ σώματος· διὰ μὲν τῆς Σιὼν τὸ κοινὸν ἐκάλεσε σύστημα τῶν εὐσεβῶν· διὰ δὲ τῶν θυγατέρων τῆς Ἰουδαίας, τὰς ἐν πόλεσι καὶ κώμαις, καὶ ἀγροῖς, καὶ ἐσχατιαῖς τῶν πεπιστευκότων συλλόγους· λέγει δὲ καὶ τούτους κἀκείνους εὐφροσύνης ἀναπεπλῆσθαι τὰ δίκαια κρίματα τοῦ κριτοῦ. θ'. Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεούς. Χαίρουσι δὲ ἅπαντες καὶ ἀγάλλονται, τοῦ ἀληθοῦς Θεοῦ καὶ βασιλέως δεξάμενοι τὴν ἐπίγνωσιν, καὶ τῶν ἐκ ὄντων Θεῶν τὸν ἔλεγχον θεασάμενοι. τῶν μὲν γὰρ ἐλέγχθη τὸ μάταιον, σοῦ δὲ τὸ ὕψος ἐδείχθη· ἐπειδὴ δὲ οὐ μόνης ἡμῖν δεῖ πίστεως, ἀλλὰ καὶ πράξεως ἀγαθῆς, ἀναγκαίως καὶ ταύτην ὁ προφήτης προσφέρει τὴν συμβουλήν. ί. Οἱ ἀγαπῶντες τὸν Κύριον μισεῖτε πονηρά. Εἰ τὸ ἀγαθὸν ὑμῖν ἐπέρασεν, τὸ ἐναντίον βδελύξασθε. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; διὰ μέντοι τῆς πονηρίας ἀπηγόρευσε ἅπαντα τῆς κακίας τὰ εἴδη. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς. ἀποστρεφόμενοι τὴν πονηρίαν, καὶ τῆς ὀρθῆς καὶ δικαίας ἐπιμελόμενοι πολιτείας, ἔξεστε κηδεμόνα, καὶ φύλακα, τῶν ὅλων τὸν Κύριον, καὶ κρείττους τῶν ἐπανισταμένων ὑμῖν γενήσεσθε δυσμενῶν. ια'. Φῶς ἀνέτειλε τῷ δικαίῳ· καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Οὐ γὰρ πάντες ἠβελήθησαν ἄνθρωποι τοῦ φωτὸς ἀπολαῦσαι, οὐδὲ πάντες τὴν ἀπὸ τῆς πίστεως εὐφροσύνην ἐδέξαντο. αὐτὸς γὰρ ὁ τῆς δικαιοσύνης ἥλιος πᾶσι τῆς σωτηρίας τὰς ἀκτῖνας κατέπεμψεν· ἀλλ' εἰσὶν οἱ τὰς ὀφθαλμὰς ἔμυσαν, καὶ τὸ φῶς ἰδεῖν ἐκ ἠβουλήθησαν. ιβ'. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ· καὶ ἐξομολογεῖσθε τὴν μνήμην τῆς ἁγιωσύνης αὐτοῦ. Ἅπαντες τοίνυν οἱ τοῦ φωτὸς ἀπολαύσαντες, καὶ τὸν τῆς ἀρετῆς ἀσπασάμενοι κλῆρον, ἀγαλλιᾶσθε, καὶ τὸν Θεὸν ἀνυμνεῖτε, τὸ τῶν εὐεργεσιῶν ἐξηγέμενοι πλῆθος· ἐξομολόγησιν γὰρ ἐνταῦθα τὴν εὐχαριστίαν ἐκάλεσεν.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ ϟζ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβίδ. Καὶ ἔτος ὁ ψαλμὸς τὴν αὐτὴν ἔχει διάνοιαν· ἑκατέραν γὰρ τοῦ σωτῆρος ἐπιφάνειαν προθεσπίζει· ἀλλὰ τὰ πλείονα περὶ τῆς πρωτέρας διέξεισιν. ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἐπειδὴ τῶν παλαιῶν πραγμάτων κηρύττει μεταβολὴν, καὶ καινήν τινα πολιτείαν προαγορεύει, εἰκότως καὶ ᾆσμα καινὸν κελεύει προσενεγκεῖν τῷ Θεῷ. Ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. ὑπερφυᾶ γὰρ καὶ παράδοξα τὰ ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γινόμενα. Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων αὐτοῦ ὁ ἅγιος. πολλάκις εἰρήκαμεν, ὅτι χεῖρα τὴν ἐνέργειαν λέγει, δεξιὰν δὲ τὴν ἀγαθὴν ἐνέργειαν. λέγει δὲ, ὅτι τῆς αὐτοῦ δυνάμεως ἔργον, τῶν ἀνθρώπων ἡ σωτηρία. ἀμέτρῳ δὲ φιλανθρωπίᾳ χρώμενος, οἰκεῖον ἡγεῖται κέρδος τὴν τῶν ἀνθρώπων ζωήν. διά τοι τοῦτο οὐκ εἶπεν, ἔσωσεν αὐτὸς ἡ δεξιὰ αὐτοῦ, ἀλλ' ἔσωσεν αὐτῷ. τῆς γὰρ τῶν εἰδώλων αὐτὸς πλάνης ἐλευθερώσας, καὶ τῆς αὐτοῦ βασιλείας τὸ ὑψηλὸν ὑποδείξας, τῆς σωτηρίας μετέδωκε. καὶ τοῦτο σαφέστερον διὰ τῶν ἑπιφερομένων ἐδήλωσεν. β'. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν, ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Πᾶσιν ἀνθρώποις τὰ σωτήρια προσενήνοχε νάματα, καὶ τὴν δικαίαν αὐτοῦ βασιλείαν τοῖς ἔθνεσιν ἔδειξεν. γ'. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· εἶδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Κομιδῇ ταῦτα ἔοικε τοῖς Ἡσαΐᾳ τῷ προφήτῃ θεσπίσμασι· δι' ἐκείνου γὰρ ὁ τῶν ὅλων Θεὸς πρὸς τὸν δεσπότην ἔφη Χριστόν· ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἐπειδὴ γὰρ καὶ τοῖς θαυμασίοις πατριάρχαις, τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, καὶ τῷ θεσπεσίῳ Δαβὶδ ὑπέσχετο ὁ τῶν ὅλων Θεὸς, ἐκ τοῦ σπέρματος αὐτῶν κατὰ σάρκα τὸν Χριστὸν ἀναστήσειν, καὶ σωτηρίαν δι' αὐτοῦ πᾶσιν ἀνθρώποις παρέξειν, διαθήκην ἐκάλεσε τὴν πρὸς τοὺς πατέρας γεγενημένην ἐπαγγελίαν. τὴν γὰρ διαθήκην οἱ ἄλλοι ἑρμηνευταὶ συνθήκην εἰρήκασι. γένος δὲ αὐτοῦ, τὸν Ἰσραὴλ κέκληκεν, ἐπειδὴ ἐξ Ἰουδαίων ὁ Χριστὸς κατὰ σάρκα, ᾗ φησὶν ὁ ἀπόστολος. δέδωκά σε τοίνυν „ἔ„φη„ εἰς διαθήκην γένους· τουτέστιν ὥστε πληρῶσαι τὰς πρὸς Ἰουδαίους γεγενημένας συνθήκας· ἀλλ' εἰς φῶς, ἐκ ἔτι Ἰουδαίων, ἀλλ' ἐθνῶν· ἦτοι γὰρ διὰ τῆς πίστεως τῆς σωτηρίας μετέλαχον· „ὁ„μολογήσαντες αὐτὸν καὶ ὁμολογοῦντες „Θεὸν ἐκ Θεοῦ„ ἐκεῖνοι δὲ τὸν ζόφον τῆς ἀπιστίας ἠγάπησαν. τοῦτο καὶ ἐνταῦθα ὁ μακάριος ἔφη Δαβὶδ· ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· τὰς γὰρ πρὸς ἐκείνους γεγενημένας ἐπαγγελίας ἐπλήρωσεν. εἶδον μέντοι πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. οὐ γὰρ Ἰουδαίοις μόνοις ἀνέτει-

λεν,

λεν, ἀλλὰ πᾶσιν ἀνθρώποις τῆς ἀληθείας τὸ φῶς. δ'. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ᾄσατε, καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε. Ἐπειδὴ τοίνυν ἅπαντες τῆς πικρᾶς τῷ διαβόλῳ τυραννίδος ἠλευθερώθητε, τὸν ἐπινίκιον ὕμνον τῷ σεσωκότι Θεῷ προσενέγκατε· ὁ γὰρ ἀλαλαγμὸς νικώντων φωνή. διὸ πληροῦμεν τὸ κελευσθέν. τοῦτο γὰρ τὸν ὕμνον ἀλαλάζοντες καὶ βοῶντες κατὰ τὸν μυστικὸν καιρὸν προσφέρειν εἰώθαμεν τῷ Θεῷ, ᾄδοντες, καὶ ψάλλοντες, καὶ μετὰ πάσης εὐθυμίας χορεύοντες. ε'. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, καὶ φωνῇ ψαλμῷ. Καὶ τοῦτον δὲ τὸν νόμον ἔξιν ἰδεῖν σὺν γυναιξὶν ἐν ταῖς ἐκκλησίαις πληρέμενον· τῇ γὰρ πνευματικῇ κιθάρᾳ τὴν θείαν ἀνακρουόμεθα μελῳδίαν· ποιεῖμεν δὲ καὶ ἡμεῖς λογικὰς κιθάρας τὰ ἡμέτερα σώματα, καὶ χρώμεθα, ἀντὶ μὲν χορδῶν τοῖς ὀδοῦσιν, ἀντὶ δὲ χαλκοῦ τοῖς χείλεσι, πλήκτρου δὲ παντὸς ὀξύτερον ἡ γλῶττα κινεμένη τὴν ἐναρμόνιον ἀποτελεῖ τῶν ῥημάτων ἠχήν. κινεῖ δὲ τὴν γλῶτταν ὁ νοῦς, οἷόν τις μέσιτος μετ' ἐπιστήμης ποιεύμενος τὴν ταύτης μετάδοσιν· αὕτη τῷ Θεῷ ἡ κιθάρα τῆς ἀψύχου θυμηρεστέρα. καὶ μάρτυς αὐτὸς διὰ τοῦ προφήτου πρὸς Ἰουδαίους βοῶν· ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ φωνὴν ὀργάνων σου οὐκ ἀκούσομαι. ς'. Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Σάλπιγγα πολλάκις τὴν βοὴν ἡ θεία καλεῖ γραφή. ὅτως ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν· ὅτ' ἂν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν· ἀντὶ τοῦ, μὴ κηρύξῃς, μηδὲ δήλην ἅπασι καταστήσῃς· ἵνα μὴ τῇ κενῇ δόξῃ τὸν τῆς φιλανθρωπίας λυμήνῃ καρπόν. καὶ ἐνταῦθα τοίνυν σάλπιγγα τὴν διδασκαλίαν καλεῖ, δι' ἧς καὶ τὰς εἰς ἡμᾶς γεγενημένας εὐεργεσίας μανθάνομεν, καὶ τὰς ὠνησιφόρους παιδευόμεθα νόμους· ἐλατὰς δὲ σάλπιγγας τὰς χαλκᾶς λέγει· κερατίνας δὲ, τὰς ἐκ κεράτων γεγενημένας. ταύταις δὲ Ἰουδαίους χρῆσθαι σύνηθες ἦν· σκιὰ δὲ τῶν ἡμετέρων παρ' ἐκείνοις ἐπολιτεύετο· ὥσπερ τοίνυν ἐκεῖνοι τὸν ἄλογον ἔθυον ἀμνὸν, ἡμεῖς δὲ τὸν σωτήριον, „τὸν ἐκ „Θεοῦ Θεὸν, „ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· ὅτως ἐκεῖνοι ταῖς ἀψύχοις ἐκέχρηντο σάλπιγξιν, ἡμεῖς δὲ ταῖς ἐμψύχοις καὶ λογικαῖς. σάλπιγγες τοίνυν ἡμῶν οἱ θεῖοι ἀπόστολοι, καὶ οἱ θεσπέσιοι προφῆται, καὶ οἱ μετ' ἐκείνους τοῦ διδασκαλικοῦ τέλυχηκότες χαρίσματος. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου. τὸν ἐπινίκιον ὕμνον προσενέγκατε τῷ βασιλεῖ καὶ δεσπότῃ τῶν ὅλων. ζ'. Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ὁ δὲ Σύμμαχος ὅτως· ἠχείτω ἡ θάλασσα σὺν πληρώματι αὐτῆς· ἡ οἰκεμένη, καὶ οἱ κατοικοῦντες αὐτήν. διαφερόντως δὲ ἐν ταῖς πολυανθρώποις πόλεσίν ἔξιν ἰδεῖν τῆς προφητείας τὸ τέλος· θάλατταν γὰρ κυμαίνουσαν τῶν εὐσεβῶν λαῶν ἐν ταῖς ἐκκλησίαις μιμεῖται τὸ πλῆθος. τοιαύτη δὲ καὶ ἡ τῶν ψαλλόντων ἠχὴ κατὰ

κατὰ δὲ τὰς ἑβδομήκοντα, τῶν τὴν θάλασσαν καὶ γῆν οἰκούντων ὁ προφητικὸς λόγος τὴν κίνησιν ἐδήλωσε, καὶ μεταβολήν· σαλεύεται γὰρ τὸ κινούμενον· κινεῖται δὲ τὸ μεταβαλλόμενον. ή. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. Πάλιν ποταμοὺς τὰς τῆς διδασκαλικῆς μεταλαγχάνοντας ὠνόμασε χάριτος, καὶ ποταμῶν δίκην τὰ θεῖα προχέοντας νάματα· ἐς κροτεῖν ἔφη, καὶ τὸν Θεὸν ἀνυμνεῖν· νενικηκότων γὰρ πάλιν ὁ κρότος. Τὰ ὄρη ἀγαλλιάσονται θ'. Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται· ὅτι ἥκει κρῖναι τὴν γῆν. Ἐνταῦθα ὄρη προσηγόρευσε τοὺς ὑψηλὸν καὶ μετάρσιον ἔχοντας φρόνημα, ἐφ' ὧν ἡ τοῦ Θεοῦ ᾠκοδόμηται πόλις. ὃ δύναται γάρ φησι πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· καὶ, οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· τότε ἔφη ἀγάλλεσθαι καὶ εὐφραίνεσθαι, τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν μανθάνοντας ἐπιφάνειαν· προσμένοντες γὰρ τῶν πόνων τὰς ἀντιδόσεις, ἀγάλλονται τῇ κριτῇ τὸ δίκαιον ἐπισάμενοι. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι. Προτέραν μὲν γὰρ ἐπιφάνειαν πολὺν ἔχε τὸν ἔλεον· ἡ δὲ δευτέρα ἕξει τὸ δίκαιον. πάντες γάρ φησιν παρασησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. τοῦτο δὲ καὶ ὁ προφήτης ἔφη· ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοὶ Κύριε τὸ ἔλεος, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΕΡΜΗΝ. ΤΟΥ λή ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Οὗτος ὁ ψαλμὸς προθεσπίζει μὲν καὶ τὴν ἀπὸ Βαβυλῶνος Ἰουδαίων ἐπάνοδον, προαγορεύει δὲ καὶ τοῦ σωτῆρος ἡμῶν τὴν ἐπιφάνειαν, καὶ τῶν Ἰουδαίων τὴν ἀπιστίαν. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Καὶ Ἰουδαῖοι γὰρ, καὶ Ἕλληνες, μεμήνασι καὶ λυτοῦσι τῷ Δεσπότῃ Χριστῷ τὴν βασιλείαν ἀκέοντες· καὶ ἡνίκα δὲ τῆς ἐλευθερίας ἀπήλαυσαν Ἰουδαῖοι, πάντες οἱ πλησιόχωροι διεπρίοντο, τὴν παράδοξον αὐτῶν ἐπάνοδον θεασάμενοι. ἐδήλου δὲ τοῦτο τῷ ὑπ' αὐτῶν προσκυνουμένῳ τὴν δύναμιν. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ. Οὗτος δὲ φησιν ὁ παρ' ἡμῶν κηρυττόμενος, καὶ τῶν ἄνω δυνάμεων Θεὸς ὑπάρχει καὶ Κύριος· τὸ δὲ καθήμενος, ὡς πρὸς ἀνθρώπους διαλεγόμενος εἴρηκεν· ἡ γὰρ ἀσώματος φύσις, ἡ ἀπερίληπτος, καὶ ἀπερίγραπτος, κατέχουσα τὸν γύρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας, ποίας δεῖται καθέδρας; χηματίζει δὲ ὅμως τῷ λόγῳ τὸν τῶν ὅλων Θεὸν, βασιλικῶς τοῖς Χερουβὶμ ἐποχούμενον, καταπλήττοντα καὶ δεδιττόμενον τοὺς ἀκέοντας. β'. Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. Καὶ τῶν Ἰουδαίων ἐπανελθόντων, καὶ τὸν θεῖον δειμαμένων νεὼν, ἡ τοῦ Θεοῦ δύναμις ἅπασιν ἀπεδείχθη· διαφερόντως γὰρ ὁ τὸν σαυρὸν ὑπομείνας οἰκουμένης ἁπάσης ἀπεφάνθη· Δεσπότης,

τῶν ἱερῶν ἀποστόλων τὸ σωτήριον κήρυγμα προσενεγκάντων τοῖς ἔθνεσιν. γ'. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σε τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι. Χρὴ τοίνυν ἅπαντας ἀνυμνεῖν σε, καὶ τὰς σὰς εὐεργεσίας διεξιέναι, καὶ τὴν ἄῤῥητόν σε μὴ περιεργάζεσθαι φύσιν· τῷ δὲ ὀνόματί σε προσφέρειν τὸ σέβας, καὶ φοβερῷ ὄντι, καὶ παναγίῳ. ἁγιάζει μὲν γὰρ τοὺς πιστεύοντας, ἐκδεικνύει δὲ τοὺς ἀπιστοῦντας. δ'. Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Προσήκει δὲ ἡμᾶς δεδιέναι ὡς βασιλέα, καὶ δικαιοσύνῃ χρώμενον· ἴδιον γὰρ τῆς ἀληθοῦς βασιλείας τὸ δικαίως ἰθύνειν τοὺς ὑπηκόους· τιμὴ γὰρ βασιλέως κρίσιν ἀγαπᾷ, τοῦτέστι τίμιον ποιεῖ βασιλέα τὸ κρίνειν τὸ δίκαιον. τοῦτο δὲ δηλοῖ καὶ τὸ ἐπαγόμενον. Σὺ ἡτοίμασας εὐθύτητας· κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. Ὡς γὰρ δίκαιος βασιλεὺς, ὀρθὴν καὶ δικαίαν τὴν ψῆφον ἐξήνεγκας, καὶ τὸν Ἰσραὴλ τῆς τῶν καταδηλωσαμένων ἠλευθέρωσας δυναστείας, „ καὶ τὰ ἔθνη „ τῆς τοῦ διαβόλου δουλείας. „ κατὰ δὲ τὴν ἑτέραν προφητείαν ὕτω νοητέον· ἔδειξας τῆς ἐπαγγελίας σου τὴν ἀλήθειαν, τὰς πρὸς τοὺς προγόνους τοῦ Ἰσραὴλ γεγενημένας ὑποσχέσεις πληρώσας, καὶ τὴν διὰ τοῦ σπέρματος τοῦ Ἀβραὰμ δωρησάμενος σωτηρίαν. ε'. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν. Ἀμείψασθε τοίνυν τὸν εὐεργέτην, οἷς δύνασθε, καὶ τὸ πρόσφορον αὐτῷ προσενέγκατε σέβας· τὸ δὲ ὑψοῦτε, ἀντὶ τοῦ ὑψηλὸν αὐτοῦ κηρύττετε. ὑποπόδιον δὲ τῶν ποδῶν αὐτοῦ, πύλας μὲν ὁ ἐν Ἱεροσολύμοις νεὼς ἐνενόμιστο, νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησίαι, ἐν αἷς τῷ παναγίῳ Θεῷ προσφέρομεν τὴν προσκύνησιν. ς'. Μωσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ· καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Οὐχ ἁπλῶς τοὺς ἄλλους προφήτας καταλιπὼν, τούτων ἐμνημόνευσε μόνον, ἀλλὰ τὴν σύντροφον Ἰουδαίων λύτλαν καὶ τυραννίδα διδάσκων· καὶ γὰρ ἐπὶ Μωσοῦ καὶ Ἀαρὼν ἁρπάσαι τὴν ἱερωσύνην ἐπειράθησαν· καὶ ἐπὶ Σαμουὴλ τὴν θείαν ἀτιμάσαντες βασιλείαν, τὴν ἀνθρωπείαν ἠγάπησαν. διδάσκει τοίνυν ὁ λόγος, ὅτι καινὸν οὐδὲν δρῶσι κατὰ τοῦ σωτῆρος λυτλοῦντες, καὶ τὴν σωτήριον οὐ δεχόμενοι βασιλείαν· ἄνωθεν γὰρ αὐτοῖς ἡ μανία συνήθης. Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν. ζ'. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Καί τοι φησὶ, πολλὴν εἶχον πρὸς τὸν Θεὸν παῤῥησίαν· οἱ μὲν γὰρ παρεκάλουν, ὁ δὲ ὑπήκουε, καὶ τὰς αἰτήσεις παρεῖχε, καὶ πάντων ὁρώντων τὴν πρὸς αὐτοὺς ἐποιεῖτο διάλεξιν, διὰ τῆς νεφέλης τὴν οἰκείαν δεικνὺς ἐπιφάνειαν· εἶτα διδάσκει, ὡς οὐκ ἀδίκως ταύτης αὐτοῖς μετεδίδου χάριτος. Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς. Ἐννόμως γὰρ πολιτευομένοις, καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ βιοτεύουσι, ταύτην ἐδωρεῖτο τὴν χάριν. η'. Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν· ὁ Θεὸς σὺ εὐίλατος ἐγένου αὐτοῖς. Σὺ εἶ Δέσποτά φησιν ὁ ὑφ' ἡμῶν

ἡμῶν κηρυττόμενος, ὁ τῆς τοσαύτης ἐκείνοις μεταδὺς παῤῥησίας, καὶ πολλῆς αὐτὸς ἀξιῶν εὐμενείας. Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. Ὁ δὲ Σύμμαχος ἔτως, καὶ ἔκδικος ἐπὶ ταῖς ἐπηρείαις αὐτῶν. τὸς μὲν γὰρ κατὰ τὸ μεγάλε Μωσῆ τυραννήσαντας πυρὶ παραδέδωκε, καὶ τὸς τὴν φλόγα διαφυγόντας ζῶντας τῷ τάφῳ παρέπεμψε, χάναι κελεύσας τὴν γῆν, καὶ τάφον αὐτοῖς αὐτοχέδιον τῆς τυραννίδος τὸ χωρίον ἀπέφηνε, καὶ τὸς διὰ θαλάσσης ὁδεύσαντας, καὶ τὸν βυθὸν ἐκεῖνον πεζεύσαντας, πεποίηκεν ὑποβρυχίους ἐν γῇ, παραδόξοις χρησάμενος κύμασι. τὸς δὲ κατὰ τὸ προφήτε Σαμουὴλ σωσιάσαντας τῇ τῦ Σαοὺλ δυναστείᾳ παρέδωκε, καὶ παντοδαπαῖς περιέβαλε συμφοραῖς. θ'. Ὑψῶτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Τέτων τοιγαρῦν τῶν θαυμασίων ἀνδρῶν μιμέμενοι τὴν εὐσέβειαν, τὸ προσῆκον σέβας τῷ Θεῷ προσενέγκατε· ὄρος δὲ ἅγιον, πάλαι μὲν τὸ Σιὼν ἐκαλεῖτο, νῦν δὲ τῆς θεογνωσίας τὸ ὕψος· ἔτω γὰρ καὶ Ἡσαΐας, καὶ Μιχαίας ἐθέσπισαν· ἔσαι ἐν ταῖς ἐσχάταις ἡμέραις ἔμφανὲς τὸ ὄρος Κυρίε, τετέσιν, ἡ τῦ Θεῦ γνῶσις δήλη πᾶσι γενήσεται· εἶδε καὶ ὁ θεῖος ἀπόστολος νοητὸν ὄρος Σιών· προσεληλύθατε γὰρ Σιὼν ὄρει καὶ πόλει Θεῦ ζῶντος Ἱερυσαλὴμ ἐπερανίῳ· προστετάγμεθα τοίνυν κατὰ τὴν δοθεῖσαν ἡμῖν ὑπὸ τῦ Θεῦ γνῶσιν προσφέρειν αὐτῷ τὴν προσκύνησιν, „καὶ „Θεὸν ἐκ Θεῦ ὁμολογεῖν καὶ μονογενῆ „τῷ Πατρὶ υἱὸν, τὸν δι' ἡμᾶς ἐνανθρω„πήσαντα· ἀμήν.„

ΕΡΜΗΝ. ΤΟΥ ϟθ' ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβὶδ, εἰς ἐξομολόγησιν· ἀνεπίγραφος παρ' Ἑβραίοις. Ὁ προφήτης ἐνταῦθα πάντας ἀνθρώπες εἰς ὑμνῳδίαν καλεῖ, παρεγγυῶν διὰ πάντων θεραπεῦσαι τὸν σωτῆρα Θεόν. β'. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ἅπαντες ἄνθρωποι τὸν ἐπινίκιον ὕμνον προσενέγκατε τῷ Θεῷ· γῆν γὰρ τὸς κατοικῦντας τὴν γῆν καλεῖ. Δελεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. Οὐ γάρ ἐσι κατὰ τὴν πικρὰν τῦ διαβόλε τυραννίδα, τῦ Θεῦ καὶ σωτῆρος ἡμῶν ἡ βασιλεία, ἀλλ' ἥμερος αὐτῦ καὶ φιλάνθρωπος ἡ δεσποτεία· γεγηθότες τοίνυν τῇ δελείᾳ προσέλθετε. Εἰσέλθετε ἐνώπιον αὐτῦ ἐν ἀγαλλιάσει. Ὁ δὲ Σύμμαχος, μετ' εὐφημίας εἴρηκεν· ὁ δὲ Ἀκύλας, ἐν αἰνέσει, ἀγαλλομένων δὴ καὶ εὐφραινομένων ὁ ὕμνος. γ'. Γνῶτε ὅτι αὐτός ἐσιν ὁ Θεὸς ἡμῶν. „εἰ „γὰρ καὶ ἄνθρωπος εἵλετο ὁ φιλάν„θρωπος γενέθαι, ἀλλὰ τὸ εἶναι Θεὸς „ἔμεινεν ἔχων ἀεί· λέγει δὲ ὅτι „δι' αὐτῶν μάθετε τῶν πραγμάτων, ὡς ὁ ἡμέτερος Δεσπότης αὐτός ἐσιν τῶν ὅλων Θεός. ταῦτα τοῖς ἔθνεσι προσέφερε τὰ παιδεύματα καὶ ὁ ἱερὸς τῶν ἀποστόλων χορὸς, ὡς ἡ τῶν πράξεων ἱστορία διδάσκει. Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ ἐχ ἡμεῖς. Οὐ γὰρ ἡμεῖς ἡμῶν αὐτοὶ δημιεργοὶ καθεζήκαμεν, ἀλλ' ὑπ' αὐτῦ ἐπλάθημεν. ἔτως ὁ μακάριος

Παῦλος Ἀθηναίοις ἐδίδαξεν· ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, ἔτος οὐρανῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης διδάσκει· αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. ὁ δὲ Σύμμαχος ἔτως, αὐτὸς ἐποίησεν ἡμᾶς ὄντας. Ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. Διὰ τούτων οὐ μόνον τὴν δεσποτείαν, ἀλλὰ καὶ τὴν κηδεμονίαν ἐδήλωσεν. οὐ μόνον γὰρ ἡμῶν Δεσπότης ἐστὶν, ἀλλὰ καὶ ποιμὴν, τὴν ἀγαθὴν ἡμῖν προσφέρων νομήν· ἡμεῖς δὲ αὐτοῦ καὶ λαὸς ὡς βασιλέως, καὶ πρόβατα ὡς ποιμένος. δ'. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Πύλας αὐτοῦ, καὶ αὐλὰς αὐτοῦ, τὰς ἐκκλησίας καλεῖ. αὗται γὰρ ἡμῶν τὴν πρὸς αὐτὸν παρέχουσιν εἴσοδον, ἐν αἷς προσήκει τὰς θείας αὐτοῦ καὶ σωτηρίους ἐργασίας διεξιέναι, καὶ τὸν χαριστήριον ὕμνον οἷόν τι δῶρον προσφέρειν. Ἐξομολογεῖσθε αὐτῷ· αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. ε'. Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ. Πῶς γὰρ ὁ δίκαιον ὑμνεῖν τὸν ἀρρήτῳ φιλανθρωπίᾳ χρώμενον, καὶ ταῖς ἀγαθαῖς ὑποχέσεσιν ἐπιτιθέντα τὸ πέρας; ἃ γὰρ ἐπὶ τῆς τῶν προγόνων ὑπέχετο γενεᾶς, ταῦτα ἐπὶ τῆς ἡμετέρας πεπλήρωκεν, καὶ ἣν ἐπηγγείλατο σωτηρίαν, ἀληθῶς ἐδωρήσατο, „διὰ σαυρῦ καὶ θανάτου τὴν „ἡμετέραν σωτηρίαν πραγματευσαμέ„νος· ἀμήν. „

ΕΡΜΗΝ. ΤΟΥ ρ' ΨΑΛΜΟΥ.

α'. Τῷ Δαβὶδ ψαλμός. Ἔνια τῶν ἀντιγράφων ἔχει, τετράδι σαββάτων· ἔτε δὲ παρὰ τῷ Ἑβραίῳ, ἔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, ἔτε παρὰ τοῖς ἑβδομήκοντα ταύτην εὑρήκαμεν τὴν προθήκην. ὑπόθεσιν δὲ ὁ ψαλμὸς ταύτην ἔχει· Ἰωσίας ὁ βασιλεὺς ἀνέσπασεν ἅπαντας ἐκ βάθρων τὰς τῶν εἰδώλων βωμούς· τοὺς δὲ τούτων κατηκόντισεν ἱερεῖς· εἰς δὲ τὴν προτέραν εὐσέβειαν ἐποδήγησε τὸν λαόν. οὐ μόνης δὲ τῆς τῶν δογμάτων ἐφρόντισεν ὑγείας, ἀλλὰ καὶ τῶν τῆς ἀρετῆς ἐπεμελήθη κατορθωμάτων, ὀρθῶς δικάζων, γεραίρων τὸ δίκαιον, ἐπαρκῶν ἀδικουμένοις, τοὺς ἀδικοῦντας κολάζων, τῆς τῶν συνοικούντων ὠφελείας ἐπιμελούμενος· ταῦτα πόρρωθεν ὁ μακάριος Δαβὶδ θεασάμενος, τοῦτον συνέγραψε τὸν ψαλμὸν, καὶ τὴν ἐκείνου διεξιὼν ἀρετὴν, καὶ πᾶσιν ἀνθρώποις τελειότητος προστιθεὶς χαρακτῆρα. Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε. Ἐπειδὴ γὰρ καὶ τοὺς ἀδικουμένους ἠλέει, καὶ τῶν ἀδικούντων ὁ θαυμάσιος Ἰωσίας κατεψηφίζετο, τὴν περὶ ἐκείνων διήγησιν, εὐφημίαν ἐλέου καὶ κρίσεως προσηγόρευσε. β'. Ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. Ὁ δὲ Σύμμαχος ἔτως· μελῳδήσω, ἐννοήσω ὁδὸν ἄμωμον· ἣν διὰ τῆς τοῦ πνεύματος χάριτος ἐθεασάμην

ἄμωμον

ἄμωμον ὁδὸν, καὶ θυμήρη Θεῷ, ταύτην νῦν διὰ τῆς μελῳδίας προσθήσω. Πότε ἥξεις πρός με; τοσαύτην γὰρ ὁ θαυμάσιος ἔτος ἀνὴρ ἐκτήσατο καθαρότητα, ὡς μετὰ παῤῥησίας βοῆσαι πρὸς τὸν Θεὸν, πότε ἥξεις πρός με; ἀντὶ τοῦ, εὐπρεπῆ σοι τὰ βασίλεια κατέσησα, ποθῶ σε „τὴν παρουσίαν „ὦ Δέσποτα· ἱμείρομαί σε„ τῆς ἐπιφανείας, ἀλλὰ δὸς τὸ ποθούμενον. Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. Ἁπλότητι συζῶν διετέλεσα· ἐκ ἐχρώμην διπλόῃ, οὐδὲ ἄλλος μὲν τοῖς ἐκτὸς ἐφαινόμην, ἐν δὲ τῇ οἰκίᾳ τοὐναντίον δρᾶν ἠνειχόμην, ἀλλὰ συνέβαινε τοῖς φαινομένοις τὰ κεκρυμμένα. γ'. Οὐ προσετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. Οὐ μόνον τὰς παρανόμους πράξεις ἐβδελυττόμην, ἀλλὰ καὶ τὰς περὶ τούτων ἐνθυμήσεις ἀπεσειόμην, τὸν λογισμὸν πρὸ τῶν ἄλλων ἁπάντων ῥυθμίζων καὶ διευθύνων. Ποιοῦντας παραβάσεις ἐμίσησα. Ἀπεστρεφόμην δὲ καὶ τοὺς τῶν θείων καταφρονοῦντας θεσμῶν. δ'. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. Συνήθεις δὲ μοι ἦσαν οἱ τιμῶντες τὸ δίκαιον. τοὺς δὲ τὰ ἐναντία προαιρεμένους, καὶ τὸν ὀρθὸν λογισμὸν ἐκ ἐθέλοντας ἔχειν, πόῤῥω τῶν ἐμῶν ἐποιούμην συλλόγων. Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ ἐκ ἐγίνωσκον. Εἰ δέ τις τῶν συόντων πονηρίᾳ χρώμενος ἀποσῆναι τῆς ἐμῆς ἠθέλησε συνουσίας, ἐδὲ χωρισμὸν ὑπελάμβανον τὸν τοιοῦτον χωρισμόν. Ὅτως εὐκαταφρόνητος ἦν μοι λίαν ὁ τὴν κακίαν αἱρούμενος. ε'. Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Τὰς δὲ λάθρα γινομένας κατηγορίας ἐ προσιέμην, ἀλλὰ τοὺς τοῦτο δρᾶν πειρωμένους ἐξήλαυνον. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ ἐ συνήθιον. Οὔτε τοὺς ἀλαζονείᾳ „καὶ „πλεονεξίᾳ„ χρωμένους ἐποιούμην συσσίτους. ς'. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. Συνεδρίων δέ μοι καὶ βουλῆς ἐκοινώνουν οἱ πίστει κοσμούμενοι, καὶ περὶ πολλοῦ τὰ θεῖα ποιούμενοι. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, ἔτός μοι ἐλειτούργει. Οὐ μόνον δὲ φίλων καὶ συμβούλων, ἀλλὰ καὶ τῶν διακόνων πολλὴν ἐποιούμην φροντίδα. ὑπηρέτας γὰρ ἐχρώμην ἀρετῆς ἐπιμελομένοις, καὶ κακίας ἀπηλλαγμένοις. ζ'. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. Οὐδένα δὲ τῶν ὑπεροψίᾳ χρωμένων σύνοικον ἔχειν ἠρούμην. Λαλῶν ἄδικα ἐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰ δέ τις συνεβούλευσεν, ἢ ἐζήτησεν ἄδικα, διαμαρτὼν ἀπελήλυθεν· „σπουδὴ γάρ μοι „ἀποκλεῖσαι τὰς ἀκοὰς τοῖς διαβάλλειν „ἐθέλουσιν.„ η'. Εἰς τὰς πρωΐας ἀπέκτενον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Τοῦτο σαφῶς παρὰ τῆς ἱστορίας ἐμάθομεν. ἅπαντας γὰρ τοὺς δυσσεβεῖς ἱερεὰς τῷ θανάτῳ παρέπεμψε, καὶ τὴν ἱερὰν ἐξεκάθηρε πόλιν. „πρωΐαν δὲ „καλεῖ τὴν ἀρχὴν τῆς αὐτοῦ βασιλείας· „ὡς ὄρθρος γὰρ αὐτὸς ἀνέτειλε μετὰ

„τῆς πρεπούσης καὶ φωτιζούσης δικαιο-
„σύνης. „ ὁ δὲ βουλόμενος τὴν τοῦ ἀν-
δρὸς ἀρετὴν καταμαθεῖν ἀκριβέστερον,
εὑρήσεται ταύτην ἔκτῃ τῆς δευτέρας
τῶν παραλειπομένων, καὶ ἐκ τῆς τετάρ-
της τῶν βασιλειῶν ἱστορίας. „σπου-
„δασάτω τοίνυν ἕκαστος μιμητὴς τοῦδε τοῦ
„ἀνδρὸς γενέσθαι· ἵνα τῆς ἴσης αὐτῷ
„κοινωνήσῃ παρὰ Χριστῷ παῤῥησίας·
„ἀμήν. „

ΕΡΜΗΝ. ΤΟΥ ῥα΄ ΨΑΛΜΟΥ.

ά. Προσευχὴ τῷ πλουσίῳ· ὅταν ἀκηδιά-
σῃ, καὶ ἔναντι Κυρίου ἐκχέῃ
τὴν δέησιν αὐτοῦ. Προῤῥήσεις μὲν ὁ
ψαλμὸς ἔχει τῆς ἐν Βαβυλῶνι τοῦ λαοῦ
τῶν Ἰουδαίων ταλαιπωρίας, καὶ τῆς ἐκεῖ-
θεν ἐπανόδου· προαγορεύει δὲ κατ' αὐ-
τὸν, καὶ τῶν ἐσομένων τὴν κλῆσιν καὶ σω-
τηρίαν· ἁρμόττει δὲ καὶ παντὶ συμφορᾷ
τινὶ προσπαλαίοντι, καὶ τῆς θείας ῥο-
πῆς τυχεῖν ἱκετεύοντι· πλουσίου γὰρ κα-
λεῖ, τὸν θείας ἐνδεῆ προμηθείας.
β΄. Κύριε ἀσάκησον τῆς προσευχῆς μου,
καὶ ἡ κραυγή μου πρὸς σὲ „ἐλθέτω. „
Δέξαι μου τὴν ἱκετηρίαν ὦ Δέσποτα, καὶ
ποτνιωμένῳ τὴν σὴν βοήθειαν ὄρεξον·
τὴν γὰρ κραυγὴν οἰμωγὴν ὁ Σύμμαχος
ἑρμήνευσεν. γ΄. Μὴ ἀποστρέψῃς τὸ πρόσω-
πόν σου ἀπ' ἐμοῦ. Εὐμενής μοι γενοῦ,
καὶ λῦσον τὴν ἀγανάκτησιν. Ἐν ᾗ ἂν
ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς
σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, τα-
χὺ ἐπάκουσόν μου. Δηλοῖ καὶ ταῦτα τοῦ ψαλμοῦ τὰ ῥήματα, ὡς μελλόν-
των ἐστὶ προῤῥήσεις, καὶ ὡς γεγενημένων
διήγησις. ἐπειδὴ γὰρ ἐν εὐκληρίᾳ πολλῇ,
καὶ περιφανείᾳ ἐτύγχανεν ὢν ὁ λαὸς ἐν
τῇ τοῦ Θεσπεσίου Δαβὶδ βασιλείᾳ· εἰκότως ὁ προφήτης, τῷ ἐκείνων κεχρη-
μένος προσώπῳ, προσφέρει τὴν ἱκετείαν,
καὶ τυχεῖν ἀντιβολεῖ τῆς θείας κηδεμο-
νίας, ἡνίκα ἂν γένοιτο τούτου καιρός.
δ΄. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι
μου· καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συν-
εφρύγησαν. Ἐντεῦθεν κατὰ τὸ οἰ-
κεῖον ἰδίωμα τὰς ἐσομένας ὡς γεγενημέ-
νας συμφορὰς διηγεῖται. καὶ φησὶ κάπνῳ παραπλησίως τὸν τῆς ζωῆς ἀνα-
λωθῆναι χρόνον, καὶ ἐξ ἀθυμίας ἁλὸν
ξηρὸν γεγενῆσθαι τὸ σῶμα, ὡς ὑπό
τινος καταφλεχθὲν πυρὸς προσβο-
λῆς· ἔτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευ-
σεν, καὶ τὰ ὀστᾶ μου ὡς καῦσις ἐψαθυ-
ρώθη. ε΄. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ
ἐξηράνθη ἡ καρδία μου. Ἀλλὰ γὰρ
καὶ χόρτῳ παραπλησίως ἀπέσβην· καὶ
τὸ πρότερον ἄνθος ἀπώλεσα. Ὅτι
ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.
ς΄. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλή-
θη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Πάσης
μὲν γὰρ τροφῆς ἀπεβαλόμην ὄρεξιν·
τῆς δὲ προτέρας εὐπαθείας παντελῶς
ἐγυμνώθην. τῇ γὰρ ἐξ ἀθυμίας τηκεδό-
νι κατηναλώθην τὸ σῶμα. γυμνοῖς
δὲ τοῖς ὀστοῖς ἐπίκειμαι τὸ δέρμα.
„ἄρτος ἐστὶν ἡμῶν τῆς ψυχῆς ὁ τοῦ Θεοῦ
„λόγος· ὥσπερ γὰρ ὁ ἄποιος ἄρτος τὸ
„σῶμα τρέφει, ἔτως ὁ ἐξ οὐρανοῦ λόγος
„τὴν οὐσίαν τῆς ψυχῆς. καὶ τοῦτον ὁ
„Χριστὸς τὴν προσευχὴν παραδιδοὺς ἐλε-
„γε τοῖς ἀποστόλοις, τὸν ἄρτον ἡμῶν τὸν
„ἐπιούσιον δὸς ἡμῖν σήμερον· ὃς ἂν τοίνυν
„τοῦτον

„τῆτον φαγεῖν ἐπιλάθηται, τετέχιν ἐρ-
„γάσασθαι· τῇ γὰρ νοητῇ ἄρτῳ βρῶσιν
„ἐργασίαν καθέστηκεν· δηλοῖ δὲ ἃ εἶπεν
„τοῖς ἀποστόλοις ὁ Κύριος, ἐργάζεσθε μὴ
„τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ
„τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· τότε ἡ
„καρδία δίκην χόρτου πληγεῖσα ξηραί-
„νεται. πῶς δὲ ὁ χόρτος πλήττεται καὶ
„ξηραίνεται· ὅταν ὑετὸς ἐπ' αὐτὸν ἐπα-
„νήσῃ. ὥσπερ καὶ ἡ καρδία, ὅταν ἐνδείᾳ
„νοσήσῃ τῇ λόγῳ τότε πλήττεται καὶ
„ξηραίνεται, ἄνθος ἀρετῆς βλαστῆσαι
„οὐκ ἰσχύσα.„ ζ'. Ὡμοιώθην πελε-
κᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ
ἐν οἰκοπέδῳ. η'. Ἠγρύπνησα, καὶ
ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώ-
ματι. Πολλαῖς κέχρηται παραβολαῖς,
ἀξίως βουλόμενος παραστῆσαι τὰς συμ-
φοράς· δι' ἑκάστου δὲ τῶν εἰρημένων ὀρνί-
θων τὴν δειλίαν δηλοῖ, καὶ τῷ κηδεμό-
νος τὴν ἐρημίαν. τό τε γὰρ στρουθίον ὑπ'
ἀγωνίας ἐξελαύνει τὸν ὕπνον, καὶ ὁ νυ-
κτικόραξ τὰς οἰκείας φεύγων τῶν οἰ-
κιῶν, ταῖς ἐρήμοις καὶ καταλελειμμέ-
ναις προστρέχει· τὰ γὰρ οἰκόπεδα,
ἑρμηνεία ὁ Σύμμαχος εἴρηκεν· ἔτω
καὶ τὸ ἄλλο ὄρνεον ταῖς ἐρήμοις ἐνδιαι-
τᾶται. θ'. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν
με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με
κατ' ἐμοῦ ὤμνυον. Καταγέλαστος ἐ-
γενόμην τοῖς δυσμενέσι· καὶ ὁ ποτὲ ζη-
λωτὸς, καὶ περίβλεπτος, νῦν ὅρκος γέ-
γονα τοῖς πάλαι θαυμάζουσι· κατὰ γὰρ
τῶν ἐμῶν ὀμνύουσι συμφορῶν· μὴ πά-
θοιμι ἃ οἱ δεῖνες πεπόνθασιν. ι'. Ὅτι
σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πό-
μα μου μετὰ κλαυθμοῦ ἐκίρνων. ια'. Ἀ-
πὸ προσώπου τῆς ὀργῆς σου, καὶ τοῦ θυ-
μοῦ σου. Ταῦτα καὶ ὁ Ο' καὶ Θ' ἔφη ψαλμός· ψωμιεῖς ἡμᾶς ἄρτον δα-
κρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν
μέτρῳ. τὴν δὲ τῆς ὀδύνης ὑπερβολὴν διὰ
τέτων δηλοῖ. εἰ γὰρ ὁ τῆς τροφῆς καιρὸς ὀδύνης ὑπῆρχε μεστὸς, σχολῇ γε ἂν
ἄλλος καιρὸς ταύτης ἐλεύθερος ἦν. τέ-
τοις δὲ φησι περικλύζομαι τοῖς κακοῖς,
ἐπειδὴ Δέσποτα κατ' ἐμοῦ κεκίνηκας
τὴν ὀργήν. Ὅτι ἐπάρας κατέῤῥαξάς με. Ὑψηλὸν γάρ με δείξας, καὶ
περίβλεπτον ἀποφήνας, ἐξαίφνης ἀπέῤ-
ῥιψας. τὸ γὰρ κατέῤῥαξας ἐκ μετα-
φορᾶς τέθεικε τῶν ἐπαιρόντων εἰς ὕψος
τι, καὶ κατὰ τῆ ἐδάφους καταῤῥηγνύν-
των. ιβ'. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλί-
θησαν· κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
Παρ' αὐτὰς εἰμι, φησὶ, τὰς τῆ βίῳ δυ-
σμὰς· καὶ ἔοικα σκιᾷ κλινάσῃ, καὶ
ληγέσῃ λοιπόν· καὶ χόρτῳ δὲ μεμί-
μημαι τὴν ξηρότητα, τῶν θεριζόντων
προσκαλεμένῳ τὰς χεῖρας. ιγ'. Σὺ
δὲ Κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνη-
μόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
Ἀλλ' ἐγὼ μὲν καὶ τὴν φύσιν τοιαύτην
ἔχω, καὶ συμφοραῖς συνεζύγην τοσαύ-
ταις· σὺ δέ, ἀίδιος ὢν καὶ αἰώνιος, μετα-
βολήν τινα τῶν παρόντων κακῶν ῥαδίως
ἄν μοι χαρίσαιο· τῆτο γὰρ ἐπιφέρει.
ιδ'. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών·
ὅτι καιρὸς τῆ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει
καιρός. Δός φησι μεταβολὴν ἀμείνω
τῇ συμφορᾷ· ὁ γὰρ καιρὸς τὸν ἔλεον ἀ-
παιτεῖ. αἰνίττεται δὲ διὰ τέτων τῆς τοῖς

ἑβδομή-

ἑβδομήκοντα ἔτεσιν περιωρισμένης τιμωρίας τὸ τέλος. ἔτω καὶ ὁ θαυμάσιος Δανιὴλ, ἀριθμήσας τῆς αἰχμαλωσίας τὸν χρόνον, προσφέρει καὶ τὴν ἱκετηρίαν. τέτοις συνάδει καὶ τῆς πνευματικῆς μελωδίας τὰ ῥήματα· ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. ιε'. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σε τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Τριπόθητος γὰρ ἡμῖν Σιὼν, καὶ λίαν ἔρημος γενομένη· ἀξιέρασοι δὲ καὶ οἱ καταλελυμένοι λίθοι, καὶ τῶν ἐκ τῆς ποθήσεως γεγεννημένων χωμάτων ἡ μνήμη εἵκτον ἡμῖν ἐντίθησιν. ις'. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σε. Ὁρῶντες γὰρ ἡμῶν τὴν ἐπάνοδον, καὶ τὴν οἰκοδομίαν τῆς πόλεως, οἱ τὰς προτέρας ἡμῶν θεασάμενοι συμφορὰς, καὶ βασιλεῖς, καὶ ἄρχοντες, καὶ ἀρχόμενοι, θαυμάσονταί σε τὴν δύναμιν, καὶ δείσαντές σε Θεὸν εἶναι μόνον πιστεύσουσιν. τοῦτο δὲ κυρίως καὶ ἀληθῶς μετὰ τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν γέγονε. μετὰ γὰρ τὴν Ἰουδαίων ἀνάκλησιν, ἐθαύμασαν μὲν τὸ γεγονὸς οἱ περίοικοι· τοσοῦτον δὲ ἀπέχον τοῦ πιστεῦσαι τῷ τῶν ὅλων Θεῷ, ὅτι τὸν πρὸς αὐτοὺς κατὰ ταυτὸν ἤραντο πόλεμον. ἐνταῦθα δὲ ὁ λόγος καὶ τῶν ἐθνῶν ἁπάντων, καὶ τῶν βασιλέων μεταβολὴν προθεσπίζει. ὧν τὰ μὲν ὁρῶμεν γεγενημένα, τὰ δὲ ἐλπίζομεν ἔσεσθαι· φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· ὅπω γὰρ ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. ἀλλ' ὅμως ἐδίδαξεν, ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. ιζ'. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπειδὴ γὰρ οἱ τὰς θείας ἀγνοοῦντες οἰκονομίας, ἀσθένειαν ὑπελάμβανον τοῦ Θεοῦ τὴν Ἰουδαίων δουλείαν, καὶ τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν, εἰκότως δόξαν ἐκάλεσε τοῦ Θεοῦ, τὴν τῆς πόλεως νεουργίαν· ἀντὶ τοῦ, πάλιν τῆς Σιὼν οἰκοδομηθείσης, ἐν τῇ προτέρᾳ δόξῃ πάντες ὄψονται τὸν τῶν ὅλων Θεόν. ιη'. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Οὐ κατεφρόνησε γὰρ, ὡς αἰχμαλώτων καὶ δούλων· ἀλλ' ἐδέξατο τὴν ἱκετείαν, καὶ δέδωκε τὴν ἐλευθερίαν. ιθ'. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Ταύτην δὲ τὴν εὐεργεσίαν ἀνάγραπτον εἰς ἀεὶ ποιήσομεν· ὥστε καὶ τοὺς ἐσομένους τὴν σὴν φιλανθρωπίαν μαθεῖν. λαὸν δὲ κτιζόμενον τὸν ἐξ ἐθνῶν συλλεγέντα καλεῖ, περὶ οὗ καὶ ὁ μακάριος λέγει Παῦλος, εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. καὶ αὐτὸς δὲ ὁ θεσπέσιος Δαβὶδ ἐν τῷ Κ' καὶ Α' ἔφη ψαλμῷ· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. ἔτος ὁ λαὸς καὶ τὰ παλαιὰ καὶ τὰ νέα παιδευόμενος τὸν προσήκοντα ὕμνον ἀναπέμπει τῷ σωτῆρι Θεῷ. κ'. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ Κύριος, ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. κα'. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατω-

νατωμένων. κβ'. Τὸ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Πάντα γὰρ ἐφορῶν καὶ πρυτανεύων ὁ τῶν ὅλων Θεὸς τῶν ἐφορωμένων ἐπήκουσε, καὶ τὴν τῆς ἐλευθερίας ἐξενήνοχε ψῆφον, ὥστε τοὺς πεπεδημένους ἀντὶ τῶν ἀνηρημένων ἐπανελθεῖν, καὶ τὴν πόλιν τὴν πάλαι ὠκοδομῆσαι, καὶ συνήθως ἐν ἐκείνῃ τὴν κατὰ τὸν νόμον λατρείαν προσενεγκεῖν τῷ Θεῷ. κγ'. Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλεῖς, τοῦ δουλεύειν τῷ Κυρίῳ. κδ'. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου κέ. Ἀνάγγειλόν μοι· μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. Ὅταν, φησὶ, τῆς ἐπανόδου τύχωμεν, ἀθροίσονται λαοὶ καὶ βασιλεῖς, τὴν σὴν θαυμάζοντες δύναμιν· τηνικαῦτα τοίνυν τοσαύτην ἔξομεν εὐφροσύνην, ὡς καὶ δεηθῆναί σου τῆς ἀγαθότητος, προθήκην ἡμῖν ἐτῶν χαρίσασθαι, καὶ μὴ μεσοῦντος ἡμῶν τοῦ χρόνου τῷ θανάτῳ παραδοῦναι· ὁδὸν δὲ ἰσχύος καλεῖ τὴν διὰ τὴν ἰσχὺν τοῦ Θεοῦ παραχεθεῖσαν ἐπάνοδον. Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Σὺ γὰρ ἀπέραντον ἔχεις τὸ εἶναι, καὶ ῥᾴδιόν σοι καὶ τοὺς ἄλλους μακροβίους ἐργάσασθαι. κε'. Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σὲ εἰσὶν οἱ οὐρανοί. κζ'. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. Τί γὰρ ἀδύνατον τῷ τῶν ὅλων δημιουργῷ; τῇ γῇ τὸ εἶναι σὺ δέδωκας, τοὺς οὐρανοὺς μὴ ὄντας ἐποίησας, καὶ τούτων μεταβολὴν δεχομένων, σὺ τὸ ἄτρεπτον ἔχεις. ἀπὸ δὲ τῶν περιεκτικῶν στοιχείων, καὶ τῶν ἄλλων αὐτὸν ἁπάντων ἔδειξε ποιητήν. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται. Ὁ δὲ Σύμμαχος ἔτως· καὶ πάντες ὡσεὶ ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. ἅπαντα γὰρ τὰ ὁρώμενα καταγηράσει, καὶ ἱματίων μιμήσεται παλαιότητα· σὺ δὲ αὐτὰ ἀλλάξεις, καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν. τοῦτο καὶ ὁ θεσπέσιος ἀπόστολος ἔφη· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. κη'. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Τὴν μὲν οὖν κτίσιν μεταῤῥυθμίζεις ὡς ἐθέλεις, ὦ Δέσποτα· σὺ δὲ ἄτρεπτον ἔχεις τὴν φύσιν, καὶ ἀλλοιώσεως κρείττονα· ταῦτα μέντοι ὁ θεῖος ἀπόστολος τῇ τοῦ υἱοῦ περιτέθεικεν ἰδιότητι, ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ. ἀλλ' ὅμως ἐν τῷ υἱῷ θεωροῦμεν τὸν πατέρα· ἃ γὰρ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὡσαύτως ποιεῖ· καὶ τὸ ταυτὸν τῆς φύσεως ἐν ἑκατέρῳ γνωρίζεται· μίαν γὰρ ἴσμεν τὴν τῆς τριάδος ἐνέργειαν. κθ'. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται. Ὁ δὲ Σύμμαχος διαμενεῖ τέθεικε· σημαίνει δὲ ὡς οἱ μὲν τῆς δουλείας ἀπαλλαγέντες τὴν Ἱερουσαλὴμ οἰκήσουσι, τὸ δὲ ἐξ αὐτῶν σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. περὶ τούτου δὲ τοῦ σπέρματος ὁ θεῖος ἀπόστολος ἔφη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται· καὶ τῷ Ἀβραὰμ

ἐξῃρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματί σε, ὅς ἐστι Χριστός. τοῦτο τὸ σπέρμα εἰς τὸν αἰῶνα διαμενεῖ. ἐνωθὲν γὰρ τῷ Θεῷ λόγῳ ἀνώλεθρον ἔχει τὸ εἶναι, καὶ δωρεῖται ζωὴν τοῖς πιστεύουσι, κατὰ τὴν αὐτῷ Κυρίᾳ φωνήν· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ζήσεται εἰς τὸν αἰῶνα.

ΕΡΜΗΝ. ΤΟΥ ρβ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβίδ. Δοκεῖ μὲν ὁ ψαλμὸς οὗτος ἀκόλουθος εἶναι τῷ προτεταγμένῳ, καὶ κατ' αὐτὴν τὴν ὑπόθεσιν. ἐν ἐκείνῳ μὲν γὰρ, οἱ τὰς ἐν Βαβυλῶνι συμφορὰς ὀλοφυρόμενοι, τὸν Θεὸν ἱκέτευον τῆς ἐπανόδου τυχεῖν· ἐνταῦθα δὲ τετυχηκότες ὧν ἠτήσαν ὑμνοῦσι τὸν εὐεργέτην. ἐγὼ δὲ οἶμαι πᾶσιν ἀνθρώποις ἁρμόττειν τὴν ὑμνῳδίαν, καὶ πικροτέρας ἀπαλλαγεῖσι δουλείας, καὶ μείζονος ἀξιωθεῖσιν ἐλευθερίας. δηλώσει δὲ καὶ τῶν ῥητῶν ἡ διάνοια, ὡς αὐτὴ μᾶλλον ἡ ὑπόθεσις ἐκείνης ἀληθεστέρα. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Οἱ εὐγνωμόνως περὶ τὰς θείας χάριτας διακείμενοι εἰς ὑμνῳδίαν σφᾶς αὐτοὺς διεγείρουσι, τὸν εὐεργέτην οἷς δυνατὸν ἀμειβόμενοι. δυνατὸν δὲ ὑμνεῖν ἀεὶ, καὶ τῶν εὐεργεσιῶν ἔναυλον περιφέρειν τὴν μνήμην· οὗτοι καὶ πάντα τὰ ἐντὸς καθιεροῦσι, καὶ πάντα λογισμὸν εἰς τὸν θεῖον ὕμνον ἀνακινοῦσιν. ἐντὸς γὰρ ἐκάλεσε τοὺς λογισμοὺς, καὶ τὰς ἐνθυμήσεις, καὶ πάντα τῆς ψυχῆς τὰ κινήματα. β'. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Πάλιν ἑαυτὴν ἡ ψυχὴ διεγείρειν διδάσκεται, καὶ τῆς λήθης ἐξελαύνειν τὸ νέφος, καὶ τῶν εὐεργεσιῶν ἀνανεοῦσθαι τὴν μνήμην. τὰς μέντοι ἀνταποδόσεις εὐεργεσίας ὁ Σύμμαχος εἴρηκεν. εἶτα ταύτας κατὰ μέρος διέξεισι. γ'. Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Οὗτος γάρ σοι δεδώρηται τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οὗτός σοι κεχάρισται τῶν παθημάτων τὴν ἴασιν. τούτων ὁ παρεὶς μένος ἀπήλαυσεν· ἤκουσε γὰρ κατὰ ταυτὸν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. οὕτως ἡ ἁμαρτωλὸς γυνὴ τετύχηκε τῆς ἀφέσεως· οὕτως ὁ λῃστὴς, οὕτως οἱ τελῶναι, οὕτως ἅπαντες οἱ πιστεύσαντες. δ'. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. Τοὺς μὲν ἁπαχθέντας ἐν Βαβυλῶνι δουλαλώτους δουλείας μὲν ἠλευθέρωσε, τῆς δὲ φθαρτῆς οὐκ ἀπήλλαξε βιοτῆς. ἡμῖν δὲ κεχάρισται τῆς ἀναστάσεως τὰς ἐλπίδας, καὶ τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἔδωκεν, καὶ τὸν τῆς ἀφθαρσίας ἡμᾶς ἐνέδυσε χιτῶνα. Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Χάριτί ἐστε σεσωσμένοι, ἧ φησὶν ὁ θεῖος ἀπόστολος, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον, ἵνα μή τις καυχήσηται. καὶ πάλιν, Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν πᾶσαν αὐτοῦ μακροθυμίαν, πρὸς

πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. χάριτος τοίνυν καὶ φιλανθρωπίας ὁ στέφανος. οὕτω καὶ ὁ θεσπέσιος Ἡσαΐας ἐκ προσώπου τῆς νύμφης βοᾷ· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης ἐνέδυσέ με· ὡς νυμφίῳ περιέθαλέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. καὶ μετ' ὀλίγα, καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου. ταῦτα δὲ ἅπαντα ἔδνα τοῦ νυμφίου, καὶ δῶρα. πίστιν γὰρ ἡ νύμφη προσενήνοχε μόνην. ε'. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. Ἐπειδὴ ἔστιν ἐπιθυμία ψεκτή, ἣν ὁ θεῖος νόμος ἀπαγορεύει, καλῶς τὸ ἐν ἀγαθοῖς προστέθεικε. τὰς γὰρ ἀγαθὰς ἡμῶν ἐπιθυμίας ὁ Δεσπότης πληροῖ· αἰτεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται· ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα ἐκ περισσοῦ προστεθήσεται ὑμῖν. Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ταύτην πάλιν τὴν νεουργίαν ἡμῖν ὁ Δεσπότης διὰ τοῦ παναγίου βαπτίσματος ἐδωρήσατο, καὶ τῆς ἁμαρτίας ἀποξύσας τὸ γῆρας, νέους ἀντὶ γεγηρακότων εἰργάσατο. συνῳδὰ τούτοις διὰ Ἡσαΐου τοῦ προφήτου φησὶν ὁ Θεός· οἱ δὲ ὑπομένοντές με ἀλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί. ἐπειδὴ γὰρ τοὺς θείους καὶ βασιλικοὺς δημιουργηθέντες ἐδεξάμεθα χαρακτῆρας, εἶτα τούτους ἠμαυρώσαμέν τε καὶ διεφθείραμεν τοῖς παντοδαποῖς τῆς ἁμαρτίας ἐπιτηδεύμασιν, ὑπισχνεῖται ἡμῖν ὁ προφητικὸς λόγος τὴν τῆς βασιλείας ἀνάκτησιν. βασιλικὸς γὰρ οὗτος ὁ ὄρνις, καὶ τῶν πτηνῶν τὴν βασιλείαν πεπιστευμένος. διδάσκει δὲ ἡμᾶς καὶ τῆς θείας φιλοτιμίας τὸν τρόπον. ς'. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Οὐ γὰρ διὰ τὰς δικαιοσύνας, ἃς ἐποιήσαμεν, ἧ φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου· καὶ θεασάμενος ἡμᾶς ἠδικημένους ὑπὸ τοῦ τῆς ἀληθείας ἐχθροῦ, ἡμῖν μὲν ἠνέῳξε τὰς τοῦ ἐλέους πηγάς, κατ' ἐκείνου δὲ τὴν δικαίαν ἐξενήνοχε ψῆφον. ζ'. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωσῇ· τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οὐκ ἐκ μεταμελείας δὲ ταύτην ἡμῶν ἐπραγματεύσατο τὴν σωτηρίαν· ἀλλ' ἄνωθεν ταῦτα διὰ τῶν προφητῶν προεθέσπισε, καὶ διὰ τοῦ θεσπεσίου Μωσοῦ τὴν ἡμετέραν ἐσκιογράφησε σωτηρίαν. καὶ τοῦ παναγίου βαπτίσματος ἡ θάλασσα τύπον ἐδέξατο· ἡ πέτρα δὲ τῶν ἀθανάτων κρουνῶν ἀπεφάνθη σκιά· τῆς ἐπουρανίου δὲ τροφῆς εἰκὼν τὸ μάννα. καὶ τ' ἄλλα δὲ, ἵνα μὴ καθ' ἕκαστον διεξέρχωμαι, οὕτως ἐστὶν εὑρεῖν παρ' ἐκείνοις ἐσκιογραφημένα. η'. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Τούτων δέ φησιν αἴτιον τῶν ἀγαθῶν ἡ τῆς θείας ἀγαθότητος ἄβυσσος, ὁ ἀμέτρητος ἔλεος, τῆς φιλανθρωπίας τὸ

πέλαγος. θ'. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. ι'. Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Οὐκ ἠνέσχετο ταῖς ἡμετέραις ἁμαρτίαις μετρῆσαι τὴν τιμωρίαν, οὐδὲ ἐπὶ πλεῖον καθ' ἡμῶν ἐκτεῖναι τὴν ἀγανάκτησιν. ια'. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ, ἐπὶ τοὺς φοβεμένους αὐτόν. ιβ'. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Εἰ καὶ τούτων εὗρε μακρότερα διαστήματα, πάντως ἂν καὶ ταῦτα εἰς μέσον παρήγαγε, δεῖξαι τὸ ἄπειρον τῆς θείας φιλονεικῶν ἀγαθότητος· ἀλλ' οὐχ εὗρεν ὁ ἀνθρώπινος λογισμὸς, οὔτε οὐρανοῦ ὑψηλότερον μέτρον, οὔτε τῆ μέσου τῆς ἑσπέρας καὶ τῆς ἑῴας μακρότερον. ιγ'. Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. Δημιουργὸς ὢν καὶ ποιητὴς, ἐμιμήσατο πατρὸς ἀγαθότητα, καὶ τὴν αὐτὴν περὶ τὲς οἰκέτας, ἣν πατὴρ περὶ τοὺς παῖδας, φιλοστοργίαν ἐπέδειξεν. ιδ'. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Οἶδε γὰρ ὁ δημιουργὸς τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν, οἶδε καὶ πόθεν διεπλάσθημεν, καὶ ποῦ πάλιν χωρήσομεν. ιε'. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτῆ, ὡσεὶ ἄνθος τῆ ἀγροῦ οὕτως ἐξανθήσει. Οὐδὲν χόρτῳ καὶ ἄνθους διενηνόχαμεν, ὃ ἐν ἦρι μὲν τέθηλε, μετὰ βραχὺ δὲ μαραίνεται καὶ διαῤῥεῖ. ιϛ'. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως· ὅτι πνεῦμα διέρχεται αὐτὸν, εἶτα οὐχ ὑπάρχει. πνεῦμα τὴν ψυχὴν λέγει· ἧς παρούσης καὶ ζῇ τὸ σῶμα, καὶ ἐνεργεῖ· ἀποπλάσης δὲ καταισθένυται καὶ φθείρεται, ὡς μηδὲ τοὺς προτέρους ἐπιγινώσκεσθαι χαρακτῆρας, μηδὲ γινώσκεσθαι, ὡς τοῦτο τῆ δεῖνος, ἐκεῖνο τῆ δεῖνος τὸ σῶμα. καὶ τῆτο ἴδοι τὶς ἂν ἀκριβέστερον διακύψας εἰς τάφον. πάντα γὰρ ὁμοίως φθορᾶς γίνεται παρανάλωμα, καὶ τοὺς προτέρους χαρακτῆρας οὐ διασώζει. ιζ'. Τὸ δὲ ἔλεος τοῦ Κυρίε ἀπὸ τῆ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτὸν, καὶ ἡ δικαιοσύνη αὐτῆ ἐπὶ υἱοῖς υἱῶν. ιη'. Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς. Ἡ μὲν οὖν φύσις οὕτως ἐπίκηρος· ἡ δὲ θεία φιλανθρωπία τὸν μακρὸν αἰῶνα χαρίζεται βιοῦν, καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τῆς δικαιοσύνης ἀντίδοσιν. οὕτω τῷ Ἰησοῦ μέχρι τετάρτης γενεᾶς τὴν βασιλείαν τετηρηκε, καί τοι μηδὲ τελείαν εὐσέβειαν κτησαμένῳ, ἀλλ' ἐν τῇ ἀρχῇ τῆς βασιλείας ἐπιδειξαμένῳ τὸν ζῆλον. οὕτω τῷ θεσπεσίῳ Δαβὶδ ἄσβεστον διετήρησε τὸν τοῦ γένες σπινθῆρα, καὶ ταῦτα πολλῶν δυσσεβῶν ἐν μέσῳ βεβλασηκότων. τῆτον δὲ, φησὶν, ὀρέξει τὸν ἔλεον τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ· καὶ οὐχ ἁπλῶς μεμνημένοις τῶν ἐντολῶν αὐτῆ, ἀλλ' ἐπιτιθεῖσι τοῖς λόγοις τὰ ἔργα, καὶ κατὰ ταύτας τὸν οἰκεῖον ῥυθμίζουσι βίον. ιθ'. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτῆ, καὶ ἡ βασιλεία αὐτῆ πάντων δεσπόζει.

Τῆτο

Τῦτο ἔοικε τοῖς ἐν ἑτέρῳ εἰρημένοις ψαλμῷ· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. καὶ γὰρ ἐνταῦθα ὁ προφητικὸς ἡμᾶς διδάσκει λόγος, ὡς ἐν οὐρανῷ μὲν ἔχει τὸν θρόνον τῶν ὅλων ὁ Κύριος, ἐφορᾷ δὲ καὶ πρυτανεύει τῇ κτίσει, ὅτε δὴ πάντων ὢν δημιουργὸς, καὶ βασιλεὺς, καὶ δεσπότης. κ΄. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτῦ, τῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτῦ. Εἰκότως τὰς ἀοράτους δυνάμεις εἰς κοινωνίαν τῆς ὑμνῳδίας ἐκάλεσεν. οὐκ ἀπόχρη γὰρ ἡ ἀνθρωπεία φύσις ἀξίως ὑμνεῖν σε τὸν εὐεργέτην· αἱ δὲ ἀσώματοι καὶ αἱ ἅγιαι φύσεις, ἐλευθέραν ἔχουσαι παθημάτων ζωὴν, ἱκαναὶ πληροῦν τὰ θεῖα προστάγματα. κά΄. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτῦ, λειτουργοὶ αὐτῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Πολλαὶ καὶ διάφοροι τῶν οὐρανίων τὰ τάγματα· ἀρχαὶ γὰρ καὶ ἐξουσίαι, καὶ θρόνοι, καὶ κυριότητες, καὶ Σεραφὶμ, καὶ Χερουβὶμ, καὶ ἕτερα ἡμῖν ὀνόματα ἄγνωστα, ἃ φησὶν ὁ θεῖος ἀπόστολος· ἀλλὰ πάντα διὰ τῶν δύο τούτων ὀνομάτων ὁ προφητικὸς συμπεριέλαβε λόγος· ἀγγέλους μὲν γὰρ ἐκάλεσεν, ὡς τοῖς θείοις ὑπουργοῦντας προστάγμασι, καὶ τοὺς θείους λόγους διαπορθμεύοντας. δυνάμεις δὲ, ὡς ἱκανὰς τὸ κελευόμενον πράττειν, καὶ τὸ δυνατὸν ἐν τῇ φύσει παρὰ τῦ πεποιηκότος λαβόντας. κβ΄. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Οὐδὲ τῦτο τοῖς Ἰουδαίοις ἁρμόττει· ἐκεῖνοι γὰρ ὑπὸ τῶν ἀνδραποδισάντων ἆσαι προσταχθέντες ἐκ τῶν ᾠδῶν Σιὼν, ἔφασαν ἔννομα δρῶντες, πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίε ἐπὶ γῆς ἀλλοτρίας; ἡμῖν δὲ ὁ θεῖος ἀπόστολος παρεγγυᾷ, ἐν παντὶ τόπῳ προσευχομένους αἴρειν ὁσίας χεῖρας· τοῦτο καὶ ὁ Δεσπότης Χριστὸς πρὸς τὴν Σαμαρεῖτιν ἔφη, ἀμὴν ἀμὴν λέγω σοὶ γύναι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε ἔτε ἐν τῷ τόπῳ τύτῳ, ἔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί· πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τὸς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Εὐλόγει ἡ ψυχή μὲ τὸν Κύριον. Σύμφωνον τῷ προοιμίῳ τὸ τέλος. καλέσας γὰρ εἰς κοινωνίαν τῆς ὑμνῳδίας τὰς νοητὰς ὐσίας, διδάσκει καὶ ἡμᾶς, ὡς δυνατὸν γεραίρειν τὸν ποιητὴν, καὶ ἰσόμετρον τῇ δυνάμει προσφέρειν τὸν χαριστήριον ὕμνον.

ΕΡΜΗΝ. ΤΟΥ ργ΄. ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβίδ. Ἡ τὲ παναγίου πνεύματος χάρις ὐ μόνον ἠθικὴν καὶ δογματικὴν διδασκαλίαν τοῖς ἀνθρώποις προσφέρει, ἀλλὰ καὶ ὅπως ὑμνεῖν προσήκει τὸν ποιητὴν ἀκριβῶς ἐκπαιδεύει. διάτοι τοῦτο τόνδε συγγέγραφε τὸν ψαλμὸν, τῷ μακαρίῳ Δαβὶδ ὑπουργῷ χρησαμένη· ὡς ἂν μάθοιμεν ἅπαντες, τίσιν ὕμνοις χρὴ τὸν εὐεργέτην ἀμείβεσθαι. τὰς μέντοι κοινὰς εὐεργεσίας ἐνταῦθα διέξεισι, καὶ δείκνυσι ποιητὴν ἁπάντων ὁμῦ, καὶ πρύτανιν τὸν τῶν ὅλων Θεόν. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ἔκαζον εὐσεβείας τρόφιμον ὑμνεῖν διδάσκει τὸν εὐεργέτην Θεόν. Κύριε ὁ Θεός μου,

ὡς ἐμεγαλύνθης σφόδρα. ἐπιτάσεως καὶ ἐνταῦθα τὸ ὡς· τὸ δὲ ἐμεγαλύνθης, οὐκ αὐξήσεως δηλωτικὸν, ἀλλὰ τῇ ἀμετρήτῳ μεγέθους σημαντικόν. ἕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε, καὶ ὁ Θεός μου μέγας εἶ σφόδρα. οὐ γὰρ μικρὸς ὢν ἐμεγαλύνθη, ἀλλὰ φύσει μέγας ὢν τοῦτο τοῖς εὐσεβέσιν ἐδείχθη· οὐχ ἅπαν τὸ μέγεθος, ἀλλ' ὅσον ἡ φύσις τῶν ἀνθρώπων ἐχώρει. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω. ὁ Σύμμαχος ἕτως, ὕμνον καὶ εὐδοξίαν ἠμφιάσω. ἔκ ἔτι γάρ σε ἀγνοοῦσιν οἱ τῶν σῶν ἀπολαύοντες ἀγαθῶν, ἀδὲ τοῖς εἰδώλοις τὸ σὸν σέβας προσφέρουσιν. ἀλλά σε ὑμνῶσι, καί σοι τὸ τῆς δοξολογίας ἐκτίνουσι χρέος. β'. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Σύνωδα τούτοις καὶ ὁ ἀπόστολος ἔφη· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. τοσοῦτον γάρ ἐστιν ἐκεῖνο τὸ φῶς, ὡς μηδένα πελάζειν τολμᾶν. ἀποστρέφει γὰρ τὰς ὄψεις ἡ τῆς αἴγλης ὑπερβολή. εἰ γὰρ ὁ αἰσθητὸς τοῦτο ποιεῖν ἥλιος ἀναγκάζει τοὺς ἁπλήστως καθορᾶν πειρωμένους, τίς ἱκανὸς τῷ ἀπροσίτῳ φωτὸς ἐν περιοιᾳ γενέσθαι; ἔστι μὲν ἔν καὶ αὐτὸς φῶς ἀληθινόν· ἀναβάλλεται δὲ καὶ φῶς ὡς ἱμάτιον, καὶ φῶς οἰκεῖ ἀπρόσιτον, καὶ νεφέλη καὶ γνόφος κύκλῳ αὐτῷ, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτῷ. καὶ οὐκ ἐναντία ταῦτα ἀλλήλοις, τὸ γὰρ ἀπρόσιτον φῶς τοῖς ὁρᾶν μὴ δυναμένοις τῷ γνόφῳ καὶ τῷ σκότει ταυτόν ἐστιν. ἔτε γὰρ τὰ ἐν τούτῳ, ἔτε τὰ ἐν ἐκείνῳ δυνατὸν κατιδεῖν. καὶ τοῦτο μέντοι κἀκεῖνο τῆς θείας φύσεως δηλοῖ τὸ ἀόρατον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Τὴν τῆς δημιουργίας εὐκολίαν διὰ τούτων ἐδίδαξεν· ὡς γὰρ ἀνθρώπῳ ῥᾴδιον δέρριν ἐκτεῖναι καὶ ποιῆσαι σκηνὴν, ἕτως ὁ τῶν ὅλων Θεὸς τὰ μεγάλα τῶν οὐρανῶν διεπέτασε κήτη, λόγῳ μόνῳ χρησάμενος. γ'. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῶα αὐτοῦ. Τοῦτο καὶ ὁ μακάριος ἐδίδαξε Μωσῆς· ἔφη γὰρ τὸν Θεὸν εἰρηκέναι, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔσαι διαχωρίζον ἀναμέσον ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Διὰ τούτων τὴν πανταχοῦ διήκουσαν ἐδήλωσε πρόνοιαν· ἐφέστηκε γάρ φησι καὶ ἀνέμοις καὶ νέφεσιν· καὶ αὐτὸς ἰθύνει ταῦτα, καὶ κυβερνᾷ· καὶ τὴν ἐντεῦθεν φυομένην εἰς καιρὸν δίδωσι χρείαν· διδάσκει δὲ κατὰ ταυτὸν, ὡς ἡ θεία φύσις πανταχοῦ πάρεστι, καὶ τοῖς πᾶσιν ἐφίπταται. ἐπειδὴ γὰρ τῶν αἰσθητῶν ἁπάντων ὀξυτάτη τῶν ἀνέμων ἡ φύσις· ἐν ἀκαρεῖ γὰρ ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὴν ἕω διατρέχει, καὶ ἀπὸ τῆς ἕω πρὸς τὴν ἑσπέραν· οὐχ εὑρὼν ἑτέραν ἀκριβεστέραν ἐν τοῖς αἰσθητοῖς ὀξύτητος εἰκόνα, ἐπὶ πτερύγων ἀνέμων ἔφη τὸν Θεὸν ἐποχεῖσθαι, πανταχοῦ αὐτὸν παρεῖναι διὰ τούτων παραδηλῶν· εὑρίσκομεν δὲ καὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐν νεφέλῃ τὸν τῶν ὅλων ἐπιφανέντα Θεόν· καὶ ἐν τῇ σκηνῇ διὰ νεφέλης τὴν οἰκείαν ποιησάμενον ἐπιφάνειαν· καὶ μέντοι τοῦ Σολομῶντος τὸν οἶκον ἐγκαινίζοντος, νεφέλη τὸν οἶκον ἐκάλυψε·

καὶ

καὶ ὁ Δεσπότης Χριστὸς ἐν τῷ ὄρει τοῖς τρισὶν ἀποστόλοις Φωτεινὴν περὶ αὐτὸν νεφέλην ὑπέδειξε· καὶ ἀναλαμβανόμενον νεφέλη Φωτεινὴ ὑπέλαβεν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. δ΄. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. Ἔδειξεν ὁ τῶν ὁρατῶν αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν ἀοράτων δημιουργόν· τοὺς δὲ αὐτοὺς καὶ πνεύματα, καὶ πῦρ προσηγόρευσε, τὸ δυνατὸν καὶ τὸ ταχὺ δι' ἑκατέρων διδάσκων. ὀξεῖα μὲν γὰρ τοῦ πνεύματος ἡ φύσις, ἰσχυρὰ δὲ τοῦ πυρὸς ἡ ἐνέργεια· ἀγγέλοις δὲ χρώμενος ὑπουργοῖς ὁ τῶν ὅλων Θεὸς, καὶ εὐεργετεῖ τοὺς ἀξίους, καὶ κολάζει τοὺς ἐναντίους· διὰ τοῦτο καὶ πυρὸς ἐμνημόνευσε, τὴν κολαστικὴν σημαίνων ἐνέργειαν. ε΄. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. Ὁ δὲ Ἀκύλας, καὶ ὁ Σύμμαχος, ἐπὶ τῆς ἕδρας αὐτῆς. Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Αὐτὴν γὰρ ἐφ' ἑαυτὴν ἑδράσας, δέδωκεν αὐτῇ τὸ ἀκίνητον, καὶ τοῦτον διαμενεῖ τὸν τρόπον, ἐφ' ὅσον ἂν αὐτὸς ἐθελήσει. οὕτω καὶ Ἄλμαχοῦ φησὶ, κρεμνῶν γῆν ἐπ' ἀδενός. ς΄. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ. Τὸ αὐτοῦ ἀντὶ τοῦ αὐτῆς τέθεικεν· οὕτω γὰρ καὶ ὁ Ἀκύλας καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν· ἄβυσσον ὡσεὶ ἔνδυμα περιέβαλες αὐτὴν· ἄβυσσον δὲ καλεῖ τὴν ὑγρὰν ὐσίαν ἡ θεία γραφή· οὕτω καὶ ἐν ἀρχῇ τῆς κτίσεως ὁ μακάριος ἔφη Μωσῆς· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. ἐπειδὴ τοίνυν πανταχόθεν ὕδασιν ἡ γῆ περιέχεται, καὶ τὰ μεγάλα μὲν καὶ ἄπλωτα πελάγη ταύτης ἐστὶ τέρμα, μέσην δὲ αὐτὴν διατέμνει ἕτερα ἄπλα πλείονα· εἰκότως ἔφη τὴν ἄβυσσον καθάπερ ἱμάτιον ἐπικεῖσθαι τῇ γῇ. Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. ζ΄. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται· ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. η΄. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτοῖς. Διὰ πάντων διδάσκει τοῦ Θεοῦ τὴν προμήθειαν ἐφεξῆσαν τῇ κτίσει· τοῦτο χάριν γὰρ τὰς τῶν ὀρῶν κορυφὰς ἡ θάλαττα μιμουμένη τοῖς κύμασιν, οὐκ ἐπικλύζει τὴν ἤπειρον· ἀλλὰ καθάπερ ἡμεῖς τὴν βροντὴν κατεπλήξαμεν, οὕτως ἐκείνη τὸν κείμενον δέδιεν ὅρον· τὸ δὲ ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα, ἀντὶ τοῦ, ὡς ὄρος ἔσηκε· τὸ δὲ ἀναβαίνουσιν ὄρη, ἀντὶ τοῦ, ὡς ὄρη. θ΄. Ὅριον ἔθου, ὃ οὐ παρελεύσεται· οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Λιχνεύεται μὲν τὴν ψάμμον ἡ θάλασσα, καὶ μέχρις ἐκείνης λυτῶσα, καθάπερ χαλινῷ τῷ ὅρῳ τῷ θείῳ κωλυομένη, ἀναχαιτίζεται πάλιν, καὶ εἰς τοὐπίσω χωρεῖ. ι΄. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Εἶτα τὴν τούτων ὑποδείκνυσι χρείαν. ια΄. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ· προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. ιβ΄. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Καὶ τοῦτο τῆς θείας προνοίας τεκμήριον μέγιστον, τὸ μὴ μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἀλόγων τὴν χρείαν πληροῦν. διὰ τοῦτο ὄρη τέμνων παρό-

παρόδες τοῖς ὕδασιν ἐτεκτήνατο· ὥστε μὴ μόνον ἀνθρώπους ἔχειν ἀφθόνως τὰ γάματα τῶν πηγῶν· ἀλλὰ καὶ τῶν χερσαίων, καὶ τῶν ἀεροπόρων ζώων τὰ γένη. τὸ δὲ, προσδέζονται ὄναγροι εἰς δίψαν αὐτῶν, ὁ Σύμμαχος ἔτως ἡρμήνευσεν, ἀνακτήσεται ὄναγρος δίψαν αὐτῦ. ιγ'. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτῦ· ἀπὸ καρπῦ τῶν ἔργων σε χορταθήσεται ἡ γῆ. Οὐ γὰρ μόνον κάτωθεν ἀναβλύζει, καὶ παρασκευάζει τῶν ὑδάτων τὴν φύσιν· ἀλλ' ἄνωθεν διὰ νεφῶν τὴν ἀρδείαν προσφέρει. εἶτα τὴν ἐντεῦθεν ὑποδείκνυσιν ὠφέλειαν. ιδ'. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι· καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. Φύεται γὰρ ἡ πόα, καὶ διατρέφει τὰ κτήνη, τὰ εἰς χρείαν ἀνθρώπων γεγενημένα· τρέφονται δὲ καὶ οἱ καρποὶ διὰ τῶν ὑετῶν, καὶ ὥριμοι γίνονται, καὶ τοῖς ἀνθρώποις προσφέρονται· τῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε· ἀλλ' ὅμως διὰ τὴν τῶν ἀνθρώπων χρείαν καὶ τὰ κτήνη ταύτης ἀπολαύει τῆς προμηθείας. ιε. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπε, τῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπε στηρίζει. Σαφέστερον δὲ ὁ Σύμμαχος εἴρηκεν· ἐκβλαστῶν χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δελείᾳ τῶν ἀνθρώπων· εἰς τὸ ἐκφῦσαι τροφὴν ἀπὸ γῆς, καὶ οἶνον εὐφραίνειν καρδίαν ἀνθρώπου· σίλβειν πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτον καρδίαν ἀνθρώπε στηρίζειν. ἐπὶ τῦτο γάρ φησιν ὁ τῶν ὅλων Θεὸς τῇ γῇ τοὺς ὑετοὺς δηνεκῶς χορηγεῖ, ὥστε τὰς παντοδαπὰς βλαστῆσαι καρπὰς, καὶ ἄρτῳ μὲν στηρίξαι καὶ διαθρέψαι τῶν ἀνθρώπων τὴν φύσιν· οἴνῳ δὲ εὐφράναι καὶ θυμηρεστέραν ἐργάσασθαι τὴν ζωήν· ἐλαίῳ δὲ οὐ μόνον ἔνδοθεν διαθρέψαι, ἀλλὰ καὶ ἔξωθεν λαμπρῦναι τὰ σώματα. ις'. Χορταθήσονται τὰ ξύλα τοῦ πεδίε. Ὁ δὲ Ἑβραῖος, καὶ οἱ λοιποὶ, τῦ Κυρίε τεθείκασι. διεξελθὼν τὰ κάρπιμα, ἀναγκαίως μνημονεύει καὶ τῶν ἀκάρπων, ὡς ἀναγκαίαν τοῖς ἀνθρώποις καὶ αὐτῶν παρεχόντων χρείαν· διὰ τῦτο καὶ Κυρίε αὐτὰ προσηγόρευσεν· ὡς αὐτοφυᾶ, καὶ οὐ χειρόκμητα, ἀλλὰ τῷ θείῳ λόγῳ βλαστήσαντα. διὸ καὶ ἐπήγαγεν· Αἱ κέδροι τῦ Λιβάνε, ἃς ἐφύτευσας. Οὔτε γὰρ ἀλσοκόμοι τινὲς τούτων γεγένηντο φυτουργοί. ἀλλ' ὁ θεῖος λόγος ἀμφιλαφεῖς τὰς τῶν ὀρῶν κορυφὰς εἰργάσατο. τῦ μέντοι Λιβάνε ὡς ἐπισήμου μνημονεύσας, καὶ τῶν ἐν αὐτῷ κέδρων, καὶ τἄλλα ὄρη καὶ δένδρα διὰ τούτων ἐδήλωσεν. ιζ'. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι· τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὁ δὲ Ἀκύλας οὕτως· ἐκεῖ ὄρνεα νοσσεύσουσιν· ἐρωδιῷ ἐλάται οἶκος αὐτῷ· ὁ δὲ Σύμμαχος, ὅπου στρθία ἐννοσσεύσει, τῷ ἵκτινι βόρατον οἴκησις. τὰ γὰρ αὐτὰ δένδρα ἄλλην μὲν ἀνθρώποις χρείαν, ἄλλην δὲ τοῖς ὀρνέοις παρέχει· ἀνθρώποις μὲν γὰρ εἰς κατασκευὴν οἰκιῶν ἐπιτήδεια· τῶν δὲ ὀρνέων αὐτὰ δέχεται τὰς οἰκήσεις. ιή. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις· πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

λαγωοῖς. Οὐ παροραῖ σε, φησὶν, οὐδὲ τὰ σμικρὰ τῶν ζώων ἡ πρόνοια, ἀλλὰ ταῖς μὲν ἐλάφοις ἔδωκας ἐνδιαίτημα τὰς τῶν ὀρῶν κορυφάς· τοῖς δὲ σμικροτέροις τῶν ζώων, τὰς τῶν πετρῶν καταδύσεις. ιϑ΄. Ἐποίησε σελήνην εἰς καιρούς. Τὰ κατὰ γῆν ἅπαντα διεξελθὼν, καὶ τῶν ἀοράτων φύσεων τὴν δημιουργίαν δείξας, καὶ τῶν ἐρανῶν ὑποδείξας τὴν ποίησιν, καὶ τῶν φωτήρων ποιεῖται τὴν μνήμην, οἳ κατὰ τὴν τετάρτην ἡμέραν ἐγένετο. καὶ λέγει τὴν τῆς σελήνης δημιουργίαν διὰ τὴν τῶν καιρῶν γεγενῆϑαι διδασκαλίαν· αἱ γὰρ αὐτῆς ἀλλοιώσεις μετρεῖϑαι τὸν χρόνον παρασκευάζουσι. τῷ γὰρ μηνὸς τὸ μέτρον αὐτὴ ποιεῖ, ἐν τοσαύταις ἡμέραις αὔξουσά τε καὶ φθίνουσα. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτῷ. ἐκ ἔμψυχος ὢν, οὐδὲ λόγῳ χρώμενος· ἀλλὰ κατὰ τὸν ϑεῖον ὅρον ὁδεύων, ἔτος ποιεῖ τὴν ἡμέραν φαινόμενος, καὶ τὴν νύκτα κρυπτόμενος· καὶ τὸν αὐτὸν δρόμον ἔχει ἀεὶ, καὶ τὰ μέτρα φυλάττει. κ΄. Ἔϑου σκότος, καὶ ἐγένετο νύξ. Ἀναγκαία καὶ ταύτης ἡ χρεία· τῇ μὲν τῷ φωτὸς ὑποχωρήσει συνισαμένη· ἀνάπαυσιν δὲ τοῖς ἀνθρώποις παρεχομένη. Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τῷ δρυμῷ. κα΄. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἡ γὰρ νὺξ τοῖς μὲν ἀνθρώποις ἀνάπαυλαν πραγματεύεται, ἄδειαν δὲ τοῖς θηρίοις παρέχει, ὥστε πεινώσας ἐμπλῆσαι γαστέρας· τὸ δὲ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς, ἀντὶ τῷ, καὶ τούτοις ἡ ϑεία πρόνοια παρέχει τὴν χρείαν· τὸ μὲν γὰρ παρὰ τῷ Θεῷ αἰτεῖν, λογικῶν· τὸ δὲ ζητεῖν, καὶ τῶν ἀλόγων. ἀλλ' ὅμως καὶ τούτοις ὁ Θεὸς τὴν ἀναγκαίαν παρέχει τροφήν. κβ΄. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχϑησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιταϑήσονται. κγ΄. Ἐξελεύσεται ἄνϑρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ· καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ἡλίου δὲ ἀνίσχοντος, τὰ μὲν εἰς τὰς οἰκείας καταδύσεις χωρεῖ· οἱ δὲ ἄνϑρωποι τὸν τῆς προτεραίας ἀποϑέμενοι πόνον, προθύμως πάλιν ἐν τοῖς ἔργοις διημερεύσουσιν. κδ΄. Ὡς ἐμεγαλύνϑη τὰ ἔργα σε Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ἕκαστον τῶν εἰρημένων λογισάμενος ὁ προφήτης, καὶ τὴν πολλὴν τοῦ Θεοῦ κηδεμονίαν καταμαϑὼν, ἐν μέσῳ τῆς διηγήσεως τὸν ὕμνον ἀνέπεμψε· ϑαυμαστὰ, καὶ λίαν ἀξιάγαστα, καὶ σοφίας μεστὰ φήσας εἶναι πάντα τοῦ Θεοῦ τὰ ποιήματα. εὗρε γὰρ καὶ τὴν ὑπό τινων δυσσεβῶν διαβαλλομένην νύκτα σφόδρα χρησιμωτάτην, καὶ τὰ ἄκαρπα ξύλα χρείαν ἑτέραν εἰσφέροντα· καὶ τῶν θηρίων τὰ γένη εἰς πολλὰ τοῖς ἀνθρώποις ἁρμόδια. Ἐπληρώϑη ἡ γῆ τῆς κτήσεώς σου. Οἱ δὲ ἄλλοι ἑρμηνευταὶ κτίσεως τεθείκασιν· ἀντὶ τοῦ, παντοδαπῶν αὐτὴν ἐνέπλησας ἀγαϑῶν· ἀπὸ μέντοι τῆς γῆς, καὶ πρὸς τὴν γείτονα ϑάλασσαν μεταβαίνει· καὶ φησὶν· κε΄. Αὕτη ἡ ϑάλασσα, ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν ἐκ ἔστιν ἀριϑμός· ζῶα μικρὰ μετὰ μεγάλων. Καὶ τοῦτο δὲ τῆς ϑείας κηδεμονίας τεκμήριον· τὸ τὰ σμικρὰ γένη τοῖς μεγάλοις ἐνδιαιτᾶσθαι, καὶ μὴ παντελῶς ὑπ' ἐκείνων καταναλίσκεσθαι. κς΄. Ἐκεῖ πλοῖα διαπορεύονται.

Χρεία καὶ αὐτὴ τῶν ἀνθρώπων μεγίστη· διὰ ναυπηγικῆς γὰρ τέχνης, καὶ κυβερνητικῆς ἐπιστήμης, παρ' ἀλλήλων κομιζόμεθα καὶ τὰ ἐνδέοντα καὶ τὸν παρ' ἡμῖν φυόμενον καρπὸν χορηγοῦμεν ἕτεροις, καὶ δεχόμεθα τὸν παρ' ἐκείνοις γινόμενον. Δράκων ἦτος ἦν ἔπλασας ἐμπαίζειν αὐτῷ. Διὰ τῦ δράκοντος τὰ μεγάλα παρεδήλωσε κήτη, ἃ τοῖς μεγάλοις πελάγεσιν ἐμφιλοχωρεῖ· τὸ δὲ ἐμπαίζειν αὐτῷ, ἀντὶ τῦ, αὐτῇ τῇ θαλάσσῃ· ἀβρενικῶς γὰρ αὐτὴν ὁ Ἑβραῖος καὶ ὁ Σύρος καλεῖ· ἦτω φησὶν ἐστὶ μεγάλη, ὅτι καὶ τὰ μύρια τῶν ἰχθύων περίκειται γένη, καὶ τὰ μέγιστα κήτη ἀδεῶς ἐν αὐτῇ νήχεται· εἰ δέ τισι δοκεῖ καὶ ἀλληγορῆσαι τὸν δράκοντα, διὰ τὸ καὶ ἐν τῷ Ἡσαΐᾳ τὴν μάχαιραν τὴν μεγάλην, καὶ τὴν ἀγίαν, καὶ τὴν ἰσχυρὰν, ἐπὶ τὸν δράκοντα χωρεῖν· τὸν ὄφιν τὸν σκολιὸν, τὸν ἐν τῇ θαλάττῃ· ἀδὲ ἡμεῖς παραιτησόμεθα τὴν τοιαύτην διάνοιαν· ἐπειδὴ καὶ παρὰ τῷ Ἰὼβ εὑρίσκομεν τῦτο τὸ ζῶον ὑπὸ τῶν θείων ἀγγέλων καταπαιζόμενον. καὶ ὁ Κύριος ἐξουσίαν ἔδωκε τοῖς ἑαυτῦ μαθηταῖς, πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τῦ ἐχθρῦ. κζ'. Πάντα πρός σε προσδοκῶσι, δῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Παρά σε φησὶν, εἰς καιρὸν ἅπαντα τὴν χρείαν κομίζεται. τὰ γὰρ ἄλογα ζητεῖ μὲν τὴν τροφήν· ἀγνοεῖ δὲ τὸν χορηγόν. δέχεται δὲ ὅμως ταύτην παρὰ τῦ ποιητῦ. κή. Δόντος σε αὐτοῖς συλλέξουσιν. Σῦ παρέχοντος τὴν ἀφθονίαν, τῦτων ἕκαστον καρπῦται τὰ πρόσφορα. Ἀνοίξαντος δέ σε τὴν χεῖρα, τὰ σύμπαντα πληθήσονται χρηστότητος. Τὴν εὐκολίαν τῆς τῶν ἀγαθῶν χορηγίας διὰ τῦτων ἐδήλωσεν. ὥσπερ γὰρ εὐπετὲς ἴσως νενευκότας ἐκτεῖναι δακτύλους, ἦτω ῥᾴδιον τῷ Θεῷ τῶν ἀγαθῶν ἁπάντων δωρήσασθαι τὴν φοράν. κθ'. Ἀποστρέψαντος δέ σε τὸ πρόσωπον, ταραχθήσονται. Καθάπερ δὲ πάσης ἐμφορεῖς θυμηδίας τὰς τῶν ἀγαθῶν ἀπολαύοντας, ἐν εὐμενείᾳ ταῦτα δωρούμενος· ἦτως ἀποστρεφομένῃ σε, ταραχῆς ἅπαντα καὶ δέους ἐμπίπλαται. Ἀνταναιρεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι. Σῦ γὰρ βουλομένῃ, καὶ ὁ τῆς ψυχῆς καὶ ὁ τῦ σώματος γίνεται χωρισμός· μεθ' ὃν τὸ σῶμα φθορᾷ παραδίδοται, καὶ εἰς τὸν πρόγονον ἀναλύεται χοῦν. πνεῦμα δὲ ἐνταῦθα τὴν ψυχὴν προσηγόρευσεν. λ'. Ἐξαποστελεῖς τὸ πνεῦμά σε, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἐνταῦθα σαφῶς ἡμῖν τὴν ἀνάστασιν προεκήρυξε, καὶ τὴν διὰ τῦ παναγίου πνεύματος ἀναβίωσιν· ἦτω δὲ καὶ Ἠλίας ὁ πάνυ τῆς χήρας τρὶς ἐμφυσήσας τῷ παιδαρίῳ, καὶ διὰ τῆς ἐνοικούσης πνευματικῆς χάριτος ἐπαναγαγὼν ζωήν· ἦτω καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος ἐζωοποίησε παῖδα, τὸ πνευματικῷ χρησάμενος ἐμφυσήματι, καὶ τῷ ζωοποιῷ πνεύματι πραγματευσάμενος τὴν ζωήν. ἦτω τῆς θείας δυνάμεως, καὶ τήνδε τὴν ἐνέργειαν δείξας, εἰς ὑμνῳδίαν μεταφέρει τὴν γλῶτταν. λα'. Ἦτω ἡ δόξα Κυρίε εἰς τοὺς αἰῶνας. Ἀεὶ, φησὶν, αὐτὸν παρὰ πάντων ὑμνεῖσθαι δίκαιον. Εὐφρανθήσε-

ται,

ται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Τὴν ἐσομένην τῶν ἀνθρώπων θεογνωσίαν διὰ τούτων ἐθέσπισε. τῆς γὰρ προτέρας ἀπάτης τῶν ἀνθρώπων ἀπαλλαγέντων, καὶ δεξαμένων τὸ Θεὸ τὴν ἐπίγνωσιν, εὐφρανθήσεται Θεὸς, ὁ προσκυνέμενος, ἀλλὰ σωζομένοις ὁρῶν. λβ΄. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Εἰκότως ταῦτα προστέθεικε, τὸ ἀνενδεὲς διδάσκων τῆς θείας Φύσεως· ὁ γὰρ ὡς δεόμενος τέρπεται προσκυνούμενος· ἀλλ' ὡς σώζειν βουλόμενος, τὴν ἀληθειαν δείκνυσι· καὶ κολάζειν δυνάμενος, ὁκ ἐπιφέρει τὴν κόλασιν. καί τοι μόνῃ τῇ ἐπιφανείᾳ σείων τὴν γῆν, καὶ πυρὸς καὶ καπνὸ τὰ ὄρη πληρῶν. τοῦτο δὲ καὶ ἐν τῷ Σινᾷ ὄρει πεποίηκε· τὴν οἰκείαν γὰρ ποιησάμενος ἐπιφάνειαν, τὸ ὄρος ἅπαν ἔδειξε καπνιζόμενον. λγ΄. ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Καὶ ταῦτα εἰκότως προστέθεικεν· ὁ γάρ ἐστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων αὐτοῦ, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεται αὐτῷ; ἅτοις ἀπεκλείσθη ταῖς μωραῖς παρθένοις τοῦ νυμφῶνος ἡ θύρα, τὸν τῆς λαμπαδοφορίας καιρὸν εἰς ἀγορασίαν ἐλαίου δαπανησάσαις. λδ΄. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. Τὴν διαλογὴν διάλεξιν ὁ Σύμμαχος εἴρηκεν· ὁ δὲ Ἀκύλας ὁμιλίαν· εὔχομαι δέ φησι ταύτην μου τὴν ὑμνῳδίαν ἡδίστην καὶ τερπνοτάτην ὀφθῆναι. Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Τότε γάρ φησι γινομένου, ἐγὼ τὴν ἐντεῦθεν εὐθυμίαν καρπώσομαι. λε΄. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς· καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Τὸ θεῖον κάλλος, καὶ τὸν ἄῤῥητον πλοῦτον ὡς ἐνῆν ἀνθρωπείᾳ Φύσει διεξελθὼν, πάντας ἀνθρώπους τῆς αὐτῆς μεταλαχεῖν ἱμείρεται γνώσεως, καὶ τὴν τῶν ἁμαρτωλῶν πάμπαν ἐκλείψαι συμμορίαν ἱκετεύει· ὃκ αὐτοὺς ἀπολέσθαι παρακαλῶν· ἀλλὰ μεταβληθῆναι δεόμενος, καὶ παύσασθαι αὐτῶν τὸ σίφος ἀντιβολῶν μεταταξαμένων καὶ μεταμαθόντων τὰ θεῖα. εἰ δέ τις ἑτέρως ταῦτα βούλεται νοεῖν τὰ ῥητὰ, ὡς τῷ προφήτῃ τὸς δυσσεβείᾳ συζῶντας ὑποβάλλοντος ἀρᾶις, καὶ ὅτως εὑρήσει τῇ ἀποστολικῇ διδασκαλίᾳ τὴν προφητείαν συμβαίνουσαν· καὶ γὰρ ὁ μακάριος Παῦλος Κορινθίοις ἐπιστέλλων, τοιοῦτον ἀκροτελεύτιον τέθεικεν. εἴ τις ὁ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἤτω ἀνάθεμα. ἴδιον γὰρ τῶν θερμῶς ἀγαπώντων. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Οἱ μὲν ἐν ὑμνεῖν τὸν τοσούτων ἀγαθῶν χορηγὸν ἐβούλοντο, ἐκεῖνα παρέτασαν ἅπερ εἴρηκα· σὺ δὲ, ὦ ψυχὴ, ἐνδελεχῶς τὸν σὸν ὑμνει δημιουργὸν καὶ σωτῆρα.

ΕΡΜΗΝ. ΤΟΥ ρδ΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὑμνεῖν καὶ ἔτος ὁ ψαλμὸς παρακελεύεται τὸν τῶν ὅλων Θεόν· δηλοῖ δὲ καὶ ἡ ἐπιγραφή· τὸ γὰρ ἀλληλούϊα, αἰνεῖτε τὸν Κύριον ἑρμηνεύεται. ἀναμιμνήσκει δὲ τῶν πρὸς τὸς πατριάρχας ὑπὸ τοῦ Θεοῦ γεγενημένων ὑποσχέσεων, καὶ τῶν δι' ἐκείνους ὑπ' αὐτοῦ παραχεθέντων ἀγαθῶν τοῖς ἐκείνων ἐκγόνοις. ἱκανὴ γὰρ καὶ τούτων κἀκείνων ἡ μνήμη, τὸς τοσούτων εὐεργεσιῶν ἀπολαύσαντας εἰς ζῆλον τῆς τῶν προγόνων ἀρετῆς ἐρεθίσαι καὶ παραθῖξαι. διδά-

σκει δὲ καὶ κατὰ ταυτὸν, καὶ τὸν νέον λαὸν, ὡς ἐκ ἀδίκως τὸν ἀχάριστον ἐκεῖνον λαὸν τῆς οἰκείας κηδεμονίας ἐγύμνωσεν. ἐπειδὴ γὰρ Θεᾷ λαὸς ἐχρημάτιζον, καὶ προφανῶς τῆς θείας προμηθείας ἀπήλαυον, ἔρημοι δὲ ταύτης ὕστερον ἐγένοντο παντελῶς· διὰ τῶν προκειμένων ψαλμῶν διδάσκει πάντας ἀνθρώπους, ὅσα μὲν αὐτὸν εὐηργέτησε καὶ ἠλίκα, ὅπως δὲ ἀχάριστοι περὶ τὰς εὐεργεσίας ἐκεῖνοι γεγένηνται· ὡς ἂν ὁμῶ καὶ τῆς κατ' ἐκείνων ἐξενεχθείσης ψήφῳ τὸ δίκαιον καταμάθοιεν ἅπαντες, καὶ τῆς ἀχαριστίας ὁρῶντες τὰ ἐπίχειρα, μὴ τὴν αὐτὴν ἐκείνοις βαδίζοιεν, ἀλλὰ τὴν εὐθεῖαν ὁδεύσοιεν. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. Τὸ δὲ ἐπικαλεῖσθε κηρύσσητε ὁ Σύμμαχος εἴρηκε. παρακελεύεται δὲ ὁ λόγος τὴν εὐχαριστήριον ὑμνῳδίαν προσφέρειν, καὶ διηγεῖσθαι τὰς θείας εὐεργεσίας. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. Δῆλόν ἐστι καὶ σαφὲς, ὡς οὐκ ἔστιν ἐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἔθνεσιν ἅπασιν πραγματεύεται. β'. ἄσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. Ὕμνοις αὐτὸν καὶ μελῳδίαις ἀμείβεσθε· καὶ τοὺς ἀγνοοῦντας διδάξατε τὰ παρ' αὐτοῦ γεγενημένα θαύματα. γ'. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Ὁ δὲ Ἀκύλας καυχᾶσθε ἀντὶ τοῦ ἐπαινεῖσθε τέθεικε. παρακελεύεται δὲ ὁ λόγος, μὴ ἐπὶ πλούτῳ, μὴ ἐπὶ ῥώμῃ, μὴ ἐπὶ δυνάμεσι μέγα φρονεῖν, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ γνώσει καὶ προμηθείᾳ. τοῦτο παρηγγύησε καὶ ὁ θεῖος ἀπόστολος, ὁ καυχώμενος γάρ φησιν ἐν Κυρίῳ καυχάσθω. ταῦτα ἡ καὶ σοφωτάτη Ἄννα διέξεισι, μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ· καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιέναι καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. Τῆς γὰρ εἰς τὸν Θεὸν ἐλπίδος εὐφροσύνη καρπός. δ'. Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε. Καὶ διδάσκων πῶς δεῖ τοῦτο ποιεῖν, ἐπήγαγε· Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός. Οὐ γὰρ ἅπαξ ἢ δὶς, ἀλλὰ παρὰ πάντα τὸν βίον τὴν ἄνωθεν ἐπικουρίαν προσήκει ζητεῖν, καὶ τὴν ὠφέλειαν καρπεῖσθαι. ἄμαχοι γὰρ οἱ ζητοῦντες ἔσονται, καὶ ἀήττητοι. τοῦτο καὶ ὁ Κύριος νομοθετῶν ὑπηγγείλατο· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. ε'. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε, τὰ τέρματα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Μὴ παραδότε λήθῃ τὰς ἀῤῥήτους θαυματουργίας, ἃς τῇ δικαίᾳ ψήφῳ κοσμήσας ὁ Δεσπότης εἰργάσατο. κρίματα γὰρ ἐνταῦθα προσηγόρευσε τὰ ἐνδίκως ὑπὸ τοῦ Θεοῦ γεγενημένα θαύματα. ἐπειδὴ γὰρ τῶν ἐν Αἰγύπτῳ γεγενημένων ποιεῖται διήγησιν, προδιδάσκει τῆς Αἰγυπτίων τιμωρίας τὸ δίκαιον. ς'. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Τὰς αὐτὰς καὶ τοῦτο κἀκεῖνο καλεῖ, ὡς τοὺς μὲν ἀπογόνους, τοὺς δὲ υἱοὺς χρηματίσαντας.

τας. ἐκλεκτὲς δὲ προσηγόρευσεν ὡς παρὰ πάντα τὰ ἔθνη λαὸς κληθέντας Θεοῦ. τοῦτο δὲ καὶ διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. ζ'. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Ὁ γὰρ αὐτὸς ὢν ἁπάντων Θεὸς καὶ Κύριος, καὶ πάσης δεσπόζων τῆς οἰκουμένης, τέτας ἴδιον λαὸν προσηγόρευσεν. η'. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγε ἧ ἐνετείλατο εἰς χιλίας γενεάς. Τὸ διαρκὲς καὶ μόνιμον τῶν πρὸς τὸν Ἀβραὰμ γεγενημένων ὑποχέσεων διὰ τέτων διδάσκει. ἐ γὰρ, ὡς τινὲς ὑπέλαβον, ὑπερβολικὸς ὁ λόγος· ἀλλ' ἀληθὴς καὶ θεῖος. ὑπέχετο δὲ ὁ τῶν ὅλων Θεὸς, ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη. σπέρμα δὲ αὐτοῦ ὁ Δεσπότης Χριςὸς κατὰ σάρκα· ὃς αἰώνιον ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀνώλεθρον. τοῦτο δὲ καὶ τῶν χιλίων γενεῶν ἡ μνήμη παραδηλοῖ. ἐ γὰρ ἐτῶν ἀριθμὸν ὁ λόγος σημαίνει, ἀλλὰ τὸ διαρκὲς καὶ αἰώνιον τῶν γενεῶν τὸ πλῆθος αἰνίτλεται. θ'. Ὅ, τι διέθετο τῷ Ἀβραὰμ, καὶ τοῦ ὅρκε αὐτοῦ τῷ Ἰσαάκ. ι'. Καὶ ἔςησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. Τέτων τῶν ὅρκων καὶ ὁ θεσπέσιος ἐμνημόνευσε Μωσῆς· εἶπε γάρ φησιν ὁ Θεὸς πρὸς Ἀβραὰμ, κατ' ἐμαυτοῦ ὤμοσα, ἢ μὴν εὐλογῶν εὐλογήσω, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σε, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει· καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σε πᾶσαι αἱ Φυλαὶ τῆς γῆς. τέτῳ τῷ ὅρκῳ καὶ τὸν Ἰσαὰκ ἀναμιμνήσκει· βεβαιοῖ καὶ πρὸς τὸν Ἰακὼβ τὰς συνθήκας· καὶ μέντοι καὶ πληροῖ ταύτας, διὰ μὲν Μωσῆ τὲς ἐκείνων ἐκγόνες τῆς Αἰγυπτίων ἐλευθερώσας δουλείας, διὰ δὲ Ἰησοῦ τοῦ Ναυῆ τὴν ἐπηγγελμένην γῆν ἀποδές· τὸ δὲ τέλος τῆς ἐπαγγελίας διὰ τοῦ Δεσπότου συμπεράνας Χριςοῦ. ιά'. Λέγων, σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν. Σχοίνισμα τὴν τῆς γῆς ἐκάλεσε δεσποτείαν· τῶν κεκλημένων γὰρ ἴδιον μέτρῳ τὴν γῆν ὑποβάλλειν. ιβ'. Ἐν τῷ εἶναι αὐτὲς ἀριθμῷ βραχεῖς· ὀλίγος καὶ παροίκες ἐν αὐτῇ. Ταῦτα δὲ φησιν ὑπέχετο τοῖς πατράσιν ὀλίγοις ὄσι, καὶ σφόδρα εὐαριθμήτοις· δηλοῖ δὲ διὰ τέτε τοῦ ὑπισχνεμένε τὴν δύναμιν· ὅτι καὶ τοι ἔτως ὀλίγοις τοσαύτης γῆς δεσποτείαν παρέχειν ἠδύνατο. ιγ'. Καὶ διῆλθον ἐξ ἔθνες εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Παροικέντες γὰρ οἱ πατριάρχαι διετέλεσαν, καὶ ἐδὲ ἐφ' ἑνὸς ἱδρύμενοι τόπε· ἀλλὰ νῦν μὲν ὧδε, νῦν δὲ ἐκεῖ τὰς σκηνὰς μεταφέροντες. ιδ'. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτές. Κρείτλες γὰρ αὐτὲς τῶν ἀδικεῖν πειραθέντων ἀπέφηνεν. Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. ιε'. Μὴ ἅπλεσθε τῶν χριτῶν με, καὶ ἐν τοῖς προφήταις με μὴ πονηρεύσεσθε. Οὕτω τὸν Φαραὼ ἔπτασεν ἐτασμοῖς μεγάλοις καὶ φοβεροῖς περὶ Σάρρας τῆς γυναικὸς Ἀβραάμ· οὕτω νύκτωρ τὸν Ἀβιμέλεχ ἐξεδειμάτωσεν εἰρηκώς· ἰδὲ σὺ ἀποθνήσκεις περὶ Σάρρας τῆς γυναικὸς Ἀβραάμ· αὕτη δέ ἐςιν συνωκηκυῖα ἀνδρί. ἔτω τὸν Ἰσαὰκ αἰδέσιμον τοῖς τηνικαῦτα τὴν Παλαιςίνην οἰκοῦσιν ἀπέφηνεν. ἔτω φονῶντι τῷ Λάβαν ἠπείλησεν· ὅρα γὰρ ἔφη, μὴ λαλήσῃς σκληρὰ κατὰ τοῦ παιδός με Ἰακώβ

κώβ. Χριστὸς δὲ προσαγορεύει, οὐχ ὡς ἐλαίῳ κεχρισμένος, ἀλλ' ὡς ἐκλεκτὸς γενόμενος. προφήτην δὲ καὶ αὐτὸς ὁ Θεὸς τὸν Ἀβραὰμ προσηγόρευσεν· ἀπόδος γὰρ ἔφη τὴν γυναῖκα τῷ ἀνδρὶ, ὅτι προφήτης ἐστὶ· καὶ προσεύξεται περὶ σοῦ, καὶ σωθήσῃ. ιε'. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν. Ἡ ἁμαρτία τὴν παιδείαν ἐφέλκεται· ἡ δὲ παιδεία τὸν θηριώδη βίον ἐλέγχει· ὁ δὲ ἔλεγχος τὴν τοῦ βίου μεταβολὴν πραγματεύεται. τὸν τοίνυν λιμὸν ἐπήγαγε διὰ τὸν παράνομον βίον τῶν τηνικαῦτα ἀνθρώπων. ἀλλ' ὅμως καὶ ἔτω τῶν οἰκείων θεραπόντων ἐπεμελήθη. Πᾶν σήργμα ἄρτου συνέτριψεν. Ἀντὶ τοῦ, πᾶν διαθρέψαι δυνάμενον σπανίσας πεποίηκεν· ἐ μόνον σῖτον, ἀλλὰ καὶ κριθὰς, καὶ ὄσπρια, καὶ τἄλλα δι' ὧν βιοτεύουσιν ἄνθρωποι. ιζ'. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ. Ἀμφότερα κατὰ ταυτὸν ἐδήλωσε, καὶ τῶν ἀδελφῶν τὴν μοχθηρίαν, καὶ τὴν αὐτοῦ σοφίαν· τῇ γὰρ ἐκείνων εἰς δέον ἐχρήσατο πονηρίᾳ. ἐ γὰρ αὐτὸς ἐκείνους ἠνάγκασεν ἀπεμπολῆσαι τὸν ἀδελφὸν, ἀλλὰ τῇ κακοηθείᾳ μὲν τῇ ἐκείνων ἐνδέδωκεν· αὐτὸς δὲ εἰς δέον ταύτῃ χρησάμενος, βασιλέα τὸν δοῦλον ἀπέφηνε, καὶ τῷ γένει τὴν εἰς Αἴγυπτον κάθοδον ἐπρυτάνευσεν· ἔδει γὰρ τὸν λαὸν Θεοῦ μέλλοντας χρηματίζειν, περιφανεῖς γενέσθαι καὶ περιβλέπτους διὰ τῶν ὑπὲρ αὐτῶν γινομένων θαυμάτων. ἡ γὰρ εἰς αὐτοὺς γινομένη κηδεμονία τὸν τούτων Θεὸν ἀνεκήρυττε, καὶ τοὺς ἀκούοντας τῷ φωτὶ τῆς θεογνωσίας κατέλαμψεν. ιή'. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ. Μετὰ γὰρ τὴν τῆς μοιχείας συκοφαντίαν, τὸ δεσμωτήριον ὤκησε, καὶ παραυτίκα ὡς εἰκὸς περιέθηκαν αὐτῷ τὰ ἐκ σιδήρου δεσμά. τοῦτο μέντοι ὁ Σύμμαχος ἔτως εἰρηκεν, εἰς σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, ἀντὶ τοῦ, μέχρι σφαγῆς ἐκινδύνευσεν. ιθ'. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν. Ταῦτα δὲ ὑπέμεινεν ἅπαντα χρυσοῦ δίκην δοκιμαζόμενος· οὐχ ἵνα τὸ ἀκίβδηλον τῆς τοῦ Ἰωσὴφ ἀρετῆς ὁ τῶν ὅλων μάθῃ Θεὸς, ὁ γινώσκων τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ' ἵνα τοῖς ἄλλοις ἀνθρώποις τὴν ἐκείνου φιλοσοφίαν δείξῃ, καὶ ἀρχέτυπον ἀληθείας προθῇ. κ'. Ἀπέστειλε βασιλεὺς, καὶ ἔλυσεν αὐτόν· ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν. κά. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ. Καὶ τὴν ἀπὸ τῆς οἰκονομίας ὠφέλειαν δείκνυς, ἐπήγαγε· κβ'. Τοῦ παιδεύσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. Ἐπίσημος γὰρ διὰ τῆς τῶν ὀνείρων ἑρμηνείας τῷ βασιλεῖ γενόμενος, καὶ τὴν ἐξουσίαν λαχὼν, εἰς θεογνωσίαν ἐποδήγει τοὺς ἄλλους, ἐ λόγοις μόνοις χρώμενος, ἀλλὰ καὶ τοῖς ἔργοις, εἰς τὴν αὐτὴν εὐσέβειαν ἑλκόμενος. κγ'. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Αὕτη φησὶν ἡ πρόφασις ἐγένετο τῷ πατριάρχῃ τῆς εἰς Αἴγυπτον ἐνδημίας. γῆν δὲ Χὰμ τὴν Αἴγυπτον ὀνομάζει, ἐπειδὴ ὁ Μεσρὲμ υἱὸς τοῦ Χὰμ ἐγένετο δεύτερος.

ρος. Χὰμ γάρ φησιν ἐγέννησεν τὸν Χὲς πρωτότοκον, καὶ Μεσρὲμ τὸν ἀδελφὸν αὐτῦ. Χὲς δὲ τὴν Αἰθιοπίαν ἡ θεία καλεῖ γραφῆ, Μεσρὲμ δὲ τὴν Αἴγυπτον. Ἰακὼβ δὲ καὶ Ἰσραὴλ τὸν αὐτὸν ὀνομάζει· τὸ μὲν γὰρ ἐκ τῶν πατέρων ἔλαχεν ὄνομα, τὸ δὲ ὁ Θεὸς αὐτῷ τέθεικε, τὴν γενομένην αὐτῷ θείαν ἐπιφάνειαν διὰ τῆς προσηγορίας δηλῶν. κδ'. Καὶ ἠύξησε τὸν λαὸν αὐτῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τὸς ἐχθρὸς αὐτοῦ. Τῦτο καὶ τῆς Ἐξόδε ἡ ἱστορία διδάσκει. ὅσω γάρ φησιν ἐκάκωσεν αὐτὸς οἱ Αἰγύπτιοι, τοσῦτω πλείως ἐγένοντο, καὶ ἐπλήθυνεν αὐτὸς ἡ γῆ. κέ. Μετέστρεψε τὴν καρδίαν αὐτῶν, τῦ μισῆσαι τὸν λαὸν αὐτῦ. Οὐκ αὐτὸς μεταβαλὼν τῶν Αἰγυπτίων τὴν γνώμην, ἀλλὰ τῷ αὐτεξουσίῳ παραχωρῶν· καὶ τὰς μὲν ἐπιβουλὰς μὴ κωλύων, κρείττως δὲ τῶν ἐπιβουλευόντων τὸς ἐπιβουλευομένους δεικνύς. Τῦ δολιῦσθαι ἐν τοῖς δόλοις αὐτῦ. Ποτὲ μὲν ταῖς μάιαις ἐπέταξαν οἱ Αἰγύπτιοι διαφθείρειν τῶν Ἑβραίων τὰ ἄῤῥενα, ποτὲ δὲ τῷ ποταμῷ ταῦτα παραπέμπειν ἐκέλευσαν· ἀλλ' ὅμως καὶ ὕτως τὸ γένος διέφυγε τῦ θανάτε τὰ μηχανήματα. κς'. Ἀπέστειλε Μωσῆν τὸν δῦλον αὐτῦ, καὶ Ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ. κζ'. Ἔθετο αὐτοῖς τὸς λόγους τῶν σημείων αὐτῦ, καὶ τῶν τεράτων αὐτῦ ἐν γῇ Χάμ. Πρεβαλλόμενος γὰρ αὐτὸς τῆς τῶν ὁμοφύλων ἐλευθερίας ὑπουργός τε, καὶ διακόνες τὴν τῆς θαυματουργίας αὐτοῖς ἐνεχείρισε δύναμιν. κή. Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασεν, ὅτι παρεπίκραναν τὸς λόγυς αὐτῦ. Οὐκ ἀντεῖπον γὰρ οἱ μακάριοι θεράποντες τοῖς θείοις προστάγμασιν, ἀλλὰ τὰ κελευόμενα ἔδρων, καὶ τὴν μακροτάτην αὐτοῖς καὶ τριήμερον ἐπήγαγον νύκτα, μᾶλλον δὲ καὶ νύκτος ζοφωδέστερον σκότος. ἡ μὲν γὰρ νὺξ, κἂν ἀσέληνος ᾖ, τῇ αἰγλῇ τῶν ἄστρων κεράννυται· ἐκεῖνο δὲ τὸ σκότος ψηλαφητὸν ἡ θεία καλεῖ γραφή. κθ'. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τὸς ἰχθύας αὐτῶν. Οὐ γὰρ τὴν χροιὰν τῶν ὑδάτων μόνον, ἀλλὰ καὶ αὐτὴν μετέβαλε τῆς γεύσεως τὴν ποιότητα, ὥστε ἀπάντων διαφθαρῆναι τῶν ἰχθύων τὰ γένη. λ'. Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχυς, ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. Ἐπειδὴ γὰρ τῷ ποταμῷ τὰ βρέφη τῶν Ἑβραίων παρέδοσαν, μετέβαλε μὲν εἰς αἷμα τῦ ποταμῦ τὸ ὕδωρ, τὴν ἐν αὐτῷ γεγενημένην μιαιφονίαν ἐλέγχων· βατράχυς δὲ ἐκεῖθεν ἀναβλύσαι πεποίηκε, τοῖς ἀνηρημένοις παραπλησίως βρέφεσιν ἕρποντας, καὶ ταῖς οἰκίαις ἐπεμβαίνοντας, καὶ ἅχρις αὐτῶν χωρῦντας τῶν τῦ βασιλέως θαλάμων. λα'. Εἶπε καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἠκολούθει γὰρ τοῖς λεγομένοις τὰ ἔργα· καὶ παραυτίκα Θεῦ μὲν κελεύοντος, Μωσῆ δὲ λέγοντος, καὶ κυνόμυια, καὶ σκνῖπες ἐπλήρεν τὴν γῆν, τὰς Αἰγυπτίας ὅρας διαριόντα, ἐδὲ ἄλλοις ἀνθρώποις τὴν λύμην ἐπιφέροντας, ἀλλὰ τοῖς ἀντιθέοις τὴν παιδείαν ἐπάγοντας· τῦτο γὰρ σημαίνει τὸ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν· ἀντὶ τῦ, ἔξω τῶν Αἰγυπτίων ὅρων ἐδὲν τοιῦτον

ἔτον γινόμενον ἦν ἰδεῖν. λβ'. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. λγ'. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκὰς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίων αὐτῶν. Τὰ νέφη μὲν γὰρ τὰς συνήθεις ὠδῖνας ἐνήλλαξε, καὶ ἀντὶ ὄμβρων χάλαζαν ἀπεκύησε· κεραυνοὶ δὲ, καὶ πρηστῆρες, μετὰ τῆς χαλάζης ἐφέροντο, καὶ ἐναντίαι ἀλλήλαις φύσεις, ὕδωρ καὶ πῦρ ἀλλήλας ἐκ ἐλυμαίνοντο. ἔτε γὰρ τὸ πῦρ τὸ πεπηγὸς ὕδωρ τῆς χαλάζης ἐξέτηκεν, ἔτε τὸ ὕδωρ κατεσβέννυ τὴν φλόγα· ἀλλὰ τὴν φυσικὴν ἀποθέμενα μάχην, σύμφωνον Αἰγυπτίοις τὴν παιδείαν ἐπῆγον, καὶ τὴν ἐκείνων θηριωδίαν διήλεγχον· ὅτι ἄνθρωποι ὄντες ἐκ ἠδέοντο τὴν φύσιν, ἀλλὰ τὲς ὁμοφυεῖς πικρῶς δελεύειν ἠνάγκαζον, τοῦτο δὲ χάριν, καὶ αἱ ἄμπελοι, καὶ αἱ συκαῖ αὐτῶν, καὶ τ' ἄλλα τῶν φυτῶν γένη ἄρδην ὑπ' αὐτῶν διεφθείρετο. λδ'. Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός. λε'. Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, „καὶ „κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς „αὐτῶν.„ Διὰ μὲν τῆς χαλάζης καὶ τοῦ πυρὸς τὰ δένδρα διέφθειρε, διὰ δὲ τῆς ἀκρίδος καὶ τοῦ βρούχου, τὰ ἕλη, τοὺς λειμῶνας, τὰ λήια. οὐ γὰρ μόνον τὸν καρπὸν, ἀλλὰ καὶ τὸν χόρτον αὐτῶν κατηνάλωσεν. λς'. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνε αὐτῶν. Ταύτην Αἰγυπτίοις ἐπήγαγε τελευταίαν πληγήν· μεθ' ἣν ἐξελθεῖν τοὺς Ἰουδαίους κατέπειξεν, ἅπασα ἡ οἰκία θρήνων καὶ ὀλοφύρσεων ἐπέπλησο, τῶν πρωτοτόκων ἁπάντων ἀθρόαν τελευτὴν δεξαμένων. κατὰ γὰρ τῶν ποθεινοτέρων ἐπήγαγε τὴν πληγὴν, πικροτέραις βάλλων ἀκῖσι τὲς ἀναλγήτως περὶ τὰς προτέρας διατεθέντας πληγάς. λζ'. Καὶ ἐξήγαγεν αὐτὲς ἐν ἀργυρίῳ καὶ χρυσίῳ. Ἐπειδὴ γὰρ ἔδε τὰ οἰκεῖα λαβεῖν οἱ Αἰγύπλιοι τοῖς Ἑβραίοις ἐπέτρεπον, πρὸς τοῖς οἰκείοις ἔλαβον καὶ τῶν Αἰγυπλίων τὸν πλῆτον, οἷόν τινα μισθὸν τῆς χαλεπῆς δελείας κομισάμενοι τὸν χρυσὸν καὶ τὸν ἄργυρον· οὐ γὰρ ἀδίκως τῦτο γενέσθαι προσέταξεν ὁ Θεὸς, ἀλλὰ καὶ τὲς ἀδικῆντας παιδεύων, καὶ τὲς ἀδικηθέντας ψυχαγωγῶν. Καὶ ἐκ ἦν ἐν ταῖς Φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Τῶν γὰρ τοῖς Αἰγυπλίοις ἐπαγομένων πληγῶν ἐκ ἐλάμβανον πεῖραν. λη'. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἔπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτές. Οὕτω δὲ ταῖς παντοδαπαῖς ἐξεδειματώθησαν τιμωρίαις, ὡς καὶ εὐεργεσίαν οἰκείαν νομίσαι τὴν τῶν Ἑβραίων ἐλευθερίαν. λθ'. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτῶν, καὶ πῦρ τὸ φωτίσαι αὐτὲς τὴν νύκτα. Ἡ γὰρ αὐτὴ νεφέλη σκηνὴ μὲν αὐτοῖς μεθ' ἡμέραν ἐγένετο, καὶ τῆς ἀκτῖνος ἐκώλυε τὸ λυπεῖν· νύκτωρ δὲ πυροειδὴς αὐτοῖς γινομένη, τὸ φῶτος αὐτοῖς ἐχορήγει τὴν χρείαν. μ'. ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον ὐρανὸ ἐνέπλησεν αὐτούς. Ἐπειδὴ γὰρ καὶ κρεῶν ὠρέχθησαν, παρέχεν αὐτοῖς καὶ θήραν ὀρνίθων αὐτόματον, καὶ δεηθεῖσιν ἄρτων ἄνωθεν ἐχορήγησε τότε, διὰ τῶν νεφέλων

λων οὐχ ὑετὸν, ἀλλ' αὐτὴν δωρησάμενος τὴν τροφήν. μά'. Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα, καὶ ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. Ἐθεράπευσε δὲ αὐτῶν καὶ τὸ δίψος ταῖς παραδόξοις ὠδῖσι τῆς πέτρας. ἐν ἀνύδρῳ γὰρ γῇ, καὶ νοτίδος ἐσερημένῃ, ποταμοὺς ἀναβλύσαι προσέταξε· ποταμοὺς δὲ καλεῖ, τῶν ἀναδοθέντων ἐκ τῆς πέτρας ὑδάτων τοὺς ὀχετούς. μβ'. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. μγ'. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Τούτων δὲ πάντων αὐτοῖς μετέδωκε, τὰς πρὸς τὸν Ἀβραὰμ γεγενημένας ὑπ' αὐτοῦ ἐπαγγελίας πληρῶν. μδ'. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν. Οὐ γὰρ μόνον τῆς Αἰγυπτίων ἠλευθέρωσε δουλείας, ἀλλὰ καὶ τῶν Χαναναίων αὐτοῖς ἐδωρήσατο γῆν, καὶ τῶν ἀλλοτρίων πόνων δεσπότας ἀπέφηνε· καὶ ἐκείνους κολάσας ἐνδίκως, καὶ τὰς οἰκείας ἐμπεδώσας ἐπαγγελίας. ὅτι δὲ οὐκ ἀδίκως ἐξέβαλε τὰς πρώην τὴν Παλαιστίνην οἰκοῦντας, διδάσκει μὲν καὶ δι' ὧν Ἰουδαίοις ἐνομοθέτησε, φεύγειν κελεύσας τῆς ἐκείνων πολιτείας τὴν μίμησιν· διδάσκει δὲ καὶ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας ποιούμενος, τί δήποτε μὴ εὐθὺς αὐτῷ δίδωσι τῆς γῆς ἐκείνης τὴν δεσποτείαν, ἀλλὰ παροικεῖν ἐπὶ πλεῖσον ἐᾷ· οὔπω γάρ φησιν ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν· ἀντὶ τοῦ, οὐδέπω πανωλεθρίας τετολμήκασιν ἄξια· καὶ οὐ δίκαιον αὐτοῖς τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐδὲ τῇ προγινώσει τῆς μείζονος ἁμαρτίας τῆς τιμωρίας τὴν ψῆφον ἐξενεγκεῖν, ἀλλ' ἀναμεῖναι τῶν πραγμάτων τὸ τέλος· μέτρῳ γὰρ χρῶμαι, καὶ σταθμῷ πρυτανεύω, καὶ οὐδὲν ἀσάθμητον παρ' ἐμοί. διὰ τοῦτο τετρακοσίων ἐτῶν ἀναμένω περίοδον. ἕτω κἀκείνους ἐξέβαλε, καὶ τούτοις ἐπαγγελίας ἀπέδωκεν. με'. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. Δέδωκε δὲ αὐτοῖς, φησὶν, ἣν ἐπηγγείλατο γῆν, νόμον αὐτοῖς δεδωκὼς, καὶ κατὰ τοῦτον βιοτεύειν κελεύσας.

ΕΡΜΗΝ. ΤΟΥ ρε' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἐν μὲν τῷ Ρ' καὶ Δ' ψαλμῷ τὰς θείας ὁ προφητικὸς λόγος διεξῆλθεν εὐεργεσίας· ἐν τούτῳ δὲ καὶ τῶν εὐεργεσιῶν μέμνηται, καὶ τὰς τῶν εὐεργετηθέντων ἀχαριστίας κατηγορεῖ, καὶ τὰς ἐπενεχθείσας αὐτοῖς διαφόρως τιμωρίας διδάσκει. ἐσχημάτισαι δὲ ὡς ἐκ προσώπου τῶν εὐσεβεστέρων, τὰς κοινὰς ὀλοφυρομένων συμφορὰς, καὶ φειδοῦς τυχεῖν ἀντιβολούντων. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐπὶ ταῖς προλήψεσιν εὐεργεσίαις τὸν Δεσπότην ὑμνήσατε, καὶ τὰς χρηστοτέρας ἐλπίδας προσμείνατε. ἀγαθὸς γὰρ καὶ φιλάνθρωπος ὁ Δεσπότης, καὶ ἀεὶ τῷ ἐλέῳ διατελεῖ χρώμενος. εἶτα διδάσκει ὡς ὑπερβάλλει τῶν ἀνθρώπων τὴν φύσιν ἡ τῶν θείων θαυμάτων διήγησις. β'. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Οὐδεὶς ἀπόχρη λόγος εἰς ὑμνῳδίαν

τοῦ τῶν ὅλων Θεοῦ. γ'. Μακάριοι οἱ Φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Τῇ αἰθήσει τῆς ἁμαρτίας ὁ τῆς ἀρετῆς μακαρισμὸς ὑπεισέρχεται· ὁ γὰρ τὰς ὑπὲρ ταύτης εὐθύνας ἐκτίνων μακαρίζει τοὺς ταύτης ἀπηλλαγμένους, καὶ δικαιοσύνην τὸν οἰκεῖον βίον διακοσμοῦντας· μακαρίζει δὲ οὐ τὸν ἅπαξ τῇ δικαιοσύνῃ χρησάμενον, ἀλλὰ τὸν ἀεὶ καὶ διηνεκῶς τοῖς ταύτης ἑπόμενον ἴχνεσι. δ'. Μνήθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Ἐνταῦθα τὸν νέον λαὸν αἰνίττεται, καὶ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἣν τῆς σωτηρίας ἠξίωσεν, ἧς ἁρπάσαι διδάσκεται τὴν κοινωνίαν ἡ Ἰουδαίων πληθύς. συμφωνεῖ δὲ τῇ διανοίᾳ καὶ τὰ ἐπιφερόμενα. ε'. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. Ἀντιβολοῦμεν φησὶ τῆς τοῦ νέου σοῦ ἔθνους μεταλαχεῖν εὐφροσύνης, καὶ κοινωνοὶ γενέσθαι τῆς ἐκείνοις χορηγουμένης χρηστότητος. ς'. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν· ἠνομήσαμεν, ἠδικήσαμεν. Ὥσπερ γάρ τινα, φησὶ, κλῆρον, παρὰ τῶν πατέρων διεδεξάμεθα τὴν τῶν σῶν νόμων παράβασιν· πατέρας δὲ καλεῖ, οὐ τοὺς ἁγίους πατριάρχας, ἀλλὰ τοὺς μετ' ἐκείνους γενομένους. τοῦτο γὰρ διὰ τῶν ἑπαγομένων ἐδήλωσεν. ζ'. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν θαυμάσιά σου, καὶ οὐκ ἐμνήθησαν τὸ πλήθους τοῦ ἐλέους σου. Τοσούτων γὰρ ἐν Αἰγύπτῳ δι' αὐτοὺς γεγενημένων θαυμάτων, συνιδεῖν τὴν σὴν οὐκ ἐθέλησαν δύναμιν. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. Θεασάμενοι γὰρ τοὺς Αἰγυπτίους διώκοντας, καὶ τὴν θάλασσαν ἐπέχουσαν τὴν φυγὴν, τὴν ἐπικουρίαν προσμεῖναι τὴν σὴν οὐκ ἐθέλησαν· ἀλλὰ τοῦ μεγάλου Μωσοῦ κατεβόων, λέγοντες παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ ταύτῃ. ἀλλ' ὅμως καὶ ἀγνώμονας φανέντας σωτηρίας ἠξίωσας. τοῦτο γὰρ ἐπήγαγεν. η'. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. θ'. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ. ι'. Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ. Λόγῳ γὰρ τῆς θαλάσσης τὸν πυθμένα γυμνώσας, τὴν πολλὴν ἐκείνην ἄβυσσον ἱππήλατον αὐτοῖς ἀπέφηνεν ἔρημον. ἐπειδὴ γὰρ ἐν ταῖς ἐρήμοις πολλὴ τοῖς τρέχουσιν εὐκολία, μήτε φυτῶν ὄντων, μήτε φραγμῶν κωλυόντων, τὴν τῆς διαβάσεως εὐκολίαν δεδήλωκε τῇ τῆς ἐρήμου παραβολῇ. ια'. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτοὺς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Πάντας γὰρ τοὺς Αἰγυπτίους ὑποβρυχίους πεποίηκε· καὶ ἡ αὐτὴ θάλασσα Ἑβραίοις μὲν σωτηρίαν, Αἰγυπτίοις δὲ τιμωρίαν ἐπήγαγε. ιβ'. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἦσαν τὴν αἴνεσιν αὐτοῦ. Τῶν γὰρ ἀνδρῶν ὑμνούντων Μωσῆς ὁ μέγας ἡγεῖτο, τοῦ δὲ χοροῦ τῶν γυναικῶν Μαριὰμ ἡ προφῆτις· ἀναγραπτος δὲ καὶ ἡ ᾠδή. ιγ'. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐ-

αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. ιδ'. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Τοσαῦτα γὰρ ἔχοντες καὶ τοιαῦτα ἐχέγγυα τῆς θείας δυνάμεως, οὐκ ἤτησαν τὴν χρείαν λαβεῖν, οὐδὲ τὴν θείαν προσέμεναν δωρεάν, ἀλλ' εὐθὺς λοιδορίαις κατὰ τῶν θείων ἐχρήσαντο θεραπόντων. ιέ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Αἴτημα τὴν ἐπιθυμίαν ἐκάλεσεν, οὐ γὰρ ἤτησαν, ἀλλὰ κατελάλησαν· δέδωκε δὲ ὅμως αὐτοῖς καὶ κρεῶν ἀφθονίαν, καὶ ἄρτον ἀχειροποίητον, καὶ ὕδωρ ἡδίσον τε καὶ ἄφθονον. ιϛ'. Καὶ παρώργισαν τὸν Μωσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου. Κορὲ μὲν γὰρ, καὶ ἡ τούτου συμμορία, ἐπειράθησαν τὴν ἱερωσύνην ἁρπάσαι· Δαθὰν δὲ καὶ Ἀβειρὼν ἑτέραν ἐμελέτησαν τυραννίδα. ιζ'. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. ιή. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Δαθὰν μὲν καὶ Ἀβειρὼν μετὰ πάσης τῆς πατριᾶς κατεποντίθησαν· Κορὲ δὲ, καὶ οἱ σὺν αὐτῷ, θεηλάτῳ πυρὶ κατεφλέχθησαν. τὰς δὲ τιμωρίας ἐπήγαγεν ὁ Θεὸς, τοὺς ἄλλους σωφρονεῖν ἀναγκάζων. οὐδεμίαν δὲ λαβεῖν ἐντεῦθεν ὄνησιν ἐβουλήθησαν· καὶ τοῦτο δηλοῖ ἡ τῶν τετολμημένων ἐξήγησις. ιθ'. Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ. Οὐχ ἁπλῶς τοῦ ὄρους ἐμνημόνευσεν, ἀλλὰ τὴν τῆς ἀσεβείας διδάσκων ὑπερβολήν· ἐν τούτῳ γὰρ ὤφθη τῶν ὅλων ὁ Κύριος· ἐν τούτῳ δείματος αὐτοὺς ἐνέπλησε, μετὰ πλείστου πυρὸς φανείς, σάλπιγξι χρώμενος, καὶ κατακτύπων βρονταῖς, καὶ μετὰ τοσούτε δέους τὴν νομοθεσίαν προσφέρων· ἐν τούτῳ τετολμήκασι τὴν ἀσέβειαν. Καὶ προσεκύνησαν τῷ γλυπτῷ. Ἑτέρας καὶ τοῦτο παραπληξίας κατηγορία· ὁ γὰρ ἑώρων διὰ τέχνης ἀνθρωπίνης τὸ εἶδος δεξάμενον, τούτῳ τὸ σέβας τὸ θεῖον προσήνεγκαν. κ'. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ, ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Σφόδρα αὐτῶν ἁρμοδίως τὴν ἄνοιαν ἐτραγῴδησεν· ἀντὶ γὰρ τοῦ τοσαῦτα θαυματουργήσαντος, καὶ τὴν παράδοξον ἐκείνην σωτηρίαν χαρισαμένου, καὶ τοσαῦτα ἐνεργεῖν δυναμένου, εἰκόνα τετιμήκασι μόσχε, ἧς τὸ ἀρχέτυπον τροφῆς ἐνδεές· τροφὴ καὶ τῷ μόσχῳ, ἐκ ἄρτος, ὁ τοῖς λογικοῖς προσφερόμενος, ἀλλὰ πόα καὶ χόρτος. τοῦ δὲ μόσχου, οὐ ἄλογος ἡ Φύσις, καὶ ὁ χόρτος τροφὴ, καὶ ἡ δουλεία δεδωρημένη ἀνθρώποις, ἡ εἰκὼν εὐτελεστέρα πολλῷ· οὐ γὰρ μόνον ἄλογος, ἀλλὰ καὶ ἄψυχος, οὐκ ἐνεργεῖν, οὐ μυκᾶσθαι, ἐκ ἐσθίειν ἰσχύουσα· ἀλλὰ ὅμως ἀδρανὴ τοῦ Θεοῦ τῶν ὅλων προτετιμήκασιν. κά. Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτοὺς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ. κβ'. Θαυμάσια ἐν γῇ Χαμ, φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. Οὔτε γὰρ τῆς οἰκείας ἐμνημόνευσαν σωτηρίας, οὔτε τῆς τῶν Αἰγυπτίων τιμωρίας, οὔτε τοῦ μεγάλου τῆς θαλάττης θαύματος, ἀλλὰ πάντα ἀθρόως ἀπέπτυσαν. κγ'. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰ μὴ Μωσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον

πιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. Τοῦ γὰρ Θεοῦ τῶν ὅλων εἰρηκότος, ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα· εἶπεν ὁ μακάριος Μωσῆς, εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. κδ'. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητὴν, οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. κέ. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Ἑτέρας ἀπειθείας ἀναμιμνήσκει· τῷ γὰρ Θεοῦ παρεγγυήσαντος τῆς ἐπηγγελμένης ἐπιβῆναι γῆς, τῆς δειλίας τὸ πάθος δεξάμενοι, ἀντέτεινον προφανῶς, τοὺς μὲν Χαναναίους γενναίους εἶναι λέγοντες, σφᾶς δὲ αὐτοὺς δύναμιν ἀξιόχρεων οὐκ ἔχειν πρὸς τὴν ἐκείνων παράταξιν. τοῦτο δὲ ἀπιστίας προφανῶς τεκμήριον· τοὺς γὰρ τοσούτων καὶ τοιούτων θαυμάτων αὐτόπλας θαρρεῖν εἰς πάντα δίκαιον ἦν τῇ τοῦ σεσωκότος δυνάμει. κς'. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτῆς ἐπ' αὐτὰς, τῷ καταβαλεῖν αὐτὰς ἐν τῇ ἐρήμῳ. κζ'. Καὶ τῷ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτὰς ἐν ταῖς χώραις. Ἐβουλήθη δὲ τῇ ἀπιστίᾳ κατάλληλον ἐπιθεῖναι τὴν τιμωρίαν, καὶ πᾶσι κατὰ ταυτὸν ἐπενεγκεῖν τὸν ὄλεθρον· ἀλλ' ὅμως τῇ συνήθει φιλανθρωπίᾳ χρώμενος, μερικὴν αὐτοῖς ἐπήγαγε κόλασιν. κή. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ· καὶ ἔφαγον θυσίας νεκρῶν. κθ'. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Εἰς ἀκολασίαν ἐξωκείλαντες πάλιν, καὶ ταῖς τῶν Μωαβιτῶν μιγνύμενοι γυναιξὶ, μετέμαθον τὴν ἐκείνων ἀσέβειαν. Βεελφεγὼρ δέ ἐστιν εἴδωλον παρ' ἐκείνοις τιμώμενον· καὶ Φεγὼρ μὲν ἐκαλεῖτο τὸ εἰδώλου ὁ τόπος, Βάαλ δὲ τὸ εἴδωλον. τοῦτον δέ φασι Κρόνον καλεῖσθαι τῇ Ἑλλάδι φωνῇ. Θυσίας δὲ νεκρῶν καλεῖ τὰς καλουμένας παρ' Ἕλλησι χοὰς, ἃς τοῖς νεκροῖς προσφέρειν εἰώθασι· καὶ αὐτοὺς δὲ τοὺς καλουμένους Θεοὺς νεκροὺς οὐκ ἂν τις ἁμάρτοι προσαγορεύσας. Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πλῶσις. Πάλιν γὰρ ἕτερον αὐτοῖς ἐπήγαγε θάνατον. λ'. Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. λά. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Τὴν θραῦσιν ὁ Σύμμαχος πληγὴν εἴρηκε· διδάσκει δὲ καὶ τοῦτο ἡ ἱστορία· τὸν γὰρ Ζαμβρὴν μιχθῆναι τῇ Μαδιανίτιδί τινι προφανῶς ἀναχόμενον δόρατι χρησάμενος συνανεῖλε τῇ γυναικί. τὸν τούτου ζῆλον ἀποδεξάμενος ὁ Θεὸς, αὐτὸν μὲν ἀνεκήρυξε, τὴν δὲ τοῖς ἄλλοις ἐπαγομένην τιμωρίαν ἐκώλυσεν. λβ'. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωσῆς δι' αὐτούς. λγ'. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Πενθοῦντι γὰρ τὴν ἀδελφὴν προσελθόντες, μετὰ πολλῆς ἀταξίας τὴν χρείαν ἐξήτησαν· ὁ δὲ καὶ τῇ ἀθυμίᾳ τοῦ πένθους βαλλόμενος, καὶ τούτων ἀκρασίαν θεώμενος, θυμῷ καὶ λυπῇ περιχεθεὶς, ὃ μετὰ τῆς συνήθους ἁρμονίας τῷ θείῳ προστάγματι διεκόνησεν· ἀλλ' ἀμφιβολίαν τινὰ τοῖς λόγοις ἀναμίξας, τὴν πέτραν ἐπάταξε, καὶ τὸ

ὕδωρ

ὕδωρ ἐξήγαγε· τοῦτο γὰρ δηλοῖ τὸ διέσειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ, ἀντὶ τοῦ, ἐκ ἀναμφιβόλως τοῖς λόγοις ἐχρήσατο. εἶπε γάρ φησι Μωσῆς πρὸς αὐτὸς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ; τότε χάριν ἀγανακτήσας δῆθεν ὁ τῶν ὅλων Θεὸς, ἐδ' αὐτῷ τὴν τοῖς πατράσιν ἐπηγγελμένην ἀπέδωκε γῆν· ἀλλὰ τὸν μὲν ἐκέλευσε δέξασθαι τοῦ βίου τὸ τέλος· δι' Ἰησοῦ δὲ τοῦ Ναυῆ πεπλήρωκε τὴν ὑπόχεσιν. καὶ δοκεῖ μὲν ταύτην αὐτῷ τιμωρίαν ἐπιτεθεικέναι τῶν ὅλων ὁ πρύτανις· ἕτερα δὲ οἰκονομῶν ἐπραγματεύσατο τοῦτο· πρῶτον μὲν γὰρ, τῶν Ἰουδαίων ἐπισάμενος ἄνοιαν, οὐκ εἴασε δι' αὐτοῦ πᾶσαν τὴν ὑπόχεσιν πέρας λαβεῖν, ἵνα μὴ αὐτὸν Θεὸν ὑπολάβωσιν. οἱ γὰρ εἰκόνα μόχου θεοποιήσαντες, ποῖον ἐκ ἂν προσήνεγκαν σέβας τῷ τοσούτων θαυμάτων ὑπουργῷ γενομένῳ; διά τοι τοῦτο καὶ τὸν τάφον αὐτοῦ λαθεῖν πεποίηκεν ὁ Θεός· πρὸς δὲ τοῦτο, καὶ τῆς νομοθεσίας ἠβουλήθη δεῖξαι τὸ πρόσκαιρον ἀπὸ τῶν αὐτῷ τῷ νομοθέτῃ συμβάντων. εἰ γὰρ ὁ νομοθέτης τῆς ἐπηγγελμένης οὐκ ἀπήλαυσε γῆς, συνειδεῖν ἐντεῦθεν ῥᾴδιον, ὡς οὐδὲ αὐτοὶ ταύτης ἀπολαύσωσιν ἐπὶ πλεῖσον τῆς προμηθείας. οὕτω τὰ κατὰ τὴν ἔρημον διηγησάμενος, τὴν ἐν τῇ γῇ τῆς ἐπαγγελίας γεγενημένην αὐτῶν ἐλέγχει παρανομίαν. λδ'. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς. λε'. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. λς'. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Τὴν γὰρ ἐπιμιξίαν διὰ τὴν τῆς ἀσεβείας ἐκώλυσε κοινωνίαν, τῇ ἀρχῇ τὸ τέλος συναναιρῶν, καὶ σὺν τῇ ῥίζῃ τὸν καρπὸν ἀφανίζων, καὶ τῷ ἐλάττονι κακῷ τὸ χεῖρον προαναιρῶν. ἀλλ' ὅμως οὗτοι καὶ ἐν τούτῳ τὸν θεῖον παραβαίνοντες νόμον, οὔτε τὰ δυσσεβῆ ἐξωλόθρευσαν ἔθνη, οὔτε τὴν πρὸς αὐτὰ ἔφυγον κοινωνίαν, ἀλλὰ τὴν πονηρὰν αὐτῶν πολιτείαν ἐζήλωσαν. λζ'. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. λή. Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν, καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν· καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι. λθ'. Καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν. Τὸν κολοφῶνα τῆς ἀσεβείας τελευταῖον κατέλιπον· ποίαν γὰρ δυσσεβείας ὑπερβολὴν καταλείπει τὸ αἵμασιν υἱῶν καὶ θυγατέρων μολύναι τὴν γῆν, καὶ τοῖς αἱμοβόροις δαίμοσι τὰς τούτων θυσίας προσενεγκεῖν; τῷ Θεῷ μὲν γὰρ οὐδὲ τὰ νενομισμένα προσέφερον· τοῖς δὲ εἰδώλοις καὶ τὰς τῶν παίδων σφαγάς. Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Πορνείαν ἐνταῦθα οὐ τὴν ἀκολασίαν μόνον, ἀλλὰ καὶ τὴν τῶν εἰδώλων λατρείαν καλεῖ. ἐπειδὴ γὰρ τῷ Θεῷ συνημμένοι τὴν ἐκείνων θεραπείαν ἠγάπησαν, τὴν δεισιδαιμονίαν εἰκότως πορνείαν ἐκάλεσεν. μ'. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. μά. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς. μβ. Καὶ ἔθλιψαν αὐτὸς

τοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Ταῦτα καὶ ἡ τῶν Κριτῶν ἱστορία διδάσκει, καὶ μέντοι καὶ ἡ τῶν Βασιλειῶν συγγραφή· ποτὲ μὲν γὰρ Μωαβίταις, ποτὲ δὲ Ἀμμανίταις, ἄλλοτε δὲ Ἀμαλακίταις, καὶ Μαδηναίοις, καὶ Ἀλλοφύλοις παρέδωκε, τῇ παιδείᾳ τὴν ὠφέλειαν παρεπούμενος. μγ'. Πλεονάκις ἐρρύσατο αὐτούς· αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βελῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Ἐπάγων γὰρ τὴν παιδείαν πάλιν μετεδίδου φιλανθρωπίας· οἱ δὲ αὐτὸν τοῖς ἐναντίοις ἠμείβοντο. μδ'. Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Ταῦτα καὶ αἱ ἱστορίαι διδάσκουσι· καὶ ὅτι ἐδεήθησαν τοῦ Θεοῦ ἀπὸ τῆς ἀνάγκης ὠθούμενοι· καὶ ὅτι δεηθέντες ἠκούσθησαν. με'. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτῆς, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτῆς. Διὰ γὰρ τὰς πρὸς τοὺς πατέρας ἐπαγγελίας τὸν ἔλεον ἐχορήγησε· μεταμέλειαν δὲ καλεῖ τῆς παιδείας τὴν παῦλαν· ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται· ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων, καὶ παιδείας ἐπάγει, καὶ φιλανθρωπίαν ὀρέγει. μς'. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Οὕτω τὸν Κύρον κατέθελξεν, καὶ εἰς ἔλεον ἔκαμψε, καὶ δοῦναι τοῖς δορυαλώτοις τὴν ἐλευθερίαν πεποίηκε. μζ'. Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν· τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τὲ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Καὶ ταῦτα δηλοῖ, ὡς ὁ προφητικὸς αὐτοὺς διδάσκει λόγος, πῶς δεῖ τὸν Θεὸν ἱλεώσασθαι, καὶ τῆς παρ' αὐτῷ κηδεμονίας τυχεῖν· καὶ ὁ θεσπέσιος δὲ ἀπόστολος τὴν ἐσομένην Ἰουδαίοις σωτηρίαν διὰ Ἠλιοῦ τοῦ Θεσβίτου προηγόρευσεν· ἥξει ἐκ Σιὼν φησιν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. οὐ μὲν τὴν οἰκοδομίαν τῆς Ἱερουσαλὴμ προσμεῖναι δεῖ, κατὰ τοὺς μύθους τῶν ἀνοήτων, καὶ τὴν κατὰ νόμον λατρείαν, καὶ τὰς ἀλόγους θυσίας, καὶ περιτομὴν, καὶ σάββατον, καὶ σκιώδη περιῤῥαντήρια μετὰ τὸ παναγιον βάπτισμα· ταῦτα γὰρ γραιδίων μεθυόντων παραληρήματα· ἀλλὰ κλῆσιν καὶ ἐπίγνωσιν ἀληθείας, καὶ πίστιν εἰς τὸν δεσπότην Χριστὸν, καὶ τῆς καινῆς διαθήκης τὴν πολιτείαν. μή. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαὸς, γένοιτο, γένοιτο. Ὑμνητὸς γὰρ ἐπὶ πᾶσι τῶν ὅλων ὁ Κύριος, ὁ τοῦ Ἰσραὴλ χρηματίσας Θεὸς, ὁ τοσαῦτα τῆς τῶν ἀνθρώπων ἕνεκα πραγματευσάμενος σωτηρίας· προσήκει δὲ τὸν λαὸν ἅπαντα τὸ ἀμὴν τῇ τῶν ὑμνούντων ἐπιφέρειν φωνῇ. Τὸ γὰρ γένοιτο, γένοιτο, ἀμὴν, καὶ ἀμὴν, ὁ Ἑβραῖος καλεῖ. ὅθεν καὶ τὸ ἔθος ἐν ταῖς ἐκκλησίαις μενη-

μένηκε τῷ τῆ δοξολογίᾳ τοῦ ἱερέως διὰ τοῦ ἀμὴν συντίθεσθαι τὸν λαὸν, καὶ τὴν ἐντεῦθεν κοινωνίαν προσφέρειν, καὶ τὴν εὐλογίαν λαμβάνειν.

ΕΡΜΗΝ. ΤΟΥ ρς' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Πολλάκις ἀπεδείξαμεν, ὅτι σκιὰ τῆς καινῆς ἡ παλαιὰ διαθήκη· οὐδὲν δὲ ἧττον καὶ ἐκ τῆδε τοῦ ψαλμοῦ ῥᾴδιον τοῦτο καταμαθεῖν. τήν τε γὰρ Ἰουδαίων ἐλευθερίαν θεσπίζει, καὶ τὴν πάντων ἀνθρώπων σωτηρίαν προαγορεύει· ἔχει δὲ πολὴν πρὸς τοὺς προτεταγμένους ἀκολουθίαν· ὁ μὲν γὰρ τέταρτος καὶ ἑκατοστὸς διήγησιν ἔχει τῶν ὑπὸ τοῦ Θεοῦ πρὸς τοὺς πατριάρχας γεγενημένων ἐπαγγελιῶν, καὶ τῶν τοῖς ἐκείνων ἐκγόνοις παραχεθεισῶν δωρεῶν. ὁ δὲ μετὰ ἐκεῖνον, πρὸς ταῖς εὐεργεσίαις, καὶ τὴν Ἰουδαίων ἀχαριστίαν ἐδίδαξε, καὶ τὰς δι' ἐκείνην ἐπενεχθείσας τιμωρίας αὐτοῖς· οὗτος δὲ προαγορεύει τὴν τῆς αἰχμαλωσίας ἀπαλλαγὴν διὰ τὴν ἄῤῥητον τοῦ Θεοῦ φιλανθρωπίαν γεγενημένην. ἐπειδὴ δὲ καὶ ἐν ἐκείνοις ἐσκιογράφηται τὰ ἡμέτερα, ὁρῶμεν δὲ καὶ ἐν τῷδε τῷ ψαλμῷ τῆς ἡμετέρας σωτηρίας τὰ θεσπίσματα· μᾶλλον ἡμῖν ἢ ἐκείνοις ἁρμόττει τῆς προφητείας τὸ πλεῖστον. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Πάλιν ὑμνεῖν ὁ προφητικὸς παρακελεύεται λόγος τὸν εὐεργέτην Θεόν· αἰτίαν δὲ τῆς ὑμνῳδίας τὴν φιλανθρωπίαν εἶναί φησιν. β'. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. Καὶ Ἰουδαίους ὑμνεῖν ἔδει τῆς Βαβυλωνίων ἐλευθερωθέντας δουλείας· καὶ ἡμᾶς ἀεὶ προσήκει τοῦτο ποιεῖν, τῆς τῷ διαβόλου τυραννίδος ἀπαλλαγέντας. γ'. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς· ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης. Τοῦτο ἐπὶ μὲν Ἰουδαίων οὕτω γεγενημένον οὐ μεμαθήκαμεν· κατὰ πᾶσαν γὰρ τὴν οἰκουμένην ἐσκεδασμένοι διάγουσι· τὴν δὲ ἐξ ἐθνῶν ἐκκλησίαν ἐν ἅπασι τῆς οἰκουμένης τοῖς τμήμασιν, ἑῴοις τε καὶ ἑσπερίοις, νοτίοις τε καὶ ἀρκτῴοις, ἐκάλεσε καὶ συνήθροισε· καὶ τοὺς τοιούτους συλλόγους παντα χοῦ γῆς καὶ θαλάττης ἔξιν ἰδεῖν. ἐπὶ μέν τοι Ἰουδαίων ἀμυδρῶς τοῦτο γεγένηται· τινῶν μὲν ὑπὸ Βαβυλῶνος ἐπανελθόντων, ὀλίγων δέ τινων κατ' ἐκείνου τὸ καιρῷ συλλεγέντων ἐξ Αἰγύπτου, καὶ τῶν πλησιοχώρων ἐθνῶν. δ'. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ. Καὶ Βαβυλὼν ἔρημος καὶ ἄνυδρος· ἔρημος γὰρ ὑπῆρχε τῷ Θεοῦ· καὶ τῆς πνευματικῆς ἀρδείας δουλεύον ἐκείνη ἐστέρητο τῶν Ἰουδαίων τὸ πλῆθος· καὶ οἱ ἐξ ἐθνῶν πεπιστευκότες ὡσαύτως ἐν ἐρήμῳ καὶ ἀνύδρῳ διῆγον, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ὄντες, φησὶν ὁ θεῖος ἀπόστολος. Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. οὔτε γὰρ Ἰουδαῖοι διαφυγεῖν τοὺς ἀνδραποδίσαντας ἴσχυον, καὶ τὴν οἰκείαν πατρίδα καταλαβεῖν· οὔτε

οἱ ἐξ ἐθνῶν πεπιστευκότες, πρὸ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως τὴν ἐπὶ τὴν θείαν πόλιν ἄγουσαν εὗρον ὁδόν· πόλιν ἐνταῦθα νοητέον τὴν εὐσεβῆ πολιτείαν. ε'. Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. Θείας διδασκαλίας λιμὸς καὶ τούτους κἀκείνους ἐπίεζεν. Ἰουδαῖοι μὲν γὰρ ἐν Βαβυλῶνι δουλεύοντες, καὶ ἱερέων ἐστέρηντο, καὶ τὴν κατὰ νόμον λατρείαν πληροῦν οὐκ ἠδύναντο· τὰ δὲ ἔθνη πάλιν οὔτε νόμον θεῖον ἐδέδεκτο, οὔτε πνευματικῆς διδασκαλίας ἀπῆλαυε, δι' ὧν αἱ ψυχαὶ τρέφεσθαι πεφύκασι τρέφεσθαι· τοῦτον μέν τοι τὸν λιμὸν Ἰουδαίοις ἠπείλησεν ὁ Θεός. ἐπάξω γὰρ, ἔφη, λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ς'. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτὸς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτές. Τῶν μὲν Ἰουδαίων οἱ εὐσεβέστεροι τῷ Θεῷ τὴν ἱκετείαν προσήνεγκαν· καὶ τοῦτο ἡμᾶς καὶ ἡ τοῦ Δανιὴλ προφητεία διδάσκει. καὶ αὐτὸς γὰρ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαὴλ, ὑπὲρ πάντων πολνιώμενοι, τὸν θεῖον ἐζήτησαν ἔλεον. τὰ δὲ ἔθνη ἔξενε μὲν ταῖς παντοδαπαῖς προσπαλαίοντα συμφοραῖς, καὶ οἰμωγαῖς, καὶ θρήνοις ἀπαραμυθήτοις ἐκέχρηντο, τῆς ἀναστάσεως δὲ οὐκ ἔχοντα τὴν ἐλπίδα, οὐ μὲν τὴν λύσιν τῶν κατεχόντων δεινῶν ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἐζήτησαν· εἶδε δὲ ὅμως ξένοντας ὁ Φιλάνθρωπος, καὶ τὸν ἔλεον ὤρεξεν. ζ'. Καὶ ὡδήγησεν αὐτὲς εἰς ὁδὸν εὐθεῖαν, τὸ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἰουδαίοις μὲν γὰρ διὰ Κύρου τοῦ Πέρσου τὴν ἐπάνοδον ἐδωρήσατο· τὰ δὲ ἔθνη διὰ τῶν ἁγίων ἐποδήγησεν ἀποστόλων, καὶ τὴν ἄνω πόλιν ὑπέδειξε, τὴν ἐν ὄρεσιν ἁγίοις τὰς θεμελίους ἔχουσαν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. η'. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὁ δὲ Σύμμαχος ἔτως· καὶ τὰ τεράστια αὐτοῦ τὰ εἰς τὰς υἱὰς τῶν ἀνθρώπων· τὸν μέν τοι χαριστήριον ὕμνον ἀχ ὁ ἔλεος τῷ Θεῷ προσφέρει, ἔτε μὲν τὰ θαυμάσια, ἀλλ' οἱ τῶν τοσούτων ἀγαθῶν ἀπολαύσαντες· θαυμασὴ μὲν γὰρ καὶ ἀξιάγαστος καὶ Ἰουδαίων ἐλευθερία· θαυμασιωτέρα δὲ καὶ ἀξιαγαστοτέρα τῆς οἰκουμένης ἡ σωτηρία, καὶ ἡ ἐπὶ τὸ κρεῖττον μεταβολὴ, καὶ τῆς πλάνης ἡ παῦλα, καὶ τῆς ἀληθείας ἡ γνῶσις. τούτων δὲ πάντων ὁ θεῖος πρόξενος ἔλεος· ἐ γὰρ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν, φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, ὃ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως. θ'. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. ι'. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Καὶ Ἰουδαίους δουλείᾳ καὶ κακουχίᾳ συνεζευγμένους, καὶ λιμῷ τηκομένους, τῶν κατεχόντων

χόντων δεινῶν ἠλευθέρωσε· καὶ ἅπασαν ἀνθρώπων τὴν φύσιν ταῖς θείαις διδασκαλίαις διέθρεψε, καὶ τῷ ζόφῳ τῆς ἀγνοίας ἐλευθερώσας, τῷ φωτὶ τῆς θεογνωσίας κατηύγασε, καὶ τὴν ἐπικειμένην τῷ θανάτῳ σκιὰν ἀπεσκέδασε, τῆς ἀναστάσεως δεδωκὼς τὴν ἐλπίδα· καὶ διέρρηξε τὰ ἰσχυρὰ τῆς ἁμαρτίας δεσμά. σειρεῖς γάρ φησι τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται, καὶ ἁλίσκονται οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς χοινίῳ μακρῷ, καὶ ὡς ζυγῷ ἱμάντι δαμάλεων τὰς ἀνομίας αὐτῶν. ιά. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν. ιβ'. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν· ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν. Τούτων δὲ πάντων αἴτιον τῶν ἀλγεινῶν, καὶ Ἰουδαίοις, καὶ μέντοι καὶ πᾶσιν ἀνθρώποις, ἡ ἁμαρτία· κακεῖνοι γὰρ δίκας τίνοντες ἐξεδόθησαν τῇ Βαβυλωνίων δουλείᾳ· καὶ πάντες ἄνθρωποι, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς, ὑπεβλήθησαν τῇ τῶν πόνων ταλαιπωρίᾳ. μετὰ ταῦτα γὰρ ἤκουσεν Ἀδὰμ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· τοσαύταις περισοχιζόμενοι συμφοραῖς λύσιν οὐδεμίαν εὕροντο τῶν ἐπικειμένων κακῶν, ἀλλ' ὁ ταύταις αὐτοὺς συγκληρώσας, αὐτὸς καὶ τὴν τούτων ἀπαλλαγὴν ἐδωρήσατο. Φησὶ γάρ· ιγ'. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. ιδ'. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν. Οἰκτείρας γὰρ καὶ τούτους κἀκείνους, τοὺς μὲν τῶν ἐπικειμένων ἀπήλλαξε συμφορῶν, τοὺς δὲ τῆς ἀγνοίας ἠλευθέρωσε σκότους, καὶ τῆς δουλείας διέρρηξε τὰ δεσμά. ιε. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. ις'. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς, τὸ ἀφύκτιον ἐκάλεσε τῶν κακῶν· καθάπερ γὰρ τὸν εἴσω τοιούτων καθειργμένον θυρῶν τε καὶ μοχλῶν, διαφεύγειν τῶν ἀδυνάτων· ἕτως ἀμήχανον ἦν καὶ Ἰουδαίους τὴν Βαβυλωνίων διαδρᾶναι δουλείαν, καὶ πάντας ἀνθρώπους τῷ θανάτῳ τὴν δυναστείαν· μόνος δὲ ὁ θεῖος ἔλεος ἤρκεσε κἀκείνων καὶ τότε διαλῦσαι τὸ κράτος, καὶ τῶν ἀνιαρῶν τὴν λύσιν χαρίσασθαι. ιζ'. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Οὔτε Ἰουδαῖοι, οὔτε πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, ἀδίκως τοῖς ἀνιαροῖς περιέπεσεν· ἀλλὰ καὶ ἕτοι κἀκεῖνοι δίκας ὧν ἐπλημμέλησαν τίνουσιν. ἀλλ' ὅμως, καὶ τότε κἀκείνους τοσούτοις ἐγκαλινδουμένους κακοῖς σωτηρίας ἠξίωσεν. ιή. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν· καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Ἰουδαῖοι μὲν γὰρ, τῷ πλήθει συνεχόμενοι τῶν κακῶν, καὶ αὐτὴν ἀπεστρέφοντο τὴν τροφήν. τοῦτο γὰρ καὶ ἐν ἑτέρῳ ψαλμῷ, ὡς ἐξ ἐκείνων εἰρηκεν ὁ προφήτης,

της, ὅτι ἐπελαθόμην τῦ φαγεῖν τὸν ἄρτον μου. τὰ δὲ ἔθνη οὐδὲ ταῖς τῶν οἰκείων φιλοσόφων διδασκαλίαις προσέχειν ἐβούλετο· οὗ δὴ χάριν, οἱ μὲν Σωκράτες κατεψηφίσαντο θάνατον· οἱ δὲ τὸν Ἀνάξαρχον ξένη παρέδωσαν τιμωρίᾳ· οἱ δὲ ἄλλοι τοῦ Πυθαγόρου διαδόχυς πικρῶς αἰκισάμενοι, πρόωρον αὐτοῖς ἐπήγαγον θάνατον. ἀλλ' ὅμως καὶ τούτοις ὁ τῶν ὅλων Θεὸς παρεσκεύασε μεταδοθῆναι τῆς ἀθανάτε τροφῆς, καὶ μετὰ πάσης ταύτη προσδραμεῖν προθυμίας ἀνέπεισε, καὶ τῶν τε θανάτε πυλῶν ἠλευθέρωσε. ιβ'. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Εἶτα διδάσκει τῆς σωτηρίας τὸν τρόπον. κ'. Ἀπέστειλε τὸν λόγον αὐτῦ, καὶ ἰάσατο αὐτὲς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ὁ γὰρ Θεὸς Λόγος ἐνανθρωπήσας, καὶ ἀποσταλεὶς, ὡς ἄνθρωπος· ὡς γὰρ Θεὸς, ἀπερίγραφος, καὶ πανταχῦ πάρεσι, καὶ περιέχει τὰ σύμπαντα· τὰ παντοδαπὰ τῶν ψυχῶν ἰάσατο τραύματα, καὶ τὰς διαφθαρέντας ἀνέρρωσε λογισμούς. Ἔτω τὴν ἁμαρτωλὸν ἐκείνην ἰάσατο γυναῖκα, καὶ θαρρεῖν παρεγύησεν· οὕτω τὸν παρειμένον ἔσφιγξεν εἰρηκώς, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, οὕτως ἀνέῳξε τῷ λησῇ τὸν παράδεισον, οὕτω τοὺς τελῶνας διδασκάλους τῆς οἰκουμένης ἀπέφηνεν, οὕτω τοὺς πανάγιῳ προσιόντας βαπτίσματι νεουργεῖ καὶ καθαίρει, καὶ τῶν τῆς ἁμαρτίας ἀπαλλάττει τραυμάτων. κά. Ἐξομολογησάθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτῦ, καὶ τὰ θαυμάσια αὐτῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. κβ'. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτῦ ἐν ἀγαλλιάσει. Ὑπὲρ δὴ τούτων ἁπάντων ὑμνεῖν, φησὶ, δίκαιον, τὸν φιλάνθρωπον Θεὸν, ἐλέῳ τοσούτῳ χρησάμενον, καὶ τὴν παράδοξον ἡμῖν δωρησάμενον σωτηρίαν. χρὴ δὲ μὴ μόνους εἰδέναι τὰς θείας θαυματουργίας, ἀλλὰ καὶ τοὺς ἀγνοοῦντας διδάσκειν, καὶ πάντας διεγείρειν εἰς ὑμνῳδίαν. ἐπισημήναθαι μέν τοι δεῖ, ὡς αἰνέσεως θυσίαν καὶ ἐνταῦθα προσενεγκεῖν τῷ Θεῷ παρεγύησε, καὶ οὐ τῶν ἀλόγων τὰ θύματα. τοιγαροῦν ἐκβάλλει καὶ ἐνταῦθα τὴν κατὰ νόμον λατρείαν· τὴν δὲ τῆς αἰνέσεως θυσίαν ὁ Ἀκύλας θυσίαν εὐχαριστίας προσηγόρευσεν. κγ'. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. κδ'. Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτῦ ἐν τῷ βυθῷ. Παραβολικῶς ταῦτα τέθεικεν ὁ προφήτης· λέγει δὲ τοῦτο, ὅτι καθάπερ οἱ ναυτιλλόμενοι, καὶ τὰ μεγάλα διαπερῶντες πελάγη, διαφερόντως τὰς θείας μεγαλουργίας ὁρῶσι, κλύδωσι μὲν χαλεποῖς περιπίπτοντες, παρὰ πᾶσαν δὲ ἀνθρωπίνην ἐλπίδα τῆς σωτηρίας ἀπολαύοντες· οὕτω καὶ Ἰουδαῖοι ταῖς συμφοραῖς ἐκείναις περιπεσόντες, καὶ τὴν ἐλευθερίαν ἀπειληφότες, τὴν θείαν κατέμαθον δύναμιν. καὶ μὲν δὴ καὶ πάντες ἄνθρωποι τὴν ξένην τῶν πραγμάτων ὁρῶντες μεταβολὴν, καὶ τῆς προτέρας ἀπάτης τὴν παῦλαν, καὶ τῶν ψυχῶν τὴν γαλήνην, καὶ τῆς ἀναξάσεως τὸν λιμένα, τὸν τούτων θαυμάζουσι χορηγόν.

γόν. κέ. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. κς'. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. Καὶ διὰ τούτων ἐδίδαξεν, ὡς αὐτοῦ νεύοντος, καὶ τὰ λυπηρὰ γίγνεται, καὶ τὰ θυμήρη προσγίνεται. Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. κζ' Ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὡς ὁ μεθύων· καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Ἐπέμεινε τῇ τροπῇ· καὶ δοκεῖ μὲν περὶ τῶν ναυτιλλομένων λέγειν· αἰνίττεται δὲ διὰ τούτων τὰς παντοδαπὰς τῆς φύσεως συμφοράς· ἃς οὐδεὶς ἀνθρωπίνῃ σοφίᾳ χρώμενος ἱκανὸς διαλῦσαι. ἐδὲ γὰρ οἱ κυβερνῆται, τῇδε κακεῖσε μεθυόντων δίκην περιφερόμενοι, ὅτ' ἂν ὑπαρχῇ τὸ κλυδώνιον, πᾶσαν εἰσφέροντες τὴν τέχνην, περιγενέσθαι δύνανται τῶν δεινῶν. κή. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. κθ'. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. λ'. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν. Καὶ ἐκείνοις δὲ τοῖς πλέουσιν ἐπικαλεσαμένοις τὴν οἰκείαν ῥοπὴν ὀρέγει, καὶ νεύει· καὶ παραχεῖμα εἰς αὔραν πραεῖαν ἡ καταιγὶς μεταβάλλεται, καὶ τῆς ζάλης τὸ πέλαγος ἀπαλλάττεται, καὶ οἱ λυπηροῖς τισὶ προσπαλαίοντες διὰ τῆς αὐτῆς χάριτος μεταβολὴν εὑρίσκουσι τῶν κακῶν. οὕτως Ἰουδαῖοι τῆς πικρᾶς δουλείας ἐκείνης ἠλευθερώθησαν. καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ. ἅμα γὰρ ἠθέλησε, καὶ λύσις ἐγένετο τῶν κακῶν, καὶ ἀντὶ τῆς κλυδῶνος ὁ λιμὴν ἀνεφάνη· καὶ τοῦτο δὲ μᾶλλον ἡμῖν, ἢ ἐκείνοις ἁρμόδιον. ἡμᾶς γὰρ εἰς τὸν τοῦ θελήματος αὐτοῦ λιμένα καθώρμισεν, τὴν θείαν αὐτοῦ δωρησάμενος γνῶσιν. λα'. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτῆς τοῖς υἱοῖς τῶν ἀνθρώπων. λβ'. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. Καὶ τοῦτο παρὰ τῶν πεπιστευκότων ἐθνῶν διηνεκῶς γινόμενόν ἐστιν ἰδεῖν. ἐν πάσαις γὰρ ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις, τοῦ ἱεροῦ καθηγουμένου συλλόγου, ἅπας ὁ λαὸς τὸν εὐεργέτην ὑμνεῖ, τῆς θείας φιλανθρωπίας τὰς θαυματουργίας διεξιών. λγ'. Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψαν. λδ'. Γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Ὑμνοῦσι δὲ αὐτὸν οἱ τῆς σωτηρίας τετυχηκότες, τὴν ξένην ὁρῶντες μεταβολήν· οἱ γὰρ πάλαι πολλοῖς ἀρδόμενοι προφητικοῖς ποταμοῖς, καὶ καρπὸν ὥριμον προσφέροντες τῷ Θεῷ, νῦν δὲ νοτίδος μικρᾶς ἀπολαύουσιν, ἀλλ' ἔρημοι πάμπαν διὰ τὴν οἰκείαν πονηρίαν τῆς προτέρας ἀρδείας γεγέννηνται. λε'. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Τὰ δὲ πάλαι ἔρημα ἔθνη, καὶ ἐδὲ βραχεῖαν ἐχηκότα λιβάδα, τοῖς τῆς διδασκαλίας ὕδασι περικλύζεται, ὑπὲρ τὴν χρείαν τὰ λογικὰ δεχόμενα ῥεύματα. λς'. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεσήσαντο πόλεις κατοικεσίας. Τοὺς γὰρ πάλαι λιμῷ τηκομένους, καὶ τῆς πνευματικῆς τροφῆς ἐνδεεῖς, ἐν ἐκείνοις κατῴκισε τοῖς ποταμοῖς, καὶ τὴν

εὐσεβῆ συνεχήσαλο πολιτείαν. λζ'. Καὶ ἔσπειραν ἀγρὸς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος. Καὶ ταῦτα ἅπαντα τροπικῶς εἴρηκεν ὁ προφήτης· καὶ ὁ Κύριος παραβολαῖς τοιαύταις ἐχρήσατο· καί ποτε μὲν τὸς ἀποστόλες ἐκάλεσε θερισὰς, ποτὲ δὲ αὐτὸν σπορέα καὶ γεωργον, καὶ γῆν καλὴν τὸς εὐπειθῶς δεχομένες τὸ λόγε τὰ σπέρματα· καὶ ὁ ἀπόστολος δέ φησιν, ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανεν. καὶ πάλιν· Θεοῦ γεώργιόν ἐστε, Θεοῦ οἰκοδομή ἐστε· καὶ ἔσπειραν τοίνυν οἱ ἀπόστολοι τὰ σωτήρια κηρύγματα, καὶ τὸς λογικὸς τῷ Θεῷ κατεφύτευσαν παραδείσες, καὶ τὸν ὥριμον τῆς δικαιοσύνης καρπὸν τῷ Θεῷ προσενόμισαν· καὶ ἅπαντες δὲ οἱ μετ' ἐκείνες τὴν διδασκαλίαν πεπιςευμένοι ταυτὸ τοῦτο δρῶντες διατελοῦσιν. λη'. Καὶ εὐλόγησεν αὐτὸς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν. Ὁ γὰρ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει, κατὰ τὸν θεῖον ἀπόστολον. κτήνη δὲ καλεῖ τὸς ὑπ' αὐτῶν νεμομένες, ὃς αὐτὸς ηὔξησεν τῆς θαυματεργίας χορηγήσας τὴν δύναμιν. καὶ μάρτυς ὁ μακάριος Λουκᾶς ἐν ταῖς πράξεσι λέγων, ὁ δὲ Κύριος προσετίθει τὸς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ. καὶ αὐτὸς δὲ ὁ Κύριος πρόβατα καλεῖ τοὺς πιςεύοντας· τὰ πρόβατα γάρ φησι τὰ ἐμὰ τῆς φωνῆς μοῦ ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς. ἐνταῦθα πάλιν τὰ Ἰουδαίοις συμβησόμενα προδεσπίζει κακά. λθ'. Καὶ ὀλιγώθησαν, καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Τοῦτο μὲν ἔν φησιν· οἱ πάλαι τὴν ἔρημον οἰκοῦντες καὶ ἄνυδρον, τοσαύτης εὐλογίας καὶ εὐθηνίας πεπιςευκότες ἀπήλαυσαν· οἱ δὲ πάλαι τῆς τῶν προφητικῶν ποταμῶν ἀπολαύσαντες ἀρδείας, εἶτα ταύτης στερηθέντες διὰ τὴν πονηρίαν τῆς γνώμης, καὶ ἔρημοι παντελῶς μεμενηκότες καὶ ἄκαρποι, παντοδαπαῖς περιέπεσον συμφοραῖς, καὶ εἰς ἅπασαν τὴν οἰκουμένην διεσκεδάσθησαν, ὥστε τὴν πολυάνθρωπον αὐτῶν μητρόπολιν ὑπὸ ὀλίγων οἰκεῖσθαι. μ'. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν. Μαρτυρεῖ δὲ τῇ προρρήσει τὰ πράγματα· καὶ γὰρ οἱ δοκοῦντες αὐτῶν ἄρχοντες καὶ διδάσκαλοι, ἀδόκητος ἄξιοι καθεζήκασι λόγε· ἀλλ' οἱ πάλαι περιφανεῖς καὶ περιβλεπτοι, ἄσημοι παντελῶς εἰσὶ, καὶ ὑπ' αὐτῶν ἐκείνων καταφρονούμενοι. Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐκ ὁδῷ. Ὁ δὲ Σύμμαχος ἔτω· καὶ πλανήσει αὐτὸς ἐν ματαιότητι διανοίας. ὁ Θεὸς οὐκ ἐπάγει πλάνην, ἀλλ' ἀπαγορεύει τὴν πλάνην. τὸς δὲ μὴ πειθομένες ἀκυβερνήτες ἐᾷ· οἱ δὲ ἀνερμάτιστοι περιφερόμενοι τῇδε κἀκεῖσε περιπλανῶνται· τοῦτο καὶ Ἰουδαῖοι πεπόνθασι· τὴν θείαν γὰρ καταλιπόντες ὁδὸν, τοῖς οἰκείοις ἕπονται λογισμοῖς. μά'. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας. Τὰ γὰρ πάλαι πλωχεύσαντα ἔθνη τῆς θείας ἐπικρείας ἀπήλαυσαν, καὶ τὸν πνευματικὸν ἐκτήσαντο πλοῦτον. Καὶ ἔθετο ὡς πρόβατα πατριάς. Ὁ δὲ Ἀκύλας οὕτως· καὶ ὑπερ-

περεπαρεῖ πλωχὸν ἐκ πενίας, καὶ θήσει ὡς ποίμνιον συγγενείας. ὡς πρεσβάτων γὰρ τῶν ἰδίων ἐπιμελεῖται, καὶ ὡς συγγενῶν κατὰ σάρκα προμηθεῖται καὶ κήδεται. μβ'. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῶν. Ταῦτα γὰρ ὁρῶντες οἱ μὲν εὐθύτητι λογισμῶν κεχρημένοι, θυμηδίας ἐμπίμπλανται· οἱ δὲ δυσσεβείας καὶ παρανομίας συζῆν προαιρέμενοι, κύπτειν εἰς γῆν, καὶ σιγᾶν ἀναγκάζονται, τῇ δικαίᾳ χαλινούμενοι ψήφῳ. μγ'. Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ Κυρίου; Οὔτε γὰρ τὸ συνιέναι καὶ διαγνῶναι τὰς φιλανθρώπους τοῦ σωτῆρος οἰκονομίας, οὔτε φυλάξαι τὰς θείας νομοθεσίας παντός· ἀλλὰ τῇ σοφίᾳ καὶ συνέσει χρωμένῳ, καὶ βοῶντος πρὸς τὸν Δεσπότην, ἀποκάλυψον τοὺς ὀφθαλμές μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τῆς νόμου σου.

ΕΡΜΗΝ. ΤΟΥ ρζ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ ψαλμῷ τῷ Δαβίδ. Καὶ ἔστος ὡσαύτως ὁ ψαλμὸς καὶ τὴν Ἰσδαίων ἐπάνοδον προθεσπίζει, καὶ τῶν ἐθνῶν προαγορεύει τὴν σωτηρίαν· πολλὴν δ' ἔχει τὴν συγγένειαν πρός τε τὸν Νς'. καὶ πρὸς τὸν ΝΘ' ψαλμόν. β'. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Καὶ ἤδη προειρήκαμεν, ὡς δόξαν οἰκείαν ὁ προφήτης τὴν προφητικὴν χάριν καλεῖ· τῇ τῆς προφητείας, φησὶ, χρώμενος μελῳδίᾳ, λέγω σοὶ τῷ Δεσπότῃ, ὡς εὐρεῖαν ἔχω τὴν καρδίαν μου, καὶ ἑτοίμην εἰς ὑποδοχὴν τῆς θείας σοῦ χάριτος. γ'. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. δ'. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ψαλτήριον καὶ κιθάραν ἑαυτὸν ὁ προφήτης καλεῖ· ὡς ἐν ὀργάνῳ γὰρ μουσικῷ, τοῦ πνεύματος ἡ χάρις ἐν αὐτῷ τὴν προφητικὴν ἀνεκρέετο μελῳδίαν. διεγείρας τοίνυν ἑαυτὸν εἰς ὑμνῳδίαν τῷ Δεσπότῃ, ἀποκρίνεται πάλιν, καὶ ὑπιχνεῖται ὄρθρου τοῦτο ποιήσειν· ἅτε δὴ τηνικαῦτα ἐκ αὐτὸς μόνος προσοίσων τὸν ὕμνον, ἀλλὰ μετὰ μυρίων ἐθνῶν, καὶ λαῶν τὴν θείαν ᾠδὴν ποιησάμενος· ὄρθρον δὲ καλεῖ, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν τὴν ἐναν θρώπησιν. ἐξ ἐκείνης γὰρ ἀνέτειλε τῆς ἀληθείας τὸ φῶς· ἐξ ἐκείνης κατὰ πᾶσαν τὴν οἰκεμένην ἐν τοῖς ἁπάντων ἀνθρώπων στόμασιν ὁ μακάριος ᾄδει Δαβίδ, καὶ τὰς θείας εὐεργεσίας ὑμνεῖ. ε'. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Νικᾷ τῶν οὐρανῶν τὰ κύτη τοῦ σου ἐλέους τὸ μέγεθος· παντα χόσε τῆς σῆς ἀληθείας αἱ ἀκτῖνες διέδραμον. καὶ ἤδη δὲ εἰρήκαμεν, ὡς νεφέλας τὰς προφήτας, καὶ τὰς ἀποστόλες, καὶ τὰς διδασκαλικῆς χάριτος τετυχηκότας καλεῖ. διὰ τέτων γὰρ, ὥσπερ διά τινων νεφελῶν, τὴν πνευματικὴν ἀρδείαν τοῖς ἀνθρώποις προσφέρει· δι' αὐτῶν τὰ ἀληθῆ μεμαθήκαμεν δόγματα. ς'. Ὑψώθητι ἐπὶ τὸς οὐρανὸς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Τοῦτο καὶ ὁ μακάριος ἔφησεν Ἀββακὰμ, ἐκά-

λυψεν ὑρανὲς ἡ ἀρετὴ αὐτῦ, καὶ τῆς αἰνέσεως αὐτῦ πλήρης ἡ γῆ· τῦτο καὶ ὁ μακάριος Δαβὶδ ἐν τῷ ὀγδόῳ ἔφη ψαλμῷ· Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σε ὑπεράνω τῶν ὑρανῶν. τὸ ἓν ὑψώθητι, ἀντὶ τῦ δείχθητι ὑψηλὸς, καὶ πάντων ὑπέρτερος, καὶ πᾶσα ἡ γῆ μαθέτω τὴν σὴν δόξαν. ζ'. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σε, σῶσον τῇ δεξιᾷ σε, καὶ ἐπάκυσόν μυ. Δείξει δὲ σε πᾶσιν ἀνθρώποις τὴν δύναμιν τῶν τῆς σῆς οἰκειώσεως ἀξιωθέντων ἡ σωτηρία· δέξαι με τοίνυν τὴν ἱκετείαν, καὶ τὴν σὴν ὄρεξον δεξιάν. δεξιὰν δὲ καλεῖ τὴν ἀγαθὴν ἐνέργειαν. η'. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτῦ. Ἀντὶ τῦ, διὰ τῆς τῦ παναγίυ πνεύματος χάριτος. Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Οὗπερ ἠτήσενο προφήτης ἀπήλαυσεν· ἐπειδὴ εἶπεν ὑψώθητι ἐπὶ τὺς ὑρανὺς ὁ Θεὸς, ἀποκρίνεται λέγων ὁ Δεσπότης, ὑψωθήσομαι· εἶτα δείκνυσι καὶ τὸν τρόπον, διαμεριῶ Σίκιμα. πόλις δὲ αὕτη κατ' ἐξαίρετον τῷ Ἰωσὴφ δεδομένη. ἀλλὰ καὶ τὴν κοιλάδα τὴν ἔρημον γενομένην, καὶ ποιμένων δεξαμένην σκηνὰς, ἄνωθεν οἰκητόρων πληρώσω, καὶ διανεμεθῆναι τοῖς ἐπανελθῦσι παρασκευάσω. θ'. Ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου, Ἰούδας βασιλεύς μου. Οἰκειώσομαι γὰρ ὲ μόνον τὸν Μανασσῆ, ἀλλὰ καὶ τὴν ἐκείνυ χώραν. Γαλαὰδ γὰρ ὄνομα τόπυ, Μανασσῆς δὲ προσηγορία φυλῆς. ἀλλὰ καὶ τῷ Ἐφραὶμ τὴν προτέραν ἀποδώσω δύναμιν. τὸν μέν τοι Ἰούδαν πασῶν τῶν φυλῶν βασιλεύειν παρασκευάσω· μετὰ γὰρ τὴν ἐπάνοδον ἀδιαίρετοι μεμενήκασιν αἱ φυλαί. ὁ δὲ Ζοροβάβελ, καὶ τύτων κἀκείνων ἡγεῖτο. κυρίως δὲ καὶ ἀληθῶς ὁ Δεσπότης Χριστὸς, ὁ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας, ἁπάσης βασιλεύει τῆς κτίσεως. ι'. Μωὰβ λέβης τῆς ἐλπίδος μυ· ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μυ, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τοσαύτην δὲ τῷ ἐμῷ λαῷ παρέξω ἰσχὺν, ὥστε καὶ τῶν ἀλλοφύλων κρατῆσαι, καὶ Μωαβίτας καὶ Ἰδουμαίυς ὑπηκόυς λαβεῖν. ἀκριβέστερον δὲ ταῦτα ἐν τῷ Ν' καὶ Θ' ψαλμῷ ἑρμηνεύσαμεν. ια'. Τὶς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τὶς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; ιβ'. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; Ἡδονῆς ἐμπληθεὶς ὁ προφήτης τῇ τῶν ἀγαθῶν προρρήσει, ἱμείρεται ἰδεῖν καὶ τὴν καταλυθεῖσαν πόλιν οἰκοδομηθεῖσαν, καὶ τὺς Ἰδουμαίυς τοῖς Ἰουδαίοις δουλεύοντας. ταῦτα δέ φησιν ἐδεὶς ἕτερος παραχεῖν ἱκανὸς, ἢ σὺ μόνος, ὁ νῦν ἡμᾶς ἀπωσάμενος, καὶ δουλεύειν κελεύσας. Καὶ ἐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ὁ δὲ Σύμμαχος οὕτως· καὶ μὴ προελθὼν Θεὲ ἐν τοῖς στρατεύμασιν ἡμῶν. οὐ γὰρ ἡττήθημεν πώποτέ σου στρατηγοῦντος, καὶ τῆς φάλαγγος ἡγουμένου. ιγ'. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπυ. Παῦσον τοίνυν τὰ λυπηρὰ, καὶ τὴν σὴν ῥοπὴν ὄρεξον. ἐδαμόθεν γὰρ ἄλλοθεν τύτυ τυχεῖν δυνατόν. πᾶσα γὰρ ἡ παρ' ἀνθρώπων

Franckesche Stiftungen zu Halle

πων συμμαχία, σὲ μὴ συνεργοῦντος, ματαία καὶ ἄχρηστος. ιδ΄. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν. Διό τοι τοῦτο τὴν σὴν ἐπικαλέμεθα πρόνοιαν· διὰ ταύτης γὰρ μόνης περιγενέσθαι τῶν δυσμενῶν δυνησόμεθα.

ΕΡΜΗΝ. ΤΟΥ ρή ΨΑΛΜΟΥ.

α΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ. Τὸ σωτήριον πάθος, καὶ τὴν Ἰουδαίων μανίαν, καὶ τὴν Ἰούδα προδοσίαν, ὅτος ὁ ψαλμὸς προθεσπίζει. ποδηγεῖ δὲ ἡμᾶς ἐπὶ τήνδε τὴν διάνοιαν καὶ ὁ μέγας Πέτρος δημηγορῶν, καὶ τῆς τοῦ Ἰούδα προδοσίας κατηγορῶν, καὶ τῆς προφητείας τὴν ἀπόδειξιν ἐντεῦθεν ποιούμενος. μηδεὶς δὲ ἀκύων τῷ Κυρίῳ νομοθετοῦντος εὐλογεῖν τοὺς διώκοντας, ἐναντίαν ἡγείσθω τῷ νομοθέτῃ τὴν προφητείαν. ἔδει γὰρ ἐνταῦθα ἐπαρώμενος ὁ προφητικὸς διέξεισι λόγος, ἀλλὰ τοὺς ἐσομένους, καὶ Ἰουδαίοις, καὶ τῷ Ἰούδα, τιμωρίας προλέγων. ἐσχημάτισαι δὲ ὡς εὐκτικὸν τὸ προαγορευτικὸν τοῦτο, ὡς ἐπὶ τὸ πολὺ σύνηθες πανταχοῦ τῇ θείᾳ γραφῇ. β΄. Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι σὰρξ ἁμαρτωλὸς, καὶ σὰρξ δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἀνθρωπίνως ὁ Δεσπότης ταῦτα λέγει Χρισός· ὡς ἄνθρωπος γὰρ εὔχεται, τῆς ἀνθρωπίνης φύσεως τὰ μέτρα πληρῶν· ὡς δὲ Θεὸς, τῶν εὐχομένων γνησίως προσδέχεται τὰς εὐχάς. ὕμνον δὲ τὸ πάθος καλεῖ· καὶ γὰρ ἐν τοῖς θείοις εὐαγγελίοις δόξαν αὐτὸ προσαγορεύει. ἐλήλυθε γάρ φησιν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου· ἡ σὰρξ δὲ ἁμαρτωλὸς, καὶ ἡ σὰρξ δολία, τὸν Ἰούδαν ὠνόμασεν· ὅτος γὰρ κρύβδην ἐποιήσατο πρὸς Ἰουδαίους τὰς τῆς προδοσίας συνθήκας. γ΄. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ· καὶ λόγοις μίσους ἐκύκλωσάν με. Ἀπὸ τοῦ Ἰούδα μετήνεγκε τὸν λόγον ἐπὶ ὅλον τὸ τῶν Ἰουδαίων συνέδριον· ὅτοι γὰρ τῷ Φθόνῳ δηλεύοντες τὸν ἄδικον ἐτύρευσαν θάνατον. Καὶ ἐπολέμησάν με δωρεάν. δ΄. Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με. Οὐ γὰρ μόνον κακοῦ τινὸς ἐκ ἐπειράθησαν παρ' ἐμοῦ, ἀλλὰ καὶ μυρίων ὅσων ἀπήλαυσαν ἀγαθῶν· ὑπὲρ ὧν ἀγαπᾶν ὀφείλοντες, τὰ δυσμενῶν ἔδρασαν. Ἐγὼ δὲ προσηυχόμην. Καὶ τότε μάρτυς τῶν ἱερῶν εὐαγγελίων ἡ ἱστορία· τῷ ἱκρίῳ γὰρ σταυροῦ προσηλωμένος ἔβοα, πάτερ ἄφες αὐτοῖς, ἐ γὰρ οἴδασι τί ποιοῦσιν. ε΄. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ ἀγαπήσεώς μου. Ἐγὼ μὲν ἐν αὐτοῖς εὐεργεσίαις ἐπέκλυσα· αὐτοὶ δέ με τοῖς ἐναντίοις ἠμείψαντο. ς΄. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Τὸ κατάστησον, ἀντὶ τοῦ καταστήσεται· καὶ στήτω, ἀντὶ τοῦ σταθήσεται· καὶ τοῦτο σαφῶς ἡμᾶς ὁ θεῖος ἐδίδαξεν εὐαγγελιστής· ὁ μὲν γὰρ θεσπέσιος ἤρετο Ἰωάννης, τίς εἴη ὁ προδότης· ὁ δὲ Κύριος εἶπεν, ᾧ ἐὰν ἐμβάψας τὸ ψωμίον ἐπιδώσω, αὐτός ἐστι· καὶ βάψας, φησὶν, ἀπέδωκεν αὐτὸ Ἰούδᾳ· καὶ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς, εὐτρεπεῖς εὑρὼν τὰς εἰσόδους. αὐθαίρετος γὰρ πρὸς Ἰουδαίους ἀπελθὼν, τῆς προ-

προδοσίας ἐποιήσατο τὰς συνθήκας, καὶ πολλαῖς μετὰ ταῦτα εὐεργεσίαις ἐπικλυσθεὶς ἀγνώμων μεμένηκεν· ἑκὼν τοιγαροῦν σύνοικον ἐδέξατο τὸν πολέμιον. ζ'. Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι κατηδικασμένος. Ἀντὶ τοῦ ἐξελεύσεται. Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Ἀντὶ τοῦ γενήσεται· πάσης γὰρ ἀπολογίας ἔρημος ὁ προδότης· διὸ κρινόμενος κατακρίνεται, καὶ ἡ προσφερομένη ὑπ' αὐτοῦ προσευχὴ τὴν κατηγορίαν αὔξει. οὐ γὰρ ἠγνόει τὸν εὐεργέτην, ἀλλὰ καὶ τῶν θείων ἀπήλαυσε λόγων, καὶ θαυμάτων μεγίστων οὐ μόνον αὐτόπτης, ἀλλὰ καὶ αὐτεργὸς ἐγένετο, παρ' αὐτοῦ τὴν ἐξουσίαν λαβών. η'. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Καὶ αὕτη ἡ πρόρρησις τὸ τέλος ἐδέξατο· αὐτὸς γὰρ παραχρῆμα τὸν διὰ τῆς ἀγχόνης ὑπέμεινε θάνατον, καὶ ὁ Ματθίας ἀντὶ ἐκείνου ταχθεὶς τὸν τῶν ἀποστόλων ἐπλήρωσεν ἀριθμόν. θ'. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Ταῦτα οὐ τῷ Ἰούδᾳ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἀπίστοις συνέβη Ἰουδαίοις· ὀλίγων γὰρ μετὰ τὸν σταυρὸν διελθόντων ἐτῶν, ἀνάστατον ἅπαν τὸ γένος ἐγένετο· καὶ οἱ μὲν ἀνῃρέθησαν, αἱ δὲ τούτων γυναῖκες μετὰ τῶν παίδων ἐξηνδραποδίσθησαν. τοῦτο μὲν καὶ ὁ προφητικὸς ἠύξατο λόγος. ι'. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, καὶ ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἢ κατὰ τοὺς ἄλλους, ἐκ τῶν ἐρειπίων αὐτῶν. καυθεισῶν γὰρ τῶν οἰκιῶν, καὶ οἰκοπέδων, ἢ ἐρειπίων γενομένων, οἱ μὲν ἀνῃρέθησαν τῶν οἰκητόρων, οἱ δὲ ἀπηνέχθησαν δορυάλωτοι. ια'. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ. Ὁ δὲ Σύμμαχος οὕτως, συγκρούσας πράκτωρ πάντα τὰ ὑπάρχοντα αὐτῷ· πράκτορες δὲ καὶ οἱ Ῥωμαίων βασιλεῖς, τὸν ἐπικείμενον εἰσπραττόμενοι φόρον· οὗτοι δὲ τὰ Ἰουδαίων διήρπασαν ἅπαντα, ἀκριβῶς ἐρευνήσαντες, ὡς καὶ τὰ κεκρυμμένα εὑρεῖν τε, καὶ σφετερίσασθαι. Καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. ιβ'. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Τούτων δὲ γενομένων, καὶ τῶν πολεμίων τὰ τούτοις προσήκοντα διανεμομένων, οὐδεὶς αὐτοῖς ἐπίκουρος ἔσται, οὐδὲ φειδοῦς αὐτῶν οἱ παῖδες ἀξιωθήσονται. ιγ'. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Τεσσαράκοντα γὰρ οὐ διελθόντων ἐνιαυτῶν, παγωλεθρίαν ὑπέμεινεν ὁ Ἰουδαίων λαὸς, καὶ οὐκ ἔτι καθ' ἑαυτοὺς πολιτεύονται, οὐδὲ οἰκείας ἔχουσι βασιλεῖς τε καὶ ἄρχοντας, οὐδὲ πολυθρύλλητον ἐκείνην μητρόπολιν, οὐδὲ τὴν κατὰ νόμον ἐπιτελοῦσι λατρείαν, ἀλλὰ φροῦδα πάντα ἐκεῖνα, καὶ ἡ κιβωτὸς, καὶ αἱ πλάκες, καὶ τὰ τῶν Χερουβὶμ ἐκτυπώματα, καὶ τὸ ἱλαστήριον, καὶ ἡ λυχνία, καὶ τὸ θυσιαστήριον, καὶ ἡ ἀρχιερατικὴ στολὴ, καὶ τὰ ἄλλα πάντα, ὅσα θεόσδοτα παρ' αὐτοῖς, καὶ περίβλεπτα. ιδ'. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς

αὐτοῦ

αὐτοῦ μὴ ἐξαλειφθείη. Πατέρων ἀρετὴ πολλάκις καὶ πλημμελήσαντας ὤνησε παῖδας, ὡς τοὺς Ἰουδαίους τοῦ Ἀβραὰμ ἡ πίστις, ὡς τὸν Σολομῶντα τῷ Δαβὶδ ἡ εὐσέβεια· πονηρία δὲ πατέρων τοῖς ὁμοίοις παισὶν ἐπαύξει τὴν τιμωρίαν. οὐδεμία γὰρ οὐδαμόθεν εὑρίσκεται φειδοῦς ἀφορμή. τοῦτο τοίνυν καὶ ὁ προφητικὸς ἔφη λόγος, ὅτι Ἰουδαῖοι τὴν πανωλεθρίαν ὑπομένοντες πρὸς ταῖς οἰκείαις ἀσεβείαις τῇ μνήμῃ τῶν πατρώων κακῶν φανήσονται βδελυρώτεροι. πατέρας δὲ αὐτῶν καλεῖ τοὺς ἐν τῇ ἐρήμῳ τῇ δυσσεβείᾳ χρησαμένους, τοὺς ἐπὶ τῶν κριτῶν, τοὺς ἐπὶ τῶν βασιλέων, τοὺς μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον παρανομίᾳ συζήσαντας· μητέρα δὲ τὴν Ἱερουσαλὴμ ἔφη· ἐν ᾗ τῆς κατὰ τὸ Δεσπότου Χριστοῦ μιαιφονίας ἐτολμήθη τὸ μύσος· τοῦτο γὰρ ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ἔφη· ὅπως ἂν ἐπέλθῃ ἐπὶ τὴν γενεὰν ταύτην πᾶν αἷμα ἀθῷον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου, οὗ ἐφόνευσαν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. πάντων γὰρ κατὰ ταυτὸν τίσουσι δίκας. ιέ. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Πάντα γάρ φησι τὰ ὑπ' αὐτῶν τολμηθέντα παράνομα ἀεὶ θεώμενος ὁ Θεὸς, οὐδεμίας αὐτοὺς ἀξιώσει φειδοῦς, ἀλλὰ πανωλεθρίᾳ παραδώσει· καὶ ἐντεῦθεν μέντοι δῆλον, ὡς οὐ περὶ μόνου τοῦ Ἰούδα, ἀλλὰ περὶ πάντων ἠπιστημένων ταῦτα διῆλθεν. ἀπὸ γὰρ ἑνικοῦ προσώπου, ἐπὶ τὸ πληθυντικὸν τὸν λόγον μετήνεγκεν· οὐκέτι γὰρ εἶπεν αὐτοῦ, ἀλλ' αὐτῶν. ιέ. Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος. ιζ'. Καὶ κατεδίωξεν ἄνθρωπον πένητα, καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. Ταῦτα δὲ φησι πείσονται, ἀπηνῶς καὶ θηριωδῶς τῇ μιαιφονίᾳ χρησάμενοι, καὶ τὸν πάσῃ χρησάμενον μετριότητι καὶ πραότητι μέχρι θανάτου διώξαντες. τούτοις καὶ ἀπόστολος μαρτυρεῖ λόγοις, καὶ αὐτὸς ὁ Δεσπότης· ὁ μὲν ἀπόστολος βοῶν, ὃς δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλεονήσωμεν· καὶ πάλιν, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. ὁ δὲ Κύριος νῦν μέν φησι, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· νῦν δὲ, αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει πῆ τὴν κεφαλὴν κλίνῃ. ιή. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ. καὶ ἐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Ἐνταῦθα σαφῶς τὸ εὐκτικὸν μεταβέβληκε σχῆμα, καὶ προαγορευτικῶς ἀμφότερα τέθεικεν· ὅτι καὶ τὴν κατάραν ἣν ἠγάπησαν λήψονται, καὶ τῆς εὐλογίας, ἣν λαβεῖν ἐκ ἠθέλησαν, στερηθήσονται. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον. Ἀντὶ τοῦ, ταύτῃ πανταχόθεν περιεστοίχισται. Καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ. Οὐ γὰρ μόνον ἔξωθεν, ἀλλὰ καὶ ἔνδοθεν περίκεινται τὰ κακὰ, καὶ ὑπὸ

τούτων δίκην ὕδατος περικλύζονται. εἶτα ἐπειδὴ τὸ ὕδωρ ἀρδεύει μὲν τὸ σῶμα, καὶ βρέχει, οὐκ ἔχει δὲ μόνιμον τὴν ὑγρότητα, ἐπήγαγεν· Καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτῆς. Τὸ γὰρ ἔλαιον ἐπὶ πλεῖστον ἐπιμένει τῷ σώματι. ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπενεχθήσεταί μοι φορὰ κακῶν, τῆς μὲν ὕδατος τὴν σφοδρότητα, τῆς δὲ ἐλαίου μιμουμένη τὸ μόνιμον. ιϐ'. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται· καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται. Πανταχόθεν, φησὶ, τοῖς προειρημένοις κακοῖς, καὶ ὡς ἐσθῆτι καλυπτέσθω, καὶ ὡς ζώνῃ περισφιγγέσθω. κ'. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου. Οἱ δὲ ἄλλοι τῶν ἀντικειμένων ἡρμήνευσαν. Καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. Τούτους τρυγήσουσι τοὺς καρποὺς, καὶ οἱ τὸ πρὸς ἐμὲ μῖσος ἀναδεξάμενοι, καὶ ὁ τούτοις ὑπουργήσαν προδότης. ἐπειδὴ γὰρ ἀντίθεον αὐτὸ, καὶ παράνομον ἐκάλουν, εἰκότως εἶπε τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίῳ. κά. Καὶ σὺ Κύριε, Κύριε, ποίησον μετὰ ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Καὶ ταῦτα ἀνθρωπίνως εἴρηκεν ὁ Δεσπότης Χριστός· πάντα γὰρ τὰ ἀνθρώπεια πλὴν ἁμαρτίας πεπλήρωκεν. ἐτέχθη γὰρ καὶ κατὰ τὸν νόμον Φύσεως, καὶ ὑπὲρ τὸν νόμον τῆς Φύσεως· τὸ μὲν γὰρ ἐκ γυναικὸς, τῆς ἀνθρωπίνης Φύσεως· ὑπὲρ ταύτην δὲ, τὸ ἐκ παρθένου. ἐδέξατο σπάργανα, καὶ περιτομὴν, καὶ τὴν ἐκ γάλακτος τροφὴν, καὶ θυσίας προσήνεγκεν, ἐνήστευσε, καὶ ἐπείνασεν, ἐδίψησε, καὶ ἐκοπίασεν· οὕτω καὶ προσευχόμενος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις διηνεκῶς ἀναγέγραπται· καὶ ἐνταῦθα τοίνυν ἀνθρωπίνως τὴν θείαν ἐπικαλεῖται βοήθειαν. κϐ'. Ῥῦσαί με, ὅτι πλωχὸς καὶ πένης εἰμὶ ἐγὼ, καὶ ἡ καρδία μὲ τετάρακται ἐντός μου. Τοῦτο καὶ ὑπ' αὐτοῦ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις εἰρημένον εὑρίσκομεν· μέλλων γὰρ προσιέναι τῷ πάθει, εἶπε, νῦν ἡ ψυχή μου τετάρακται, καί τι εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἐλήλυθα εἰς τὴν ὥραν ταύτην. κγ'. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀνταναιρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Διὰ τούτων τὸν θάνατον παρεδήλωσε· σκιᾷ γάρ φησι κλιθείσῃ καὶ ἀναιρεθείσῃ παραπλησίως ἐδεξάμην τοῦ βίου τὸ τέλος· ἀλλὰ καὶ δίκην ἀκρίδων ὑπ' ἀνέμων ῥιπιζομένων, καὶ τῇδε κἀκεῖσε περιφερομένων, διετέλεσα· οὐ πόλιν ἔχων, οὐ κώμην, ἐκ οἰκίαν· ἀλλὰ ποτὲ μὲν εἰς ταύτην, ποτὲ δὲ εἰς ἐκείνην, ἄλλοτε δὲ εἰς ὄρη μεταβαίνων, καὶ εἰς τὴν ἔρημον τρέχων. κδ'. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Οὐ γὰρ ἀνειμένον καὶ ἀβροδίαιτον ἐβιότευσα βίον, ἀλλ' ἀπέριττον, καὶ κατεσκληκότα, καὶ αὐχμηρόν. καὶ μάρτυρες οἱ τῆς ἱερᾶς αὐτῆς μαθητείας ἀξιωθέντες, καὶ οἱ κρίθινοι ἄρτοι, οὓς ἐπεφέροντο, καὶ οἱ τιλόμενοι σάχυες, καὶ ταῖς χερσὶ τριβόμενοι διὰ πεῖναν· τὸ δὲ, ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον, ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν, καὶ ἡ σάρξ μου ἠλλοιώθη ἀπὸ ἀναλείψιας. κε. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς,

τοῖς, εἰδόσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Καὶ τοῦτο τέλος τετύχηκεν· ὁρῶντες αὐτὸν ἐπὶ τῷ σαυρῷ, κινοῦντες τὰς κεφαλὰς, ἔλεγον, οὐὰ, ὁ καταλύων τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτὸν, κατάβηθι ἀπὸ τοῦ σαυροῦ· ἄλλοι δὲ ἔλεγον, ἄλλους ἔσωσεν, ἑαυτὸν δὲ δύναται σῶσαι. κσ'. Βοήθησόν μοι Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. κζ'. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σε αὕτη, καὶ σὺ Κύριε ἐποίησας αὐτήν. Μαθέτωσάν φησιν, ὡς οὐκ ἄκοντά με παρέδοσαν τῷ σαυρῷ, ἀλλὰ τῆς σῆς τοῦτο ἔργον οἰκονομίας. διὰ γὰρ τὸ ἐμοῦ πάθους ἐβελήθης τοῖς ἀνθρώποις τὴν ἀπάθειαν δωρήσασθαι· χεῖρα δὲ καλεῖ τοῦ Θεοῦ τὴν ἐνέργειαν. κη'. Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις. Μέχρι καὶ τήμερον διέμειναν Ἰουδαῖοι ταῖς κατὰ τοῦ σωτῆρος χρώμενοι βλασφημίαις, ἀλλὰ ἐκείνων βλασφημούντων περιφανέστερον ὁσημέραι τὸ κήρυγμα γίνεται. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σε εὐφρανθήσεται. Οὐδὲ τοῦτο ἡμᾶς τὸ ῥῆμα λαβεῖν εἰς ἑτέραν ὑπόθεσιν τὸν ψαλμὸν ἀναγκάζει. ἀκούομεν γὰρ καὶ τοῦ θεσπεσίου Παύλου λέγοντος, ὅτι ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. καὶ αὐτὸς δὲ διὰ Ἡσαΐου βοῶν οὕτως λέγει, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ· καὶ μετ' ὀλίγα, τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις οὕτως ἔφη, ὥσπερ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. ὁ δοῦλος τοίνυν τῆς ληφθείσης φύσεως ὄνομα· οὐκ ἐπειδὴ δουλεύει ἐκείνη· πῶς γὰρ ἦγε τῷ Θεῷ συνημμένη Λόγῳ, καὶ τῶν ἁπάντων δεξαμένη τὴν δεσποτείαν; ἀλλ' ἵνα δειχθῇ τῆς φύσεως αὐτῆς τὸ ἴδιον. ἐκ ἀξιώματος τοίνυν ἐνταῦθα τὸ δοῦλος, ἀλλὰ φύσεως δηλωτικόν. κθ'. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Πάλιν τοὺς ἐνδιαβάλλοντας οἱ λοιποὶ ἀντικειμένους ἡρμήνευσαν· μαρτυρεῖ δὲ τῇ προφητείᾳ τὰ πράγματα, ἐν αἰσχύνῃ γὰρ ἐκεῖνοι διηνεκεῖ, καὶ ταύτην ἀμπέχονται καθάπερ τι περιβόλαιον. λ'. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Κεφαλὴ τῆς ἐκκλησίας ὁ Δεσπότης καλεῖται Χριστὸς, καὶ σῶμα αὐτοῦ χρηματίζει τῆς ἐκκλησίας ὁ σύλλογος. οἰκεῖον δὲ ὕμνον τὸν ταύτης ὕμνον καλεῖ. λά'. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. Τοῦτο καὶ ἐν τῷ ΙΕ' εἴρηκε ψαλμῷ· προορώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. ἀχώριστον γὰρ ἡ θεία Φύσις ποιησαμένη τὴν ἕνωσιν, παρεῖναι μὲν τῇ ἀνθρωπείᾳ φύσει, συνεχώρει δὲ πάσχειν, τῶν ἀνθρώπων πραγματευομένη τὴν σωτηρίαν· ῥᾴδιον μὲν γὰρ ἦν αὐτῷ, ἀθάνατον αὐτὴν ἣν ἀνέλαβεν ἀπεργάσασθαι Φύσιν. ἐπειδὴ δὲ σωτηρία ἦν τοῦ κόσμου τὸ πάθος, συνεχώρησε γενέσθαι τὸ πάθος, μετὰ τὸ πάθος τῆς ἀθανασίας καὶ

τῆς ἀφθαρσίας μετέδωκε· καὶ βλάβην μὲν αὐτὸς ἐκ τῶν ταύτης παθῶν ἐδεμίαν ἐδέξατο, τῆς δὲ οἰκείας αὐτὴν ἐπλήρωσε δόξης, καὶ σὺν αὐτῇ βασιλεύει, καὶ τῶν ἁπάντων κρατεῖ· ἡνίκα δὲ φθαρτὴν εἶχεν αὐτὴν τὴν φύσιν, ἀνθρωπίνως ἅπαντα, πλὴν ἁμαρτίας, συνεχώρει καὶ πάσχειν καὶ φθέγγεσθαι.

ΕΡΜΗΝ. ΤΟΥ ρθ΄. ΨΑΛΜΟΥ.

ά. Ψαλμὸς τῷ Δαβίδ. Τὸ περὶ τὲ σωτηρίε πάθες ἐν τῷ προτεταγμένῳ προθεσπίσας ψαλμῷ, προαγορεύει τὴν μετὰ τὸ πάθος ἀνάληψιν τὲ σωτῆρος. μέμνηται δὲ τὲ προοιμίου τοῦ ψαλμὲ καὶ ὁ θειότατος Πέτρος ἐν ταῖς πράξεσι· λέγει δὲ οὕτως· οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου, κάθε ἐκ δεξιῶν με, ἕως ἂν θῶ τοὺς ἐχθρούς σε ὑποπόδιον τῶν ποδῶν σε· καὶ αὐτὸς δὲ ὁ Κύριος, ὁρῶν τὲς Φαρισαίες ἄλλας περὶ Χριςὲ δόξας ἔχοντας, πεῦσιν αὐτοῖς τοιάνδε προσήνεγκε· τί ὑμῖν δοκεῖ περὶ Χριςὲ, τίνος ἐςὶν υἱός; εἰρηκότων δὲ ἐκείνων τὲ Δαβὶδ, ἀπεκρίνατο, πῶς ἔν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, εἶπεν ὁ Κύριος τῷ κυρίῳ με, κάθε ἐκ δεξιῶν με; εἶτα ἐπισυλλογίζεται, εἰ ἔν Δαβὶδ καλεῖ αὐτὸν ἐν πνεύματι Κύριον, πῶς υἱὸς αὐτὲ ἐςιν; τὲτο δὲ ἔφη, οὐκ ἐκβάλλων τὸ εἶναι υἱὸν τὲ Δαβὶδ τὸν Χριςὸν, ἀλλὰ τῷ ὁμολογουμένῳ τὸ ἀγνοούμενον προσλιθείς· τὸ μὲν γὰρ υἱὸν εἶναι τοῦ Δαβὶδ τὸν Χριςὸν ὡμολόγεν οἱ Φαρισαῖοι· ὅτι δὲ καὶ Κύριος ἦν τὲ Δαβὶδ, ἠγνόουν παντάπασι· τὸ λεῖπον τοίνυν προστίθησιν, οὐ τὸ ὁμολογούμενον ἀναιρεῖ, διδάσκων ὡς ὁ αὐτὸς καὶ υἱὸς αὐτὲ κατὰ σάρκα, καὶ Κύριος αὐτὲ ὡς Θεὸς καὶ δημιουργός· σαφῶς τοίνυν ὁ μακάριος Δαβὶδ τὴν τοῦ Δεσπότου Χριςοῦ κηρύττει θεότητα, καί φησιν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Εἰ Δαβὶδ ὁ βασιλεὺς, καὶ εὐσεβὴς βασιλεὺς, ὁ καὶ προφητικῆς χάριτος ἠξιωμένος, Κύριον ἑαυτοῦ καλεῖ τὸν Δεσπότην Χριςὸν, οὐκ ἄρα μόνον ἀνθρωπος κατὰ τὴν Ἰουδαίων ἄνοιαν, ἀλλὰ καὶ Θεὸς, ὡς τὲ Δαβὶδ δημιουργός τε καὶ κύριος. καὶ τὸ κοινὸν δὲ τῶν ὀνομάτων τὴν ταυτότητα τῆς οὐσίας δηλοῖ. Κύριος γὰρ Κυρίῳ λέγει, καὶ οὐ Κύριος κτίσματι, οὐδὲ Κύριος ποιήματι. Κάθου ἐκ δεξιῶν μου. Μέγα μὲν οὖν καὶ τοῦτο· καὶ οὐ μόνον ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ καὶ ὑπὲρ ἅπασαν τὴν κτίσιν. πλὴν ἀνθρωπίνως καὶ αὐτὸ εἴρηται· ὡς γὰρ Θεὸς, ὁ υἱὸς αἰώνιον ἔχει τὸν θρόνον· ὁ θρόνος σε γὰρ, φησὶν, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. οὐ γὰρ μετὰ τὸν σαυρὸν, καὶ τὸ πάθος, ταύτης ὡς Θεὸς τιμῆς ἠξιώθη· ἀλλ' ἔλαβεν ὡς ἄνθρωπος, ὅπερ εἶχεν ὡς Θεός· οὐ γὰρ ταπεινὸς ὢν ὑψώθη, ἀλλ' ὕψιςος ὢν, καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβών. διὸ καὶ ὁ εὐαγγελιςὴς βοᾷ, ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ αὐτὸς δὲ ὁ Κύριός φησιν, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ἀλλαχοῦ, δόξασόν με σὺ πάτερ τῇ δόξῃ, ᾗ εἶχον παρά σοι πρὸ τὲ τὸν

τὸν κόσμον γενέσθαι· ὡς ἄνθρωπος τοίνυν ἀκούει, κάθου ἐκ δεξιῶν μου· ὡς γὰρ Θεὸς, αἰώνιον ἔχει τὸ κράτος. Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἐχθροὶ διαφερόντως μὲν ὁ διάβολος, καὶ οἱ τούτου διάκονοι δαίμονες, πρὸς δὲ τούτοις καὶ οἱ τοῖς θείοις αὐτοῦ κηρύγμασιν ἀντιπίπλοντες, Ἰουδαῖοι καὶ Ἕλληνες. τὸ δὲ ἕως, οὐ χρόνου σημαντικὸν, ἀλλ' ἰδίωμα τῆς θείας γραφῆς. οὕτω γὰρ καὶ διὰ τοῦ προφήτου φησὶν ὁ Θεὸς, ἐγώ εἰμι, ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι. δῆλον δὲ ὅτι οὐ συμπεριορίζεται τὸ εἶναι τῷ Θεοῦ τῷ γήρει τῶν ἀνθρώπων. εἰ γὰρ περὶ οὐρανοῦ καὶ γῆς φησὶν ὁ προφήτης, αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάλιν, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· πολλῷ μᾶλλον, ἀνθρώπων καὶ γηρώντων καὶ τελευτώντων, διαμένει τῶν ὅλων ὁ Δεσπότης. τοῦτο ἔοικε τῷ ἀποστολικῷ ἐκείνῳ ῥητῷ, δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. οὐδὲ γὰρ ἐνταῦθα τὸ ἄχρις οὗ χρόνου δηλωτικόν. ποῖον γὰρ ἂν ἔχοι λόγον, ἔτι μέν τινων ἀντιλεγόντων βασιλεύειν αὐτὸν, μετὰ δὲ τὴν ἁπάντων ὑποταγὴν ἀφαιρεῖσθαι τὴν βασιλείαν; καὶ μὲν Δανιὴλ ὁ προφήτης, μετὰ τὴν τῶν θηρίων ἀναίρεσιν, αὐτὸν ἔφη βασιλεύειν εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ μὴ ἔσεσθαι τέλος. πῶς δὲ καὶ οἱ ἅγιοι συμβασιλεύουσιν, ἢ τινι συμβασιλεύουσι, τοῦ τὴν βασιλείαν ὑποχομένου ἀποτιθεμένου τὴν βασιλείαν; οὐκ οὖν τὸ ἕως οὗ χρόνου δηλωτικὸν, ἀλλὰ κατὰ ἰδίωμα τῆς θείας κεῖται γραφῆς. β'. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. Ἡ μὲν ἐξ Ἰεσσαὶ ῥάβδος ἐκ Βηθλεέμ· ἐξελεύσεται γάρ φησι ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ. καὶ τὰ ἑξῆς δὲ τοῦ σωτηρίου σταυροῦ τῆς ῥάβδου τὸ κράτος δηλοῖ. δι' ἐκείνου γὰρ πᾶσαν ὑπέταξε τῶν ἀντιπάλων τὴν φάλαγγα· ἐν δὲ τῇ Σιὼν οὗτος ἐπάγη. Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Οὐ γὰρ ἐξ οὐρίων ἐφέροντο τῶν θείων εὐαγγελίων οἱ κήρυκες, ἀλλ' ὑπὸ Ἑλλήνων καὶ βαρβάρων πολιορκούμενοι, καὶ τοῖς τῆς δυσσεβείας περικλυζόμενοι ῥεύμασιν, ἐκράτουν τῶν δυσμενῶν, καὶ τοὺς πλείστους μετέβαλλον, καὶ οἷόν τινας αἰχμαλώτους προσῆγον τῷ βασιλεῖ, καὶ τούτου δουλείαν ἀσπάζεσθαι παρεσκεύαζον. γ'. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν τῇ ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἀνώλεθρον ἔχεις τὸ κράτος· διαφερόντως δὲ τοῦτο δεικνύσεις ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, καθ' ἣν λαμπροὺς καὶ περιφανεῖς τὰς ἁγίας ἀποφανεῖς. ἡμέραν γὰρ δυνάμεως τὴν δευτέραν τοῦ σωτῆρος ἐκάλεσεν ἐπιφάνειαν, καθ' ἣν ἥξει μετὰ τῶν ἀγγέλων ἐν τῇ δόξῃ τοῦ πατρός· τότε δὲ καὶ οἱ ἅγιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ἐνταῦθα καὶ τῆς θεότητος αὐτοῦ τὸ μεγαλοπρεπὲς ἀπεκάλυψε, καὶ ὁ εἰρηκὼς αὐτῷ Κύριος, κάθου ἐκ

δεξιῶν με, τὸ ὁμοούσιον ὁμολογεῖ, καὶ τὸ ταυτὸν κηρύττει τῆς φύσεως. τὸ μὲν γὰρ, πρὸ ἑωσφόρου, τὸ πρὸ χρόνων αὐτὸν καὶ πρὸ αἰώνων εἶναι δηλοῖ. τὸ δὲ, ἐκ γαστρὸς, τὸ ταυτὸν τῆς οὐσίας διδάσκει. οὐ γὰρ ἑτερωθέν φησιν, ἀλλ' ἐκ τῆς ἐμῆς γεγένησαι φύσεως· τῆς γαστρὸς δηλονότι παραβολικῶς νοουμένης. καθάπερ γὰρ ἐκ γαστρὸς τίκτουσιν ἄνθρωποι, καὶ τὰ τικτόμενα τοῖς γεννήσασι τὴν αὐτὴν ἔχει φύσιν· οὕτως ἐξ ἐμοῦ γεγένησαι, καὶ τῷ γεγεννηκότος ἐν σεαυτῷ τὴν οὐσίαν δεικνύεις. δ'. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἀκριβῶς ταῦτα ἡρμήνευσεν ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, καὶ τὸ τῆς ἀρχιερωσύνης ταύτης ἀπέραντον ἔδειξε· τῷ τὴν μὲν Λευϊτικὴν ἱερωσύνην οὐ μετ' ὅρκου τὰς ἐπαγγελίας δεδέχθαι, ταύτην δὲ ὅρκῳ βεβαιωθῆναι. τότε δὴ χάριν, καὶ τὸ οὐ μεταμεληθήσεται προστέθεικεν· ἐπειδὴ πολλὰ πολλάκις οἰκονομήσας ὁ τῶν ὅλων Θεὸς, μεταβολαῖς ταῦτα περιπεσεῖν συνεχώρησεν. ὅτω τὴν Ἰουδαίων ἱερωσύνην, καὶ πεποίηκε, καὶ κατέπαυσεν. ὅτω τὴν βασιλείαν ἐκείνην καὶ κατέσησε, καὶ κατέλυσεν. οὕτω τὴν Ἀσσυρίων, καὶ Βαβυλωνίων, καὶ Μακεδόνων βασιλείαν καὶ γενέσθαι συνεχώρησε, καὶ λυθῆναι προσέταξε. ταύτην μέντοι τὴν ἱερωσύνην αἰώνιον εἶναι βουλόμενος, ὠμωμοκέναι φησὶν, ὡς οὐ μεταμεληθήσεται· ἀνθρωπίνως δὲ ταῦτα εἴρηκε. τῷ πάθους γὰρ τὸ θεῖον ἀμύητον, πάθος δὲ καὶ ἡ μεταμέλεια. ὁ δὲ Μελχισεδὲκ, οὐκ Ἰουδαίων, ἀλλ' ἐθνῶν ἱερεύς· οὕτω καὶ ὁ Δεσπότης Χριστὸς, οὐχ ὑπὲρ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ὑπὲρ ἁπάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ Θεῷ. ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτὶ, μεθ' ἣν τὸ πάθος ὑπέμεινεν· ἡνίκα λαβὼν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ εἶπε, λάβετε, φάγετε ἐξ αὐτοῦ· τοῦτό ἐστι τὸ σῶμά μου. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας, ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ λέγων, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. εὑρίσκομεν δὲ τὸν Μελχισεδὲκ, καὶ ἱερέα ὄντα, καὶ βασιλέα· τύπος γὰρ ἦν τοῦ ἀληθινοῦ ἱερέως καὶ βασιλέως· καὶ προσφέροντα τῷ Θεῷ οὐκ ἄλογα θύματα, ἀλλὰ ἄρτους καὶ οἶνον. ταῦτα γὰρ καὶ τῷ Ἀβραὰμ προσενήνοχε, τὸ τῆς οἰκείας ἀρχιερωσύνης ἀρχέτυπον ἐν τῇ τοῦ πατριάρχου ὀσφύϊ πνευματικῶς προορῶν. εἰ τοίνυν ἐκ Δαβὶδ ὁ Χριστὸς κατὰ σάρκα, ὁ δὲ Δαβὶδ ἐξ Ἰούδα· τήνδε κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερωσύνην ἔλαβεν ὁ Χριστός· πέπαυται μὲν ἡ Λευϊτικὴ ἱερωσύνη, εἰς δὲ τὴν Ἰούδα φυλὴν ἡ τῆς μείζονος ἱερωσύνης εὐλογία μετέβη. ἱερατεύει δὲ νῦν ὁ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας Χριστὸς, οὐκ αὐτός τι προσφέρων, ἀλλὰ τῶν προσφερόντων κεφαλὴ χρηματίζων. σῶμα γὰρ αὐτὸ τὴν ἐκκλησίαν καλεῖ, καὶ διὰ ταύτης ἱερατεύει ὡς ἄνθρωπος, δέχεται δὲ τὰ προσφερόμενα ὡς Θεός. προσφέρει δὲ ἡ ἐκκλησία τὰ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος σύμβολα, πᾶν τὸ φύραμα

διὰ

διὰ τῆς ἀπαρχῆς ἁγιάζουσα. ε'. Κύριος ἐκ δεξιῶν σε συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Τὲς δὲ νῦν ἀντιτείνοντας, καὶ θρασυνομένες ἄρχοντάς τε, καὶ βασιλέας ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ παραδώσει κολάσει. τὸ δὲ, Κύριος ἐκ δεξιῶν σε, ἔοικε τῷ ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ ψαλμῷ, προωρώμην γὰρ τὸν Κύριον ἐνώπιόν με διὰ παντὸς, ὅτι ἐκ δεξιῶν με ἐστὶν, ἵνα μὴ σαλευθῶ. καὶ γὰρ ἐκεῖ ἀνθρωπίνως τοῦτο εἴρηκε, καὶ δεδήλωκε τῆς ἐνωθείσης Φύσεως τὸ ἀχώριστον· καὶ ἐνταῦθα κατὰ ταυτὸν καὶ τὰ θεῖα λέγει, καὶ τὰ ἀνθρώπινα· τὸ μὲν γὰρ, κάθου ἐκ δεξιῶν μου, τῇ ἀνθρωπείᾳ Φύσει πρόσφορον· τὸ δὲ, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, δηλωτικὸν τῆς θεότητος· τὸ δὲ, σὺ εἶ ἱερεὺς εἰς αἰῶνα, πάλιν ὡς πρὸς ἄνθρωπον εἴρηται· ὡσαύτως δὲ καὶ τὸ Κύριος ἐκ δεξιῶν σε, ἀντὶ τοῦ, ἀχώριστον ἔχεις τὴν ἐνωθεῖσαν θεότητα. ς'. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα· συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Σαφέστερον ἐνταῦθα τὴν κρίσιν ἐδήλωσε· καὶ ὅτι κατ' ἐκείνην τὴν ἡμέραν παντοδαπαῖς παραδώσει τιμωρίαις τοὺς δυσσεβείᾳ συνεζηκότας· καὶ κατὰ τὸν παρόντα μέντοι βίον, πολλαῖς αὐτοὺς πολλάκις παιδείαις ὑπέβαλε, τὴν οἰκείαν δύναμιν τὲς ἀγνοοῦντας διδάσκων. ζ'. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν. Πολλῇ, φησὶν, ἐναν θρωπήσας εὐτελείᾳ χρήσεται, ὥστε καὶ τοῖς κατὰ τὴν ὁδὸν εὑρισκομένοις ὕδασι θεραπεύειν τὸ δίψος. δοκεῖ δέ μοι καὶ ἑτέραν βαθυτέραν ἔχειν ἡ προφητεία διάνοιαν· ποτήριον ἔθος αὐτῷ τὸ πάθος καλεῖν, πάτερ γὰρ ἔφη εἰ δυνατὸν, παρέλθῃ τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. χειμάρρουν δὲ τὲς Ἰουδαίους καλεῖ, θείας μὲν χάριτος τετυχηκότας, οὐκ ἀεὶ δὲ ταύτης ἀπολαύσαντας. καθάπερ γὰρ ὁ χειμάρρους οὐκ ἀένναον ἔχει τὴν τῶν ὑδάτων φοράν, ἀλλὰ ἐκ τῶν τηκομένων ἐκ τῶν νεφῶν συνίσταται ὑετῶν· οὕτως Ἰουδαῖοι πρόσκαιρον ἔσχον τοῦ νόμου τὴν χάριν, οἷον ἀπό τινων νεφῶν τῶν προφητῶν χορηγουμένην· μετὰ δὲ ταῦτα τοῦ θέρους φανέντος, κατὰ τὴν τοῦ Κυρίου φωνήν· ἐπάραντε γὰρ φησὶ τὰς ὀφθαλμὰς ὑμῶν, καὶ βλέπετε εἰς τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν· ἀναγκαίως ὁ χειμάρρους τῆς προτέρας εὐπορίας ἔρημος μεμένηκε, καὶ ξηρὸς ὁρᾶται πάσης ἰκμάδος ἐξερημένος. ἐπειδὴ τοίνυν Ἰουδαῖοι τὸν σαυρον ἐτεκτήναντο, ποτήριον δὲ καλεῖ τὸ πάθος ὁ Κύριος, εἰκότως ὁ προφήτης ταῦτα προθεωρῶν εἴρηκεν, ἐκ χειμάρρου ἐν ὁδῷ πίεται. ὁδὸν δὲ τὸν βίον καλεῖ. μαρτυρεῖ δὲ τῇ διανοίᾳ καὶ τὰ ἐπαγόμενα, διὰ τοῦτο ὑψώσει κεφαλήν. τούτῳ δὲ ὅμοιον καὶ ὁ ἀπόστολος εἴρηκε Παῦλος· ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σαυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε· δῆλον δὲ ὡς ἀνθρωπίνως καὶ τοῦτο τέθεικεν· ὡς γὰρ Θεὸς, ἀταπείνωτος ὢν ὑψώθη, ἀλλ' ὕψιστος ὢν ἐταπείνωσεν ἑαυτόν· ὡς δὲ ἄνθρωπος, ὃ μὴ εἶχεν ἔλαβεν.

ΕΡΜΗΝ.

ΕΡΜΗΝ. ΤΟΥ ρι΄ ΨΑΛΜΟΥ.

Ἀλληλέϊα. Ἀμμανῖται, καὶ Μωαβῖται, καὶ Ἰδουμαῖοι, πλῆθος ὅτι μάλιστα πλεῖστον συναγαγόντες, ἐπεστράτευσαν πάλαι ποτὲ τῇ Ἰούδα Φυλῇ. ἐβασίλευσε δὲ τηνικαῦτα ταύτης Ἰωσαφὰτ, ἀνὴρ ἐπ' εὐσεβείᾳ μαρτυρούμενος, τῶν ἐκ Δαβίδ. ἔτους τῶν πολεμίων τὸ πλῆθος μαθὼν, μετὰ παντὸς τοῦ λαοῦ προσελήλυθε τῷ Θεῷ, τὴν ἀμαχον ἐπικουρίαν αἰτῶν· καὶ δὴ καὶ τὴν αἴτησιν ἔλαβε. παρηγγύησε γὰρ αὐτοῖς ὁ τῶν ὅλων Θεὸς καὶ θαρρῆσαι τῶν πολεμίων, ὡς αὐτῷ στρατηγοῦντος· ἡμέρας τοίνυν ἀρχομένης, ἐκινήθησαν κατ' ἀλλήλων οἱ πολέμιοι, καὶ σφᾶς αὐτοὺς ὡς ἐναντίους διέφθειραν, ὥστε μηδένα τὸν ὄλεθρον ἐκεῖνον διαφυγεῖν. τοῦτο ἔκ τινος σκοπιᾶς θεασαμένη τῶν Ἰουδαίων ἡ στρατεία, ἔδραμεν ὡς ἐφ' ἕτοιμον θήραν, ἐσκύλευσε δὲ τοὺς πολεμίους, καὶ μετὰ πολλῆς ἐπανῆλθε τῆς περιουσίας. καὶ ὡς διδάσκει τῶν παραλειπομένων ἡ ἱστορία μετὰ μουσικῶν ὀργάνων εἰσῆλθον εἰς τὸν θεῖον νεὼν, τὸν τῆς νίκης χορηγὸν ἀνυμνοῦντες· ταῦτα προορῶν ὁ προφήτης τόνδε συνέγραψε τὸν ψαλμὸν, οἷόν τινα ὕμνον ὑπὸ τοῦ εὐσεβοῦς Ἰωσαφὰτ προσφερόμενον· ὕμνος δὲ καὶ ἡ ἐπιγραφή. τὸ γὰρ ἀλληλέϊα, ὡς καὶ ἤδη ἡρμηνεύκαμεν, αἰνεῖτε τὸν Κύριον ἐπὶ τῇ Ἑλλάδι φωνῇ. σημαίνει γὰρ τὸ ἀλληλοὺ αἰνεῖτε, τὸ δὲ ἰὰ Κύριον, ἢ τὸν ὄντα. α΄. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου. Ἀπὸ πάσης σοι διανοίας, Δέσποτα, προσφέρω τὸν χαριστήριον ὕμνον. Ἐν βουλῇ εὐθέων, καὶ συναγωγῇ. Οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ σὺν ἐμοὶ τῶν εὐσεβῶν ὁ σύλλογος. κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν τῆς τῶν εἰδώλων πλάνης ὁ λαὸς ἠλευθέρωτο, τοῦ βασιλέως ἅπαντας ἐκπαιδεύοντος τὴν εὐσέβειαν. βουλὴν τοίνυν εὐθέων τὸ σύστημα προσαγορεύει τῶν εὐσεβῶν. β΄. Μεγάλα τὰ ἔργα Κυρίου. Τῷ ὄντι γὰρ θαυμαστὰ, καὶ ἀξιάγαστα, τὰ ὑπὸ τῆς αὐτοῦ δυνάμεως ἐνεργούμενα. Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ποιεῖ μὲν ὅσα βούλεται, ἕκαστον δὲ τῶν γινομένων σοφίας ὑπάρχει μεστὸν, καὶ παρὰ πάντων τὴν εὐφημίαν ἐφέλκεται. γ΄. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ. Ἅπαντα τὰ ὑπ' αὐτοῦ γινόμενα, καὶ ἡ δημιουργία, καὶ ἡ οἰκονομία, καὶ μεγαλοφυῆ, καὶ ὑπερφυῆ, καὶ τῆς παρὰ πάντων ἀνθρώπων ὑμνῳδίας ἄξια. ἐξομολόγησιν ἐνταῦθα τὴν εὐχαριστίαν καλεῖ. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὐδὲν ἄδικον τῶν γινομένων, ἀλλὰ πάντα τῷ δικαίῳ κοσμεῖται. δι' αἰῶνος γὰρ ταύτῃ χρώμενος πρυτανεύει τὰ σύμπαντα. δ΄. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. Ἐπειδὴ προφανῶς εἰργάσατο τῶν πολεμίων τὸν ὄλεθρον. ταυτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν προγόνων πεποίηκε, ποτὲ μὲν τοὺς Αἰγυπτίους συγκαλύψας, ἄλλοτε δὲ τοὺς Ἀμαληκίτας τῇ ἐκτάσει Μωσέως χειρῶν κατακοντίσας· καὶ Χαναναίους, καὶ Χετταίους, καὶ τὰ ἄλλα ἔθνη, δι' Ἰησοῦ τοῦ Ναυῆ καταλύσας. ἀνάμνησιν τῶν θαυμασίων ἐκάλεσε τῶν πολεμίων τὴν τιμωρίαν· ἀντὶ τοῦ, τοὺς πολυθρυλλήτους σε θαυματουργίας, τοὺς ψευδεῖς παρὰ τοῖς ἀπίστοις νομιζομένους, ἔδειξας ἀληθεῖς τῇ

νέᾳ

νέα θαυματεργία, καὶ ἀνέμνησας ἡμᾶς ὧν ἐπὶ τῶν ἡμετέρων εἰργάσω προγόνων. Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος. ε'. Τροφὴν ἔδωκε τοῖς Φοβεμένοις αὐτόν. Τὴν τροφὴν θήραν οἱ ἄλλοι εἶπον ἑρμηνευταί. ἀληθῆ δὲ ἀμφότερα· καὶ γὰρ ὡς ἐπὶ θήραν ἕτοιμον ἔδραμον ἐπὶ τῶν πολεμίων τὸν πλοῦτον, καὶ τροφὴν ἐκεῖθεν ἱκανὴν ἐπορίσαντο. Μνηθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. Ὁ δὲ Σύμμαχος ἔτως· θήραν ἔδωκε τοῖς Φοβεμένοις αὐτὸν, μνημονεύων αἰωνίᾳ συνθήκης αὐτοῦ. τῶν γὰρ πρὸς τοὺς πατέρας γεγενημένων ὑποχέσεων ἄλησον ἔχει τὴν μνήμην, καὶ δι' ἐκείνην ἡμῖν μεταδίδωσι τῶν ἀγαθῶν. ς'. Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. ζ'. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. Μᾶλλον ἡμῖν ἐναργῶς τὴν οἰκείαν ἔδειξε δύναμιν, τὸν τῶν ἐχθρῶν ἡμῶν δωρησάμενος πλοῦτον. ἐ γὰρ μόνον ἡμᾶς τῆς παρ' ἐκείνων ἠλευθέρωσε λάβης, ἀλλὰ καὶ τὴν ἐκείνων περιουσίαν εἰς τὰς ἡμετέρας μετατέθεικεν οἰκίας. Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Οὐκ ἀδίκως δὲ, ἀλλὰ καὶ λίαν ἐνδίκως ταῦτα εἰργάσατο. ἐδὲν γὰρ ἡμῖν ἐγκαλεῖν ἔχοντες, καταλύσαι παντελῶς ἐπειράθησαν. ἀληθῆ τοίνυν καὶ δικαίαν κατ' αὐτῶν ἐξενήνοχε ψῆφον. η'. Πισταὶ αἱ πᾶσαι ἐντολαὶ αὐτοῦ· ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Νομοθετῶν ὁ Θεὸς τὴν οἰκείαν εὐμένειαν τοῖς Φυλάττουσι τὸν νόμον ὑπέχετο. τοῦτο καὶ ἐνταῦθα φησὶν, ὅτι ἀψευδεῖς αἱ περὶ τῆς τῶν ἐντολῶν φυλακῆς ὑποχέσεις, καὶ οἱ ταῦτα πληροῦν προαιρούμενοι τῆς αὐτοῦ προμηθείας διηνεκῶς ἀπολαύσουσι. καὶ γὰρ ἡμεῖς γνησίως αὐτὸν ἱκετεύσαμεν κρείττους τῶν δυσμενῶν ἀπεφάνθημεν· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδήλωσε. θ'. Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. Αἱ γὰρ τοῦ Θεοῦ ὑποχέσεις ἐ μόνον τὸ ἀψευδὲς, ἀλλὰ καὶ τὸ διαρκὲς ἔχουσιν. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Τοῖς μὲν γὰρ πιστεύουσιν ἅγιον, καὶ τρισόθητον, καὶ πηγάζον τῶν ἀγαθῶν τὴν φοράν· τοὺς δὲ ἀπιστοῦντας, καὶ παρανομίᾳ συζῶντας, κολάζει καὶ τιμωρεῖται. ί. Ἀρχὴ σοφίας φόβος Κυρίου. Ἀναγκαῖον τοίνυν αὐτὸν δεδιέναι καὶ τρέμειν· τοῦτο γὰρ πρῶτον τῆς θείας διδασκαλίας στοιχεῖον. σοφίαν γὰρ ἐ τὴν εὐγλωττίαν λέγει, ἀλλὰ τὴν τῶν θείων ἐπίγνωσιν. εἰσαγωγικοῖς τοίνυν ὁ φόβος· τῶν δὲ τελείων τῆς ἀγάπης ἡ κτῆσις. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Οὐκ ἀρκεῖ γὰρ εἰς τελείωσιν ἡ γνῶσις, ἀλλὰ χρήζει ἡ θεωρία τῆς πράξεως, καὶ προσήκει τὸν τῆς θείας ἠξιωμένον συνέσεως τοῖς ἔργοις τὴν γνῶσιν κοσμεῖν, καὶ διὰ ταύτης θεραπεύειν τὸν τῆς συνέσεως χορηγόν. Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀκολέθως καὶ τοῦτο προστέθεικε, διδάσκων ὡς ὁ τῆς ἀρετῆς ἐραστὴς αὐτὸς τὸ ἐντεῦθεν πορίζεται κέρδος· ὁ γὰρ Θεὸς, κἂν μηδεὶς ὑμνεῖν ἐθέλει, αἰώνιον ἔχει τὸν ὕμνον καὶ διαρκῆ. τοῦτον μέντοι τὸν ψαλμὸν κατὰ στοιχεῖον φασιν Ἑβραίοις γεγράφθαι, καὶ κατὰ τὴν τῶν στοιχείων ἀκολε-

κολεθίαν συγκεῖσθαι· καὶ ὁ μετ' αὐτὸν δὲ ὁμοίως σύγκειται.

ΕΡΜΗΝ. ΤΟΥ ριά΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνον καλεῖ καὶ τοῦτον τὸν ψαλμὸν ἡ ἐπιγραφή· διδασκαλίαν δὲ εὐσεβείας τοῖς βουλομένοις προσφέρει. α΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Ὁ ταύτῃ τῇ εὐλαβείᾳ κοσμούμενος, καὶ τὸ θεῖον περικείμενος δέος, πᾶσαν αὐτοῦ τὴν βουλὴν εἰς τὴν τῶν θείων λογίων ἐκπλήρωτιν μετατίθησι, καὶ σὺν πάσῃ προθυμίᾳ πληροῖ ταῦτα ἐπείγεται. εἶτα δείκνυσι τὸν τῶν τοιούτων σπερμάτων καρπόν. β΄. Δυνατὸν ἐν τῇ γῇ ἔσαι τὸ σπέρμα αὐτοῦ. Ἐπειδὴ γὰρ τοῦτο ἀξιέραστον ἐδόκει τοῖς τηνικάδε ἀνθρώποις, τοῦτο τοῖς φυλάττουσι τὰς ἐντολὰς δώσειν ὑπισχνεῖται τὸ δῶρον· καὶ δὴ καὶ ἔδωκε, διὰ μὲν τὸν Ἀβραὰμ τῷ Ἰσραὴλ, διὰ δὲ τὸν Δαβὶδ τοῖς ἐξ αὐτοῦ, καὶ διὰ τὸν Ἰσραὴλ τοῖς ἐκγόνοις, καὶ ταῦτα παρανόμοις γεγενημένοις. Γενεὰ εὐθέων εὐλογηθήσεται. Οἱ γὰρ ἰσότητος καὶ δικαιοσύνης ἐπιμελούμενοι τῆς θείας εὐλογίας δρέψονται τὰς καρπούς. γ΄. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ ταύτας ὡς πρὸς ἀτελεῖς ἔτι, καὶ τῶν τελείων ἐπαίειν ἃ δυναμένας, ποιεῖται τὰς ὑποσχέσεις· τὰς γὰρ τελείας ὁ Δεσπότης Χριστὸς τἀναντία διδάσκει, λέγων, μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν, μὴ ὑποδήματα, μηδὲ ῥάβδον· καὶ πάλιν, ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναται μου εἶναι μαθητής· καὶ, εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. ἀλλ' ὅμως ταῦτα νομοθετῶν, ἐκεῖνα τοῖς ἀτελέσι καὶ ὑπιχνεῖται, καὶ δίδωσιν. οὕτω τῷ Σολομῶντι καὶ πλοῦτον καὶ δόξαν προστέθεικεν. οὕτω τοῖς υἱοῖς Ἰσραὴλ τὸν τῶν Αἰγυπτίων ἐδωρήσατο πλοῦτον. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄλησον γὰρ ὁ τῶν ὅλων Θεὸς ἔχει τὴν μνήμην, καὶ ἀείμνησον αὐτοῦ διαφυλάττει τὸ κλέος. δ΄. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν. Σκότος ποτὲ μὲν τὴν ἄγνοιαν, ποτὲ δὲ τὰς συμφορὰς ὀνομάζει, καὶ φῶς δὲ ὡσαύτως νῦν μὲν τὴν γνῶσιν, νῦν δὲ τῶν κακῶν τὴν ἀπαλλαγήν προσαγορεύει. λέγει τοίνυν, ὅτι καὶ ἀγνοοῦσιν ὑποδείξει τὴν ἀλήθειαν, καὶ ἐν τῇ τῶν λυπηρῶν προσβολῇ τὴν οἰκείαν ἐπικουρίαν ὀρέξει. ὕτω τὸν Ἰωσὴφ ἐκ τῆς τῶν ἀδελφῶν μιαιφονίας ἐξήρπασεν, ὕτως αὐτὸν τῆς συκοφαντίας ἀπέφηνε κρείττονα· ὕτω τῆς Σάρρας ἀρπαγείσης ὤρεξε τῷ Ἀβραὰμ τὴν οἰκείαν ἐοπήν· ὕτω τὸν Λάβαν ἐξεδειμάτωσε, καὶ τὸν φεύγοντα τοῦ διώκοντος δυνατώτερον ἔδειξε. τῆς θείας τοίνυν δυνάμεως καὶ τοῦτο τεκμήριον, τὸ γυμνασίας μὲν εἵνεκα συγχωρεῖν προσβάλλειν τοῖς δικαίοις τὰ λυπηρὰ, διαλύειν δὲ τούτων τὸ νέφος, καὶ καθαρὸν αἰθρίαν χαρίζεσθαι. Ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος. Ταῦτα δὲ πρυτανεύει δικαιοσύνη, καὶ ἐλέῳ, καὶ ἀγαθότητι χρώμενος· κήδεται

ται μὲν γὰρ ὡς φιλάνθρωπος, σεφανῶν δὲ τὸς δικαίως βιώλομενος, συγχωρεῖ τὸς ἀγῶνας, λύει δὲ τούτους ὅτι τάχιστα διὰ τὴν ἀμέτρητον ἀγαθότητα. ε. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων, καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. Ὁ δὲ Σύμμαχος ἔτως· ἀγαθὸς, χαριστικὸς, καὶ κιχρῶν, οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως. ὁ γὰρ τὸν οἰκεῖον δεσπότην μιμούμενος φιλοτίμως θεραπεύει τὸς ὁμοδούλους· οἰκτείρων μὲν, ὡς τῆς φύσεως κοινωνὸς, κιχρῶν δὲ, ὡς τὴν ἔλλιψιν παρὰ τοῦ κοινοῦ προσμένων δεσπότου· ὧδεν δὲ ὁ τοιοῦτος ἀδιακρίτως ἐργάζεται, ἀλλ' ὀρθῶς χρώμενος λογισμῷ, καὶ τοὺς λόγους καὶ τὰ ἔργα κοσμεῖ. ς'. Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Βεβαίαν γὰρ ὁ τοιοῦτος ἔχει τὴν γνώμην, εὐθυμίαν τροπὴν δεχομένην ἐν ταῖς τῶν καιρῶν δυσκολίαις. ζ'. Εἰς μνημόσυνον αἰώνιον ἔσαι δίκαιος. Πολυθρύλλητος δὲ ὁ τοιοῦτος ἔσαι, καὶ παρὰ πᾶσιν ἀοίδιμος, καὶ ἀείμνηστον καταλείψει τὸ κλέος. Ἀπὸ ἀκοῆς πονηρᾶς ἐ φοβηθήσεται. Οὔτε δὲ ἀπειλὰς δείσει, ἔτε ἀγγελίας φόβου ἱκανὰς ἐμποιῆσαι. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κυρίῳ. Ὁ δὲ Σύμμαχος τὴν ἑτοίμην πάλιν ἑδραίαν ἡρμήνευσεν. ἑδραίαν ἔχει φησὶ καὶ βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα, καὶ διὰ τοῦτο τῶν τοιούτων θορύβων καταφρονεῖ. η'. Ἐστήρικται ἡ καρδία αὐτοῦ, ἐ μὴ φοβηθῇ, ἕως ἐ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. Οὐ γὰρ μόνον ἐ δέδιε τοὺς δυσμενεῖς, ἀλλὰ καὶ τὴν ἐκείνων ἥτταν διὰ τὴν εἰς Θεὸν ἐλπίδα προσμένει. θ'. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τέτων ἕνεκεν διδασκαλίαν ἀρετῆς τοῖς βιωλομένοις προσφέρει. λέγει δὲ, ὅτι ὁ τῇ εὐλαβείᾳ καὶ τῷ θείῳ φόβῳ κοσμούμενος ἐχ ἁπλῶς τοῖς δεομένοις ὀρέγει τὸν ἔλεον, ἀλλὰ μετὰ πολλῆς φιλοτιμίας τοῦτο ποιεῖ, καὶ μιμεῖται τὸς σπείροντας ἀφειδῶς τὰ σπέρματα, καὶ σκεδαννύντας διὰ τὴν τῶν δραγμάτων ἐλπίδα. παραπλησίως γὰρ καὶ ἕτος τῆς δικαιοσύνης προσμένει τὸ κέρδος. Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Κέρας τὴν ἰσχὺν καλεῖ ἐκ μεταφορᾶς τῶν ζώων τῶν καθωπλισμένων τοῖς κέρασι, καὶ τούτοις ἀμυνομένων τὸς ἐπιόντας. λέγει τοίνυν ὅτι καὶ δυνατὸς καὶ περίβλεπτος ἔσαι ὁ τῆς ἀρετῆς κεκτημένος τὸν πλοῦτον. ι'. Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται, ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. Οἱ δὲ κακίᾳ συζῆν προαιρούμενοι, τῶν δικαίων ὁρῶντες τὴν περιφάνειαν, τακήσονται μὲν τῷ φθόνῳ, καὶ τῆς μιαιφονίας τυρεύσουσι μηχανάς· διαμαρτήσονται δὲ τῶν βουλευμάτων, καὶ τῆς ἐπιθυμίας ἐκ ἀπολαύσουσιν. ἄδικος γὰρ αὕτη καὶ λίαν θεομισής.

ΕΡΜΗΝ. ΤΟΥ ριβ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἕτερος ὕμνος καὶ ἕτος εἰς ὠφέλειαν συγγεγραμμένος, καὶ ἐγείρων τὸς ἀνθρώπους εἰς ὑμνῳδίαν τοῦ εὐεργέτου. α'. Αἰνεῖτε παῖδες Κύριον. Παῖδας ἐνταῦθα ἐ τὸς νέους, ὥς τινες ὑπέλαβον, ἀλλὰ τὸς δούλους καλεῖ. ἔτω γὰρ

γὰρ καὶ ὁ Ἀκύλας, καὶ ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων ἡρμήνευσαν. καὶ ὁ Ἑβδομήκοντα ἁβδὴ λέγει. οὕτω δὲ καὶ ὁ Σύρος. καὶ τὸ αἰνεῖτε ὁ Ἑβραῖος ἀλληλέϊα εἶπεν· ὡς εἶναι δῆλον ὅτι ἀλληλέϊα αἰνεῖτε Κύριον ἑρμηνεύεται. Αἰνεῖτε τὸ ὄνομα Κυρίε. β'. Εἴη τὸ ὄνομα Κυρίε εὐλογημένον, ἀπὸ τὲ νῦν, καὶ ἕως τὲ αἰῶνος. Προσήκει, φησὶν, ὑμᾶς θέλειν ὄντας, καὶ ἀπὸ τοῦ Θεοῦ τὸ εἶναι λαβόντας, ὑμνεῖν αὐτὲ τὸ ὄνομα, κἂν ἀγνοῆτε τὴν Φύσιν. ἔχει μὲν γὰρ τὴν εὐλογίαν καὶ τὴν εὐφημίαν ἄναρχον καὶ ἀήτλητον. τὸ γὰρ ἀπὸ τὲ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος δηλοῖ τοῦτο. δεῖ δὲ ὅμως καὶ ἡμᾶς, οἷα δὴ ποιητῆ, προσφέρειν τὸν χαριστήριον ὕμνον. γ'. Ἀπὸ ἀνατολῶν ἡλίε μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίε. Τὴν μετὰ τὴν ἐναν θρώπησιν τὲ μονογενῆς τοῖς ἔθνεσι παραχθεῖσαν θεογνωσίαν ὁ ψαλμὸς προεθέσπισε· πάλαι μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐδὲ παρὰ πάντων Ἰουδαίων ὑμνεῖτο, ἀλλὰ παρ' ὀλίγων τῶν εὐσεβείᾳ συζώντων· μετὰ δὲ τὴν ἐκ παρθένε γέννησιν, καὶ τὸ σωτήριον πάθος, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κηρύκων τῆς ἀληθείας, καὶ εἰς τὰ πέρατα τῆς οἰκεμένης τὰ ῥήματα αὐτῶν, καὶ ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. τὲτο καὶ δι' ἑτέρε προφήτε ὁ τῶν ὅλων ἔφη Θεός. ἐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν μέγα τὸ ὄνομά με ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί με, καὶ θυσία καθαρά. συνῳδὰ δὲ τούτοις καὶ ἡ πνευματικὴ μελῳδία θεσπίζει. δ'. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τὲς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Ἅπαντα γὰρ τὰ ἔθνη μεμάθηκεν ὡς αὐτός ἐστιν ὕψιστος, καὶ Θεὸς, καὶ τῶν ἁπάντων δημιεργὸς, καὶ ὑπὸ τῶν οὐρανίων ἀγγέλων ἀνυμνούμενος. ε'. Τίς ὡς ὁ Κύριος ὁ Θεὸς ἡμῶν; Πολλάκις τοῦτο ἡ θεία γραφὴ λέγει· „καὶ γὰρ ὁ μακάριος Μωϋ„σῆς τοῦτο λέγει· „ τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις; καὶ ὁ μακάριος Δαβὶδ, ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ἢ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; καὶ πάλιν, ὅτι τίς Θεὸς παρεξ τοῦ Κυρίε, ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; διὰ πάντων δὲ τούτων τὸ ἀσύγκριτον τοῦ Θεοῦ τῶν ὅλων μανθάνομεν, καὶ ὅτι οὐδὲν τῶν ὄντων παραβληθῆναι δύναται τῇ τοῦ Θεοῦ φύσει, ἢ δυνάμει, ἢ ἐνεργείᾳ. Ὁ ἐν ὑψηλοῖς οἰκῶν, ς'. Καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ. Τοῖς οὐρανοῖς γὰρ ἐνδιαιτᾶσθαι δοκῶν ἐποπτεύει τὰ σύμπαντα, καὶ οὐδὲν ἀτημέλητον τῶν ὄντων ἐᾷ. ζ'. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. η'. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ. Ταῦτα καὶ ἡ μακαρία εἶρηκεν Ἄννα, τὸν χαριστήριον ὕμνον ὑφαίνουσα τῷ Θεῷ. ὁρῶμεν δὲ αὐτὰ διηνεκῶς ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γινόμενα. οὕτω τὸν μακάριον Δαβὶδ ποιμένα ὄντα βασιλέα πεποίηκεν· οὕτω τὸν Ἰωσὴφ εἰς δεξιὰν μεταπεσόντα ἐπὶ τὸν

τὸν βασιλικὸν κεκάθικε θρόνον. οὕτω τὸν Μωϋσέα προβατέα γινόμενον δημαγωγὸν ἀπέφηνε τοῦ λαοῦ, καὶ θεὸν ἐχειροτόνησε τοῦ Φαραώ. οὕτω τὰ ἔθνη, τὰ τῇ πλοχείᾳ τῆς ἀσεβείας δουλεύοντα, καὶ τῇ κόπρῳ τῆς ἁμαρτίας ἐπικαθήμενα, τῶν τῷ Ἰσραὴλ δεδωρημένων ἠξίωσεν ἀγαθῶν· οὕτω τὴν ἀνθρωπείαν φύσιν εἰς αὐτὸν καταπεσοῦσαν τὸν τοῦ θανάτου πυθμένα ἀνέλαβε, καὶ ἀνήγαγε, καὶ ἐκάθισεν ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. β'. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. Καὶ τοῦτο ὡσαύτως ἐστὶν ἰδεῖν καὶ ἐπ' ἀνθρώπων συμβαῖνον. καὶ γὰρ καὶ τὴν Σάρραν, καὶ τὴν Ῥεβέκκαν, καὶ τὴν Ῥαχὴλ, καὶ τὴν Ἄνναν, καὶ τοῦ Σαμψὼν τὴν μητέρα, καὶ τὴν Ἐλισάβετ, στείρας οὔσας, μητέρας παίδων ἀπέφηνεν· κυριώτερον δὲ τοῦτο καὶ ἀληθέστερον ἐπὶ τῆς ἐκκλησίας ἐστὶν ἰδεῖν· στεῖραν γὰρ ταύτην οὖσαν πάλαι, καὶ ἄπαιδα, μητέρα πεποίηκεν, ἐπὶ τέκνοις ἀναριθμήτοις εὐφραινομένην, κατὰ τὴν προφητείαν τὴν λέγουσαν, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

ΕΡΜΗΝ. ΤΟΥ ργ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνος καὶ οὗτός ἐστι τοῖς Ἰουδαίοις ὑπὸ τοῦ θεοῦ παραχεθεῖσας εὐεργεσίας διεξιών, καὶ τὴν τοῦ Θεοῦ δύναμιν δηγούμενος, καὶ τῶν εἰδώλων κωμῳδῶν τὴν ἀσθένειαν. ἁρμόττει δὲ καὶ οὗτος ὁ ὕμνος τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, καὶ τῆς τῶν εἰδώλων πλάνης ἀπηλλαγμένοις. μανθάνομεν γὰρ ὅσον τὸ μέσον τῶν οὐκ ὄντων πρὸς τὸν ὄντα Θεόν. α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἶκος Ἰακὼβ ἐκ λαοῦ βαρβάρου. β'. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. Τῆς Αἰγύπτου, φησὶ, τὸν Ἰσραὴλ ὁ Δεσπότης ἐλευθερώσας, καὶ τῆς τῶν ἀλλοφώνων ἐκείνων καὶ βαρβάρων ἀπαιλλάξας δουλείας, λαὸν μὲν τοῦτον οἰκεῖον ἀπέφηνεν, ἐν δὲ τῇ Ἰουδαίᾳ τὸν νεὼν τὸν οἰκεῖον ἐδείματο. ἁγίασμα γὰρ τοῦτον ἐκάλεσεν. γ'. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. δ'. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Προσωποποιεῖ τὰ εἰρημένα, καὶ τοῖς ἀψύχοις τῷ 4) λόγῳ περιτίθησιν αἴσθησιν, τὸ Θεοῦ κηρύττων τὴν δύναμιν. σοῦ γάρ φησιν ἡγεμόνος τοῦ λαοῦ, ὑπεχώρησε μὲν ἔνθεν καὶ κεῖθεν ἡ θάλασσα δείσασα, τὴν δὲ πορείαν παρέσχεν ἀκώλυτον· ἀνεχαίτισε δὲ ὁ ποταμὸς, καὶ τῶν οἰκείων ῥευμάτων ἐπέσχε τὴν ῥύμην, καθάπερ τις λογικὸς ἐν τῇ κιβωτῷ τὴν σὴν φανταζόμενος δύναμιν· καὶ οἱ βουνοὶ, καὶ τὰ ὄρη ἐκινήθη, καὶ χορεύειν ἐδόκει· ἅτε δὴ τῶν οὐρανῶν τὸν Δεσπότην δεξάμενα· λέγει δὲ τὸ Σινᾶ ὄρος, καὶ τὸ Χωρήβ. ἐν ἐκείνοις γὰρ ὁ Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιήσατο. εἶτα καὶ πεῦσιν τοῖς προειρημένοις προσφέρει. ε'. Τί σοι ἐστὶ θάλασσα ὅτι

ἔφυγες; καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; ε'. Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Καὶ ἐπειδὴ ἄλογα ἦν ἐκεῖνα, καὶ ἄψυχα, αὐτὸς ποιεῖται ὑπὲρ αὐτῶν τὴν ἀπόκρισιν. ς'. Ἀπὸ προσώπου Κυρίε ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. ή. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Τούτων ἕκαστον φησὶ διὰ τὸν ἐπιφανέντα γεγενῆται Κύριον. ταύτην αἰτίαν ἔχει τῆς γῆς ὁ κλόνος, καὶ ἡ τῆς θαλάττης διαίρεσις. αὐτὸς γὰρ καὶ τὴν ἄγονον πέτραν, τὴν πάσης ἰκμάδος ἐστερημένην, καὶ μηδὲ τομῆς διὰ τὸ στερέμνιον ἀνεχομένην, τῇ προχύσει τῶν ὑδάτων ἐπέκλυσε, πηγὰς ἐκεῖθεν ἀφθόνως ἀναδοθῆναι κελεύσας. οὐδὲν οὖν, φησὶ, θαυμαστὸν γεγένηται. προσέταξε γὰρ ὁ ποιητὴς, καὶ διηρέθη τὸ πέλαγος, καὶ ἡ ἀκρότομος ἀνέβλυσε πέτρα, ὁ ἀρανὸς ἐχορήγησε μάννα, οἱ ἄνεμοι τὴν ὀρτυγομήτραν συνήθροισαν, καὶ τὰ ἄλλα πάντα αὐτῷ γεγένηται νεύσαντος. θ'. Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. ί. Ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου· μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν; Ταῦτα τοῖς ἐκ περιτομῆς πάλαι ἥρμοττε λέγειν τὴν θείαν αἰτοῦσιν βοήθειαν, καὶ τῶν προτέρων ἀναμιμνήσκουσι δωρεῶν· μὴ εἰς ἡμᾶς ἀπίδῃς, ὦ Δέσποτα, μηδὲ διὰ τὰς πολλὰς ἡμῶν πλημμελείας παρίδῃς· οἱ γὰρ τῆς τιμωρίας ἀγνοοῦντες τὸ δίκαιον σὴν ἀσθένειαν ὑπολήψονται τὴν ἡμετέραν δειλίαν, καὶ ἐροῦσι, ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν; ια'. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Καὶ ἐκεῖνοι λέγεσι, ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν; ἡμεῖς δὲ ἴσμεν, ὅτι σὺ εἶ Θεὸς, ποιητὴς πάντων, ἀρανὸν οἰκητήριον ἔχων, σύμμετρον ἔχων τῇ βελήσει τὴν δύναμιν. εἶτα καλὰ παράθεσιν ποιεῖται τῶν εἰδώλων τὸν ἔλεγχον. ιβ'. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Σὺ μὲν γὰρ ποιεῖς ὅσα θέλει· τὰ δὲ ὑπὸ τῶν ἐθνῶν προσκυνούμενα εἴδωλα ὁ δημιουργεῖ, ἀλλὰ δημιουργεῖται, καὶ ἀπὸ μὲν τῆς ὕλης ἔχει τὸ τίμιον· ἐκ χρυσοῦ γὰρ καὶ ἀργύρου κατασκευάζεται καὶ χρωμάτων, ἀπὸ δὲ τῆς τέχνης τὴν εὐμορφίαν κομίζεται· ἀργυροχόοι γὰρ καὶ χρυσοχόοι ταῦτα κατασκευάζουσι, καὶ ζωγράφοι. ἀπὸ ὕλης τοίνυν καὶ τέχνης τὴν σύστασιν ἐρανίζονται. εἶτα διὰ πλείων αὐτῶν τραγῳδεῖ τὴν ἀσθένειαν, λέγων. ιγ'. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ ἐκ ὄψονται. ιδ'. Ὦτα ἔχουσι, καὶ ἐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ ἐκ ὀσφρανθήσονται. ιέ. Χεῖρας ἔχουσι, καὶ ἐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ ἐ περιπατήσουσιν. Τῶν αἰσθητηρίων, φησὶ, τὰς μὲν εἰκόνας περίκεινται, τῆς δὲ ἐνεργείας ἐστέρηνται· εὐτελέστεροι τοίνυν οὐ μόνον τῶν ποιούντων, ἀλλὰ καὶ τῶν σμικροτάτων ζῳῦφίων εἰσί. μυῖαι γὰρ, καὶ κώνωπες, καὶ τὰ τούτων σμικρότερα, τῶν αἰσθητηρίων ἔχουσι τὴν ἐνέργειαν· βλέπουσι γὰρ, καὶ ἀκούουσι, καὶ πέτανται, καὶ βαδίζουσιν· οἱ δὲ ὡς θεοὶ προσκυνούμενοι, οὐδὲ τὴν τῶν ὀλίγων καὶ σμικρῶν

κρῶν ζώων ἐνέργειαν ἔχεσιν. ις'. Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ἐπειδὴ γὰρ οἱ δι' αὐτῶν ἐνεργοῦντες δαίμονες, καὶ ταῖς ψευδέσι χρώμενοι μαντείαις, οὐ διὰ τῶν ἀψύχων ταύτας εἰδώλων, ἀλλὰ διὰ τῶν λογικῶν ἀνθρώπων προσέφερον, ἢ διὰ συμβόλων τινῶν τινὰ κατεμήνυον, εἰκότως ἔφη, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν· ἀκίνητα γὰρ καὶ ἄψυχα εἴδωλα παντελῶς. ιζ'. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ἀλλ' ἐκείνοις μὲν ὁμοιωθεῖεν καὶ οἱ προσκυνοῦντες, καὶ οἱ δημιουργοῦντες. τοὺς γὰρ λόγῳ τελεμνημένους, καὶ εἰς τοσαύτην ἀλογίαν ἐκπεπτωκότας, δίκαιον τῶν ὑπ' αὐτῶν προσκυνεμένων τὴν ἀναισθησίαν λαβεῖν. ιή. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. ιθ'. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Ἐκεῖνοι μὲν ζημίαν, ἀλλ' οὐ κέρδος ἐκ τῆς τούτων ἐδρέψαντο προσκυνήσεως· ὁ δὲ τῷ Ἰσραὴλ οἶκος τὴν εἰς τὸν ὄντα Θεὸν ἐλπίδα κτησάμενος, τῆς παρ' αὐτῷ προνοίας ἀπολαύει διηνεκῶς. κατὰ διαίρεσιν δὲ τὴν μνήμην ἐποιήσατο, τὴν ἱερωσύνην ταύτῃ τιμῶν, καὶ διδάσκων τὸς τηνικαῦτα, πόση πρὸς τοὺς ἄλλους ἡ τῶν ἱερέων διαφορά. κ'. Οἱ φοβέμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Ἕτερον τοῦτο τάγμα παρὰ τὰ πρότερα. διδάσκει δὲ ὁ λόγος, ὅτι κἂν μὴ τὴν τῆς ἱερωσύνης τὶς ἀξίαν ἔχει, μηδὲ τὴν Ἰσραηλιτικὴν συγγένειαν περίκειται, τῷ δὲ θείῳ φόβῳ κοσμέμενος ἐπιμελεῖται τῆς ἀρετῆς, τῆς ἴσης καὶ αὐτὸς παρὰ τῷ Θεῷ τῶν ὅλων τεύξεται προμηθείας. ἦσαν δὲ καὶ πάλαι παρὰ Ἰουδαίοις τοιοῦτοι πολλοὶ, ἐκ μὲν τῆς Ἀβραμιαίας οὐ βλαστήσαντες ῥίζης, ἐξ ἑτέρων δὲ προσελθόντες ἐθνῶν, προσήλυτοι προσαγορευόμενοι, καὶ περὶ πολλοῦ τὰ θεῖα ποιούμενοι. καὶ νῦν δὲ τὰ ἔθνη ἐκ ἔχει τῷ Ἀβραὰμ τὴν κατὰ σάρκα συγγένειαν, τῷ δὲ Ἀβραὰμ τὴν πίστιν κτησάμενα, τέκνα χρηματίζει τοῦ Ἀβραάμ. κά. Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς· εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. κβ'. Εὐλόγησε τοὺς φοβεμένους τὸν Κύριον. Τὴν αὐτὴν καὶ ἐνταῦθα διαίρεσιν ἐποιήσατο, καὶ τῆς ἐλπίδος ὑπέδειξε τὸν καιρόν· εὐλογίαν γὰρ τῇ ἐλπίδι συνέζευξε, καὶ ταύτης ἔφη μεταδόσθαι οὐ μόνον τῷ οἴκῳ Ἰσραὴλ, καὶ τῷ οἴκῳ Ἀαρὼν, ἀλλὰ καὶ τοῖς φοβεμένοις αὐτόν. εἶτα πάλιν ἡλικιῶν καὶ ἀξιωμάτων ποιεῖται τὴν διαίρεσιν. Τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Οὐ γὰρ μόνον τοὺς νέους, ἀλλὰ καὶ τοὺς γεγηρακότας· οὐδὲ μόνον τοὺς πλούτῳ κομῶντας, ἀλλὰ καὶ τοὺς πενίᾳ συζῶντας· οὐδὲ μόνον τοὺς τῇ ἐλευθερίᾳ κοσμεμένους, ἀλλὰ καὶ τοὺς τῆς δουλείας τὸν ζυγὸν ἕλκειν ἠναγκασμένους. κγ'. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Τοῖς τὴν θείαν ἐλπίδα κεκτημένοις τὴν αὔξησιν καὶ τὸ πλῆθος ὁ προφητικὸς ἐπεύχεται λόγος. κδ'. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Τεύξεσθε δὲ τότε πάντως, φησὶν, ἅτε δὴ παρὰ τοῦ

τοῦ ποιητὲ τῶν ὅλων τὴν εὐλογίαν δεξάμενοι. κε'. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Αὐτὸς μὲν γὰρ ἐνδιαίτημα ἔχει τὸν οὐρανὸν, οὐ τὸν ὁρώμενον τοῦτον, ἀλλὰ τὸν τοῦτο ὑπέρτερον, ὃν οὗτος ὄροφον ἔχει, καθάπερ τοῦτον ἡμεῖς. ἐνδιαιτᾶται δὲ τῷ οὐρανῷ τῶν ὅλων ὁ Κύριος, οὐ περιγεγραμμένην ἔχων τὴν φύσιν, ἀλλὰ τοῖς ἐκεῖ πολιτευομένοις τῶν ἁγίων ἀγγέλων χαίρων χορεῖς. τὴν μέντοι γῆν τῷ γένει τῶν ἀνθρώπων ἀπένειμεν. οὐ τοίνυν Ἰουδαίων προμηθεῖται μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων, οἷς καὶ τὴν γῆν οἰκητήριον δέδωκεν. κς'. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. κζ'. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Νεκροὺς ἐκάλεσε τοὺς τοῖς ἀψύχοις εἰδώλοις δουλεύοντας. τί γὰρ ἐκείνων ἀναισθητότερον; ζῶντας δὲ, τοὺς τὸν ζῶντα Θεὸν προσκυνοῦντας, οἷς τὸν θεῖον ἀπεκλήρωσεν ὕμνον· πρὸς δὲ τοῦτο διδάσκει, ὡς σὺν πάσῃ προθυμίᾳ προσήκει τοὺς θεραπεύοντας τὸν Θεὸν ἀνυμνεῖν αὐτὸν ἔτι ζῶντας, ὡς τοῦ θανάτου τοῦτο ποιεῖν κωλύοντος· διὰ τοῦτο καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ, ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

ΕΡΜΗΝ. ΤΟΥ ριδ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Πολλοῖς καὶ παντοδαποῖς ὁ τοῦ Σελεύκου Αντίοχος, ὁ ἐπίκλην ἐπιφανὴς, Ἰουδαίους περιέβαλε συμφοραῖς· καὶ τοὺς μὲν ῥαῳδὴν συζῶντας παραβῆναι τὸν θεῖον παρεσκεύασε νόμον· οἱ δὲ τῆς εὐσεβείας ἐρασθέντες τὰς ὑπὲρ ταύτης ἀγῶνας προθύμως ἀναδεξάμενοι, τῶν καλλινίκων στεφάνων ἀπήλαυσαν. ταύτην αὐτῶν τὴν ἀνδρείαν ἡ παροῦσα μελῳδία προλέγει. διηγεῖται δὲ κατὰ ταυτὸν καὶ τὰς τῶν ἀλγεινῶν προσβολὰς, καὶ τὴν παραχεθεῖσαν αὐτοῖς παρὰ τοῦ Θεοῦ τῶν ὅλων ῥοπήν. α'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. β'. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί. Αὐτοὺς ταῦτα λέγειν ἡ προφητεία διδάσκει, ὅτι πάντων μοὶ τὰ θεῖα θυμηρέστερα, καὶ ἀξιεραστότερόν μοι τῶν ἄλλων, τὸ τὸν Θεὸν θεραπεύειν· δέχεται γάρ μου τὰς δεήσεις, καὶ τῆς οἰκείας ῥοπῆς ἀξιοῖ. Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Οὐδὴ χάριν, παρὰ πάντα μου τὸν βίον καὶ ὑμνῶν αὐτὸν διατελέσω, καὶ τὴν παρ' αὐτοῦ συμμαχίαν αἰτήσω. εἶτα διηγεῖται τὸ πλῆθος τῶν ἀλγεινῶν. γ'. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσαν με. Κυρίως ὠδῖνες καλοῦνται αἱ πρὸ τοῦ τόκου τῆς τικτούσης ὀδύναι. τοιγαροῦν ἐκ τῆς μεταφορᾶς ταύτης ὠδῖνες ᾅδου προσαγορεύονται, αἱ αὐτῷ πελάζειν τῷ θανάτῳ παρασκευάζουσαι συμφοραί. λέγει τοίνυν, ὅτι ποικίλοις καὶ παντοδαποῖς περισχεθεῖσι δεινοῖς, ὡς παρ' αὐτὸν γενέσθαι τὸν θάνατον, καὶ αὐτὰς καταλαβεῖν τοῦ ᾅδου τὰς πύλας. Θλῖψιν καὶ ὀδύνην εὗρον. δ'. Καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην. Ἀλλ' οὐκ εἰς ἀνάπαυλαν ἐμαυτὸν ἐξέδωκα, καὶ ῥαῳδὴν,

σώνην, τέτοις περιπεσὼν, ἔτε εἰς τὰς ἄλλας τοῦ βίου ψυχαγωγίας ἐμαυτὸν προενήνοχα, ἀλλὰ θρήνοις καὶ δάκρυσι κεχρημένος, καὶ δινεκῶς ποτνιώμενος τὴν θείαν ἐξήτεν βοήθειαν. τέτο δὲ ἀκριβέτερον ἐκ τῆς τῶν Μακκαβαίων ἱτορίας μάθοι τὶς ἄν. εἰς γὰρ τὴν ἔρημον ἀποδράσαντες οἱ τρόφιμοι τῆς εὐσεβείας, καὶ λιμῷ, καὶ δίψῃ πιεζόμενοι, τὸν Θεὸν ἠντιβόλησαν, καὶ τῆς παρ' αὐτοῦ βοηθείας ἀπήλαυσαν. Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου. Ταῦτά φησι ποτνιώμενος ἔλεγον· ἐπάμυνον ὦ Δέσποτα, καὶ τῶν ἐπικειμένων κακῶν τὰς ἡμετέρας ψυχὰς ἐλευθέρωσον. ᾔδειν μέντοι προσευχόμενος, ὅτι τεύξομαι τῆς αἰτήσεως, τὴν πολλὴν αὐτῦ φιλανθρωπίαν τῇ πείρᾳ μεμαθηκώς. τέτο γὰρ ἐπήγαγεν. ε'. Ἐλεήμων ὁ Κύριος, καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Τὰς γὰρ τῦ ἐλέες πηγὰς τοῖς ἀνθρώποις προσχέει· ἔχει δὲ καὶ δικαιοσύνην, τοὺς ἀδικοῦντας κολάζει μεταμελείᾳ χρήσασθαι μὴ βελομένες. δὶς μέντοι τῦ ἐλέες μνημονεύσας, ἅπαξ τῆς δικαιοσύνης ἐμνήσθη. νικᾷ γὰρ ἡ τῦ Θεῦ φιλανθρωπία τῆς δικαιοσύνης τὴν ψῆφον. ς'. Φυλάσσων τὰ νήπια ὁ Κύριος. Τοσαύτην γὰρ πάντων ἀνθρώπων ποιεῖται κηδεμονίαν, ὅτι καὶ τὰ βρέφη πάσης ἀξιοῖ προμηθείας. καὶ ἃ μόνον τεχθέντων ἐπιμελεῖται, ἀλλὰ καὶ αὐταῖς ταῖς νηδύσι τῶν μητέρων ἐπικρυπτόμενα, καὶ ὕδασι δυσωδέσιν ἐννηχόμενα, καὶ ἐν ζοφώδει, καὶ ἐν ξενῷ καθειργμένα χωρίῳ διατηρεῖ, καὶ σώζει, καὶ τελεσιεργεῖ, καὶ εἰς φῶς ἐξάγει, καὶ τὰς τῦ γάλακτος ὀρέγει πηγὰς, καὶ τῶν ἐπιβελευόντων δαιμόνων ἐλευθεροῖ, καὶ συλλήβδην εἰπεῖν, πατρικῆς μεταδίδωσι προμηθείας. οὐχ ἁπλῶς δὲ τὴν τέτων ὁ προφητικὸς λόγος ἐποιήσατο μνήμην, ἀλλὰ διδάσκων, ὡς ἐκ ἀμελέτως μόνον ὁ τῶν ὅλων Θεὸς τὲς τῶν δικαίων καιροὺς, ἀλλὰ καὶ ἄρχει τῆς εὐεργεσίας, καὶ δημιεργεῖ τὲς ἐκ ὄντας, καὶ διαπλάσας ἐπιμελεῖται, καὶ μετὰ τὴν τελείαν ἡλικίαν ἀναμένει τὲς τῆς δικαιοσύνης καιροὺς, καὶ πάλιν τότε ταῖς εὐεργεσίαις τὲς ἀγαθὲς ἐπικλύζει. Ἐταπεινώθην καὶ ἔσωσέ με. Ὁ δὲ Σύμμαχος ἕτως, ἠτόνησα καὶ ἔσωσέ με. εἰ γὰρ τὰ νήπια τὰ μηδέπω τὴν αὐτῦ γνῶσιν δεξάμενα τοσαύτης παρ' αὐτῦ τυγχάνει κηδεμονίας, πολλῷ μᾶλλον τοῖς εἰλικρινῶς αὐτὸν ἐπικαλεμένοις μεταδίδωσι σωτηρίας. αὐτίκα τοίνυν ἡμᾶς ταῖς συμφοραῖς ταπεινωθέντας ἰδὼν τῆς οἰκείας ἐπικουρίας ἠξίωσεν. ζ'. Ἐπίστρεφον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. Παραθαῤῥύνουσιν ἑαυτὲς, καὶ παραθήγουσιν εἰς ἀνδρείαν, τῶν θείων εὐεργεσιῶν ὑποδεικνύντες τὸ πλῆθος, καὶ διδάσκουσι σφᾶς αὐτὲς, ὅτι κἂν τὸν ὑπὲρ εὐσεβείας καταδέξωνται θάνατον, εἰς τὸν θυμήρη καὶ ἄλυπον μεταθήσονται βίον. ἀνάπαυσιν γὰρ ἐκεῖνον ἐκάλεσε. δηλοῖ δὲ τῦτο καὶ τὰ ἐπιφερόμενα. η'. Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τὲς ὀφθαλμές μὲ ἀπὸ δακρύων, καὶ τὲς πόδας μὲ ἀπὸ ὀλισθήματος. θ'. Εὐαρεστήσω ἐνώπιον Κυρίε ἐν χώρᾳ ζώντων. Χώραν δὲ ζώντων, ὃ τὸν παρόντα βίον καλεῖ, ἐν ᾧ

θρῆνοι, καὶ ὀδυρμοὶ, καὶ νόσοι, καὶ θάνατοι, καὶ ἁμαρτίαι, καὶ συμφοραί· ἀλλὰ τὸν τέτων ἁπάντων ἀπηλλαγμένον βίον, ἐν ᾧ ἀταλαίπωρος τῆς ἀρετῆς ἡ κτῆσις, καὶ δίχα πόνων ὁ τῆς δικαιοσύνης προσγίνεται πλοῦτος. οἱ γὰρ μετὰ πόνων ἐνταῦθα τοῦτον θελόμενοι συναγεῖραι, πολλαπλασιάσουσιν αὐτὸν πόνων χωρίς· τὸν χαριστήριον τοίνυν ὕμνον προσφέρουσιν, ὡς τῶν μὲν ὀφθαλμῶν τὸ δακρύειν ἀπαλλαγέντων, τῶν δὲ ποδῶν τὸν ὀλισθηρὸν βίον διαφευγόντων, τῆς δὲ ψυχῆς διαδρᾶναι δυνηθείσης τῆς ἁμαρτίας τὸν θάνατον· καὶ διδάσκουσι σφᾶς αὐτὸς ἐνεγκεῖν γενναίως τὰς τῶν ἀλγεινῶν προσβολὰς, καὶ τὸ θανάτε καταφρονῆσαι, ὡς ζωῆς ἀλύπε διαδεχομένης τὸν θάνατον.

ΕΡΜΗΝ. ΤΟΥ ριέ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ἑβραῖος, καὶ οἱ λοιποὶ ἑρμηνευταὶ, καὶ μέντοι καὶ ὁ Σύρος, τὸτον τοῖς προτεταγμένοις συνάπτουσι. καὶ γὰρ τῆς αὐτῆς ἔχεται διανοίας· καὶ τὸν ἔννατον διχῆ διελόντες, τῇ τῶνδε τῶν ψαλμῶν συναφῇ τὸν ἴσον τῶν ψαλμῶν φυλάττουσιν ἀριθμόν. τὴν αὐτὴν δὲ ὅμως ὑπόθεσιν ἔχει. οἱ γὰρ τῆς τῶν ζώντων χώρας ἐκεῖ μνημονεύσαντες, καὶ τὸτο τεθεικότες ἀκροτελεύτιον, ἐνταῦθα ἀρχόμενοι λέγουσιν· ά. Ἐπίστευσα, διὸ ἐλάλησα. Οὐ γὰρ τοῖς τῷ σώματος ὀφθαλμοῖς ἐκείνην ἐθεασάμην τὴν χώραν, ἀλλὰ κατάδηλόν μοι ταύτην ἡ πίστις πεποίηκεν. Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. β'. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. Ὁ δὲ Ἀκύλας ἔτως· ἐγὼ εἶπα ἐν τῷ θαμβεῖσθαί με, πᾶς ἄνθρωπος διάψευσμα. ὁ δὲ Θεοδοτίων, πᾶς ἄνθρωπος ἐκλείπει. ὁ δὲ Σύμμαχος, καὶ εἶπον ἀθημονῶν, πᾶς ἄνθρωπος διαψεύδεται. ἐχ ἁπλῶς δὲ πάσας τέθεικα τὰς ἑρμηνείας, ἀλλὰ δεῖξαι θελόμενος, ὡς τὴν ἀνθρωπίνην εὐημερίαν ψεῦδος καλεῖ, διαῤῥέεσαν ὅτι τάχιστα, καὶ διαρκὲς ἐδὲν ἔχουσαν. τὴν γὰρ ἀθρόαν ταύτην, φησὶ, μεταβολὴν θεασάμενος, καὶ τῆς προτέρας ἡμῶν ἀναμνησθεὶς εὐκληρίας, καὶ τὰς ἐπαλλήλους ὁρῶν συμφορὰς, εἶπον ἀθημονῶν, μόνιμον ἐδὲν, ἐδὲ ἑαθερόν· ἀλλὰ διαψεύδεται, καὶ τῆς ἐλπίδος διαμαρτάνει, τοῖς παρῦσιν ὡς διαρκέσι θαῤῥῶν. τῦτο μὲν ἐν τῷ τριακοστῷ καὶ ὀγδόῳ ἔφη ψαλμῷ· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. ταῦτα καὶ ὁ σοφὸς παιδευθεὶς Σολομὼν, καίτοι διὰ πάσης εὐημερίας ἐδεύσας, τῆς τῶν ἀνθρωπίνων πραγμάτων φυσιολογίας ἁψάμενος, τῦτο προοίμιον τέθεικε, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. γ'. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Πολλαῖς καὶ διαφόροις εὐεργεσίαις περικλυζόμενος, ἐκ οἶδα τίσι τὸν εὐεργέτην ἀμείψομαι. οὐχ ἁπλῶς δὲ τῦτο τῷ προτέρῳ συνῆψεν· ἀλλὰ διδάσκει, ὅτι καὶ ἐν ταῖς ποικίλαις τῦ βίε μεταβολαῖς τὴν οἰκείαν τοῖς ἀνθρώποις ὁ τῶν ὅλων Θεὸς ἐπικρίαν ὀρέγει, καὶ παντοδαπὴν τοῖς ἀθυμῦσι προσφέρει παραψυχήν. τῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος· εὐλογητὸς ὁ Θεὸς, καὶ πατὴρ τῦ

τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, ἕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. τοῦτο καὶ ὁ μακάριος ἔφη Δαβίδ· κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου αἱ παρακλήσεις σου εὐφραναν τὴν ψυχήν μου. δ΄. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Προσήκει τοίνυν θαρραλέως τὸν ὑπὲρ αὐτοῦ καταδέξασθαι θάνατον, καὶ ταύτην δοῦναι τῆς παντοδαπῆς εὐεργεσίας ἀντίδοσιν. ποτήριον γὰρ σωτηρίου τὸν ὑπὲρ τῆς εὐσεβείας προσηγόρευσε θάνατον· ἕτω γὰρ αὐτὸν Κύριος ὀνομάζει. πάτερ γάρ φησιν εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τῇ ξυνωρίδι τῶν ἀποστόλων τὴν κοινωνίαν αἰτησάσῃ τῆς βασιλείας, οὕτως ἔφη, δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πιεῖν; τοῦτο τοίνυν καὶ ἐνταῦθα οἱ γενναῖοι καὶ ἄριστοι τῆς εὐσεβείας ἀγωνισταί φησιν αὐτοῖς δρᾶσαι παρακελεύονται· ταύτην δὲ πληροῦσι τὴν ὑποχρεωσιν τῶν ὁμοφύλων ὁρώντων, ὅπως ἂν καὶ αὐτὸς εἰς τὸν ὅμοιον παραθήξωσι ζῆλον. εἶτα δεικνύουσι τὸν τούτου θανάτου καρπόν. ε΄. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ς΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Εἰ δὲ Θεῷ τίμιος, τίνι τῶν ὁσίων οὐ σεβάσμιος; ζ΄. Ὦ Κύριε ἐγὼ δοῦλος σός· ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐὰν μὲν οὖν ἀξιάγαστον ἐκεῖνον ὑπομείνωμεν θάνατον, τῆς παρὰ τοῦ Θεοῦ τιμῆς καὶ δόξης ἀπολαυσόμεθα, καὶ ἀείμνηστον καταλείψομεν κλέος. εἰ δὲ κρείττους τῶν πολεμίων γινόμενοι, τὴν ἐκείνων σκεδάσωμεν φάλαγγα, τὸν χαριστήριον ὕμνον τῷ Δεσπότῃ προσοίσομεν, τὴν δουλείαν ὁμολογοῦντες, καὶ ταύτην ἔχειν ἐκ προγόνων αὐχοῦντες. οἱ μὲν γὰρ ἀνθρώποις δουλεύειν ἠναγκασμένοι ἐλευθέρους ἐχεκένας προγόνους ἔξιν ὅτε σεμνύνονται· οἱ δὲ εὖνοι θεραπεύσαντες τοῦ Θεοῦ τὴν ἐκ προγόνων ἔχειν ὁμολογοῦσι δουλείαν, μεγίστην τὴν τοιαύτην δουλείαν εὐκλειαν εἰκότως εἶναι πιστεύοντες. Διέρρηξας τοὺς δεσμούς μου. Τῶν πολλῶν μου καὶ διαφόρων συμφορῶν ἠλευθέρωσας. η΄. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. θ΄. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ι΄. Ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ. Ἀπαλλαγεὶς δὲ τῶν συμφορῶν, οὐκ ἔσομαι περὶ τὰς εὐεργεσίας ἀγνώμων, ἀλλὰ τὴν τῆς αἰνέσεως ἀποδώσω σοι θυσίαν, καὶ τὸν χαριστήριον ὕμνον ἐκτίσω, πάντων ὁρώντων τῶν ὁμοφύλων, καὶ τὴν ἐντεῦθεν ὄνησιν καρπουμένων. προσοίσω δὲ τὴν λογικὴν ταύτην ἱερουργίαν ἐν τῷ καθιερωμένῳ τῷ ὀνόματί σου νεῷ· ἔξι τοίνυν καὶ ἐντεῦθεν καταμαθεῖν, ὡς καὶ τοῦ νόμου κρατοῦντος, οἱ πνευματικώτερον τῷ νόμῳ προσεχηκότες τὰς λογικὰς θυσίας τῶν ἀλόγων προετίμων θυμάτων, τὴν καινὴν διαθήκην σκιογραφοῦντες. εἰδέναι δὴ προσήκει,

κει, ὡς καὶ πᾶσι τοῖς καλλινίκοις μάρτυσιν ἑκάτερος ἁρμόττει ὁ ψαλμός· ὁ γὰρ αὐτὸς καὶ τούτων κἀκείνων σκοπός· κἀκεῖνοι γὰρ ὑπὲρ τῶ νόμε, καὶ τῶ νομοθέτε, τὸν ἀξιάγαστον ὑπέμειναν θάνατον, καὶ οὗτοι τῆς παρούσης ζωῆς τὴν ὑπὲρ τῶ σεσωκότος καὶ τὸν θάνατον καταλύσαντος προείλοντο τελευτήν.

ΕΡΜΗΝ. ΤΟΥ ριζ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνος καὶ οὗτος πᾶσιν ἀνθρώποις ἁρμόττων. παρακελεύεται γὰρ ἡ χάρις τοῦ πνεύματος τοὺς τῆς σωτηρίας τετυχηκότας ὑμνῆσαι τὸν εὐεργέτην. ά. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη. Κατὰ ταυτὸν ἅπαντας εἰς χορείαν καλεῖ. ἅπασι γὰρ τοῖς ἔθνεσιν, οὐχ Ἕλλησι μόνοις, καὶ Ῥωμαίοις, ἀλλὰ καὶ πᾶσι βαρβάροις, τὰς τῆς σωτηρίας ἐχορήγησεν ἀφορμὰς, τοῖς ἱεροῖς ἀποστόλοις διακόνοις τῆς εὐεργεσίας χρησάμενος. πορευθέντες γὰρ ἔφη μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τῶ πατρὸς, καὶ τῶ υἱοῦ, καὶ τῶ ἁγίε πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. τέτῳ πειθόμενοι τῷ νόμῳ, πᾶσαν γῆν καὶ θάλασσαν ἐδραμον, καὶ ὁ μὲν Ἰνδοὺς, ὁ δὲ Αἰγυπτίους, ὁ δὲ Αἰθίοπας προσήγαγε τῷ Χριστῷ· ὁ δὲ μακάριος Παῦλος διδάσκει συντόμως, ὅσοις ἔθνεσι προσενήνοχε τὰ θεῖα κηρύγματα, ὥστε ἀπὸ Ἱερεσαλὴμ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τῶ Χριστοῦ. οὐ γὰρ εὐθεῖαν ὁδὸν ὁδεύων, ἀλλὰ τὰ ἐν μέσῳ ἔθνη διακείμενα περινοστῶν, τὰ σωτήρια προσέφερε δόγματα. οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, ἐχ ὅπου ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ· ἀλλὰ καθὼς γέγραπται, οἷς οὐκ ἀνηγγέλη, περὶ αὐτῶ ὄψονται, καὶ οἱ οὐκ ἀκηκόασι, συνήσουσιν. ὕστερον μέντοι καὶ τῆς Ἰταλίας ἐπέβη, καὶ εἰς τὰς Σπανίας ἀφίκετο, καὶ τοῖς ἐν τῷ πελάγει διακειμέναις νήσοις τὴν ὠφέλειαν προσήνεγκε. Ῥωμαίοις μὲν γὰρ ἐπιστέλλων ἔφη· ἐλπίζω γὰρ διαπορευόμενος εἰς τὰς Σπανίας δι' ὑμῶν διελθεῖν, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρες ἐμπλησθῶ. τῷ θαυμασίῳ δὲ Τίτῳ γράφων φησίν· διὰ τέτο κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα κατασήσης κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. οὕτως ὁ Ἰωάννης ὁ πάντην Ἀσίαν τῆς προτέρας ἠλευθέρωσεν ἀσεβείας· οὕτως ὁ θεσπέσιος Ἀνδρέας τὴν Ἑλλάδα ταῖς τῆς θεογνωσίας ἀκτῖσι κατηύγασεν· οὕτως ὁ θειότατος Φίλιππος Φρυγῶν ἑκατέρων τὴν πλάνην διήλεγξεν· οὕτως ὁ μέγας Πέτρος ἀπὸ τῆς Ἱερεσαλὴμ μέχρι τῆς Ῥωμαίας ἔδραμε πόλεως, ἅπασι προσφέρων τὰς τῆς ἀληθείας ἀκτῖνας. οὗτος ἅπαντες πᾶσαν τὴν οἰκεμένην περινοστήσαντες, καὶ τὸν τῆς ἀγνοίας ἀπεσκέδασαν γνόφον, καὶ τὸν τῆς δικαιοσύνης ὑπέδειξαν ἥλιον. εἰκότως τοίνυν ὁ προφητικὸς λόγος πάντα τὰ ἔθνη τῷ Θεῷ τὸν ὕμνον προσφέρειν παρεγγυᾷ, ἐπειδὴ πάντα τῆς σωτηρίας ἀπήλαυσαν. Ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Εἰς ἅπασαν

πασαν πάλαι προδιεσπάρησαν Ἰουδαῖοι τὴν οἰκουμένην, τὸν ἕνα σέβειν δεδιδαγμένοι Θεόν. ἐπειδὴ τοίνυν οὐκ ἔτι μόνην ᾤκουν τὴν Παλαιστίνην, οὐδὲ εἰς ἕνα λαὸν ἐτέλουν ὑφ' ἑνὶ βασιλεῖ τεταγμένοι, ἀλλὰ ἐν τοῖς ἔθνεσι διεσπαρμένοι, τοῖς μὲν ἐκείνων ὑπήκοον ἄρχουσι, καθ' ἑαυτοὺς δὲ ἐπολιτεύοντο, τῇ τῶ νόμου διαγορεύσει πειθόμενοι, εἰκότως οὐ λαὸν αὐτοὺς, ἀλλὰ λαοὺς ὀνομάζει. πλεῖστοι γὰρ καὶ ἐκ τούτων τὸ θεῖον ἐδέξαντο κήρυγμα. ἐν μὲν γὰρ Ἱεροσολύμοις τρισχίλιοι καὶ πεντακισχίλιοι κατὰ ταυτὸν ὑπὸ τῶν ἁλιέων ἐσαγηνεύθησαν· καὶ πολλαὶ δὲ μετὰ ταῦτα μυριάδες ἐγένοντο, ἔφησεν ὁ θεῖος Ἰάκωβος. καὶ ἐν Συρίᾳ δὲ, καὶ Κιλικίᾳ, καὶ Λυκαονίᾳ, καὶ Πισιδίᾳ, καὶ Ἀσίᾳ, καὶ Παμφυλίᾳ, καὶ ἐν τοῖς λοιποῖς ἅπασιν ἔθνεσιν, πρότερον Ἰουδαίοις προσέφερον οἱ ἀπόστολοι τὰ θεῖα κηρύγματα· καὶ οἱ μὲν ἐπίστευον, καὶ τῆς ἀληθείας ἀπήλαυον, οἱ δὲ ταῖς ὀνησιφόροις διδασκαλίαις ἀντέλεγον. εἰκότως τοίνυν ὁ προφητικὸς λόγος, καὶ τούτους ὑμνεῖν τὸν εὐεργέτην παρακελεύεται. τούτους γὰρ ὀνομάζει λαούς. Β΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτῦ ἐφ' ἡμᾶς. Ἐλέῳ γὰρ μόνῳ χρησάμενος, τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. ἔτω καὶ ὁ μακάριος ἔφη Παῦλος· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία τῦ σωτῆρος ἡμῶν ἐπεφάνη Θεοῦ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν ἃς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτῦ, ἔσωσεν ἡμᾶς διὰ λουτρῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίε, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως. καὶ πάλιν· χάριτι ἐσὲ σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον. καὶ ἑτέρωθι, πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγὼ, ἀλλ' ἐλεήθην. συνίησι δὲ τὴν ἑαυτῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. εἰκότως τοίνυν ὁ προφητικὸς ἔφη λόγος, ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. Καὶ ἡ ἀλήθεια τῦ Κυρίε μένει εἰς τὸν αἰῶνα. Ἦν γὰρ διὰ τῶν ἁγίων προφητῶν ὑπέχετο, δέδωκε σωτηρίαν. τῦτο καὶ ὁ μακάριος ἔφη Παῦλος τῶν πρὸς Ῥωμαίους γραμμάτων ἀρξάμενος, Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτῦ ἐν γραφαῖς ἁγίαις· καὶ πάλιν· λέγω δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν. ἐπειδὴ τοίνυν πεπλήρωκε τὰς ὑποχέσεις ὁ τῶν ὅλων Θεὸς, καὶ ἣν ὑπέχετο, δέδωκε σωτηρίαν, καὶ ἠνέῳξεν ἅπασι τὰς τῦ ἐλέους πηγὰς, καὶ ἡμεῖς οἱ ἐξ Ἰουδαίας προσελθόντες, καὶ ὑμεῖς οἱ ἐξ ἐθνῶν πεπιστευκότες, σύμφωνον ὑμνῳδίαν κεράσαντες τὸν εὐεργέτην ἀμείψασθε.

ΕΡΜΗΝ. ΤΟΥ ριζ΄ ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὕμνος καὶ οὗτός ἐστιν ὑπὸ τῶν τῆς σωτηρίας ἀπολελαυκότων

κότων τῷ Θεῷ προσφερόμενος. Ἰεδαῖοι μὲν γὰρ μετὰ τὴν ἐπάνοδον, τῶν πλησιοχώρων ἁπάντων κατὰ ταυτὸν ἀθροισθέντων, φθονούντων αὐτοῖς τῆς προτέρας εὐημερίας, καὶ μέντοι καὶ ἔθνη ἕτερα καὶ βάρβαρα συναγειράντων, εἶτα θεηλάτοις ἀναλωθέντων πληγαῖς κατὰ τὴν Ἰωὴλ, καὶ Ἰεζεκιὴλ, καὶ Μιχαίου, καὶ Ζαχαρίου προφητείαν, τὸν τὸν ὕμνον χαριστήριον προσφέρουσι τῷ Θεῷ. ἐπειδὴ δὲ ἐν ἐκείνοις προεγράφετο τὰ ἡμέτερα, μᾶλλον ἁρμόττει τοῖς ἐξ ἐθνῶν πεπιστευκόσιν ἡ ὑμνῳδία· οἱ παρὰ πολλῶν καὶ ἀρχόντων καὶ ἀρχομένων, δήμων καὶ δημαγωγῶν, καὶ βασιλέων καὶ στρατηγῶν, διωχθέντες καὶ στρεβλωθέντες, καὶ αἰκισθέντες, καὶ μυρία θανάτου ὑπομείναντες εἴδη, μείζους τῶν πολεμούντων ἐδείχθησαν. καὶ τούτοις μέντοι κἀκείνοις ἡ τοῦ πνεύματος χάρις τὴν τῆς ὑμνῳδίας διδασκαλίαν προτέθεικεν. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὑμνήσατε τὸν ἀγαθὸν, καὶ τῶν ἀγαθῶν τὸν χορηγόν. διαρκῆ γὰρ ἔχει τὸν ἔλεον, καὶ τοῦτον ἀεὶ χορηγεῖ τοῖς δεομένοις. β'. Εἰπάτω δὲ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. γ'. Εἰπάτω δὲ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τούτων κατὰ διαίρεσιν μνημονεύσας, τῶν ἐξ ἐθνῶν πεπιστευκότων κοινὴν ποιεῖται τὴν μνήμην. δ'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἅπαντες φησὶ τῷ Θεῷ φιλανθρωπίαν ὑμνήσατε, καὶ οἱ ἐξ Ἰσραὴλ τὸ γένος κατάγοντες, καὶ τὴν προγονικὴν αὐχοῦντες εὐσέβειαν, καὶ οἱ ἐν αὐτοῖς τῆς ἱερωσύνης ἠξιωμένοι, καὶ οἱ ἐκ διαφόρων μὲν ὄντες ἐθνῶν, τῆς δὲ τῶν προγόνων ἀσεβείας ἀπαλλαγέντες. εἷς γὰρ ὁ πάντων Θεὸς, καὶ διαφόρως πᾶσιν εὐεργεσίας προσφέρει, καὶ τοῖς αἰτοῦσιν ὀρέγει τὸν ἔλεον. εἶτα σαφέστερον τῷ Θεοῦ διδάσκει τὴν πρόνοιαν. ε'. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Οὐ γὰρ ἐκώλυσε τὴν τῶν κακῶν προσβολὴν, ἀλλ' ἔδειξε τοὺς κινδύνους, καὶ παραυτίκα τούτους ἐσκέδασε· τοῦτο καὶ ἐν τῷ τετάρτῳ ἔφη ψαλμῷ, ἐν θλίψει ἐπλάτυνάς μοι, ἀντὶ τοῦ, μείζονά μοι τῆς ὀδύνης παραψυχὴν προσενήνοχας. ς'. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ζ'. Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Τὸν γὰρ τῶν ὅλων δεσπότην ἐπίκουρον ἔχων, οὐ δέδια τῶν πολεμίων τὰς προσβολάς. ἐλπίζω γὰρ τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπολαύων, τὸν ὄλεθρον τούτων ἰδεῖν ὅτι τάχιστα. εἶτα τοῖς ἀγαθοῖς λογισμοῖς βεβαιοῖ τὴν γνώμην τὴν εὐσεβῆ. η'. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. θ'. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. Ὁ μὲν γὰρ ἀγαθὸς, καὶ φιλάνθρωπος, καὶ βουλόμενος ἀγαθὰ, καὶ δρᾶν δυνάμενος ὅπερ βούλεται, καὶ τὴν ἐξουσίαν ἔχων ἀνώλεθρον. οἱ δὲ ἄνθρωποι, καὶ φύσει φθαρτοὶ, καὶ γνώμῃ τρεπτοὶ, καὶ πολλάκις μὲν οὐ βούλονται τὰ ἀγαθὰ·

ἔστι

ἔτι δὲ ὅτε καὶ βουλόμενοι τοῖς ἀδικουμένοις ἐπαμύνειν οὐ δύνανται. κἂν ἄρχουσι δὲ, πρὸς καιρὸν ἔχουσι τὴν ἀρχήν· καὶ ἡ βασιλεία δὲ παρ' ἀνθρώποις ἐπίκηρος, καὶ πρὸς ὀλίγον χρόνον ἄρχουσα. ἄμεινον τοίνυν καταλιπεῖν μὲν τὴν τῶν ἀνθρώπων ἐπικουρίαν, τὴν δὲ θείαν αἰτῆσαι βοήθειαν. ι'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἡ μὲν ἐκκλησία τὰς ἁπάντων τῶν ἐθνῶν ἐδέξατο προσβολὰς, ἡ δὲ Ἱερουσαλὴμ, οὐ πάντων, ἀλλ' ἑνίων· ἐπ' ἐκείνων τοίνυν ὑπερβολικῶς ὁ λόγος προσφέρεται, ἐπὶ δὲ τῆς ἐκκλησίας ἀληθῶς. οἱ γὰρ ἐν ἑκάστῳ ἔθνει πεπιστευκότες τοὺς παρὰ τῶν ἀπίστων θορύβους καὶ κινδύνους ὑπέμενον· ἀλλ' ὅμως, καὶ αὐτοὶ, καὶ ἐκεῖνοι, τῷ Θεῷ τεθαρρηκότες τοὺς ἀντιπάλους ἐνίκησαν. ια'. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ὁ δὲ Σύμμαχος οὕτως· ἐκύκλωσάν με, καὶ πάλιν περιεκύκλωσάν με, ἀντὶ τοῦ, ἐπαλλήλοις ἐχρήσαντο προσβολαῖς, καὶ πολιορκίαις παντοδαπαῖς· ἐγὼ δὲ τῇ τοῦ Θεοῦ ἐπικλήσει φραξάμενος, τὴν ἐκείνων ἐσκέδασα φάλαγγα. ιβ'. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον. Καθάπερ, φησὶ, μέλιτται κηρίον εὑροῦσαι τὴν τοῦ μέλιτος ἐκμυζῶσιν ἰκμάδα, οὕτως οὗτοι τὴν ἐνοῦσάν μοι γλυκύτητα τῆς εὐσεβείας ἀφελεῖν ἐπειράθησαν. Καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις. Ἦλπισαν δὲ καὶ μάλα ῥᾳδίως με περιέσεσθαι, καθάπερ τὸ πῦρ εὐπετῶς δαπανᾷ τὰς ἀκάνθας. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ταῦτα δὲ προσδοκήσαντες διήμαρτον τῆς ἐλπίδος, τῇ ἐμῇ νικηθέντες ἐλπίδι. τὸν γὰρ ἐμὸν δεσπότην πᾶσιν ἐκείνοις ἀνέταξα, καὶ δι' αὐτοῦ τὴν νίκην ἐκομισάμην. ιγ'. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. Ταῦτα κἀκείνοις ἁρμόττει, καὶ τούτοις. κἀκεῖνοι γὰρ ὄλεθρον ἂν ὑπέμειναν παντελῆ, εἰ μὴ τῆς θείας ἀπήλαυσαν χάριτος· καὶ ἔτοι ἂν ἐξέπεσαν εἰς ἀσέβειαν, μὴ τῆς θείας αὐτοὺς ὑπερεισάσης ἀρετῆς. ιδ'. Ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Αὐτὸν τοίνυν ἔχομεν καὶ δύναμιν, καὶ νίκην, καὶ πηγὴν ὑμνῳδίας. παρ' αὐτοῦ γὰρ τῶν ἀγαθῶν ἀπολαύσαντες μετ' εὐθυμίας τὸν ὕμνον προσφέρομεν. ιε'. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Μετὰ γὰρ τὴν νίκην, τῶν προτέρων θρήνων ἀπαλλαγέντες, ἐν θυμηδίαις ἦσαν καὶ εὐφημίαις, τὸν Θεὸν ὑμνοῦντες. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. ις'. Δεξιὰ Κυρίου ὕψωσέ με. Δεξιὰν, καθὰ πολλάκις εἰρήκαμεν, τὴν ἀγαθὴν ἐνέργειαν λέγει. εὖ δὲ ποιοῦντες ἐχ ἑαυτοῖς ἐπιγράφουσι τὴν νίκην, οὐδὲ τῇ οἰκείᾳ προθυμίᾳ καὶ δυνάμει θαῤῥοῦσιν, ἀλλ' ὑπὸ τῆς θείας χάριτος ταύτης τετυχηκέναι βοῶσιν. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. ιζ'. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου. Τῆς ἄνωθεν τοίνυν ἐπικουρίας ἀπολαύσας, καὶ κρείττων τοῦ θανάτου γένομενος, τὰς θείας εὐεργεσίας, καὶ τοὺς ἀγνοοῦντας διδάξω, καὶ τοὺς εἰδότας ἀναμνήσω, καὶ τῇ μνήμῃ

μη

μὴ τούτων τὴν περὶ αὐτὸν ἀγάπην πυρσεύσω. ιή. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Συνεχώρησε γὰρ προσβαλεῖν μοι τὰ λυπηρὰ, πατρικῶς με παιδεύων· τὸ δὲ συγγνὸν τέτων διέλυσε νέφος, καὶ τῆς ἐκεῖθέν με παντελῶς ἠλευθέρωσε λώβης. ιθ. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ. Πύλας δικαιοσύνης οὐ τὰς τοῦ ναοῦ πύλας καλεῖ, ἀλλὰ τὰς διαφόρες τῆς ἀρετῆς ἰδέας. δι' ἐκείνας γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν τῶν ὅλων Θεὸν· καὶ τέτο σαφέστερον διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. οἷον γάρ τινα ἀπόκρισιν δίδωσι, καὶ φησιν· κ. Αὕτη ἡ πύλη τῷ Κυρίῳ, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Οὕτω καὶ τῷ νεανίσκῳ τῷ τῆς αἰωνίε ζωῆς τὴν ὁδὸν ἠτηκότι μαθεῖν, ὁ Κύριος ἔφη, τὰς ἐντολὰς οἶδας, οὐ μοιχεύσεις, οὐ κλέψεις, τίμα τὸν πατέρα σε, καὶ τὴν μητέρα σου, ἀγαπήσεις τὸν πλησίον σε, ὡς σεαυτόν; ταύτη τοι καὶ ὁ Δεσπότης ἑαυτὸν ὠνόμασε θύραν, ὡς τῆς ἀρετῆς ποδηγὸν καὶ διδάσκαλον· ἐγὼ γάρ εἰμί φησιν ἡ θύρα τῶν προβάτων· ἐάν τις δι' ἐμοῦ εἰσέλθῃ, εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. τέτο καὶ ἐνταῦθα ὁ προφητικὸς ἔφη λόγος· αὕτη ἡ πύλη τῷ Κυρίε, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. κά. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκεσάς μοι, καὶ ἐγένε μοι εἰς σωτηρίαν. Ὑμνῶ σε τοιγαρῆν δεξάμενόν με τὴν θέσιν, καὶ δεδωκότα τὴν σωτηρίαν. κβ. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομῆντες, ἕτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Τέτο, κἂν μυριάκις ἀναμοχυντῶσιν Ἰεδαῖοι, ἄλλῳ προσαρμόσαι ἐ δύναται· ἐ γὰρ τῶν διαιρεθεισῶν πάλαι Φυλῶν ἡγεμόνευσε Ζοροβάβελ, ἀλλ' ἐκ ἐπὶ πλεῖσον διήρκεσεν· ὁ δὲ Δεσπότης Χριτὸς τὲς δύο τοίχες, τὲς ἀπ' ἀλλήλων ἐσῶτας ἐκ διαμέτρε, τὲς ἐξ Ἰεδαίων φημὶ, καὶ τὲς ἐξ ἐθνῶν πεπιτευκότας, τὲς μὲν δυσσεβείας ἀπαλλάττοντας, τὲς δὲ τοῦ νόμε τὸν ζυγὸν ἔλκοντας, καὶ εἰς ἓν συναγαγὼν τὰ διεζῶτα συνέζευξε, καὶ μίαν ἐξ ἀμφοτέρων συνήρμοσεν ἐκκλησίαν, γωνίαν τινὰ μιμησάμενος δύο τοίχες συνδέσασαν, καὶ πρὸς ἀλλήλες συνάπτσαν. τοῦτον μέντοι τὸν λίθον οἰκοδόμοι πάλαι ὄντες, Φαρισαῖοί τε καὶ Σαδδυκαῖοι, ἱερεῖς τε καὶ γραμματεῖς, ἀπεδοκίμασαν, καὶ ἐζεύρωσαν· ἀλλ' ἐγένετο εἰς κεφαλὴν γωνίας, ἢ κατὰ τὸν Σύμμαχον ἀκρογωνιαῖος· περὶ τέτε δὲ τῷ λίθε καὶ διὰ Ἡσαΐε τῷ προφήτε προεθέσπισεν ὁ Θεὸς· ἰδὲ τίθημι ἐν Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς, καὶ πᾶς ὁ πιτεύων ἐπ' αὐτῷ ἐ μὴ καταιχυνθῇ. τέτο καὶ ὁ μακάριος ἔφη Παῦλος, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποτόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίε αὐτῷ Ἰησῦ Χριτῷ. τέτον ᾅδε τὸν λίθον καὶ ὁ μακάριος Δανιὴλ τμηθέντα ἄνευ χειρῶν, τὸν ἀκοινώνητον τῆς παρθένε διδασκόμενος τόκον. τέτον ᾅδε τὴν εἰκόνα συντρίψαντα, τετέτι τῷ βίῳ τὴν μεταιότητα, καὶ ὄρος μέγα γενόμενον, καὶ τὴν οἰκεμένην καλύψαντα. κγ. Παρὰ

Κυρίε

Κυρίε ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Ταύτης δὲ τῆς χάριτος χορηγὸς ὁ Θεὸς, ἡμεῖς δὲ τὴν ἄρρητον αὐτῷ φιλανθρωπίαν θαυμάζομεν. κδ'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ἡμέραν ὑπὸ τοῦ Θεοῦ πεποιημένην καλεῖ, καθ' ἣν ὁ λίθος ἔτος ἀνέξη μετὰ τὸ πάθος. εὐθὺς γὰρ μετὰ τὴν ἀνάστασιν, τοῖς ἱεροῖς ἐκέλευσεν ἀποστόλοις, πορευθῆναι καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη. διαφερόντως δὲ ταύτην ὑπὸ τοῦ Θεοῦ γεγενῆσθαι τὴν ἡμέραν ἔφη. ἐπειδὴ γὰρ ἐξ ἀρχῆς τὸ φῶς ἐν αὐτῇ πεποίηκεν ὁ Θεὸς, καὶ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάστασιν δεξαμένη, τοῦ τῆς δικαιοσύνης ἡλίου τὰς ἀκτῖνας εἰς πᾶσαν τὴν οἰκουμένην κατέπεμψε· καὶ τὸ φῶς δὲ δημιουργήσας, φῶς τὴν ἡμέραν ἐκάλεσεν, ἄλλο δὲ οὐδὲν κατ' ἐκείνην τὴν ἡμέραν πεποίηκεν. αὕτη τοίνυν ἡ ἡμέρα μόνη, κατὰ τὴν πρώτην ἡμέραν, τὴν δημιουργίαν ἐδέξατο τοῦ Φωτός. ἐν μὲν γὰρ τῇ δευτέρᾳ πεποίηκε τὸ στερέωμα, ἐν δὲ τῇ τρίτῃ τὰ φυτὰ καὶ τὰ σπέρματα, καὶ ἐν ταῖς ἄλλαις ὁμοίως τὰ ἄλλα· ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ τὸ φῶς· ἐκάλεσε δὲ τὸ φῶς ἡμέραν. εἰκότως τοίνυν ἔφη, αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ἅτε δὴ ἐν αὐτῇ τῶν ἀγαθῶν δεξάμενοι τὰς πηγάς. κε'. Ὦ Κύριε σῶσον δή, ὦ Κύριε εὐόδωσον δή. Καὶ εἰς τὸν ἔπειτα χρόνον, ὦ Δέσποτα, παράσχε τὴν σωτηρίαν, καὶ τὴν πρός σε φέρουσαν ἡμῖν ὁδὸν ποίησον εὐοδίαν, καὶ εὔπορον. κς'. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίε. Ταύτην τῷ Δεσπότῃ τὴν φωνὴν καὶ οἱ παῖδες προσήνεγκαν εἰς ἔλεγχον τῶν τὰ θεῖα λόγια διδάσκειν ὑπιχνεμένων, καὶ τὴν ἀληθῆ διάνοιαν συνιδεῖν ἐ βουλομένων· τῶν γὰρ γραμματέων καὶ Φαρισαίων Σαμαρείτην τὸν Δεσπότην ἀποκαλέντων, οἱ παῖδες αὐτὸν εἶναι τὸν ἐρχόμενον καὶ εὐλογημένον ἀπεκάλεν, καὶ τὸ ὡσαννὰ δὲ ὁμοίως ἐν τῇδε κεῖται τῇ προφητείᾳ· τὸ γὰρ σῶσον δὴ ὡσαννὰ παρὰ τῷ Ἑβραίῳ κείμενον εὕρομεν. ἐντεῦθεν δὲ καὶ ὁ μακάριος Ἰωάννης ὁ βαπτιστὴς τὲς οἰκείᾳς πρὸς τὴν ἀλήθειαν ποδηγῶν μαθητὰς, ἤρετο δι' ἐκείνων τὸν Κύριον· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Κύριος δὲ ὢν, ἐν ὀνόματι Κυρίε ἐλήλυθεν. ὅτως δὲ ἔφη πρὸς Ἰουδαίους, ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, „καὶ ἐκ ἐλάβετέ με„ ἔρχεται ἄλλος ἐν τῷ ἰδίῳ ὀνόματι, κἀκεῖνον λήψεσθε· καὶ εὐλογημένος ὢν, εὐλογημένου ἐστὶν υἱός· ὅτω καὶ ὁ ἀρχιερεὺς ἤρετο, σὺ εἶ ὁ υἱὸς τοῦ εὐλογητοῦ; Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου. Ταῦτα λέγουσιν οἱ νενικηκότες τοῖς ἑαυτῶν ἐρασταῖς, ὅτι τοῦ λίθου τούτου τὴν εὐλογίαν ὑμῖν προσφέρομεν, ὃς οἶκος ἐγένετο τοῦ ἐν αὐτῷ Θεοῦ λόγου· ὁ γὰρ λόγος, φησὶ σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ὁ Κύριος πρὸς Ἰουδαίους ἔφη· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. κζ'. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Σαφῶς ἐθεολόγησεν ἐνταῦθα τὸν Δεσπότην Χριστὸν. ὃν γὰρ ἐκάλεσεν ἄνω λίθον, καὶ μετὰ ταῦτα εὐλογημένον, καὶ ἐν ὀνόματι Κυρίου ἐρ-

χόμενον, αὐτὸν ὠνόμασε καὶ Κύριον καὶ Θεὸν, τὴν οἰκείαν ποιησάμενον ἐπιφάνειαν, καὶ τὴν σωτηρίαν τοῖς πιστεύσασι δωρησάμενον. Συσήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Συναθροίσθητε τοίνυν ἅπαντες, καὶ πανήγυριν μεγίστην ἐπιτελέσατε, τὴν οἰκείαν ἑορτάζοντες σωτηρίαν, ὡς μέχρις αὐτοῦ φθάσαι τοῦ θυσιαστηρίου τὸ πλῆθος ξενοχωρούμενον. τὸ γὰρ ἐν τοῖς πυκάζουσιν, ἀντὶ τοῦ, πεπυκνωμένοι, καὶ τῷ πλήθει ξενοχωρούμενοι τέθεικεν. τὸ γὰρ πεπυκασμένον, πεπυκνωμένον καὶ οἱ ἔξω τοῦ καθ' ἡμᾶς λόγου καλοῦσιν. κή. Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. Σὲ οἶδα Θεὸν, σὲ οἶδα Δεσπότην, σὲ τὸν εὐεργέτην διὰ βίου ὑμνήσω. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. κθ'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Πρώτους ἑαυτοὺς, ἅτε δὴ τῶν ἄλλων προτεταγμένοι, εἰς τὴν δοξολογίαν κινήσαντες, ἔτω καὶ τοῖς ἄλλοις παρεγγυῶσι τὸν ἀγαθὸν ὑμνῆσαι Δεσπότην· ἅτε δὴ πᾶσιν ἀφθόνως ὀρέγοντα τοῦ ἐλέους κρουνούς. εἰδέναι μέντοι προσήκει, ὡς καὶ τοῖς ὑπὸ τῶν ἐθνῶν ἐκείνων πολιορκουμένοις ἥρμοττεν, εἰδέναι τὸν ἐξ αὐτῶν κατὰ σάρκα βλαστήσοντα, καὶ πᾶσι τὴν σωτηρίαν παρέξοντα· ἔτω γὰρ θαρραλεώτεροι κατὰ τῶν ἐπιόντων ἐγίνοντο, τῇ πίστει τῆς ἐν αὐτοῖς κρυπτομένης εὐλογίας ψυχαγωγούμενοι.

ΕΡΜΗΝ. ΤΟΥ ριή ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Πολλὰς καὶ διαφόρους ὁ θεῖος Δαβὶδ πραγμάτων ἔσχε μεταβολάς· καὶ γὰρ ἔφευγε πολεμίους, καὶ ἐδίωξε πολεμίους, καὶ περιέπεσεν ἀθυμίαις, καὶ θυμηρεστέραν πάλιν ἔσχε ζωὴν, καὶ τὴν θείαν ὁδὸν ἔδραμε, καὶ ἔπλαισεν ὁδεύων, καὶ αὖθις τοῖς θείοις ἠκολούθησε νόμοις. ταῦτα τοίνυν ἅπαντα κατὰ ταυτὸν ἐν τῷδε συνήγαγε ψαλμῷ, καὶ τὰς καθ' ἕκαστον καιρὸν ὑπ' αὐτοῦ προσενεχθείσας τῷ Θεῷ προσευχὰς προσαρμόσας ἀλλήλαις, μίαν τοῖς ἀνθρώποις ὠνησιφόρον διδασκαλίαν προτέθεικε· καὶ διδάσκει δι' ὧν λέγει, πῶς δυνατὸν κατορθῶσαι τὴν πρακτικὴν ἀρετήν. ἐκ ἀμελεῖ δὲ ἐδὲ τῆς τῶν δογμάτων ἀκριβείας· ἀλλὰ ταῖς ἠθικαῖς ὑποθήκαις καὶ τὴν περὶ τούτων διδασκαλίαν προστίθησι. ὡς ἀρκεῖν τοῦτον τὸν ψαλμὸν, καὶ τὰς τῆς τελείας ἀρετῆς ἐφιεμένους ἐν αὐτῇ τελειῶσαι, καὶ τὰς ῥαθυμίᾳ συζῶντας πρὸς σπουδὴν διεγεῖραι, καὶ ψυχαγωγῆσαι τὰς ἀθυμοῦντας, καὶ ῥυθμῖσαι τὰς ῥαθυμοῦντας, καὶ ἁπλοῦν ἁπλῶς παντοδαπὴν θεραπείαν ἐνθεῖναι τοῖς ποικίλοις τῶν ἀνθρώπων παθήμασιν. α'. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. Μακαρίζει τοὺς τὴν βασιλικὴν ὁδὸν ὁδεύοντας ἀκλινῶς, καὶ μήτε δεξιᾷ, μήτε ἀριστερᾷ κατὸ τὰς ὑποθήκας τοῦ νόμου παρατραπέντας. τίνες δὲ ἔτοι διδάσκει. Οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Οἱ γὰρ κατὰ τοῦτον πολιτευόμενοι τὸ ἄμωμον ἔχουσιν. ὁδὸν γὰρ τὸν βίον καλεῖ. τοῦτον γὰρ ἐξ ἀδύνων μέχρι ταφῆς διοδεύομεν ἅπαντες.

τες. β'. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Καὶ τὸν ὄγδοον καὶ δέκατον ψαλμὸν ἑρμηνεύοντες εἰρήκαμεν τίνι διαφέρει νόμος, καὶ μαρτύρια, καὶ δικαιώματα, καὶ κρίματα, καὶ ἐντολαί· ἀναμνήσομεν δὲ ὅμως ἐν κεφαλαίῳ τῶν εἰρημένων. νόμον καλεῖ, τὸν ὑπὸ τῦ Θεῦ τῶν ὅλων διὰ τῦ θεσπεσίε Μωσῆ δεδομένον. ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτὸν, ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα. δικαιώματα, ὡς δικαιῦν τὸν κατορθῦντα δυνάμενον. κρίματα δὲ, ὡς τὰς θείας ψήφυς ὑποδεικνύντα, καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐννόμως καὶ παρανόμως βιώντων. μαρτύρια δὲ, ὡς διαμαρτυρόμενον, καὶ δεικνύντα, οἵαις ὑποβληθήσονται τιμωρίαις οἱ παραβαίνοντες. μακαρίζει τοίνυν καὶ ἐνταῦθα τὲς τὰ μαρτύρια τῦ Θεῦ διηνεκῶς ἐρευνῶντας, καὶ ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν ἐκζητῦντας· ὃ παντὸς δὲ τῦτο, ἀλλὰ τῦ τὴν κορυφὴν αὐτὴν κατειληφότος τῆς ἀρετῆς· ὁ γὰρ τοιῦτος ὃ μερίζει τὴν διάνοιαν εἰς Θεὸν καὶ φροντίδας βιωτικὰς, ἀλλὰ ὅλον ἑαυτὸν ἀνατίθησι τῷ Θεῷ. γ'. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτῦ ἐπορεύθησαν. Τὴν διαίρεσιν ταύτην πεποίηκε καὶ ἐν τῷ πρώτῳ ψαλμῷ. καὶ γὰρ ἐκεῖ μακαρίσας τὸν ἐν νόμῳ Κυρίε μελετῶντα ἡμέρας καὶ νύκτας, καὶ τὸν τῆς μελέτης ἐπιδείξας καρπὸν, ἐπήγαγεν, ἐχ ἕτως οἱ ἀσεβεῖς, ἐχ ἕτως· καὶ ἐνταῦθα τοίνυν μακαρίσας τὲς ἀμώμες, διδάσκει, ὡς οἱ τῆς ἀνομίας ἐργάται ἑτέραν ἑαυτοῖς ὁδὸν κατεσκεύασαν, καὶ τὴν ὑπὸ τῦ Θεῦ παγεῖσαν κατέλιπον. δ'. Σὺ ἐνετείλω τὰς ἐντολάς σε, τῦ φυλάξασθαι σφόδρα. Τῦτο καὶ διὰ τῦ νόμε, καὶ διὰ τῶν προφητῶν, καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων ὁ Δεσπότης παρακελεύεται· καὶ μεσὴ πᾶσα ἡ θεία γραφὴ τῆς τοιαύτης νομοθεσίας. ὃ γὰρ ἁπλῶς φυλάττειν, ἀλλὰ σφόδρα φυλάττειν παρεγγυᾷ· τετέσι, σὺν ἀκριβείᾳ πάσῃ. ε'. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί με, τῦ φυλάξασθαι τὰ δικαιώματά σου. Διὰ τῦτό φησιν ἀντιβολῶ, οἷόν τινι κανόνι, τῷ σῷ νόμῳ τὴν ἐμὴν ὁδὸν εὐθῦναι, ὡς ἂν διατηρήσαιμί σε τὰ δικαιώματα. καὶ δεικνὺς τὸν τῦτε καρπὸν, ἐπιφέρει· ς'. Τότε ὃ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Παρανομίας γὰρ αἰσχύνη καρπός· ἔτω καὶ ὁ θεῖος ἀπόστολος ἔφη, τίνα ἓν καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; οἱ δὲ πάσας τῦ Θεοῦ πληρῦντες τὰς ἐντολὰς, τὴν ἀπὸ τῦ συνειδότος ἔχυσι παῤῥησίαν. ζ'. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐξομολόγησιν τὴν εὐχαριστίαν καλεῖ. τότε, φησὶ, δυνήσομαι ὕμνον καθαρὸν προσενεγκεῖν, ὅταν σου πάντα καταμάθω τὰ κρίματα, καὶ κατ' αὐτὰ βιώσω. η'. Τὰ δικαιώματά σε φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα. Τινὰς πρὸς βραχὺ πολλάκις ἡ θεία χάρις ἀφῆσιν, ὠφέλειαν αὐτοῖς ἐντεῦθεν μηχανωμένη. ἕτως ὁ μέγας Ἠλίας καταληφθεὶς τῷ τῆς δειλίας περιέπεσε πάθει, καὶ τῆς ἀνθρωπείας

πείας Φύσεως μεμάθηκε τὴν ἀσθένειαν· ἀλλ' εὐθὺς πάλιν τῆς θείας ἀπήλαυσε χάριτος. ἔτως ὁ θεῖος Πέτρος ἀρνηθεὶς ὠλίσθησεν· ἀλλ' εὐθὺς αὐτὸν ὁ Δεσπότης ὑπήρεισε. γυμνὸς δὲ πάμπαν ὁ Ἰώδας τῆς θείας γενόμενος προμηθείας, ἕτοιμον ἐγένετο θήραμα τῶ δυσμενοῦς· ἐγκατελείφθη καὶ ὁ μακάριος Δαβὶδ μετὰ τὴν ἁμαρτίαν ἐκείνην, καὶ ταῖς χαλεπαῖς ἐκείναις περιέπεσε συμφοραῖς· ἀλλὰ πάλιν τὴν πρὸς τὸν Θεὸν ἀπέλαβε παῤῥησίαν, καὶ τῆς ἐκεῖθεν κηδεμονίας ἀπήλαυσεν. ὁ δὲ Σαὺλ ἔρημος ταύτης γενόμενος παντελῶς, ἐγυμνώθη μὲν τῆς τῶ πνεύματος χάριτος, πονηρῶ δὲ πνεύματι συνεζύγη. εἰκότως τοίνυν ὁ προφήτης ἐκέλευε μὴ ἐγκαλαλεῖφθῆναι ἕως σφόδρα, τουτέστι, μὴ παντάπασι τῆς προμηθεμένης χάριτος γυμνωθῆναι. θ'. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτῆ; ἐν τῶ φυλάξασθαι τὸς λόγος σε. Εὐρίπιος ἡ νεότης, καὶ πρὸς κακίαν ὀξύῤῥοπος. διαφόρεις γὰρ παθημάτων περικλύζεται κύμασι· δεῖται τοίνυν τῶ ποδηγέντος πρὸς τὸς λιμένας εὐθύνοντος. τῶτο δὲ τῶν θείων λογίων ἴδιον. ταῦτα γὰρ τῶν ἐναντίων ὁδῶν ἀποτρέποντα, ῥυθμίζειν ἱκανά, καὶ πρὸς τὴν θείαν ὁδὸν ποδηγεῖν· ὅπερ γάρ ἐσιν νέῳ πώλῳ χαλινός, καὶ πωλοδάμνης, τῶτο τοῖς νέοις ὁ θεῖος γίνεται λόγος. ι'. Ἐν ὅλη καρδίᾳ μὲ ἐζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ζητῶσι μὲν πολλοὶ τὸν Θεὸν, ἀλλ' οὐκ ἐν ὅλη καρδίᾳ· μερίζουσι γὰρ ταύτην, ὁ μόνον εἰς φροντίδας πραγμάτων βιωτικῶν, ἀλλὰ καὶ εἰς ἐπιθυμίας ἀτόπους, καὶ φθόνους, καὶ δόλους, καὶ τὰς τῶν πλησίον ἐπιβουλάς· ὁ δὲ τῶν θείων ἐραστὴς πᾶσαν ἀφιεροῖ τῷ Θεῷ τὴν διάνοιαν, καὶ τῆς ἐκεῖθεν ἀπαιωρεῖ προνοίας. ια'. Ἐν τῇ καρδίᾳ μὲ ἔκρυψα τὰ λόγιά σε, ὅπως οὐ μὴ ἁμάρτω σοι. Ὁ χρυσὸν κεκτημένος, ἢ ἄργυρον, ἢ λίθος τιμίους, οὐκ ἔξω ταῦτα προτίθησιν· ἀλλ' ἔνδον ἐν τοῖς ταμιείοις καὶ τοῖς θαλάμοις ἐναποκρύπλει, ὥσε διαφυγεῖν τῶν τοιχωρύχων τὰς χεῖρας· ἔτως ὁ τὸν πλῆτον ἔχων τῆς ἀρετῆς κρύπτει τῶτον ἐν τῇ ψυχῇ· ὡς ἂν μὴ διὰ δόξης κενῆς τῶτον οἱ τῶν ψυχῶν συλήσωσιν λωποδύται. διδάσκει δὲ καὶ ἕτερον ὁ λόγος· ἐ γὰρ ἅπασι τὰ θεῖα λόγια προσφέρειν παρεγγυᾷ· μὴ δῶτε γάρ φησι τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίψητε τὰς μαργαρίτας ὑμῶν ἔμπροσθεν χοίρων. ιβ'. Εὐλογητὸς εἶ Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Ἀντὶ τῶ, ἥμερος εἶ καὶ φιλάνθρωπος, καὶ ἄξιος παρὰ πάντων ὑμνεῖσθαι. ἐ δὴ χάριν ἀντιβολῶ σε μαθεῖν παρά σε τὰ δικαιῶσαι δυνάμενα. ιγ'. Ἐν τοῖς χείλεσί μὲ ἐξήγγειλα πάντα τὰ κρίματα τῶ στόματός σου. Ἃ γὰρ ἂν παρὰ τῆς σῆς ἀγαθότητος μάθοιμι, ταῦτα διδάξω τὸς ἀγνοοῦντας. ιδ'. Ἐν τῇ ὁδῶ τῶν μαρτυρίων σε ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλήτῳ. Ἐπίπονος μὲν ἡ τῆς ἀρετῆς ὁδὸς, ἀλλὰ τοῖς τελείοις τριπόθητος. διά τοι τῶτο καὶ ὁ Δεσπότης ἔφη Χριστὸς, λάβετε τὸν ζυγόν μὲ ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μὲ χρηστὸς, καὶ τὸ φορτίον μὲ ἐλαφρόν ἐσι. τῶτο καὶ ὁ προφητικὸς ἔφη λόγος, ὅτι πλήτῳ παντὸς θυμηρεστέρα

σέρα μοι τῶν σῶν μαρτυρίων ἡ κτῆσις· τὸ δὲ ἐπὶ παντὶ πλύτῳ, ἐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τὸν παντοδαπὸν πλοῦτον παραδηλοῖ· πολλὰ γὰρ τῷ πλύτου τὰ εἴδη· ὁ μὲν γὰρ χρυσὸν ἔχων ὀνομάζεται πλύσιος, ὁ δὲ ἄργυρον, ὁ δὲ γῆν πλείστην, τὴν μὲν πεφυτευμένην, τὴν δὲ καὶ σπειρομένην· ὁ δὲ βοσκήματα. ἀλλὰ ταῦτα πάντα περιλαβὼν ὁ προφήτης, καὶ τοῖς θείοις μαρτυρίοις παραβαλὼν, ἔφησεν ἀξιέρατα εἶναι αὐτῷ τὰ θεῖα μαρτύρια, ὡς τοῖς φιλοπλύτοις ἅπαντα τῷ πλύτῳ τὰ εἴδη. ιέ. Ἐν ταῖς ἐντολαῖς σε ἀδολεχήσω, καὶ κατανοήσω τὰς ὁδός σου. Τύτῳ χάριν, φησὶν, ἐνδελεχῶς τῶν σῶν λόγων τὴν μελέτην αὐχήσω, καὶ ταῖς σαῖς ὁδοῖς τὴν πορείαν ποιήσομαι. ιϛ. Ἐν τοῖς δικαιώμασί σε μελετήσω, ἐκ ἐπιλήσομαι τῶν λόγων σου. Ἄλησον τῶν σῶν λογίων ἐμαυτῷ φυλάξω τὴν μνήμην. ιζ. Ἀνταπόδος τῷ δέλῳ σου. Οὐ παντός ἐστι ταύτῃ χρήσασθαι τῇ φωνῇ· ἐδεὶς γὰρ πονηρὸν συνειδὸς περιφέρων εἰς ἀνταπόδοσιν τὸν κριτὴν διεγείρει. ὁ δὲ καθαροῖς χρώμενος λογισμοῖς, σὺν παῤῥησίᾳ ταύτῃ κέχρηται τῇ φωνῇ. Ζῆσόν με, καὶ φυλάξω τὰς λόγας σου. Τῆς σῆς γὰρ ἀπολαύων ἐπικερίας, διαφεύξομαι τῆς ἁμαρτίας τὸν θάνατον, καὶ τὴν ἐκ τῶν λόγων σε τρυγήσω ζωήν. ιή. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Οὐχ ἅπαντες οἱ τοῖς θείοις ἐντυγχάνοντες λογίοις τὰ τούτων κατανοοῦσι θαυμάσια, ἀλλ' οἱ τῆς ἄνωθεν ἀπολαύοντες αὐγλης. ὁ δὴ καὶ ὁ μακάριος ἔφη Παῦλος· ὅτ' ἂν δὲ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. αὐτὸς μέν τοι τῷ φωτὶ τῷ θείῳ καταυγαζόμενος εἰκότως ἐβόᾳ· ἡμεῖς δὲ ἅπαντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίε καθοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφόμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίε πνεύματος· ἡμᾶς δὲ προσήκει τὸν Δεσπότην ἀντιβολεῖν, ἵνα τὸ κάλυμμα τῶν τῆς διανοίας ἡμῶν περιελὼν ὀφθαλμῶν, ἀποδείξῃ τῶν θείων λογίων τὴν δύναμιν. ιθ. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Τὴν γῆν οὐ κατοικῶμεν, ἀλλὰ παροικῶμεν· βραχὺν γὰρ διαβιώσαντες χρόνον, εἰς ἕτερον μεταβαίνομεν βίον. τῦτο δὲ οὐ πάντες ἐθέλουσιν εἰδέναι, ἀλλ' οἱ ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς, ὡς ἐπὶ μενίμοις καὶ διαρκέσι βρενθύοντες· ὁ δὲ τὰ θεῖα πεπαιδευμένος οἶδε τῷ βίῳ τὸ πρόσκαιρον. διὸ δὴ καὶ πάροικον ἑαυτὸν ὀνομάζει, καὶ ἱκετεύει τὰς θείας ἐντολὰς μηδαμῶς ἀγνοῆσαι. κ. Ἐπεπόθησεν ἡ ψυχή με τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπιθυμοῦσι τῶν θείων κριμάτων πολλοὶ, καὶ τῆς οὐρανῶν ἐφίενται βασιλείας, ἀλλ' οὐκ ἀεί. νῦν μὲν θείοις ἀρέσκονται, νῦν δὲ τοῖς τῷ σώματος ἀκολουθοῦσι παθήμασιν· ὁ δὲ προφήτης ἱμείρεται τῦτον ἔχειν τὸν πόθον διηνεκῶς. κά. Ἐπετίμησας ὑπερηφάνοις. Οἱ τῶν θείων νόμων καταφρονῦντες τῇ τῆς ὑπερηφανίας περιπίπτουσι νόσῳ· ἀλλὰ τὴν παρὰ τῷ δικαίου κριτῷ δέχονται τιμωρίαν· τῦτο δὲ πέ-

πονδε Ἀβεσσαλὼμ, τοῦτο Σαοὺλ, τοῦτο Φαραὼ, καὶ Σενναχηρεὶμ, καὶ Ναβαχοδονόσορ, καὶ ἕτεροι μύριοι. τοῦτο εἰδὼς ὁ προφήτης, ἅτε δὴ προφήτης, ἐπήγαγεν· Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Ταύτην καὶ ὁ νόμος τὴν ἀρὰν τοῖς παραβάταις προσφέρει· ἐπικατάρατος γάρ φησι πᾶς, ὃς οὐκ ἐμμένει τοῖς ἐγκειμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. κβ'. Περίελε ἀπ' ἐμοῦ ὄνειδος, καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σε ἐξεζήτησα. Ὠνείδισε τὸν προφήτην ὁ Νάβαλ, δῆλον δραπέτην ἀποκαλέσας· ὠνείδισαν αὐτὸν οἱ Γετθαῖοι. ἀλγυνόμενος τοίνυν ἐπὶ τούτοις, ἀποτρίψασθαι τὰ ὀνείδη παρακαλεῖ, ἅτε δὴ τὰ θεῖα ἐκζητήσας μαρτύρια· οὐχ ἁρμόττει τοίνυν τοῖς παρὰ τοῦ Σεμεεὶ ὀνείδεσι τὰ παρόντα ῥητά. ἐκεῖνα γὰρ μετὰ τὴν ἁμαρτίαν ἐγένετο· τὰ δὲ τοῦ Νάβαλ, καὶ τῶν ἄλλων, πρὸ τῆς ἁμαρτίας. κγ'. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατελάλουν καθ' ἐμοῦ. Καὶ Σαὰλ, καὶ Ἀβενὴς, καὶ Ἀχιτόφελ, καὶ Ἀβεσσαλὼμ, ἐλοιδόρουν τὸν Δαβίδ. Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Ἐγὼ δὲ τὴν σὴν δεσποτείαν ὁμολογῶν, μελέτην εἶχον τὰ σὰ δικαιώματα. κδ'. Καὶ γὰρ τὰ μαρτύριά σε μελέτη μέ ἐστι, καὶ αἱ συμβουλαί μέ τὰ δικαιώματά σου. Πᾶσαν γὰρ ἀνθρωπίνην εἰσήγησιν ἀπωσάμενος, ταῖς σαῖς ὑποθήκαις ἀκολουθῶ. κε'. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου. Τὴν ὑπερβολὴν τῆς ταπεινώσεως διὰ τούτων ἐδήλωσεν· οὕτω καὶ γὰρ ἐν τῷ τεσσαρακοστῷ καὶ τρίτῳ ἔφη ψαλμῷ, ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ζῆσόν με κατὰ τὸν λόγον σου. Οὐκ ἀορίστως αἰτεῖ ζωὴν, ἀλλὰ τὴν κατὰ νόμον ζωήν. κς'. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου. Πάσας σοι Δέσποτα τὰς ἐμὰς δεδήλωκα πράξεις· καὶ οἶδέν σε λαθεῖν τῶν ἐμῶν ἀνεχόμην· διό τοι τοῦτο τοῖς ἐμαῖς ἱκεσίαις ἐπίνευσον· ἀντιβολῶ δὲ μαθεῖν ἀκριβῶς τὰ σὰ δικαιώματα. κζ'. Ὁδὸν δικαιωμάτων σε συνέτισόν με, καὶ ἀδολεχήσω ἐν τοῖς θαυμασίοις σου. Θείας ἡμῖν συνέσεως δεῖ, ὥστε κατὰ τὸν θεῖον νόμον τὴν ἀρετὴν μετελθεῖν, καὶ τὸν φιλανθρωπίᾳ χρώμενον μὴ πρὸς κενοδοξίαν ἰδεῖν, καὶ τὸν ἀσκητικὸν μὴ θηρᾶσαι τὸν ἀνθρώπειον ἔπαινον, τὸν σώφρονα μὴ διὰ τὴν τῆς ἀκολασίας αἰσχύνην, ἀλλὰ διὰ τὸν πόθον τῆς ἀρετῆς, μετιέναι τὴν σωφροσύνην. εἰκότως τοίνυν ὁ προφήτης ἀντιβολεῖ συνέσεως θείας μεταλαχεῖν, ὡς διαγνῶναι τὴν τῆς δικαιοσύνης ὁδόν. κη'. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἡ συνεχὴς προσβολὴ τῆς ἁμαρτίας διαλύει πολλάκις τὸν τόνον τῶν λογισμῶν, καὶ ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητὴν, καὶ τὴν καλουμένην ἀκηδίαν ἐργάζεται. χαυνουμένη δὲ ἡ ψυχὴ τὸν ὕπνον εἰσδέχεται· ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον· διόπερ βεβαιωθῆναι καὶ ἐνισχυθῆναι ὁ προφήτης ἀντιβολεῖ· τοῦτο δὲ καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· θάνατον τὴν ἁμαρτίαν καλῶν. κθ'. Ὁδὸν ἀδικίας

δικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. λ'. Ὁδὸν ἀληθείας ἡρετισάμην, τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἀναγκαία καὶ αὕτη ἡ δέησις. προσήκει γὰρ ἡμᾶς αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων βοήθειαν, ὥστε τῆς ἀδικίας ἐκτρέπεσθαι τὴν ὁδὸν, καὶ τὴν τῆς ἀληθείας προαιρεῖσθαι πορείαν, καὶ ἄληστον ἐπιφέρειν τῶν τοῦ Θεοῦ μαρτυρίων τὴν μνήμην. λα'. Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε, μή με καταισχύνῃς. Οὐχ ἁπλῶς εἶπεν ἠκολούθησα, ἀλλ' ἐκολλήθην. τουτέστιν, οὐδὲ πρὸς βραχὺ τούτων ἐχώρισα τὸν ἐμαυτοῦ λογισμόν. ζητεῖ δὲ τρυγῆσαι τῆς τοσαύτης διαθέσεως καρπὸν, τὸ μηδεμίας πεῖραν αἰσχύνης λαβεῖν. λβ'. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας καρδίαν μου. Ἀμφοτέρων χρεία, καὶ τῆς ἡμετέρας προθυμίας, καὶ τῆς τοῦ Θεοῦ προμηθείας. οὔτε γὰρ ἡ θεία χάρις δίδοται τοῖς τὴν ἀγαθὴν ἐκ ἔχουσι προθυμίαν· οὔτε ἀνθρωπεία Φύσις ἀρετὴν δύναται κατορθῶσαι δίχα τῆς ἄνωθεν βοηθείας. τοῦτο καὶ ὁ προφήτης διδάσκει, ὅτι τῶν ἐντολῶν σου τὴν ὁδὸν ἔτρεχον ἀκωλύτως, παρά σου λαμβάνων τοῦ δρόμου τὴν εὐκολίαν. πλατύτητα γὰρ τὴν εὐκολίαν ἐκάλεσε. καὶ ἀλλαχοῦ φησὶν, ἐν θλίψει ἐπλάτυνάς μοι· καὶ πάλιν, ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ ἐκ ἠσθένησαν τὰ ἴχνη μου. λγ'. Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Τὸ νομοθέτησον ὁ Σύμμαχος ὑπόδειξον εἶπεν· Ἀκύλας καὶ Θεοδοτίων, φώτισον· διαπαντὸς φησι τῆς σῆς δέομαι φωταγωγίας καὶ νομοθεσίας, ὥστε καὶ γνῶναι τῶν δικαιωμάτων σου τὴν ὁδὸν, καὶ ταύτην ἀκωλύτως ὁδεύειν. λδ'. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου· καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Καὶ ὁ Κύριος προσέταξεν ἐξερευνᾶν τὰς γραφάς· ἀλλὰ τοῖς ἐρευνῶσι χρεία τῆς ἄνωθεν αἴγλης, ἵνα καὶ εὕρωσι τὸ ζητούμενον, καὶ φυλάξωσι τὸ θηρώμενον. λε'. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Οὐχ ἁπλῶς αἰτεῖ γενέσθαι ποδηγὸν αὐτῷ τὸν τῶν ὅλων Θεόν· ἀλλὰ δεικνὺς τῆς πορείας τὸν πόθον. λς'. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἐπὶ τὸ πρανὲς φέρεσθαι πέφυκε τῶν ὑδάτων ἡ Φύσις· κἂν τινος ἐπιλάβηται διεξόδου, ἐκεῖσε πᾶσα χωρεῖ. οὕτω τῷ διαβόλου τὴν ἐπὶ τὴν ἁμαρτίαν ὁδὸν διανοίξαντος, τῶν ἀνθρώπων ἔρρεψεν ἐπὶ τὸ χεῖρον ἡ Φύσις. σφόδρα τοίνυν ὁ προφήτης ἁρμοδίως ἀντιβολεῖ ἐπὶ τὰ θεῖα μαρτύρια τὴν καρδίαν κλιθῆναι, καὶ τῆς ἐπὶ τὸ θάτερον τὴν πεῖραν διαφυγεῖν. λζ'. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα. Καὶ μάταιόν ἐστι τὸ ἀκερδὲς, καὶ ἀνόνητον· τοιαῦτα δὲ τὰ δοκοῦντα τῷ βίου τερπνά. οὕτως αὐτὰ καὶ ὁ σοφὸς Σολομῶν ὀνομάζει, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. καὶ διηγησάμενος ὅπως ᾠκοδόμησεν οἰκίας, καὶ ἐφύτευσε παραδείσους, καὶ κατεσκεύασε κολυμβήθρας ὑδάτων, ἐπήγαγεν· καὶ ἰδοὺ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος.

ματος. ἱκετεύει τοίνυν ὁ προφήτης εἰς ἑτέραν θεωρίαν ἐλθεῖν τῆς διανοίας τὰ ὄμματα, καὶ τῇ τῶν παρόντων ματαιότητι μὴ θελχθῆναι. Ἐν τῇ ὁδῷ σου ζῆσόν με. Κατὰ τοὺς σοὺς δός μοι πολιτεύεσθαι νόμους. λή. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου, εἰς τὸν φόβον σου. Βέβαιον ἐν τοῖς σοῖς λόγοις ἀπόφηνόν με, ἀπεριτρέπτως φυλάττων τῷ φόβῳ σου· ἀντὶ τοῦ, ἐπικείσθω μοι ὁ φόβος σου, δεδιττόμενος, καὶ μὴ ἐῶν ἐκτραπῆναι τῶν λογίων σου. λθ. Περίελε τὸν ὀνειδισμόν μὲ ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ὁ δὲ Ἀκύλας, ἀντὶ τοῦ ὑπώπτευσα, ὑπεξάλλην εἴρηκεν. οὕτω δὴ καὶ ὁ Θεοδοτίων· ὁ δὲ Σύμμαχος, ὃν εὐλαβοῦμαι· ὀνειδισμὸν δὲ ἐνταῦθα καλεῖ, τὸν ὑπὸ τῆς ἁμαρτίας γενόμενον. τοῦτον γὰρ καὶ ὑπεξέλετο, καὶ ἐδεδίει, καὶ ὕποπτον ἔζη ζωήν. διὰ τοῦτο ἐκ ἐπήγαγε συνήθως, ὅτι κρίματά σου ἐξεζήτησα, ἢ ἐφύλαξα· ἀλλ' ὅτι τὰ κρίματά σου χρηστά. οὐ μόνον γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖς τιμωρίαν, ἀλλὰ καὶ τοῖς μεταμελομένοις ὑπίσχνῃ σωτηρίαν. κρίματα γὰρ καλεῖ τὰς τοῦ Θεοῦ δικαίας ψήφους. μ. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σε, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. Γλιχομένῳ παράσχε τὴν ἐν δικαιοσύνῃ ζωήν. μά. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε. Πάντες γὰρ ἐνδεεῖς τῆς θείας φιλανθρωπίας, καὶ ὁ αὐτὴν κατειληφὼς τὴν ἀκροτάτην τῆς ἀρετῆς κορυφήν, ταύτης δεῖται διηνεκῶς. Τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. μβ. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον. Ἣν ὑπέχου Δέσποτα σωτηρίαν ἐν τοῖς ἱεροῖς σου λόγοις παράσχου, ἵνα τοῖς ἐπιτωθάζουσί μοι σὺν παῤῥησίᾳ διαλεχθῶ. ὁ γὰρ ἐν συμφοραῖς ὢν φέρει τὰ ὀνείδη σιγῶν· ὁ δὲ τὴν θυμήρη βιοτεύων ὁδὸν, διελέγχει τοὺς κακῶς ὀνειδίζοντας. Ὅτι ἤλπισα ἐπὶ τοὺς λόγους σου. Τῆς γὰρ σῆς ἐπαγγελίας ἐξήρτημαι, καὶ ἐπὶ ταύτης ὁδεύω τῆς ἐλπίδος. μγ. Καὶ μὴ περιέλῃς ἐκ τῶ στόματός μὲ λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Ἐρᾷν ἡμᾶς τῆς ἀληθείας ὁ προφήτης διδάσκει, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων σὺν προθυμίᾳ πολλῇ. μδ. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Οὕτω γὰρ προθυμότερος περὶ τὴν τῶν σῶν νόμων γενήσομαι φυλακήν· διὰ μέν τοι τοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἐδήλωσε τὸν μέλλοντα βίον· ἐν ᾧ καθαρὰ καὶ ἀκραιφνὴς δοθήσεται ἅπασι τῶν θείων νόμων ἡ φυλακή. με. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. μς. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου, ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην. Μετὰ πολλῆς, φησὶν, ὁδεύων εὐκολίας, καὶ κατὰ τὰς σὰς ἐντολὰς βιοτεύων, οὐδὲ βασιλικὴν ἔδεισα δυναστείαν, ἀλλὰ σὺν παῤῥησίᾳ πολλῇ τὴν πρὸς αὐτοὺς ἐποιούμην διάλεξιν. ἡ γὰρ ἔννομος ζωὴ, παῤῥησίας δημιουργός. καὶ τούτου μάρτυς ὁ μέγας Δαβὶδ· πρὸ μὲν γὰρ τῆς ἁμαρτίας, μετὰ πολλῆς τῶ Σαὺλ διελέγετο παῤῥησίας· μετὰ δὲ τὴν ἁμαρτίαν, καὶ τὸν πατραλοίαν ἀποδιδράσκων υἱὸν,

υἱὸν, κύπτων εἰς γῆν, καὶ τὴν κεφαλὴν καλύπτων, ἐβάδιζεν. καὶ Ἠλίας ὁ πάνυ τῇ δικαιοσύνῃ θαρρῶν τῷ Ἀχαὰβ διήλεγχε τὴν ἀσέβειαν. οὕτως ὁ θεσπέσιος Δανιὴλ τῷ Ναβεχοδονόσορ ἔλεγεν· καὶ νῦν βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἀνομίας σου ἐν ἐλεημοσύναις ἀπόλουσαι, καὶ τὰς ἁμαρτίας σου ἐν οἰκτιρμοῖς πενήτων. οὕτως ὁ θεσπέσιος Παῦλος πρὸς Ἀγρίππαν, καὶ τὸν Φῆστον, ᾗ τὸν Φήλικα διελέγετο. ἕτως οἱ καλλίνικοι μάρτυρες τῶν δυσσεβῶν κατεφρόνησαν βασιλέων. μζ'. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα. μή. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει· καὶ ὁ ποιήσας, καὶ ὁ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, διά τοι τοῦτο καὶ ὁ θεῖος προφήτης τῇ μελέτῃ τὴν πρᾶξιν προτέθεικεν· εἰρηκὼς γὰρ, ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα, καὶ τὸν θερμὸν ἐπιδείξας πόθον, ἐπήγαγεν· καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα· ἃ γὰρ διὰ τῶν θείων λόγων ἐδιδασκόμην, ταῦτα διὰ τῶν ἔργων μετῄειν. οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, φησὶν ὁ θεῖος ἀπόστολος, ἀλλὰ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Ἐνδελεχῶς γὰρ τὴν τούτων ἐποιούμην μελέτην. μθ'. Μνήσθητι τοῦ λόγου σου τῷ δούλῳ σου, ᾧ ἐπήλπισάς με. Νομοθετῶν ὁ Θεὸς, καὶ τοῖς φυλάττουσι τὸν νόμον τὴν οἰκείαν εὐμένειαν ἐπηγγείλατο, καὶ τοῖς παραβάταις τὴν τιμωρίαν. μνηθῆναι τοίνυν τὸν Θεὸν τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. εἰς ἐκείνας γάρ φησιν ἐλπίζειν ἐδίδαξάς με· καὶ δεικνὺς τῆς ἐλπίδος τὸ χρήσιμον, ἐπήγαγεν· ν. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ταύτην γὰρ ἔχον παραψυχὴν ἐν ταῖς συμφοραῖς· καὶ ταύτης ἐχούμενος ὑπερέπλευσα τῶν κυμάτων. να'. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Ὑπερηφάνους καλεῖ τὸν Σαοὺλ, τὸν Ἀβεσσαλὼμ, τὸν τῶν Ἀμμανιτῶν βασιλέα, τὸν τὰ παράνομα ἐκεῖνα εἰς τοὺς ἀποσαλέντας παρ' αὐτοῦ πεποιηκότα· ἀλλὰ ἐκεῖνοι μέν φησι παρανόμουν ἠσπάσαντο βίον· ἐγὼ δὲ τοῖς σοῖς ἠκολούθησα νόμοις. ταῦτα δὲ εἴποιεν ἂν καὶ οἱ καλλίνικοι μάρτυρες, ἀπὸ τῶν ἀπανθρώπων καὶ δυσσεβῶν τυράννων τὰ δεινὰ ἐκεῖνα καὶ χαλεπὰ πεπονθότες. νβ'. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, καὶ παρεκλήθην. Ἐλαβον γὰρ εἰς νοῦν τὰ κατὰ τὸν Ἄβελ, τὰ κατὰ τὸν Ἀβραὰμ, τὰ κατὰ τὸν Ἰσαὰκ, τὰ κατὰ τὸν Ἰακὼβ, τὰ κατὰ τὸν Ἰωσὴφ, τὰ κατὰ τὸν Ἰὼβ, τὰ κατὰ τὸν Μωσῆ, ὅπως καὶ ποικίλοις περιπεσεῖν συνεχωρήθησαν πειρασμοῖς, καὶ περιφανεῖς αὐτοὺς ὕστερον καὶ περιβλέπτους ἀπέφηνας, ψυχαγωγίαν ἐντεῦθεν ἀποχρῶσαν ἐπορισάμην. νγ'. Ἀθυμία κατέχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἐγὼ μὲν κακῶς πάσχων τῇ μνήμῃ τῶν σῶν ἐψυχαγωγούμην κριμάτων.

των. ἠνώμην δὲ ὅμως, καὶ διετέλουν ἀχάλλων, πολλοὺς ὁρῶν ἀδεῶς τοὺς σοὺς παραβαίνοντας νόμους. νδ'. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σε, ἐν τόπῳ παροικίας μου. Παρῴκησεν ὁ μακάριος Δαβὶδ ὑπὸ τῷ Σαὰλ διωκόμενος παρὰ τοῖς ἀλλοφύλοις· παροικίαν δὲ οἶμαι αὐτὸν καλεῖν, ἀπ' ἐκεῖνον τὸν χρόνον, ἀλλὰ πάντα τὸν βίον· οὐ γὰρ ὡς κατοικῶν, ἀλλὰ ὡς παροικῶν αὐτὸν διετέλεσε, καὶ ἄδων τὰ τῷ Θεοῦ δικαιώματα τὸν βίον διώδευσεν· οὕτω γὰρ ἡρμήνευσαν καὶ οἱ λοιποὶ ἑρμηνευταί· ᾄσματα ἦν μοι πάντα τὰ προστάγματά σου, ἐν τόπῳ τῆς παροικίας μου. νέ. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. Νύκτωρ μὲν ἀεὶ διανιστάμενος ὁ τῶν ἁγίων χορὸς, καὶ προσεύχεται, καὶ ὑμνεῖ τὸν τῶν ὅλων Θεόν. οἶμαι δὲ νύκτα ἐνταῦθα τῶν πειρασμῶν τὸν καιρὸν ὀνομάζεσθαι· ζόφον γὰρ ἐπιφέρει, καὶ νυκτὸς δίκην τοῖς ἀνθρώποις ἐπέρχεται· ἐν δὲ τούτῳ διαφερόντως ἀναγκαία τῷ Θεῷ τῶν ὅλων ἡ μνήμη, ψυχαγωγοῦσα, καὶ παραθαῤῥύνουσα, καὶ τοὺς ἐναντίους ἐξελαύνουσα λογισμούς. νϛ'. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Οὕτω, φησὶν, ἠδυνήθην περιγενέσθαι, καὶ τῶν σῶν δικαιωμάτων προελέσθαι τὴν κτῆσιν. νζ'. Μερίς μοι εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Οὐ πάντων ἐστὶ μερὶς ὁ Θεὸς, ἀλλὰ τῶν ἀσπαζομένων τὰ τέλεια. ἔτω τῶν ἱερέων καὶ Λευιτῶν μερὶς καὶ κλῆρος ἐγένετο. τοῖς γὰρ υἱοῖς φησὶ Λευὶ, οὐκ ἔσῃ μερὶς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν, ὅτι μερὶς αὐτῶν ἐγὼ Κύριος. οὕτω καὶ ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ ἔφη ψαλμῷ, Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου. λέγει τοίνυν καὶ ἐνταῦθα, ὅτι τῶν ἄλλων ἁπάντων ὑπερισθών σε ἔχω μερίδα, καὶ περιουσίαν, καὶ πλοῦτον. διὸ δὴ καὶ φυλάξαι τοὺς σοὺς ἐπείγομαι νόμους. νή. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου. Πανταχοῦ τὸ ἐν ὅλῃ καρδίᾳ μου προστίθησι, τῷ νόμῳ, καὶ ἐν τούτῳ πειθόμενος· οὕτω γὰρ καὶ τῶν ὅλων Θεὸς ἐνετείλατο, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου. Ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Οὐκ ἀορίστως ἐλεηθῆναι παρακαλεῖ· ἀλλὰ κατὰ τὸ θεῖον λόγιον τοῦ ἐλέους τυχεῖν. τοῦτο δ' ἂν εἴποι καὶ συνετὸς ἄρρωστος τῷ ἰατρῷ, ὡς οἶδας θεράπευσον, ὡς ἡ τέχνη διαγορεύει. τοῦτο καὶ ὁ συνετὸς ἔμπορος εἴποι ἂν τῷ κυβερνήτῃ, κατὰ τοὺς νόμους τῆς τέχνης ἴθυνον τὸ σκάφος, ὡς καὶ ἡ ἐπιστήμη κελεύει κυβέρνησον. οὕτω καὶ ἡμᾶς προσήκει τὸν θεῖον ἔλεον ἐπαγγέλλειν. ὁ γὰρ αἰτούμενος οἶδε τοῦ ἐλέους τὸν τρόπον· πολλάκις γὰρ διὰ παιδείας πραγματεύεται σωτηρίαν, καὶ γίνεται ἡ τιμωρία φιλανθρωπία. οὕτω καὶ ἰατρὸς, καὶ τέμνει, καὶ καίει, τῷ κάμνοντι τὴν ὑγίειαν πραγματευόμενος. οὕτω καὶ ἡμᾶς αἰτεῖν τὸν ἔλεον χρή· ἔστι γὰρ ὅτε καὶ διὰ πενίαν ἔλεος χορηγεῖται, καὶ δι' ἀῤῥωστίας φιλανθρωπίαν παρέχεται, καὶ κατὰ τὸν ἰατρικὸν λόγον τοῖς ἐναντίοις τὰ ἐναντία ἰᾶται. νθ'. Διελογισάμην

μην

μην τὰς ὁδούς σε, καὶ ἐπέστρεψα τοὺς πόδας μὲ εἰς τὰ μαρτύριά σου. Ὁ Ἑβραῖος δὲ τὰς ὁδούς μὲ ἔχει· ὡσαύτως δὲ καὶ οἱ ἄλλοι ἑρμήνευσαν ἑρμηνευταὶ, καὶ οἱ ἑβδομήκοντα ἐν τῷ ἕξαπλῷ· λέγει δὲ ὅτι λογισεύων με τὰς ὁδὸς, πρὸς τὰ μαρτύριά σε τοὺς ἐμοὺς πόδας κατεύθυνον, καὶ οὐκ εἶων ἐκτρέπεσθαι τῆς πρός σε φερούσης ὁδοῦ. ξ'. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τὸ φυλάξασθαι τὰς ἐντολάς σου. Εὐτρεπῆ γὰρ ἐμαυτὸν πρὸς τὰς τῶν δεινῶν ἐμβολὰς καθασήσας, ἐκ τῆς ἀθρόας προσβολῆς οὐχ ὑπέμεινα ζάλην· οὕτως ὁ θεῖος Δανιὴλ, ἕτως οἱ μακάριοι παῖδες, οὕτως οἱ θαυμάσιοι Μακκαβαῖοι, ἕτως ἅπαντες τῷ σωτῆρος οἱ μάρτυρες, τὰς τῶν δυσσεβῶν ἐνίκησαν προσβολάς. τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις παρεγγυᾷ γρηγορεῖτε, ὅτι ἐκ οἴδατε ποία ὥρα ὁ κλέπτης ἔρχηται. ξα'. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τὸ νόμε σε οὐκ ἐπελαθόμην. Τὰς ἐπιβελὰς, ἤ τοι δαιμόνων, ἤ τοι ἀνθρώπων, σχοινία ἐκάλεσεν· ἐκ τῆς πλοκῆς τὴν ἀφορμὴν λαβὼν τῆς τροπῆς. οὕτω καὶ Ἡσαΐας· οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ. τούτων δὲ φησι τῶν σχοινίων περιτεθέντων μοι, οὐκ ἀπεσεισάμην τὸ θεῖον νόμου τὴν μνήμην. εἶτα διδάσκει καὶ τῆς μνήμης τὰ αἴτια. ξβ'. Μεσονύκτιον ἐξεγειρόμην τὸ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Οὐ γὰρ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ κατ' αὐτὸ τῆς νυκτὸς τὸ μεσαίτατον, ἐν ᾧ μετὰ πλείονος ἡδονῆς ὁ ὕπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῶν σε διετέλεν, τὰς δικαίας σε ψήφες ἀνευφήμων. τοῦτο καὶ ὁ θεῖος ἀπόστολος μετὰ τὸ Σίλα „πεποίηκεν· πεπεδημένος γὰρ σὺν τῷ Σίλα„ καὶ τῇ ποδοκάκῃ προσδεδεμένος μετὰ αἰκίας καὶ μάστιγος, τῇ προσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε. καὶ τῆς καλῆς ἀγρυπνίας ἐτρύγησαν τὸν καρπόν· τῆς θείας γὰρ φιλοτιμίας ἀπήλαυσαν. ξγ'. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβεμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ὁ δὲ Σύμμαχος, ἀντὶ τὸ μέτοχος, συνημμένος εἴρηκεν. ὁ δὲ Σύρος, φίλος· ἀποστρεφόμενος γὰρ τοὺς τἀναντία τοῖς σοῖς νόμοις προαιρουμένους, κοινωνοὺς εἶχον καὶ συνήθεις τὲς τὸν „σὸν „φόβον περὶ πολλοῦ ποιουμένες, καὶ βιωλεύειν ἐννόμως προαιρεμένες. τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ, ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός. ξδ'. Τῆ ἐλέες σε Κύριε πλήρης ἡ γῆ· τὰ δικαιώματά σε δίδαξόν με. Ἐπὶ πάντας, φησὶ, πλεσίως ἐκχέεις τὰς τῆ ἐλέες πηγὰς, καὶ ἀνατέλλεις τὸν ἥλιόν σου ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχεις ἐπὶ δικαίους καὶ ἀδίκες, καὶ οὐκ ἐπάγεις τὴν ὀργὴν καθ' ἑκάστην ἡμέραν, ἀλλὰ φέρεις μακροθύμως τοὺς μὲν γάμες διορύτλοντας ἀλλοτρίες, τοὺς δὲ αἵματι μιαινομένες ἀδίκῳ· ἄλλες δὲ σφετεριζομένες τὰ μὴ προσήκοντα. τοὺς δὲ βλασφημίαις τὴν γλῶτταν μολύνοντας, καὶ τοὺς ἄλλους ἄλλο τὶ τῶν παρανόμων τολμῶντας. τοσαύτη τοίνυν φιλανθρωπίᾳ χρώμενος, καμὲ ταύτης ἀξίωσον, Δέσποτα, τῶν σῶν μοι δικαιωμάτων παρέχων τὴν γνῶ-

σιν. ξέ. Χρηστότητα ἐποίησας μετὰ τῦ δούλου σε Κύριε, κατὰ τὸν λόγον σου. Πεῖραν τῆς σῆς ἔλαβον ἀγαθότητος· διόπερ αὖθις ταύτης ἀπολαῦσαι παρεκαλῶ, καὶ κατὰ τοὺς σοὺς διαβῶναι νόμους ἀντιβολῶ. ξς. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σε ἐπίστευσα. Οἶδεν ὁ προφήτης παιδείας τὸ χρήσιμον· καὶ ὅτι φιλανθρωπίᾳ χρώμενος ὁ Δεσπότης ταύτην ἐπιφέρει τοῖς ἀνθρώποις. ἔδει χάριν ταύτης μεταλαχεῖν ἀξιοῖ. χρηστότητι γὰρ χρώμενος ὁ Θεὸς τὴν παιδείαν ἐπάγει, ἡ δὲ παιδεία τὴν γνῶσιν ἐργάζεται. οὕτω καὶ ὁ προφήτης Ἱερεμίας ἀντιβολεῖ, παίδευσον ἡμᾶς Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ποιήσῃς ἡμᾶς. οὕτω καὶ ἄῤῥωστος ὑγίειαν ποθῶν, καὶ σιδήρου τομὴν, καὶ καυστήρια ἐπιζητεῖ· εἶτα διδάσκει πόθεν ἔγνω τῆς παιδείας τὸ χρήσιμον. ξζ. Πρό τε με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Ἐγώ φησιν ἐμαυτῷ τὴν παιδείαν προυξένησα. ἀδικίας ἐλευθέρα τῆς τιμωρίας ἡ ψῆφος· τῇ ἁμαρτίᾳ ἠκολούθησεν ἡ παιδεία· τῇ παιδείᾳ, τῶν νόμων ἡ φυλακή. ἠῤῥώστησα, ἐτμήθην, ἐῤῥώσθην. ξή. Χρηστὸς εἶ σὺ Κύριε. Τῷ ἐντι „γὰρ„ χρηστὸς ὑπάρχεις καὶ φιλάνθρωπος. Καὶ ἐν τῇ χρηστότητί σε δίδαξόν με τὰ δικαιώματά σου. Διὰ τοῦτο θαῤῥῶν αἰτῶ παρά σε λαβεῖν τῶν σῶν δικαιωμάτων τὴν γνῶσιν. ξθ. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Οἱ μὲν γὰρ ἀλαζονείᾳ χρώμενοι πᾶν εἶδος ἐπιβουλῆς κατὰ λύουσι κατ' ἐμοῦ· ἀλλ' ὅμως πρὸς τὴν αὐτῶν παρανομίαν οὐκ ἐρεθίζομαι, ταῖς σαῖς ἐντολαῖς ῥυθμιζόμενος. ο. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σε ἐμελέτησα. Ἔοικε τοῦτο τῷ προφητικῷ ῥητῷ, ἐπαχύνθη γὰρ ἡ καρδία τῦ λαῦ τούτε, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τὲς ὀφθαλμοὺς ἐκάμμυσαν. ἔοικε δὲ καὶ τοῖς ἐν τῇ Ἐξόδῳ περὶ τοῦ Φαραὼ εἰρημένοις, καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ. ἐκεῖνοι μὲν οὖν, φησὶν, ἀντίτυπον ἐχήκασι τὴν καρδίαν, αὐτοὶ τὸ ἀπαλὸν αὐτῆς σκληρὸν ἐργασάμενοι, καὶ καθάπερ γάλα πήξαντες, καὶ τυρώσαντες· ἐγὼ δὲ τῇ μελέτῃ τοῦ νόμου σε προστέτηκα. οα. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Χάριν ὁ προφήτης ὁμολογεῖ, τοῖς αὐτηροτέροις τοῦ ἰατροῦ φαρμάκοις, τὴν ἐντεῦθεν γενομένην καταμαθὼν ὑγίειαν. οβ. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σε, ὑπὲρ χιλιάδας χρυσίε καὶ ἀργυρίε. Εἰ γὰρ καὶ τῆς βασιλείας ἀπὸ τοῦ παιδὸς ἐξηλάθην, ἀλλὰ διὰ τῆς παιδείας τὸν σὸν νόμον ἀνεκτησάμην, ὃν τοῦ πλούτε παντὸς τιμιώτερον ἔχω. ογ. Αἱ χεῖρές σε ἐποίησάν με, καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σε. Τῆς περὶ τὴν ἀνθρωπείαν φύσιν φιλοσοργίας ἀναμιμνήσκει τὸν ποιητήν. λόγῳ γὰρ ἅπαντα τεκτηνάμενος αὐτὸς λέγεται διαπλάσαι τῶν ἀνθρώπων τὴν φύσιν, οὐ χερσὶ χρησάμενος, ἀσώματος γάρ· ἀλλὰ τὴν πλείονα περὶ τόδε τὸ ποίημα διάθεσιν ἐνδειξάμενος. ἱκετεύει τοίνυν

τοίνυν τὸν διαπλάσαντα χορηγῆσαι τῷ ποιήματι σύνεσιν. οδ'. Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σε ἐπήλπισα. Πρόφασίς φησιν εὐφροσύνης τοῖς εὐσεβέσι γενήσομαι, ἐλπίσας εἰς σὲ, καὶ κατάλληλον εὑρὼν τῇ ἐλπίδι τὸ τέλος. οε'. Ἔγνων Κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Ταῦτα διαφερόντως λέγει τὴν οἰκείαν εὐγνωμοσύνην δεικνύς. οἶδά φησιν ἀκριβῶς, ὡς ὀρθῶς με καὶ δικαίως κατεψηφίσω, καὶ ταῖς παντοδαπαῖς περιέβαλες συμφοραῖς. οσ'. Γενηθήτω δὲ τὸ ἔλεός σου Κύριε, τοῦ παρακαλέσαι με. Ἀλλὰ φιλανθρωπίας λοιπὸν καὶ ψυχαγωγίας καιρός. Κατὰ τὸ λόγιόν σε τῷ δούλῳ σου. Τῇ γὰρ μεταμελείᾳ χρωμένοις τὴν σὴν εὐμένειαν ἐπηγγείλω· τοῦτο καὶ διὰ Ἡσαΐου ἔφη· ὅταν ἀποστραφῇς καὶ στενάξῃς, τότε σωθήσῃ. καὶ διὰ τοῦ Ἱερεμίου βοᾷ, ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. οζ'. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σε, καὶ ζήσομαι· ὅτι ὁ νόμος σε μελέτη μέ ἐστιν. Νεκρὸν ἑαυτὸν ἡγεῖται τῆς θείας ἐσερημένον εὐμενείας· οὗ δὴ χάριν ὥσπερ ἀναβιῶναι διὰ τῆς θείας φιλανθρωπίας παρακαλεῖ. οή. Αἰσχυνθήτωσαν ὑπερήφανοι ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεχήσω ἐν ταῖς ἐντολαῖς σου. Οὐκ ἐπαρᾶται τοῖς ἐχθροῖς, ἀλλ' ὑπερεύχεται τούτων· ἡ γὰρ αἰσχύνη σωτηρίαν πραγματεύεται· ἧς τοίνυν ἀπήλαυσεν ἰατρείας, κἀκείνους τυχεῖν ἀξιοῖ. οθ'. Ἐπιστρεψάτωσάν μοι οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Ὡς πόρρω τῆς χορῆς τῶν δικαίων διὰ τὴν ἁμαρτίαν γενόμενος, καὶ πάντων αὐτῶν τῷ Θεῷ παραπλησίως ἀποστραφέντων, ἱκετεύει πάλιν αὐτοῖς ἑνωθῆναι, καὶ τὴν πρὸς αὐτὸς κοινωνίαν ἀπολαβεῖν. τοῦτο γὰρ ὁ Σύμμαχος σαφέστερον παρεδήλωσεν, ἀναστρεψάτωσάν με οἱ φοβούμενοί σε. π'. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σε, ὅπως ἂν μὴ αἰσχυνθῶ. Μόνῃ παντὸς ἐλευθέραν ἔχειν καρδίαν ἐφίεται. ἡ τοιαύτη γὰρ αἰσχύνης ἀπήλλακται· διό τοι τοῦτο καὶ εὐθὺς ἀρξάμενος τῷ ψαλμῷ τοὺς ἀμώμους ἐμακάρισεν. πά'. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, ὅτι εἰς τοὺς λόγους σε ἐπήλπισα. Οἱ σφόδρα τι πεθοῦντες, καὶ ἐσερημένοι τῆς πεθουμένης, ἐκλείπειν φασίν. ὕστως οἱ ἄγαν διψῶντες, καὶ σπανίζοντες ὕδατος. οὕτως οἱ τινὰ τῶν γνωρίμων ἐξ ἀποδημίας προσμένοντες, ἰμείρονται μὲν ἀεὶ, καταλήκονται δὲ τῷ πόθῳ διαμαρτάνοντες· ὕστω καὶ οἱ συμφορᾶις τισὶ προσπαλαίοντες, καὶ τὴν θείαν εὐμένειαν προσμένοντες, ἀναβαλλομένην ταύτην ὁρῶντες ἐκλείπουσιν. πβ'. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σε, λέγοντες, πότε παρακαλέσεις με; Λόγιον καὶ ὑπόχεσις ἡ θεία καλεῖται, καὶ ἡ θεόπνευστος γραφή. ἐκλείπει τοίνυν οὐ μόνον ὁ τὴν ὑπόχεσιν τὴν θείαν ἀναμένων, καὶ τὴν λύσιν τῶν ἐπικειμένων κακῶν προσδεχόμενος· ἀλλὰ καὶ ὁ τοῖς θείοις ἐντυγχάνων λογίοις, καὶ τὴν τούτων διάνοιαν καταμαθεῖν ἀκριβῶς ἐφιέμενος· καὶ παράκλησιν καὶ ψυχαγωγίαν ὑπολαμβάνει τὴν εὕρεσιν. πγ'. Ὅτι ἐγενήθην ὡς

ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ὁ ἀσκὸς θερμαινόμενος χαυνοῦται, καὶ ψυχόμενος ἐξογκοῦται· ἐν δὲ τῇ πάχνῃ σκληρύνεται καὶ πήγνυται· οὕτω καὶ τοῦ σώματος ἡ φύσις· χαυνοῦται μὲν τῇ τρυφῇ, καὶ ἐξογκοῦται, καὶ κατὰ τῆς ψυχῆς ἐξανίσταται· τῆς δὲ ἀσκητικῆς κακοχίας ταπεινοῦται καὶ πιέζεται. καὶ τούτου μάρτυς ὁ Παῦλος βοῶν, ἀλλ' ὑποπιέζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. τοι γάρ τοι καὶ ὁ προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, κρείττων ἦν τῶν παθῶν· εἰρήνης δὲ ἀπολαύσας, τοῖς ἀπὸ τῆς τρυφῆς ἐβλάβη σκιρτήμασι, ταπεινώσας τὸ σῶμα, τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. πδ'. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν. Ὀλίγος, φησὶν, τῆς ἀνθρωπίνης φύσεως ὁ χρόνος· αἱ γὰρ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· πότε τοίνυν μοι δικάσεις, καὶ τῶν δυσμενῶν ἀπαλλάξεις; πέ. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε. Τῷ μὲν προφήτῃ τοὺς ἐχθροὺς ἀνελεῖν συνεβούλευσαν· αὐτὸς δὲ τῷ θείῳ νόμῳ πειθόμενος, τὴν θείαν ψῆφον ἀνέμενεν. ἀλλὰ καὶ ἡμῖν τῶν λογίων τούτων διδασκαλία χρησιμωτάτη. προσήκει γὰρ φυγεῖν οὐ μόνον τοὺς Ἑλλήνων μύθους, καὶ τὴν Ἰουδαίων ἀπιστίαν, ἀλλὰ καὶ τῶν αἱρετικῶν τὰ βλάσφημα δόγματα. πς'. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Διὰ τοῦτο γάρ σε προαιροῦμαι τὸν νόμον, ἐπειδὴ πάσας σε τὰς ἐντολὰς ἀληθείας κοσμουμένας ὁρῶ. Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. πζ'. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Πολλὴ φησὶν ἡ ἀδικία, καὶ ἡ δυναστεία τῶν δυσμενῶν. καὶ αὐτῆς γάρ με μικροῦ δεῖν ἐξέρησαν τῆς ζωῆς. πή. Κατὰ τὸ ἔλεός σε ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Ταπεινοφροσύνη τὸν λόγον ἐκόσμησεν. οὐ γὰρ τῆς δικαιοσύνης ἀντίδοσιν ᾔτησε τὴν ζωὴν, ἀλλὰ δῶρον ἐλέους ταύτην λαβεῖν ἠντιβόλησε, φυλάττειν ὑποχόμενος τοῦ Θεοῦ τὰ μαρτύρια. πθ'. Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. Πάντα γάρ φησι ῥᾳδιά σοι τῷ Δεσπότῃ καὶ δυνατά. τὸ πρόσταγμα γὰρ τὸ σὸν ἀκίνητα φυλάττει τῶν οὐρανῶν τὰ κύτη. τοῦτο δὲ καὶ τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ ὀγδόῳ ἔφη ψαλμῷ· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. αἰνίττεται δὲ κατὰ ταυτὸν, ὡς τῶν ἀγγέλων οἱ δῆμοι τὸν οὐρανὸν κατοικοῦντες τὸν θεῖον διαφυλάττουσι νόμον, καὶ παραβάσεως εἰσὶν ἁπάσης ἐλεύθεροι. ϟ'. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ταύτην γὰρ καὶ τῇ τῶν Ἰουδαίων ἐφύλαξας γενεᾷ, καὶ τῇ ἑτέρᾳ τῇ μετ' ἐκείνην γεγεννημένῃ· λέγει δὲ τὸν ἐξ ἐθνῶν λαὸν, τὸν διὰ τὸ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς σωτηρίας τετυχηκότα. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. ϟά. Τῇ διατάξει σου διαμένει ἡ ἡμέρα. Ἐδωκας τῇ γῇ τὸ ἐπιπλεῖσον διαρκὲς, καὶ μεμέ-

μεμένηκεν ὡς προσέταξας· διώρισας ἀπὸ τῆς νυκτὸς τὴν ἡμέραν, καὶ κατὰ τοὺς σοὺς ὁδεύει νόμους. Ὅτι τὰ σύμπαντα δοῦλα σά. Πάντα γάρ σοι δουλεύει, καὶ τοῖς σοῖς νεύμασιν εἴκει· σὺ γὰρ ὁ δημιουργὸς τῶν ὅλων. λβ'. Εἰ μὴ ὅτι ὁ νόμος σε μελέτη μέ ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Ταῦτα ἕκαστος εἴποι ἂν τῶν εὐσεβῶν περιπεσὼν συμφοραῖς· καὶ Ἰωσὴφ δουλείαν, μοιχείαν, καὶ συκοφαντίαν φυγών· καὶ Δανιὴλ εὔξασθαι κωλυθεὶς· καὶ οἱ τρεῖς ἐκεῖνοι προσκυνῆσαι καταναγκαζόμενοι τὴν εἰκόνα· καὶ οἱ νικηφόροι μάρτυρες παντοδαπῆς τιμωρίας ὑπομείναντες εἴδη. εἰκότως δὲ ταῦτα ἔφη ὁ μακάριος Δαβίδ, ἐξελαθεὶς μὲν ὑπὸ τῦ Σαὴλ, ἀλλοφύλοις δὲ καὶ δυσσεβέσιν ἀνθρώποις συνδιάγειν ἀναγκαζόμενος. ἐκοινώνησε γὰρ ἂν τῆς ἀσεβείας, εἰ μὴ τῶν θείων νόμων συμπεριέφερε τὴν μελέτην. λγ'. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με. Τῇ πείρᾳ γὰρ μαθὼν, ὅτι ζωὴν τὰ σὰ δικαιώματα φύει, ἄσβεστον τούτων διατηρήσω τὴν μνήμην. λδ'. Σός εἰμι ἐγὼ, σῶσόν με· ὅτι τὰ δικαιώματά σε ἐξεζήτησα. Οὐ πάντες ταύτη κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ· ψεύδεται γὰρ τῆς ἁμαρτίας ὢν ὁ δοῦλος τῦ Θεῦ ἑαυτὸν ὀνομάζων· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. ἐὰν τοίνυν ἐκείνης ἀπαλλαγέντες, τοὺς θείους προελώμεθα νόμους, ταύτῃ κεχρῆσθαι δυνάμεθα τῇ φωνῇ. λε'. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. Τὸ ὑπέμειναν, προσεδόκησαν ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων εἶπαν. ἐκεῖνοι μὲν ἤλπισάν με παραδοῦναι θανάτῳ· ἐγὼ δὲ τοῖς σοῖς προσέχων μαρτυρίοις τὴν ἐντεῦθεν ἐκαρπούμην ζωήν. λϛ'. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σε σφόδρα. Ὁ δὲ Σύμμαχος οὕτως· πάσης κατασκευῆς εἶδον πέρας, εὐρύχωρος ἡ ἐντολή σε σφόδρα. πάντα, φησὶ, τὰ ἀνθρώπεια, καὶ πλοῦτος, καὶ περιουσία, καὶ δυναστεία, καὶ ἡγεμονία, καὶ στρατηγία, τυραννίδες καὶ βασιλεῖαι, τέλος ἔχουσι, καὶ τέλος ταχύ· ἡ δὲ σὴ ἐντολὴ πλατεῖά ἐστι, καὶ ἀνώλεθρος, καὶ τοῖς φυλάττουσι προξενεῖ τὸν ἀπέραντον ἐκεῖνον καὶ αἰώνιον βίον, καὶ τὰ ἀγαθὰ μεταβολὴν εὐδαιμίαν δεχόμενα. λζ'. Ὡς ἠγάπησα τὸν νόμον σου Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μέ ἐστίν. Οὐ πᾶς τὸν θεῖον νόμον πληρῶν ἀγαπῶν τοῦτον πληροῖ, ἀλλὰ οἱ μὲν δέει καὶ φόβῳ τῆς τιμωρίας, οἱ δὲ δόξαν τὴν παρὰ ἀνθρώπων θηρώμενοι. οἱ δὲ γνήσιοι τῆς ἀρετῆς ἐρασταὶ τῇ περὶ τὰ ἀγαθὰ διαθέσει πληροῦν ἐπείγονται τὰ θεῖα προστάγματα. λή. Ὑπὲρ τὲς ἐχθρές με ἐσόφισάς με τὴν ἐντολήν σε, ὅτι εἰς τὸν αἰῶνά ἐμοί ἐστιν. Θερμῶς τὸν θεῖον ἀγαπᾶν ὁ προφήτης ὁμολογήσας νόμον, τῇ θείᾳ χάριτι τὸ πᾶν ἀνατίθησι. παρά σε γάρ φησι σοφίαν καὶ γνῶσιν δεξάμενος, τὸν σὸν ἔσερξα νόμον· πλείονα γάρ μοι τῶν ἐχθρῶν εἴδησιν ἔδωκας. διὸ οἱ μὲν ἀνελεῖν με σπουδάζουσιν, ἐγὼ δὲ οὐδὲ ἀμύνασθαι τοὺς ἀδικοῦντας ἀνέχομαι. τὸ γὰρ αἰώνιον τῆς ἀρετῆς φαντάζομαι κέρδος. λθ'. Ὑπὲρ πάν-

πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι μαρτύριά σε μελέτη μέ ἐστιν. ρέ. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Βασιλέων ἴδιον τὸ διδάσκειν, τὸ δὲ διδάσκεσθαι, τῶν ἀρχομένων. ἐβασίλευσεν ὁ Σαὺλ, πρεσβύτερος ἦν καὶ τῷ χρόνῳ. ἀλλ' ὅμως οὔτε ἡ ἐξουσία τῆς βασιλείας, οὔτε τῆς ἡλικίας ὁ χρόνος, σωφρονεῖν αὐτὸν παρεσκεύαζεν, ἀλλὰ τὸν εὐεργέτην ἀνελεῖν ἐπεθύμει. ὁ δὲ μέγας Δαυὶδ, τοῖς ὑπηκόοις ἔτι συντεταγμένος, καὶ νέαν ἄγων τὴν ἡλικίαν, τὴν φιλοσοφίαν ἠγάπησε, καὶ ἔτε ἄρξαι χειρῶν ἀδίκων ἠνέχετο, ἔτε τὸς ἀδικοῦντας ἀμύνασθαι. ρά. Ἐκ πάσης ὁδῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μέ, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Οὔτε γὰρ δυνατὸν δύο κατὰ ταὐτὸν ὁδεύειν ὁδὸς, ἀκολασίας καὶ σωφροσύνης, δικαιοσύνης καὶ ἀδικίας· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν εὐθεῖαν ὁδεῦσαι. οὕτω γὰρ οἷόν τε γίνεσθαι τῶν θείων φύλακας λόγων. ρβ. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Σὲ γὰρ τούτων ἐπισάμενος νομοθέτην, μετὰ πάσης αὐτὰ διαθέσεως ἠσπαζόμην. ργ. Ὡς γλυκέα τῷ λάρυγγί μέ τὰ λόγιά σε, ὑπὲρ μέλι τῷ στόματί μου. Οὐ γὰρ οὕτως ἡδύνει με τὴν τῦ στόματος αἴσθησιν ἡ γλυκύτης τῦ μέλιτος, ὡς εὐφραίνει με τὴν ψυχὴν ἡ τῶν σῶν λογίων μελέτη. τὸν γὰρ λάρυγγα τέθεικεν, ὡς ὄργανον ὄντα φωνῆς· διὰ φωνῆς δὲ ἡ μελέτη. τούτοις δὲ ἡ ψυχὴ κεχρημένη τὴν ἐντεῦθεν ὠφέλειαν καρποῦται. ρδ. Ἀπὸ τῶν ἐντολῶν σε συνῆκα· διὰ τῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Συνεὶς γὰρ τίσιν ἀρέσκη, ἀπεξεάφην ἅπαντα τῆς κακίας τὰ εἴδη. ρέ. Λύχνος τοῖς ποσί μου ὁ νόμος σε, καὶ φῶς τοῖς τρίβοις μου. Οὐ γὰρ ἐν σκότει βαδίζω, οἷόν τινι λύχνῳ τῷ σῷ φωτιζόμενος νόμῳ· εἰδέναι μέντοι χρὴ, ὡς ὁ μὲν νόμος λύχνος ὠνόμασαι, ὁ δὲ σωτὴρ καὶ Κύριος ἡμῶν δικαιοσύνης ἥλιος. ὁ μὲν γὰρ οἷα δὴ λύχνος μόγις ἐν κατηύγασεν ἔθνος· ὁ δὲ πᾶσαν τὴν οἰκεμένην ἐφώτισεν. ἔτω καὶ τὸν θεσπέσιον Ἰωάννην λύχνον προσηγόρευσεν ὁ Δεσπότης Χριστὸς, ἔτι νυκτὸς οὔσης ἐπιφανέντα τοῖς Ἰεδαίοις. ἔπειτα δὲ τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀνέτειλεν. καὶ τοὺς ἱεροὺς ἀποστόλους φῶς προσηγόρευσεν, ὡς ἐκείνου τῦ φωτὸς μετειληφότας, καὶ πάντας ἀνθρώπες φωτίσαντας διὰ τῆς αὐτῶν διδαχῆς. ρέ. Ὤμοσα, καὶ ἔστησα τῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὴν βεβαίαν τῆς ψυχῆς κρίσιν ὅρκον ὠνόμασεν, ἐπειδὴ ὅρκῳ βεβαιοῦται τῶν πραγμάτων τὰ πλεῖστα. ρζ. Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Οὐχ ἁπλῶς ἔφη τεταπεινῶσθαι, ἀλλὰ σφόδρα τεταπεινῶσθαι· καὶ ταῦτα βασιλεὺς ὢν καὶ προφήτης, καὶ τὴν ἀπὸ τῆς ἀρετῆς παῤῥησίαν ἔχων, καὶ πλούτῳ κομῶν, καὶ τῶν πολεμίων κρατῶν. ἀλλ' οὔτε τῇ σοφίᾳ, ἔτε τῇ ἀνδρείᾳ, οὔτε τῇ δικαιοσύνῃ θαῤῥῆσαι ἠνέχετο πώποτε· τῆς δὲ θείας ταῦτα χάριτος ὑπελάμ-

βανε

βαίνε δῶρα· καὶ ζωὴν δὲ αὐτῶν δοῦναι δυνάμενον, οὐκ ἀορίστως αἰτεῖ, ἀλλὰ τὴν λογικὴν, τὴν ἔννομον, τὴν τῷ θείῳ νόμῳ λαμπρυνομένην. ρή. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, καὶ τὰ κρίματά σου ἐδίδαξόν με. Τῶν τῆς ἀρετῆς κατορθωμάτων τὰ πλεῖστα μὲν οἱ θεῖοι νόμοι διαγορεύουσιν· ἔνια δὲ καὶ ἡ γνώμη προστίθησιν. οὕτω καὶ τῶν θυσιῶν τὰ μὲν νομικὰ, τὰ δὲ γνωμικά. τὰ μὲν γὰρ περὶ ἁμαρτίας, καὶ πλημμελείας, καὶ περὶ ἀγνοίας, ὁ νόμος προσφέρειν ἐκέλευσεν, καὶ ταῦτα οἷόν τι χρέος ἀπεδίδοτο τῷ Θεῷ. τὰ δὲ τῇ φιλοτιμίᾳ τῆς γνώμης προσφερόμενα, δῶρα προσηγόρευσεν. οὕτω καὶ νῦν, τὴν μὲν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, οἱ εὐαγγελικοὶ διαγορεύουσι λόγοι· παρθενίαν δὲ, καὶ μετὰ γάμον ἐγκράτειαν, καὶ ἀκτημοσύνην, καὶ μονήρης βίος, καὶ ἡ ἐν ἐρήμοις διαγωγὴ, τῆς γνώμης ἔργα, τοῦ νόμου ὑπερπηδῶντα. τὰ τοιαῦτα τοίνυν ὁ προφήτης ἑκούσια προσηγόρευσεν. οὐ γὰρ οὐχ ὑπόκειται νόμων ἀνάγκη, ἀλλὰ φιλοθέᾳ γνώμης ὑπάρχει καιρὸς, εἰκότως ἑκούσια προσηγόρευται. ρθ'. Ἡ ψυχή μὲ ἐν ταῖς χερσί σε διὰ παντὸς, καὶ τὸ νόμου σε οὐκ ἐπελαθόμην. Ὑπὸ τῆς σῆς γὰρ προνοίας φερόμενος, τὴν λήθην τῶν σῶν ἐξώρισα νόμων. ρί. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σε οὐκ ἐπλανήθην. Πολλὰς καὶ παντοδαπὰς καὶ ἄνθρωποι καὶ δαίμονες ἐπιβελάς μοι τυρεύουσιν· ἐγὼ δὲ τὴν ἀπλανῆ τῶν σῶν ἐντολῶν πορείαν προειλόμην ὁδεύειν. ριά. Ἐκληρονόμησα τὰ μαρτύριά σε εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μέ εἰσιν. Κλῆρον αἰώνιόν τε καὶ ἄσυλον τὰ μαρτύριά σε εἶναι πιστεύων, ἐπὶ τῇ κτήσει τούτων ἀγάλλομαί τε καὶ εὐφραίνομαι. ριβ'. Ἔκλινα τὴν καρδίαν μὲ τὸ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Τρυτάνῃ ἔοικε τὸ τῆς ψυχῆς βουλευτήριον· κατέχει δὲ τὴν τρυτάνην ὁ νοῦς ἡγεμονεύειν λαχών. ἐὰν τοίνυν τοῖς εὐσεβέσι προσθῆται λογισμοῖς, ἀνάγκη κλίνειν ἐπὶ τὰ ἀμείνω τὰ ζυγά. τοῦτο δεδρακέναι ὁ προφήτης φησίν· ἔκλινα τὴν καρδίαν μὲ, τὸ ποιῆσαι τὰ δικαιώματά σε εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. τὸ γὰρ ἐκ τούτων φυόμενον θεασάμενος κέρδος, ἀσπασίως τὰς ὑπὲρ τούτων ἀνεδεξάμην ἱδρῶτας. καὶ διδάσκων ὅπως τὰ θεῖα προεῖλετο, ἐπήγαγε· ριγ'. Παρανόμες ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Τοὺς γὰρ παρανομεῖν ὑποτιθεμένες ἀποσεισάμενος λογισμοὺς, τὸν σὸν προτετίμηκα νόμον. ριδ'. Βοηθός μὲ καὶ ἀντιλήπτωρ μου εἶ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Οὐ δίχα δὲ τοῦτο τῆς σῆς βοηθείας κατώρθωσα, ἀλλὰ τῆς σῆς ἀπολαύσας ῥοπῆς, καὶ τῇ σῇ ἐλπίδι τρεφόμενος. ριέ. Ἐκκλίνατε ἀπ' ἐμὲ πονηρεύομενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τὲ Θεὲ μου. Ταῦτά φησι καὶ τοῖς αὐτόποις ἔλεγον λογισμοῖς, καὶ τοῖς τὰ φαῦλα συμβουλεύειν ἐπιχειροῦσιν, ὅτι μηδεμίαν μοι τοιαύτην ὑποτίθεσθε συμβουλήν. ἐμοὶ γὰρ κατὰ τὰς θείας ἐντολὰς προαιρετέα ζωή· οὐχ ἁπλῶς δὲ ταύταις ἀκολουθήσω, ἀλλὰ μετὰ πάσης αὐτὰς ἀκριβείας ἀνερευνήσω.

ὥστε μηδέν με τούτων λαθεῖν, ἀλλὰ πάντα πληρῶσαι, ὅσα τῶν ἄλλων ὁ Κύριος ἐνετείλατο. ριϛ'. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Τοῦτον τοίνυν ἔχοντα τὸν σκοπὸν τῆς σῆς προνοίας ἀξίωσον, ἵνα μὴ διαμαρτὼν τῆς ἐλπίδος αἰσχύνης ἀναπλησθῶ· τὸ δὲ λόγιον ἐνταῦθα τὴν ὑπόσχεσιν λέγει, ἀντὶ τοῦ, τὴν ἐπαγγελθεῖσαν μοι παράσχου σωτηρίαν. ριζ'. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Καὶ γὰρ τυχεῖν τῆς σωτηρίας τῶν σῶν δικαιωμάτων οὐκ ἀμελήσω, ἀλλὰ διαπαντὸς τὴν τούτων μελέτην ποιήσομαι· μελέτην δὲ λέγει, οὐ τὴν ἐν λόγοις μόνον, ἀλλὰ καὶ τὴν ἐν ἔργοις. ριή. Ἐξουδένωσας πάντας τοὺς ἀποσατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Ταύτην δὲ περὶ τὰς σὰς ἐντολὰς χήσω τὴν προθυμίαν, ἐπονειδίσους καὶ καταγελάστους γεγενημένους τοὺς τούτων παραβάτας εἰδώς. ριθ'. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Ἀντὶ τοῦ παραβαίνοντας, ὁ μὲν Θεοδοτίων εἰς οὐδὲν εἴρηκεν· ὁ δὲ Σύμμαχος σκωρίαν· ὁ δὲ προφήτης δεδήλωκεν, ὡς ἐξουθενῶν καὶ αὐτὸς τῷ Θεῷ παραπλησίως τοὺς παραβάτας, πᾶσαν προθυμίαν εἰς τὴν ἐκπλήρωσιν τῶν θείων λογίων προσήνεγκεν· ὥστε δὴ τὴν τῆς παρανομίας ζημίαν εἰδώς. ρκ'. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἡ ψυχή μου, φησὶ, τὸν σὸν περίκειται φόβον· ἀλλ' ἐπειδὴ τὸ σῶμα κατεξανίσταται ταύτης, καὶ τὰ τούτου μέλη, παρακαλῶ τοῦτο καθηλωθῆναι τῷ φόβῳ· ὥστε αὐτὰ νεκρὰ τῇ ἁμαρτίᾳ γενόμενα, τῇ τῆς ψυχῆς ἀκολουθεῖν ποδηγίᾳ· τοῦτο ἔοικε τῷ ἀποστολικῷ ἐκείνῳ ῥητῷ, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· καὶ πάλιν, Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ρκά. Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Τοῖς σοῖς, φησὶν, ἀκολουθεῖν προελόμενος νόμοις, μὴ γένωμαι τοῖς δυσμενέσιν εὐάλωτος. τίς δὲ νῦν ἔχει τοσαύτης ψυχῆς καθαρότητα, ὥστε σὺν παῤῥησίᾳ τοιούτοις χρήσασθαι λόγοις; τέτοις μέν τοι καὶ ὁ θεῖος ἀπόστολος προσόμοια εἴρηκεν, ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν. ρκβ'. Ἐκδέξαι τὸν δοῦλόν σου, εἰς ἀγαθόν. Ὁ δὲ Σύμμαχος, ἀνάδεξαί με εἰς ἀγαθὸν τὸν δῆλόν σε. ὁ δὲ Ἀκύλας, καὶ ὁ Θεοδοτίων, ἐγγύησαι· ἀντὶ τοῦ, ἀληθεύων ἐ ψεύδομαι, πίστευσον ὑποχομένῳ τῷ δήλῳ σε· αὐτὸς ἐγγυητὴς γένε τῆς ἐμῆς ὑποχέσεως, ὅτι σὲ πληρῶσαι σπουδάσω τὲς νόμους. Μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Ἀλγεινὸν ἡ συκοφαντία, κἂν μέγαν ἔχῃ μισθόν. ταύτῃ καὶ ὁ θαυμάσιος περιπέπλωκεν Ἰωσὴφ, καὶ ἕτεροι μυρίοι· παρακελεύεται δὲ καὶ ὁ Κύριος εὔχεσθαι μὴ

μὴ εἰσελθεῖν εἰς πειρασμόν. εὐδὲν ἂν ἀπεικὸς εὐδὲ ὁ προφήτης πεποίηκε, ταύτην αἰτήσας τὴν αἴτησιν. διαφερόντως γὰρ ἡ τῶν ἀλαζόνων καὶ δυνατῶν συκοφαντία χαλεπωτέρα. ἀδικία γὰρ προσλαβοῦσα τὴν δυναστείαν μείζονα τὴν λώβην ἐργάζεται. ρκγ'. Οἱ ὀφθαλμοί μὲ ἐξέλιπον εἰς τὸ σωτήριόν σε, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Πάλιν ἐνταῦθα λόγιον τὴν ὑποχεσιν καλεῖ. δηνεκῶς, φησὶ, τὴν παρά σε σωτηρίαν προσμένω, καὶ τῆς ὑποχέσεως ἀναμένω τὸ τέλος. τὸ δὲ ἐξέλιπον τέθεικε, τὴν ἐπιτεταμένην ἐπιθυμίαν δηλῶν. ρκδ'. Ποίησον μετὰ τοῦ δέλε σε κατὰ τὸ ἔλεός σε, καὶ τὰ δικαιώματά σε δίδαξόν με. Ὁ τοσαύτης ἀρετῆς ἐργάτης ἐλέους τυχεῖν ἀξιοῖ, καὶ διὰ τοῦτο σωτηρίας ἀπολαῦσαι αἰτεῖ. καὶ ἐκ ἀπαιτεῖ μισθὸν, ἀλλὰ φιλανθρωπίαν αἰτεῖ. ρκε'. Δοῦλός σε εἰμὶ ἐγὼ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Πάντες μὲν ἄνθρωποι φύσει δοῦλοι Θεοῦ, διαθέσει δὲ οἱ τοῦ Θεοῦ τὴν δεσποτείαν ἀσπασίως αἱρέμενοι. ταύτης ὢν τῆς συμμορίας ὁ προφήτης δοῦλον ἑαυτὸν ὀνομάζει, καὶ συνέσεως ἀξιωθῆναι παρακαλεῖ, ὥστε γνῶναι τοῦ Θεοῦ τὰ μαρτύρια. ρκς'. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ὁ πάντα σταθμῷ καὶ μέτρῳ πρυτανεύων Θεὸς φέρει μὲν ἐπὶ πλεῖον τῶν ἀνθρώπων τὰς ἁμαρτίας· ὅταν δὲ αὐξηθεῖσαν ἴδῃ τῇ μακροθυμίᾳ τὴν πονηρίαν, τότε τὴν τιμωρίαν ἐπάγει. τοῦτο τοίνυν καὶ ἐνταῦθα φησὶ· καιρὸς διανεστῆναι εἰς ἐπικυρίαν τῶν ἀδικουμένων ὦ Δέσποτα· κομιδῇ γάρ σου τὸν νόμον ἐπάτησαν οἱ πολέμιοι. ρκζ'. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σε ὑπὲρ χρυσίον καὶ τοπάζιον. Ἐκεῖνοι μὲν οὖν τοῦ σοῦ κατεφρόνησαν νόμου. ἐγὼ δὲ ἀξιεραστοτέρας ἡγοῦμαι τὰς σὰς ἐντολὰς χρυσίου, καὶ λίθων πολυτελῶν. τῶν γὰρ τιμίων λίθων τοπάζιος· ἀπὸ δὲ τοῦ ἑνὸς παρεδήλωσεν ἅπαντας. εἰκὸς δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦτον προτιμᾶσθαι τῶν ἄλλων. ρκή. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. Ὁ γὰρ πόθος τὴν προθυμίαν ἐργάζεται· ἡ δὲ προθυμία τὴν μὲν εὐθεῖαν παρευνεῖν ὁδὸν παρεσκεύαζε, τὴν δὲ τῆς ἀδικίας ἐμυσάττετο τρίβον. ρκθ'. Θαυμασὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησε ταῦτα ἡ ψυχή μου. Ἔδεξεν ὡς ὲ μάτην τούτων ἠράσθη· ἀξιάγαστα γὰρ φησὶν ἔστι, καὶ ἱκανὰ καταθέλξαι, καὶ εἰς ἔρωτα διεγεῖραι τοὺς κατιδεῖν δυναμένους· καὶ πόθεν τούτων κατέμαθες ἀρετήν; ρλ'. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους. Τῷ σῷ, φησὶ, καταυγαζόμενος φωτὶ ταύτην ἐδεξάμην τὴν γνῶσιν. καὶ πάντας δὲ τοὺς ἀγνοίᾳ κατεχομένους, καὶ βλέφεσιν ἐοικότας, ὁ σὸς νόμος συνέσεως ἐμφορεῖ. ρλα'. Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σε ἐπεπόθουν. Στόμα ἐνταῦθα καλεῖ τῆς διανοίας τὴν προθυμίαν. αὕτη γὰρ ἕλκει τὴν χάριν τοῦ πνεύματος. καὶ γὰρ ἀλλαχοῦ φησί· πλάτυνον τὸ στόμα σε, καὶ πληρώσω αὐτό. καὶ ὁ θεῖος ἀπόστολος, ἐν ἀνοίξει

τῷ σώματος λόγον δοθῆναι παρεκάλεσε· καὶ αὐτὸς δὲ ὁ προφήτης ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. τοῦτο καὶ ἐνταῦθα ἔφη, τὸ στόμα μὲ ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. γλιχόμενόν με γὰρ τῶν σῶν ἐντολῶν θεασάμενος τῆς σῆς ἠξίωσας χάριτος. ρλϐ'. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τῆς θείας εὐμενείας ἱκετεύει τυχεῖν, οὐχ ἁπλῶς, ἀλλ' ὡς εἰωθὰς φησι τοῖς ἀγαπῶσί σε παρέχειν τὸν ἔλεον. τοῦτο γὰρ εἶπε, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σε· ἀντὶ τοῦ, τῆς ἴσης τούτοις ἀπολαῦσαι ψήφου παρακαλῶ. ρλγ'. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου· καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Ἡμῶν γὰρ προσκρουόντων τὴν προθυμίαν, καὶ θεοῦ παρέχοντος τὴν βοήθειαν, καὶ τὴν πορείαν εὐθύνοντος, χώραν ἐκ ἔχει τῆς ἁμαρτίας ἡ δυναστεία. ρλδ'. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Καὶ ὁ δεσπότης Χριστὸς τοὺς ὀνειδιζομένους καὶ συκοφαντιζομένους ζηλωτὰς καὶ μακαρίους ἐκάλεσεν· ἀλλὰ καὶ εὔξασθαι παρεγγύησε μὴ εἰσελθεῖν εἰς πειρασμόν. συμβαίνει τοίνυν τοῖς εὐαγγελικοῖς νόμοις καὶ τῷ προφήτῃ ἡ προσευχή. ρλε'. Τὸ πρόσωπόν σε ἐπιφάνον ἐπὶ τὸν δοῦλόν σε, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Ἀσώματον μὲν τὸ θεῖον, καὶ ἁπλοῦν, καὶ ἀσύνθετον. σωματικώτερον δὲ καὶ παχύτερον ἡ θεία γραφὴ περὶ αὐτοῦ διαλέγεται, τῇ φύσει τῇ τῶν ἀνθρώπων μετροῦσα τὰς λόγους. τοιγαροῦν τῷ θείᾳ προσώπῳ τὴν ἐπιφάνειαν νοητέον τὴν λύσιν τῶν λυπηρῶν, καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν. ρλϛ'. Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. Ἀποστολικὸς καὶ ἔτος ὁ νόμος, εἰ γὰρ πάσχει, φησὶν, ἓν μέλος, συμπάσχει φησὶ πάντα τὰ μέλη· τὴν εὐαγγελικὴν τοίνυν ὁ προφήτης μετέρχεται τελειότητα, τὰς τῶν ἄλλων παρανομίας ὀλοφυρόμενος. διεξόδους δὲ ὑδάτων τὸ πλῆθος τῶν δακρύων ἐκάλεσεν, ἀντὶ τοῦ, κρουνηδὸν ἔφερον τὰ δάκρυα, τὰς τῶν ἀνθρώπων παρανομίας θεώμενος. ρλζ'. Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. ρλή'. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Δικαίως ἅπαντα διέπεις, ὦ Δέσποτα, καὶ τῶν ἀνθρώπων κηδόμενος, καὶ δικαιοσύνης ἐργάτας ἀποφῆναι βουλόμενος. καὶ νόμον ἔδωκας, καὶ διαμαρτύρῃ τοῖς παραβαίνουσι, ὁποίας τίσουσι δίκας, καὶ ὑπισχνῇ τοῖς φυλάττουσι τὰς ἀγαθὰς ἀντιδόσεις, καὶ βεβαιοῖς τὰς ἐπαγγελίας τοῖς ἔργοις. τοῦτο γὰρ δηλοῖ τὸ ἀλήθειαν σφόδρα. ρλθ'. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Καὶ τοὺς παρανομίας συζῶντας ὁ προφήτης θρηνεῖ, καὶ καταφρονέμενον ὁρῶν τὸν νομοθέτην, ἐνδίκως ἀγανακτεῖ. ἦτος ὁ ζῆλος τὸν Φινεὲς ἀνεκήρυξεν. ἦτος τὸν μέγαν Ἠλίαν ἀοίδιμον ἀπετέλεσε. τοῦτο πυρπολούμενος „ὁ καλλίνικος„ Στέφανος τὴν Ἰουδαίων ἀπιστίαν διήλεγξε. τοῦτον

ἐν

ἐν ἑαυτῷ περιφέρων ὁ θεσπέσιος Παῦλος ἐβόα λέγων, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ ὁ μακάριος δὲ Λευκᾶς περὶ αὐτοῦ φησὶν, ὡς ἐν Ἀθήναις συνείχετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. ρμέ. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Δόκιμός φησιν ἐστὶ καὶ ἀκίβδηλος ὁ σὸς λόγος, καὶ μώμου παντὸς ἐλεύθερος. ἐγὼ δὲ περὶ τοῦτον θερμὸν ἔχω τὸ φίλτρον. ρμά. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡνίκα τῷ θείῳ Σαμουὴλ παρηγγύησεν ὁ Θεὸς ἕνα τῶν παίδων τοῦ Ἰεσσαὶ βασιλέα χειροτονῆσαι, τοὺς μὲν ἄλλους καὶ ῥώμῃ, καὶ δυνάμει, καὶ κάλλει σώματος κεκοσμημένους ἀπεδοκίμασεν ἅπαντας, ἤρετο δὲ τοῦ Ἰεσσαὶ εἰ ἐκλελοίπει τὰ παιδάρια· τοῦ δὲ εἰρηκότος, ὑπολελεῖφθαι μειράκιον σμικρὸν, ὃ ποιμαίνει τὰ ποίμνια, καὶ ὡς ἀνάρμοστον βασιλείᾳ· ἐκέλευσεν ὁ προφήτης τοῦτον ἀχθῆναι, καὶ ἔχρισεν ἀφικόμενον παραχρῆμα. ταύτης ἐνταῦθα τῆς δωρεᾶς ὁ προφήτης ἐμνήσθη, καὶ φησὶ, καὶ νέον ὄντα με, καὶ τοῖς γεγενημένοις εὐτελῆ νομισθέντα, σὺ τοσαύτης ἠξίωσας χάριτος, καὶ προφήτην ὑμοῦ καὶ βασιλέα πεποίηκας· ἃ δὴ χάριν σὺν πάσῃ προθυμίᾳ τὰ σὰ φυλάττειν ἐφίεμαι δικαιώματα. ρμβ'. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Ὁ τοῖς ἀνθρωπίνοις νόμοις πειθόμενος ἐδὲ κατὰ τὸν παρόντα βίον τῆς παρὰ τῶν νομοθετούντων ἀπολαύει τιμῆς· ὁ δὲ ταῖς θείαις ἀκολουθῶν ἐντολαῖς, μισθὸν ἔχει τῶν πόνων τὴν ζωὴν τὴν αἰώνιον. καὶ οἱ νόμοι δὲ οἱ ἀνθρώπειοι οὐ πάντως πάντες τὸ δίκαιον ἔχουσιν· ὁ δὲ τοῦ Θεοῦ νόμος ἀληθείᾳ λαμπρύνεται· εἰκότως τοίνυν ἔφη, ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. ρμγ'. Θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με. Ταῦτα γὰρ συνέζευκται τοῖς ἐραστοῖς τῆς ἀρετῆς. Αἱ ἐντολαί σου μελέτη μου. Ἐκ τῆς γὰρ τούτων διδασκαλίας τὴν ἀνδρίαν μανθάνω, καὶ φέρω γενναίως τὰ λυπηρά. ρμδ'. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. Ἀντὶ τοῦ, πρόξενα τῶν αἰωνίων ἐστὶν ἀγαθῶν. Συνέτισόν με, καὶ ζήσομαι. Ὑπὸ σοῦ γὰρ φωτιζόμενος τῆς ἀληθοῦς ζωῆς ἀπολαύσομαι. ρμέ. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Κραυγὴν πάλιν τὴν τῆς ψυχῆς προθυμίαν καλεῖ. διὰ τοῦτο προστέθεικε τὸ ἐν ὅλῃ καρδίᾳ μου. οὕτω καὶ Μωσῆς ἐβόα σιγῶν· καὶ προσευχομένῳ κατὰ διάνοιαν ὁ Θεὸς ἔφη, τί βοᾷς πρὸς ἐμέ; ρμς'. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Παρά σου γὰρ τὴν σωτηρίαν δεχόμενος, φύλαξ τῶν σῶν γενήσομαι νόμων. ρμζ'. Προέφθασα ἐν ὠρίᾳ, καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Βασιλεὺς ὢν ὁ προφήτης, καὶ μυρίαις φροντίσι περικλυζόμενος, καὶ πολεμικοὺς πρὸς ταύταις ἀναδεδεγμένος ἀγῶνας, οὐ μόνον ἡμέρας ὑπολαμπούσης τῷ Θεῷ τὰς

ἱκετείας προσέφερεν. ἀλλὰ καὶ μεσούσης νυκτὸς, ἐκ ἀναμένων τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. ὅτως ἐπόθει τὸν πεποιηκότα Θεὸν, ὅτω προθύμως τὴν ἐκεῖθεν ἤτει βοήθειαν. ρμή. Προέφθασαν οἱ ὀφθαλμοί μὲ πρὸς ὄρθρον, τῦ μελετᾶν τὰ λόγιά σου. Οὐ μόνον δὲ κατὰ τὸν τῦ γλυκέως ὕπνου καιρὸν, ἀλλὰ καὶ παρὰ τὸν ὄρθρον, τῶν θείων νόμων ἐπεποίητο μελέτην. ἡμεῖς δὲ πενίᾳ συζῶντες, καὶ πάσης φροντίδος ἀπηλλαγμένοι, ἐπὶ τῆς κλίνης διανυκτερεύομεν καλινδούμενοι, καὶ ἐδὲ ἀρχομένης ἡμέρας τῷ δωτῆρι τῶν ἀγαθῶν τὸν ὕμνον προσφέρομεν. ρμθ. Τῆς φωνῆς μὲ ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Ὁ τοσούτοις κομῶν ἀγαθοῖς ἐλέου τυχεῖν ἀξιοῖ, καὶ ἐκ ἀορίστως αἰτεῖ τὸν ἔλεον· ἀλλὰ κατὰ τὴν ὠνησιφόρον ψῆφον. ρν. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. Πόρρω γὰρ τῶν θείων νόμων εἰσὶν οἱ τῷ δικαίῳ πειρώμενοι πολεμεῖν. ὁ ἀθετῶν γὰρ ὑμᾶς, φησὶν, οὐχ ὑμᾶς ἀθετεῖ, ἀλλὰ τὸν ἀποστείλαντα ὑμᾶς· καὶ ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι. ρνά. Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Ὁρᾷς, φησὶν, ἅπαντα Κύριε· οὐ γὰρ ἀφέστηκας, ἀλλὰ τὴν οἰκουμένην πληροῖς, καὶ ἀληθείᾳ χρώμενος πρυτανεύεις τὴν κτίσιν. τῦτο καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ προφήτου φησὶ, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ ὁ Θεὸς πόρρωθεν. καὶ ὁ μακάριος Παῦλος, ἐν αὐτῷ, φησὶ, ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. ρνβ. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Μαρτύρια καλεῖ τὸν ἐρανὸν, καὶ τὴν γῆν· καταβὰς φησι διεμάρτυρε αὐτοῖς τὸν ἐρανὸν, καὶ τὴν γῆν. διὰ τοῦτο καὶ Μωσῆς ὁ μέγας τῆς ᾠδῆς ἀρχόμενος ἔφη, πρόσεχε οὐρανὲ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. ἐν δὲ τούτοις ὁρᾶται διηνεκῶς ἡ τῦ Θεῦ πρόνοια· μετὰ πολλῆς γὰρ ὁδεύει τάξεως ἅπαντα. ἐντεῦθέν φησιν ἔγνων ἀκριβῶς, ὡς ἐγγὺς εἶ σὺ, καὶ παρεῖ τοῖς γινομένοις, καὶ λανθάνει σε τῶν πραγμάτων ὀδέν. ρνγ. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τῦ νόμου σου ἐκ ἐπελαθόμην. Ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν ἐρανῶν. ταύτῃ καὶ ὁ θεῖος προφήτης τὰς ἄλλας ἐκόσμησεν ἀρετάς· καὶ ταύτην προϊχόμενος τὴν θείαν ἐπαγγέλλει βοήθειαν. ρνδ. Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με. Τῶν ὑποχέσεων τὸν Δεσπότην ἀναμιμνήσκει, καὶ παρ' αὐτοῦ τὴν σωτηρίαν αἰτεῖ, καὶ κρῖναι αὐτῷ καὶ τοῖς δυσμενέσιν ἀντιβολεῖ. ρνέ. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου ἐκ ἐξεζήτησαν. Τῆς παρά σου, φησὶ, σωτηρίας σφᾶς αὐτοὺς ἐστέρησαν οἱ παρανομίᾳ συζῶντες, μὴ βληθέντες καταμαθεῖν τίνα πράττειν ἐνομοθέτησας. ρνς. Οἱ οἰκτιρμοί σε πολλοὶ Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Πολὺς τῆς σῆς φιλανθρωπίας ὁ πλοῦ-

ὁ πλοῦτος· δικαία σου ἡ ψῆφος. τὴν ἀπὸ τούτων σωτηρίαν αἰτῶ. ρνζ'. Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Οὐδὲ πολλάκις, φησὶ, περιτοιχιζόμενος συμφοραῖς, τῶν ὑπό σε νενομοθετημένων ἠνεχόμην τι παραβῆναι· καὶ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν εἰρηκότες ἔφαμεν, ὡς πάντα ὁ θεῖος Δαβὶδ τὰ συμβεβηκότα αὐτῷ ἐν τῷδε συνήγαγε τῷ ψαλμῷ· καὶ ὅτι τὰ μὲν ἁρμόττει τοῖς ὑπὸ τῆ Σαοὺλ προγεγενημένοις αὐτῷ λυπηροῖς· τὰ δὲ τοῖς ὑπὸ τῆ Ἀβεσσαλώμ. ταῦτα μέν τοι δῆλον ὡς ὑπὸ τοῦ Σαοὺλ διωκόμενος εἴρηκε. τηνικαῦτα γὰρ τῆς ἁμαρτίας ἀπείραστος ἦν. ρνή. Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. Οὕτως ὁ μακάριος Παῦλος Ἰουδαίους ὠδύρετο. οὕτως αὐτὸς ὁ Δεσπότης τὴν Ἱερουσαλὴμ ὠλοφύρετο, οὕτως ὁ θεῖος Ἱερεμίας τὴν τοῦ λαοῦ παρανομίαν ἐθρήνησεν. ρνθ'. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα Κύριε, ἐν τῷ ἐλέει σε ζῆσόν με. Συνεχῶς ἐντολῶν, καὶ νόμων, καὶ δικαιωμάτων μνημονεύει, καὶ μαρτυριῶν, τῶν περὶ ταῦτα πόθον δεικνύς. ρξ'. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἀψευδεῖς ἔχεις τὰς ὑποχέσεις· ἀληθείᾳ τὰς σὰς ἐπαγγελίας κοσμεῖς, ἔργῳ βεβαιοῖς τοὺς λόγους· ἀρχὴν δὲ λόγων καλεῖ τὰς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας. ἐξ ἐκείνε γὰρ τὸ Ἰουδαίων συνέστη γένος· ἀλλ' ἐπλήρωσε τὰς ὑποχέσεις, καὶ πῦξησε τὸν λαὸν ὡσεὶ τὰ ἄστρα τῆ οὐρανοῦ τῷ πλήθει, καὶ ἐν τῷ σπέρματι αὐτοῦ ηὐλόγησε κατὰ τὰς ἐπαγγελίας πάντα τὰ ἔθνη. τοῦτο γὰρ παρεδήλωσεν εἰρηκὼς, εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. προφήτης γὰρ ὢν ἑώρα τῆ Χριστῆ τὸ αἰώνιον κράτος. διὸ καὶ ἀληθείας ἔφη κεκοσμῆθαι τὴν τῶν θείων λογίων ἀρχήν. ρξά. Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Τοὺς πολεμοῦντας, φησὶ, καὶ διώκοντας ἐκ ἐφοβήθην, τοὺς δὲ σὰς ἐδεισα νόμους. διὸ καὶ καθεύδοντα τὸν πολέμιον εὑρὼν, ἀνελεῖν ἐκ ἐτολμήθην· καὶ τὸν πατραλοίαν δὲ ἐκεῖνον καὶ μυσαρὸν παῖδα οἰκτείρων, ἔλεγον Φείσασθαί μοι τοῦ παιδαρίου. ρξβ'. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λογιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἐπειδὴ πολεμίων ἐμνημόνευσε διωκόντων, εἰκότως καὶ τῶν σκύλων τὴν μνήμην παρήγαγε. λέγει δὲ, ὅτι πάντας εἰ ἀνεῖλον ἐκείνους, καὶ σκυλεύσας πλεῖστα ὅσα συνήγαγον λάφυρα, ἐκ ἂν ὅτως ηὐφράνθην, ὡς τοῖς σοῖς ἐπαγαλλόμενος νόμοις. ρξγ'. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα. Ἀληθὴς καὶ οὗτος ὁ λόγος· ὁ γὰρ θερμῶς περὶ τὰ θεῖα διακείμενος τἀναντία μυσάττεται. ρξδ'. Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Τινὲς τὸ ἑπτάκις πλειστάκις ἡρμήνευσαν· καὶ τοῦτο δὲ κἀκεῖνο τὸν θερμὸν ἔρωτα τῆ προφήτου δηλοῖ. τῆς γὰρ θείας ὑμνῳδίας ἐκ ἐλάμβανε κόρον.

ρξέ. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σε, καὶ ἐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Οἱ

Οἱ τῷ θείῳ πυρπολούμενοι φίλτρῳ, καὶ τὴν πρὸς αὐτὸν εἰρήνην διὰ τῆς τῶν ἐντολῶν προσκτώμενοι φυλακῆς, κἂν ὑπὸ πάντων ἀνθρώπων πολεμῶνται, θυμήρη ζῶσι ζωήν. καὶ μάρτυς ὁ θεσπέσιος Παῦλος βοῶν, ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορέμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. καὶ ὁ Κύριος δὲ τοὺς ἱερεῖς ἀποστόλους, ὡς πρόβατα ἐν μέσῳ λύκων, εἰς πᾶσαν ἀποστείλας τὴν οἰκουμένην, ἔφη πρὸς αὐτούς· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ρξ'. Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. Οὐδὲ συμφορᾶς περιστοιχιζόμενος ἀπέκοψα τὰς χρηστοτέρας ἐλπίδας· ἀλλὰ τὴν σὴν ἀναμένων διετέλεσα σωτηρίαν, καὶ ταῖς σαῖς ἑπόμενος ἐντολαῖς. ρξ'. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σε, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. ρξή. Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου Κύριε. Εἰδὼς γὰρ ὡς ἅπαντα ἐφορᾷς, ὡς ὑπὸ σοὶ θεατῇ πολιτευόμενος, ἐ μόνον ἐπλήρωσά σε τὰς ἐντολάς, ἀλλὰ καὶ μελὰ θερμῆς τοῦτο δέδρακα διαθέσεως. ρξθ'. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. Πᾶσαν τὴν ἱκετείαν προσενεγκών, ἀντιβολεῖ δεχθῆναι καὶ μὴ ἀποβριφθῆναι τὴν δέησιν· καὶ παρακαλεῖ σύνεσιν λαβεῖν, οὐκ ἀνθρωπίνην, ἀλλὰ τῶν θείων λογίων τὴν γνῶσιν. ρό. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σε ῥῦσαί με. Ἀξίωμα τὴν ἱκετείαν καλεῖ· τοῦτο γὰρ καὶ παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευτάς. διαφόροις μέν τοι χρώμενος λόγοις, τὸν Δεσπότην μειλίσσεται. ροά. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Κατάλληλος ἡ ἐρυγὴ τῇ τροφῇ· τὰ γὰρ σά φησι μανθάνων δικαιώματα, σοὶ τῷ τῶν τοιούτων διδασκάλῳ προσοίσω τὴν ὑμνῳδίαν. ροβ'. Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. Εἰς μελέτην τῶν σῶν λογίων τὴν γλῶτταν ἀφιερώσω, εἰδὼς πάσῃ σου δικαιοσύνῃ κεκοσμημένας τὰς ἐντολάς. ρογ'. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἠρετισάμην. Ὁ μὲν Σύμμαχος εἴλομην, ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων ἐξελεξάμην εἰρήκασι· χεῖρα δὲ καλεῖ τὴν θείαν ἐνέργειαν, ὑφ' ἧς ἀντιβολεῖ τῆς θείας σωτηρίας τυχεῖν. ροδ'. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σε μελέτη μου ἐστί. Ἰμέρομαί φησι παρά σου σωτηρίας τυχεῖν, τὸν σὸν νόμον μελέτην ἔχων ἐνδελεχῆ. ροέ. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Οἶδα δὲ ὡς ἐχ ἁμαρτήσομαι τῆς ἐλπίδος, ἀλλὰ τῆς ἀληθοῦς ζωῆς παρά σου τεύξομαι, καὶ αἰνέσω σε τὸν δοτῆρα τῶν ἀγαθῶν. ροϛ'. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. Τοῦτο καὶ τῷ προφήτῃ λέγειν μετὰ τὴν ἁμαρτίαν ἥρμοσεν, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων Φύσει. Ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου

οὐκ

ἐκ ἐπελαθόμην. Εἰ γὰρ ἦ παρέβη τινὰς, ἀλλὰ λήθην τούτων οὐκ ἐδέξατο παντελῆ. ἀλλὰ ταύτην μὲν ὁ προφήτης προσενήνοχε τὴν εὐχήν· τετύχηκε δὲ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις τῆς σωτηρίας. ἔδραμε γὰρ ὁ καλὸς ποιμὴν ἐπὶ τὸ πλανώμενον πρόβατον, καὶ περιελθὼν τὰ ὄρη, καὶ τοὺς βουνὲς· παρὰ ταῦτα γὰρ ἐπλανᾶτο λατρεῦον τοῖς δαίμοσιν· εὗρε καὶ ἐπὶ τῶν ὤμων ἐπανήγαγεν· καὶ εὐφράνθη ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις· ἡμεῖς δὲ τῷ ψαλμῷ τὴν ἑρμηνείαν ἐν κεφαλαίῳ ποιησάμενοι, παρακαλοῦμεν τοὺς ἐντυγχάνοντας, μὴ ἀρκεθῆναι τοῖς γεγραμμένοις, μηδὲ νομίσαι μόνον ταῦτα τῷ προφήτῃ προσήκειν· ἀλλ' ἕκαστον τὴν πρόσφορον ἐκ τούτων ὠφέλειαν λαβεῖν, καὶ φάρμακον ἀλεξητήριον τοῖς οἰκείοις κατασκευάσαι παθήμασιν.

ΕΡΜΗΝ. ΤΟΥ ριθ' ΨΑΛΜΟΥ.

ά. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ὁ Θεοδοτίων ᾄσμα τῶν ἀναβάσεων, ὁ δὲ Σύμμαχος καὶ ὁ Ἀκύλας, εἰς τὰς ἀναβάσεις. δηλοῦσι μέν τοι αἱ ἀναβάσεις, ἢ οἱ ἀναβαθμοὶ, τῷ αἰχμαλωτευθέντος λαοῦ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον. προειδυῖα γὰρ ἡ χάρις τῷ πνεύματος, καὶ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐσομένην ἐλευθερίαν, καὶ ταῦτα κἀκεῖνα προείρηκε· κἀκείνων ὠφέλειαν μηχανωμένη, καὶ ἡμῖν τὸ ἐντεῦθεν προσφέρουσα κέρδος. οὐ τὰ αὐτὰ δὲ ἕκαστος τῶν ἀναβαθμῶν προθεσπίζει, ἀλλὰ ὁ μὲν τὰς ἐν Βαβυλῶνι συμφορὰς, ὁ δὲ τῆς ἐπανόδου τὰ εὐαγγέλια· ὁ δὲ τὴν κατὰ τὴν ὁδὸν εὐφροσύνην· ἄλλος τοὺς μετὰ τὴν ἐπάνοδον γεγενημένους πολέμους· ἕτερος τοῦ ναοῦ τὴν οἰκοδομήν· καὶ τὸ ποικίλον τῆς προφητείας ἐξελαύνει τῆς μελῳδίας τὸν κόρον. ἕκαστος δὲ τούτων ἐχημάτισε τῶν ψαλμῶν εἰς τὸν τῶν τηνικαῦτα γεγενημένων ἁγίων χορόν. ἐκείνης γὰρ ὁ προφητικὸς εἰσάγει λόγος τὰ προκείμενα λέγοντας. ὁ μέν τοι πρῶτος τῶν ἀναβαθμῶν, καὶ τὰς συμφορὰς ἐξηγεῖται, καὶ τὴν θείαν εὐμένειαν. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Καὶ τὸ μέγεθος τῆς ἀνίας ἐδίδαξε τὸ προοίμιον, καὶ τὴν τῆς θείας φιλανθρωπίας ὑπερβολήν· ἀνιώμενος γάρ φησιν ἐδεήθην τοῦ Δεσπότου, καὶ τῆς εὐμενείας ἀπήλαυσα· εἶτα λέγει καὶ τίσιν ἐχρήσατο λόγοις δεόμενος. β'. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Ἱκετεύω, φησὶ, τῶν ἀδίκως ἐπιβουλευόντων, καὶ δολεραῖς κεχρημένων ἀπάταις ἀπαλλαγῆναι· τοιοῦτοι ἦσαν περὶ τῆς εὐχῆς πάγας τῷ Δανιὴλ τεθεικότες, οἱ πικροὶ τῶν κατὰ τὸν Ἀνανίαν κατήγοροι. γ'. Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; δ'. Τὰ βέλη τοῦ δυνατοῦ ἡκονημένα, σὺν τοῖς ἀνθραξὶ τοῖς ἐρημικοῖς. Ἡ χάρις τοῦ πνεύματος ἐνταῦθα τοὺς ἀθυμοῦντας ψυχαγωγεῖ, καὶ τὴν δικαίαν ψῆφον ὑποδείκνυσιν ἐκφερομένην κατὰ τῶν κεχρημένων τῷ δόλῳ. δυνατὸν μὲν γὰρ καλεῖ τὸν τῶν ὅλων Θεόν· βέλη δὲ δυνατοῦ, τῶν τιμωριῶν τὴν ὀξύτητα· ἐκ μεταφορᾶς τῶν 5) ἐφιεμένων βελῶν, καὶ ῥᾳδίως τὸν ἀέρα τεμνόντων. ἀνθρακιὰς δὲ ἐρημικοὺς, τὸ τῆς τιμωρίας

ας σφοδρόν τε, καὶ δαπανητικὸν, καὶ ἐρημοποιόν. τοιαύτη γὰρ τῷ πυρὸς ἡ φύσις· ἀντὶ τοῦ, μὴ ἀθύμει ὑπὸ τῆς ἀδίκου γλώττης βαλλόμενος· εὐτρεπεῖς γὰρ αἱ παρὰ τοῦ δικαίου κρίτου πεμπόμεναι τιμωρίαι, καὶ βελῶν ὀξύτητα, καὶ ἀνθράκων ἐρημοποιῶν μιμούμεναι τὴν ἐνέργειαν. ε'. Οἴ μοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. Ταῦτά φησιν ἔλεγον προσευχόμενος, καὶ τούτων ἀκούσας ὁ φιλάνθρωπος ᾠκτειρε. παροικίαν δὲ καλεῖ τὴν ἐν τῇ ἀλλοτρίᾳ διαγωγήν. ὁ δὲ ἑβδομηκοστὸς χρόνος μακρὸς εἰκότως ἐνόμισαι· τοσαύτην γὰρ τὴν τελείαν τῶν ἀνθρώπων ὁ προφήτης ἔφη ζωήν· αἱ ἡμέραι γάρ φησι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Ὁ Κηδὰρ δεύτερος τοῦ Ἰσμαὴλ υἱὸς, οἱ δὲ τούτου ἀπόγονοι οὐ πόρρω τῆς Βαβυλῶνος μέχρι τήμερον ἐσκήνωνται. ἐπειδὴ τοίνυν ἄνωθεν ἐναντίως διετέθησαν πρὸς ἀλλήλους· ἔκβαλε γάρ φησι τὴν παιδίσκην, καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ· εἰκότως σφᾶς αὐτοὺς ὀλοφύρονται, ὡς τῆς μὲν προτέρας ἐκπεσόντες ἐλευθερίας, ἐγγὺς δὲ τῶν ἡμιδέλων διάγοντες, καὶ δελεύειν ἠναγκασμένοι. ς'. Πολλὰ παῴκησεν ἡ ψυχή μου. Μακρὸς φησι τῆς παροικίας ὁ χρόνος. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. Ἐνταῦθα μὲν Βαβυλωνίων μοχθηρίαν διδάσκει. εἰδὲν γάρ φησιν ἔχοντες ἐγκαλεῖν ἐπεβούλευον, καὶ τοῖς εἰρήνην ἀσπαζομένοις ὡς πολεμίοις ἐχρήσαντο.

ΕΡΜΗΝ. ΤΟΥ ρκ' ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Τοῖς ἐν Βαβυλῶνι ἔτι διάγουσι καὶ οὗτος πρόσφορος ὁ ψαλμός. α'. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ὑπὸ πολλῶν καὶ παντοδαπῶν περιτοιχιζόμενος ἀλγεινῶν, πάντοθεν περιῆγον τοὺς ὀφθαλμοὺς, ἐπικουρίας τινὸς ἀπολαῦσαι ποθῶν. β'. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἀλλ' οἶδα ὡς ἀνθρωπίνης μὲν οὐδεμιᾶς ἐροπῆς ἀπολαύσω, ἀπόχρη δέ μοι μόνη τοῦ Θεοῦ ἡ εὐμένεια· καὶ δεικνὺς τῆς βοηθείας τὸ δυνατὸν ἐπήγαγε· Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ γὰρ ταῦτα τεκμηράμενος λόγῳ ἱκανὸς ἐπαρκέσαι κἀμοί. ἐντεῦθεν αὐτοῖς τὸ πρακτέον ὁ προφήτης ἐξηγεῖται. γ'. Μὴ δῴη εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Εἰ μείνοις, φησὶ, βεβαίαν ἔχων εἰς αὐτὸν τὴν ἐλπίδα, πάσης παρ' αὐτοῦ τεύξῃ κηδεμονίας. τὸ μέν τοι, οὐ νυστάξῃ ὁ φυλάσσων σε, ἀνθρωπίνως τέθεικεν, ἐκ μεταφορᾶς τῶν κατὰ ποίμνια, καὶ στρατείας, καὶ πόλεις ἐπιμελῶς φυλαττόντων. ὅτι γὰρ ἀπαθὴς ἡ θεία φύσις, διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν. δ'. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Φύσει μὲν ἄγρυπνος ὁ φύλαξ, σοῦ δὲ σαλευομένου, καὶ αὐτὸς οἷόν τινα νυσταγμὸν δέξεται τὴν ἀμέλειαν. οὐκ ἔτι γάρ σου φροντίσει, ἀλλὰ τοῖς ἐπιβλεύειν προηρημένοις προήσεται. ε'. Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου. Τοῦτο καὶ ἐν τῷ ΙΕ' ἔφη ψαλμῷ, προωρώμην τὸν Κύριον ἐνώπιόν μου

διὰ

διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μὲ ἐστὶν, ἵνα μὴ σαλευθῶ. καὶ ἐνταῦθα τοίνυν φησὶν, ὅτι παρὰ τὴν δεξιάν σου χεῖρα γενόμενος, καὶ σκεπάσει, καὶ φρουρήσει, καὶ πάσης ἀξιώσει προνοίας. ς'. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Φασὶ τὴν σελήνην μὴ μόνον ὑγρὰν, ἀλλὰ καὶ θερμὴν εἶναι, καὶ καίειν ὁμοίως τῷ ἡλίῳ τὰ σώματα· λέγει δὲ, ὅτι καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν, τῆς παρ' αὐτοῦ προνοίας ἀπολαύων, ἀβλαβὴς φυλαχθήσῃ. ἀναμιμνήσκει δὲ αὐτοὺς καὶ παλαιᾶς ἱστορίας. καὶ γὰρ ἡνίκα τῆς Αἰγυπτίων δουλείας ἠλευθερώθησαν, τῇ νεφέλῃ σκιαζόμενοι, τῆς ἡλιακῆς φλογὸς οὐκ ἐλάμβανον πεῖραν. ζ'. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σε ὁ Κύριος. η'. Κύριος φυλάξει τὴν εἴσοδόν σε, καὶ τὴν ἔξοδόν σε, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Τὴν παντοδαπὴν τοῦ Θεοῦ πρόνοιαν διὰ τῶν εἰρημένων ἐδήλωσεν· ἧς παρούσης, κρείττους τῶν πολεμούντων γινόμεθα δυσμενῶν, καὶ τὰς τῶν ὁρατῶν καὶ ἀοράτων διαφεύγομεν πάγας.

ΕΡΜΗΝ. ΤΟΥ ρκά ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Τοὺς μὲν προειρημένους τοῖς ἀθυμοῦσιν ὁ προφήτης προσήρμοσε· τοῦτον δὲ τὸν μετὰ χεῖρας, τοῖς ἤδη δεξαμένοις τῆς ἐπανόδου τὰ εὐαγγέλια, καὶ τῆς περιποθήτου πορείας ἁψαμένοις. γεγηθότες γὰρ, καὶ χορεύοντες, πρὸς ἀλλήλους φασίν. α'. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα. Εὐσεβείας αὖτη φωνή· γάνυνται γὰρ καὶ χαίρουσιν, οὐχ ὡς τὰς οἰκίας ἀπολειψόμενοι, ἀλλ' ὡς τὸν θεῖον οἶκον ὀψόμενοι. β'. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ἤδη, φησὶν, ἐξάναι δοκοῦμεν ἐν ταῖς ἱεραῖς ἐκείναις αὐλαῖς, καὶ τὰς θείας λειτουργίας ἐπιτελεῖν. γ'. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ὁ δὲ Σύμμαχος ἔτως, Ἱερουσαλὴμ τὴν οἰκοδομουμένην, ὡς πόλιν συνάφειαν ἔχουσαν. ἡ γὰρ νῦν ἔρημος, καὶ ἐσκεδασμένας ἔχουσα οἰκίας, καὶ πάλιν ἀνθήσει, καὶ πυκνωθήσεται, καὶ τοὺς προτέρους ἀπολήψεται περιβόλους. δ'. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου· μαρτύριον τοῦ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Ἐπὶ τοῦ Ῥοβοὰμ διηρέθησαν αἱ φυλαὶ, καὶ τῆς Δαβιτικῆς αἱ δέκα βασιλείας ἀπεχωρίσθησαν· μετὰ δὲ τὴν ἐπάνοδον μία γέγονεν ἡγεμονία, καὶ εἰς τὴν Ἱερουσαλὴμ συνέτρεχον ἅπαντες κατὰ τὸν θεῖον νόμον, τῷ Θεῷ τὴν συνήθη λειτουργίαν προσφέροντες. τοῦτο τοίνυν ὁ προφήτης ἐνταῦθα προθεσπίζει, ὅτι αἱ φυλαὶ τὴν προτέραν ὁμόνοιαν ἀπολήψονται, καὶ εἰς τὴν Ἱερουσαλὴμ συνδραμοῦνται, συνήθως τὸν Θεὸν ἀνυμνοῦντες. μαρτύριον δὲ τὸν θεῖον ἐκάλεσε νόμον, τὸν διαῤῥήδην κελεύοντα συντρέχειν τὸν Ἰσραὴλ εἰς τὸν τόπον, οὗ ἂν ἐκλέξηται Κύριος ὁ Θεός. ε'. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. Προθεσπίσας τὰ θεῖα, προθεσπίζει καὶ τὰ ἀνθρώπεια. ἐπειδὴ γὰρ ἐν Ἱεροσολύμοις οὐ μόνον ὁ θεῖος ᾠκοδομήθη νεὼς, ἀλλὰ καὶ τὰ βασίλεια· καὶ ἐκεῖ συνέτρεχον ἅπαν-

ἅπαντες τὰ ἀμφισβητούμενα διαλύοντες, ἀναγκαίως καὶ τοῦτο προηγόρευσεν ὁ προφήτης· ὅτι οὐκ εἰς τὴν Σαμάρειαν αἱ δέκα Φυλαὶ δραμοῦνται· ἀλλ' ὥσπερ ἐπὶ τοῦ Δαβὶδ ἐκεῖνο εἶχον ἀκλινὲς δικαστήριον, οὕτω καὶ μετὰ τὴν ἐπάνοδον ἐκεῖ ἅπαντες ἀθροισθήσονται. ς'. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Ὁ δὲ Σύμμαχος οὕτως· ἀσπάσασθε τὴν Ἱερεσαλήμ, ἠρεμήσουσιν οἱ ἀγαπῶντές σε, ἀντὶ τοῦ, εἰρήνης ἀπολαύσαντες βαθείας, ἀσπάσασθε τὴν οἴκησιν τῆς Ἱερουσαλήμ. ἐν πάσῃ γὰρ θυμηδίᾳ οἱ ταύτην ἀγαπῶντες διατελοῦσι. ζ'. Γενέσθω δὲ εἰρήνη ἐν τῇ δυνάμει σε, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ὁ δὲ Σύμμαχος οὕτως, εἴη εἰρήνη ἐν τῷ περιβόλῳ σε, ἡσυχία ἐν τοῖς βασιλείοις σε. ἐπεύχεται δὲ αὐτῇ ὁ θεῖος Δαβὶδ τὰ ἀγαθὰ, ὥστε καὶ τοὺς περιβόλους, καὶ τὰ βασίλεια, καὶ τὰς ἐν αὐτῇ οἰκίας, πάσης ἀπολαύειν εἰρήνης. η'. Ἕνεκα τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περί σου. θ'. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι. Ταῦτα δέ φησιν ἐπεύχομαί σοι, οὐκ αὐτὸς ἐν σοὶ πολιτευόμενος· πῶς γὰρ ὅ γε πρὸ πολλοῦ χρόνου τῷ βίῳ τὸ πέρας δεξάμενος; ἀλλὰ τοὺς ὁμοφύλους ἱμειρόμενος εἰρήνης τυχεῖν, καὶ τὸν οἶκον τοῦ Θεοῦ μου τὴν προτέραν περιφάνειαν ἀπολαβεῖν ἐφιέμενος.

ΕΡΜΗΝ. ΤΟΥ ρκβ' ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Καὶ οὗτος ὁ ψαλμὸς τῶν τηνικαῦτα δικαίων δείκνυσι τὴν εὐσέβειαν. α'. Πρός σε ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Πάσης ἀνθρωπίνης βοηθείας καταφρονήσας, τὴν σὴν ὦ Δέσποτα προσμένω ἔκβασιν, καὶ τῆς σῆς προνοίας ἐξήρτημαι· σὲ γὰρ οἶδα Δεσπότην τῶν οὐρανῶν. κατοικεῖν δὲ αὐτὸν ἐν οὐρανῷ ἔφη, οὐχ ὡς τόπῳ περιγραφόμενον, ἀλλ' ὡς τὸν ἀοράτοις δυνάμεσι ταῖς τὸν οὐρανὸν οἰκούσαις ἐπευφραινόμενον. β'. Ἰδοὺ ὡς ὀφθαλμοὶ δέλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν. Καθάπερ γὰρ φησιν οἰκέται εἰς τὰς τῶν δεσποτῶν ἀποβλέπουσι χεῖρας, ἅτε δὴ τὰς ἀφορμὰς ἐκεῖθεν δρεπόμενοι τῷ βίῳ· οὕτω καὶ ἡμεῖς Δέσποτα παρά σου προσμένομεν λαβεῖν τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν. τῆς μέντοι παιδίσκης οὐ ταυτολογῶν ἐμνημόνευσεν, ἀλλὰ τῆς διαθέσεως δεικνὺς τὴν ἐπίτασιν. πλέον γὰρ τῶν παίδων αἱ παιδίσκαι, ἅτε δὴ ταῖς δεσποιναις ἐν τοῖς θαλάμοις συνεσαι, διηνεκῶς προσέχειν ταύταις εἰώθασι, καὶ τὴν παρ' αὐτῶν ποθοῦσιν εὐμένειαν. Ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Οὐ ῥητῷ γὰρ χρόνῳ τήνδε τὴν ἐλπίδα περιορίζομεν, ἀλλὰ προσμένομεν ἕως ἂν ἀξιωθῶμεν φειδοῦς. γ'. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς. Ὁ διπλασιασμὸς δηλοῖ τὸ θερμὸν τῆς αἰτήσεως. Ὅτι ἐπιπολὺ ἐπλήσθημεν ἐξουδενώσεως. δ'. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Αἰτεῖμεν δὲ φησι τὸν ἔλεον, οὐχ ὡς ἄξιοι τούτου τυχεῖν, ἀλλ' ὡς ἐπονείδιστοι λίαν γενόμενοι. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Ὁ δὲ

δὲ Σύμμαχος οὕτως, ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν ἐπιλαλούντων τῶν εὐθηνούντων, ἐξευτελιζόντων τῶν ὑπερηφάνων. τῶν γὰρ ἀλαζόνων Βαβυλωνίων ἐπιτωθαζόντων ἡμῖν, καὶ ἐπικερτομούντων, ἡμεῖς ἀνιώμεθα. κατὰ δὲ τοὺς ἑβδομήκοντα οὕτω νοητέον· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουθένωσις τοῖς ὑπερηφάνοις· ἀντίστροφόν φησι τὰ πράγματα Δέσποτα, καὶ τοῖς ἀλαζονευομένοις νῦν, δι' ἣν περίκεινται εὐκληρίαν, τὰς ἡμετέρας ἐπάγαγε συμφοράς.

ΕΡΜΗΝ. ΤΟΥ ρκγ'. ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, ἅπαντες οἱ πλησιόχωροι, δυσχεράναντες τὴν τῶν Ἰουδαίων ἐλευθερίαν, κοινῇ τὸν πρὸς αὐτοὺς ἀνεδέξαντο πόλεμον, καὶ βάρβαρα ἔθνη συναγαγόντες, καὶ τὰ ταὐτὸν αὐτοῖς ἐπεστράτευσαν, ἐλπίσαντες καὶ αὐτὴν αὐτῶν κατασβέσειν τὴν μνήμην. ἀλλὰ πάλιν ὁ τῶν ὅλων Θεὸς τοῖς μὲν οἰκείοις ἐπήρκεσε, τοὺς δὲ πολεμίους κατηκόντισεν ἅπαντας. λέγουσι δὲ ταῦτα τῶν προφητῶν οἱ πλείους, καὶ Ἰωὴλ, καὶ Ἰεζεκιὴλ, καὶ Μιχαίας, καὶ Ζαχαρίας, καὶ ἕτεροι πρὸς τούτοις πολλοί. ταῦτα καὶ ὁ μακάριος ἐνταῦθα προθεσπίζει Δαβίδ. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ. β'. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς. γ'. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Μὴ τῇ σφετέρᾳ, φησὶν, ἐπιγράψητε δυνάμει τὴν νίκην, Θεὸς γὰρ ταύτης γεγένηται χορηγός· εἴπατε τοίνυν πρὸς ἀλλήλους χορεύοντες, εἰ μὴ τῆς θείας ἐπικουρίας ἐτύχομεν, τοσούτων καθ' ἡμῶν δυσμενῶν συνελθόντων, οὐκ ἂν οὐδὲ ταφῆς ἠξιώθημεν, ἀλλὰ καθάπερ ὑπὸ θηρίων ζῶντες ἂν κατεπόθημεν. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς. Τὸν φθόνον, καὶ τὴν δυσμένειαν τῶν ἀσυγκρίτων ἐθνῶν διὰ τούτων ἐδήλωσε. διεπερίοντο γὰρ τὴν Ἰουδαίων ὁρῶντες ἐλευθερίαν. δ'. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. ε'. Χειμάρρουν διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Τροπικῶς ἅπαντα εἴρηκεν· ἐπειδὴ γὰρ εἶπεν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, δείκνυσι τὴν τῶν πλήθους ὑπερβολὴν, χειμάρρουν δίκην προσβάλλοντος, καὶ συγκαλύψαι ἅπαντας προσδοκήσαντος. ἁρμοδίως δὲ τῷ χειμάρρῳ τέθεικε τὴν εἰκόνα· καθάπερ γὰρ ὁ χειμάρρους ἐκ πολλῶν ἀθροιζομένων ὑετῶν σφοδρότερος γίνεται, οὕτως οἱ τηνικαῦτα τῇ Ἱερουσαλὴμ προσβαλόντες ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν συνηθροίσθησαν· ἀλλὰ καλελύθησαν ψήφῳ δικαίᾳ. τοῦτο γὰρ ὁ προφήτης διδάσκει. ς'. Εὐλογητὸς ὁ Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Κατὰ ταυτὸν καὶ τὴν ἐκείνων ὠμότητα, καὶ τῷ Θεῷ τὴν ἐπικουρίαν ἐδήλωσε· τοὺς γὰρ ὀδόντας τέθεικε, δεικνὺς τὴν ἐκείνων ὠμότητα. ζ'. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Εὐγνωμόνως καὶ τὴν οἰκείαν ὁμολογοῦσιν ἀσθένειαν, στρουθῷ σφᾶς αὐτὸς ἀπεικάζοντες, καὶ τὴν τῷ Θεῷ κηρύττουσι δύναμιν, τῶν πολεμίων δεικνύντες τὸ

ἰχυρόν. Θηρευτὰς γὰρ ἐκείνους ἀποκαλοῦσιν· διδάσκει δὲ καὶ τῆς σωτηρίας τὸν τρόπον. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Οὐ γὰρ μόνης ἀπηλαύσαμεν τῆς σωτηρίας, ἀλλὰ καὶ τῶν ἐχθρῶν τὸν ὄλεθρον εἴδομεν. ἡ. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Τούτου χάριν, πάσης ἀνθρωπίνης καταφρονοῦμεν δυνάμεως, τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ἐπίκουρον ἔχοντες, οὗ καὶ ἡ προσηγορία ἡμῖν εἰς σωτηρίαν ἀρκεῖ.

ΕΡΜΗΝ. ΤΟΥ ρκδ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Οἱ τῆς νίκης ἐκείνης τετυχηκότες τὴν ἐπινίκιον ἄδουσιν ὕμνον, καὶ τῆς εἰς Θεὸν ἐλπίδος κηρύττουσι τὴν ἰσχύν. Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών. Ὁ τῇ εἰς τὸν Θεὸν ἐλπίδι φραττόμενος, ὡς τὸ Σιὼν ὄρος ἀτρεμὴς μενεῖ, καὶ ἀκλόνητος, ἐπίσημός τε καὶ περίβλεπτος. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Τὸν καλοικοῦντα τὴν Ἱερουσαλὴμ κατὰ τοὺς νόμους τῆς Ἱερουσαλὴμ πολιτεύεσθαι δεῖ. τοῖς γὰρ οὕτω κατοικοῦσι, καὶ τῷ σκοπῷ τοῦ νόμου πειθομένοις, τὸ βέβαιον ὁ προφήτης ὑπέσχετο. β'. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. Καθάπερ γὰρ τὰ ὄρη τὴν πόλιν κυκλοῖ, οὕτως ἡ θεία κηδεμονία τὸν εὐσεβῆ περιφράττει λαόν. Ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Οὐ γὰρ πρόσκαιρος ἡ τοῦ Θεοῦ δύναμις, ἀλλ' αἰώνιος, καὶ ταύτης ἀξιοῖ τοὺς τὴν θεραπείαν αὐτοῦ περὶ πολλοῦ ποιουμένους. γ'. Ὅτι οὐκ ἀφήσει Κύριος τὸν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. Καὶ τοὺς Ἀσσυρίους ῥάβδον θυμοῦ διὰ Ἡσαΐου τοῦ προφήτου προσηγόρευσεν ὁ Θεὸς, οὐαὶ γάρ φησιν Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου, καὶ τῆς ὀργῆς μου, ἐν ταῖς χερσὶν αὐτῶν· τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα, καὶ προνομήν. ἀντὶ τοῦ, καθάπερ τινὶ ῥάβδῳ τοῖς Ἀσσυρίοις κεχρημένος, τοὺς ἀξίους παιδεύω. λέγει τοίνυν ὁ προφήτης καὶ ἐνταῦθα, ὅτι δικαίᾳ κεχρημένος ψήφῳ τῶν ὅλων ὁ Κύριος, οὐ συγχωρήσει τῶν παρανόμων τὴν ῥάβδον τῇ τῶν δικαίων ἐπενεχθῆναι συμμορίᾳ. εἶτα καὶ τὴν αἰτίαν διδάσκει. Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἵνα μὴ νομίσαντές φησιν οἱ τοῦ προσήκοντος ἐπιμελούμενοι ἄτακτα εἶναι πάντα καὶ ἀκυβέρνητα, ῥέψωσιν ἐπὶ τὸ χεῖρον, καὶ τὴν ἐντεῦθεν ἑλκύσωσι βλάβην. δ'. Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Δείξας τοῦ Θεοῦ τὸ δίκαιον, δικαίαν ποιεῖται τὴν δέησιν. ἱκετεύει γὰρ τῶν ἴσων τυχεῖν τοὺς ἀγαθοὺς ἀντιδόσεων. τοῦτο δὲ καὶ ὁ Κύριος ἔφη, ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· καὶ μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ε. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στρεβλογραμμίας ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Τὰς στραγγαλιὰς ὁ μὲν Ἀκύλας διαπλοκὰς ἡρμήνευσε, σκολιότητας δὲ ὁ Σύμμαχος, ὁ δὲ Θεοδοτίων διεγραμμένα. ἤτησε μέν τοι οὐδὲν ἄδικον ὁ προφήτης· ἀλλὰ

ἀλλὰ τοὺς μὲν ἀγαθοὺς ἀγαθῶν ἀπολαῦσαι, τοὺς δὲ τὴν θείαν καταλιπόντας ὁδὸν, καὶ τραγγαλιαῖς καὶ διαπλοκαῖς κεχρημένους, τὸ κατάλληλον τέλος εὑρεῖν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Ἐκείνων δὲ δεξαμένων τὸν ὄλεθρον, οὗτοι τῆς εἰρήνης ἀπήλαυσαν. προσήκει μέν τοι εἰδέναι, ὡς ταύτης ἀπήλαυσε τῆς προσηγορίας ὁ Ἰακὼβ τῆς θείας ἀξιωθεὶς θεωρίας. ὁμωνύμους τοιγαροῦν ἔχει τοὺς ὁμοτρόπους, καὶ καθαρὰν πίστιν κεκτημένους καὶ ψυχήν. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, ἀλλ' οἱ τοῦ Ἰσραὴλ ἀσπαζόμενοι τὴν εὐσέβειαν.

ΕΡΜΗΝ. ΤΟΥ ρκέ ΨΑΛΜΟΥ.

ά. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ἅπαντας μὲν ὁ Κύρος βασιλεύσας ἐπανελθεῖν Ἰουδαίους προσέταξε, μοχθηρὰν δὲ οἱ πλείους ἔχοντες γνώμην, καὶ εἰς ἅπαντα τοῖς θείοις ἀντιτείνοντες νόμοις, ἐπανελθεῖν οὐκ ἠθέλησαν. ὅσοι δὲ τῆς προγονικῆς εὐσεβείας ἐπεμελοῦντο, καὶ τῆς κατὰ νόμον λατρείας ἐπεθύμουν, ἀσπασίως ἐποιήσαντο τὴν ἐπάνοδον. οὗτοι τοίνυν ἐν τῷδε τῷ ψαλμῷ τὴν οἰκείαν ἐλευθερίαν ὁρῶντες γεγήθασιν. εὔχονται δὲ ταύτης καὶ τοὺς ὁμοφύλους τυχεῖν. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τὸ ὡς ἐπιτάσεως ἐνταῦθα σημαντικόν. πολλῆς, φησὶν, ἀπηλαύσαμεν θυμηδίας, λύσαντος τῷ Θεῷ τῆς τιμωρίας τὸν ὅρον, καὶ τὴν ἐλευθερίαν τοῖς αἰχμαλώτοις δωρησαμένου. β. Τότε ἐπλήθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Εὐθὺς γὰρ ὑπὸ τῆς θυμηδίας διαχυθέντες ἐκινήσαμεν εἰς ὑμνῳδίαν τὰς γλώττας. τὴν γὰρ ἀγαλλίασιν ὁ μὲν Ἀκύλας αἴνεσιν, ὁ δὲ Σύμμαχος εὐφημίαν ἡρμήνευσαν. Τότε ἐρεῖσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. Τοῦτο δὲ ἡμᾶς πολυθρυλλήτως παρὰ πᾶσιν ἀπέφηνεν. ἅπαντες γὰρ τὴν τοῦ Θεοῦ μεγαλουργίαν θαυμάζουσιν, ὅτι τῆς πικρᾶς ἡμᾶς ἐκείνης δουλείας ἀπήλλαξε· καὶ ἡμεῖς μέν τοι βοῶμεν· γ. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Ἄτοπον γὰρ τὸς μὲν τῆς θείας γνώσεως ἐστερημένους τὴν εἰς ἡμᾶς γεγενημένην θαυμάζειν φιλανθρωπίαν, ἡμᾶς δὲ τὸς τῆς εὐεργεσίας τετυχηκότας ἀχαριστίαν νοσεῖν. δ'. Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάρρους ἐν τῷ νότῳ. Ὧν ἔτυχον ἀγαθῶν, καὶ τοὺς ἄλλους ὁμοφύλους ἀπολαῦσαι ποθοῦσι, καὶ τὸν κοινὸν Δεσπότην ἀντιβολοῦσι μεταδοῦναι τῆς ἐλευθερίας καὶ ἐκείνοις, ὥστε χειμάρρου μιμεῖσθαι τῶν ἐπανιόντων τὸ πλῆθος. νότον δὲ τὴν Ἱερουσαλὴμ καλῶν, ἀπὸ τῆς θέσεως τέθεικε τὴν προσηγορίαν· ἔτως αὐτὴν καὶ Ἰεζεκιὴλ, καὶ Ἀββακοὺμ ὀνομάζουσι. δηλοῖ δὲ καὶ ἕτερον ὁ λόγος· ὁ γὰρ νότος ἄνεμος ὑγρὸς ὤν, νεφῶν τὸν ἀέρα πληροῖ, καὶ ὄμβρους ἐπάγει σφοδρούς· καὶ μέντοι καὶ τὴν χιόνα πεφυκὼς διαλύειν, ἐμπίπλησι τοὺς χειμάρρους ὑδάτων. Οὕτω τοιγαροῦν φησὶ, καὶ τοὺς ἡμετέρους ὁμοφύλους πανταχοῦ διεσπαρμένους κέλευσον ἀθροισθῆναι, καὶ χειμάρρου δίκην τὴν πορείαν ποιήσασθαι. ε. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει

λάσει θεριῶσι. Οὐ μάτην δὲ τὰς ἱκετείας ποιέμεθα, ἀλλὰ τὸς τῶν δακρύων εἰδότες καρπός. οἱ γὰρ μετὰ τέτων τὰ σπέρματα καταβάλλοντες, δαψιλῆ τὸν ἀμητὸν ὀρῶντες εὐφραίνονται. ς'. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν. Διαφόρως τὴν αὐτὴν διάνοιαν εἴρηκε, τῇ ποικιλίᾳ τῆς διδασκαλίας πλείονα τὴν ὠφέλειαν πραγματευόμενος.

ΕΡΜΗΝ. ΤΟΥ ρκς' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν τοῦ Σολομών. Πάλαι μὲν τὸν θεῖον νεὼν Σολομὼν ᾠκοδόμησε, καταλυθέντα δὲ ὑπὸ Βαβυλωνίων Ζοροβάβελ ἀνέστησε. τῦτον οἶμαι Σολομῶντα ὀνομάζεσθαι, καὶ ὡς ἐκ Σολομῶντος τὸ γένος κατάγοντα, καὶ ὡς Σολομῶντος ἀνανεέμενον ἔργον. ἁδὲ γὰρ τῇ Σολομῶντος οἰκοδομίᾳ ὁ προφητικὸς ἁρμόττει λόγος, ἀλλὰ τῇ μετὰ τὴν ἐπάνοδον ὑπὸ τῦ Ζοροβάβελ γεγενημένῃ. τηνικαῦτα μὲν αὐτοὶ οἰκοδομεῖν ἐπειρῶντο, διεκώλυον δὲ οἱ γειτονεύοντες, καὶ αὐτοὶ συνεχῶς πολεμῦντες, καὶ τὴν Περσῶν κατ' αὐτῶν ἐρεθίζοντες βασιλείαν. καὶ ταῦτα ἡ τῦ Ἔσδρα σαφέστερον διδάσκει γραφή· οἱ περὶ τὸν Ζοροβάβελ τοίνυν, καὶ Ἰησῦν τὸν τῦ Σαλαθιὴλ, καὶ οἱ μετ' αὐτῶν εὐσεβείᾳ κοσμέμενοι, τήνδε τὴν εἰσήγησιν προσφέρουσι τῦ ψαλμῦ. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομῦντες. ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Μηδεὶς μήτε τῶν οἰκοδομέντων, μήτε τῶν φυλαττόντων, τῇ οἰκείᾳ δυνάμει θαρρείτω, ἀλλὰ τὴν θείαν ἐπικαλείσθω ῥοπήν. ταύτης γὰρ συνεργέσης ἑκάτερον ῥᾴδιον· ἀναβαλλομένου δὲ τῦ Θεῦ τὴν βοήθειαν, μάταιος ἡ τῶν ἀνθρώπων σπουδή. β'. Εἰς μάτην ὑμῖν ἐστι τῦ ὀρθρίζειν, ἐγείρεσθε μετὰ τὸ καθῆσθαι οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Τὸ ἐγείρεσθε ἐκ ἔστι προστακτικὸν, ἀλλὰ ἀπαρέμφατον. λέγει δὲ ὅτι πάντα μάταια, τῦ Θεῦ τῶν ὅλων μὴ συνεργῦντος, καὶ τὸ ὀρθρίζειν, καὶ τὸ ἀνίστασθαι, εἴς τε φυλακὴν τῆς πόλεως, καὶ εἰς τὴν προκειμένην οἰκοδομίαν. διὸ παραινεῖ τοῖς μετ' ὀδύνης τὸν ἄρτον ἐσθίουσι διὰ τὰς τῶν πολεμίων ἐπαναστάσεις, εἰς τὸν Θεὸν τὰς ἐλπίδας ἔχειν. Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. γ'. Ἰδοὺ ἡ κληρονομία Κυρίε υἱοὶ, μισθὸς τῦ καρπῦ τῆς γαστρός. Ὕπνον ἐνταῦθα τροπικῶς τὴν ἀνάπαυσιν προσηγόρευσεν· ἀνάπαυλαν δὲ καὶ ὁ ὕπνος τοῖς ἀνθρώποις παρέχει. τῦ Θεῦ τοίνυν, φησὶ, τῆς οἰκείας ἀξιῦντος κηδεμονίας, δυνησόμεθα τῶν πολεμέντων περιγενέσθαι, καὶ ἀπόνως οἰκοδομῆσαι, καὶ διάγειν ἀσφαλῶς, καὶ δίχα φροντίδος καθεύδειν, καὶ πλειόνων παίδων γενέσθαι πατέρες κατὰ τὴν θείαν ὑπόσχεσιν. ὑπέσχετο γὰρ ποιήσειν ἡμῶν τὸ γένος, ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. τῦτο καὶ ἐνταῦθα ἔφη· Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοὶ, ὁ μισθὸς τῦ καρπῦ τῆς γαστρός· τετέκνωται, ἡ θεία ὑπόσχεσις, καὶ ἡ περὶ τὰς παῖδας εὐλογία, καθάπερ τις ἡμῖν μισθὸς τοῖς εἰς αὐτὸν ἠλπικόσι δεδώρηται. δ'. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατῦ, οὕτως οἱ υἱοὶ τῶν τετιναγμένων. Ὁ δὲ

Θεο-

Θεοδοτίων, ὡς βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ νεότητος· κατὰ ταύτην δὲ καὶ ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ἡρμήνευσαν. λέγει δὲ, ὅτι ἐσόμεθα τῷ Θεῷ πεποιθότες οὐ μόνον πολλοὶ, ἀλλὰ καὶ δυνατοὶ, οἷόν τινα βέλη παρὰ δυνατοῦ τινὸς ἐφιέμενα· καὶ οἱ νῦν ἀσθενεῖς, καὶ σφόδρα παλαιπωρούμενοι, τοῦτο γὰρ δηλοῖ τὸ ἐκτετιναγμένων, ἰσχυροὶ λίαν ἐσόμεθα, τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαντες. ε'. Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Τουτέστι, τῶν πολεμίων· οὐ μόνον γὰρ οὐχ ἡττηθησόμεθα, ἀλλὰ καὶ περιγενησόμεθα τούτων, καὶ ζηλωτοὶ παρὰ πᾶσιν ἐσόμεθα. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ ἐν πύλαις. Τουτέστιν, ἡνίκα ἂν πρὸ τῶν πυλῶν τοῖς παρὰ τῶν πολεμίων πεμπομένοις πρέσβεσι διαλεξόμεθα. τοῦτο δὲ εἶπε κατὰ τὸ παλαιὸν ἔθος· οὐδὲ γὰρ ἐδέχοντο εἴσω τῶν πυλῶν τοὺς πεμπομένους πρέσβεις, ἀλλ' ἔξω τὰς ὑποκρίσεις ἐποιοῦντο. διὰ πάντων δὲ τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον ἔδειξεν.

ΕΡΜΗΝ. ΤΟΥ ρκζ' ΨΑΛΜΟΥ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. Ὅσων πρόξενον ἀγαθῶν τὸ πεποιθέναι Θεῷ δείξας ἐν τῷ προτεταγμένῳ ψαλμῷ, ἐνταῦθα μακαρίζει τοὺς μετὰ τῆς ἐλπίδος τὸν θεῖον ἔχοντας φόβον, δι' ὃν καὶ τῆς ἀρετῆς ἡ κτῆσις προσγίνεται. ἀναγκαῖον δὲ τοῖς τῷ Θεῷ πεπιστευκόσιν ἡ κατὰ Θεὸν πολιτεία. ἔστος γὰρ εὐσεβείας τέλειος ὅρος. ά. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. Οὐ τὸν ἐκ γένους Ἀβραὰμ, οὐδὲ τὸν ἐκ σπέρματος Ἰσραὴλ, ὁ προφητικὸς ἐμακάρισε λόγος, ἀλλὰ τὸν τῷ θείῳ φόβῳ κοσμούμενον. τοῦτο καὶ ὁ μακάριος Πέτρος ἐν ταῖς πράξεσι λέγει· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι ἐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστίν. ὑπέδειξε δὲ ὁ προφητικὸς λόγος καὶ τὸ θεῖον φόβου τὸν χαρακτῆρα· ἐπήγαγε γὰρ, Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Οὐ πᾶς γὰρ ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἴδιον τοίνυν τῶν φοβουμένων τὸν Κύριον, τὸ μὴ βαίνειν ἔξω τῶν θείων ὁδῶν, ἀλλ' ἐν αὐταῖς ποιεῖσθαι τὴν πορείαν διηνεκῶς. β'. Τὰς πόνους τῶν καρπῶν σου φάγεσαι. Ὁ δὲ Σύμμαχος, κόπον χειρῶν σου ἐσθίων· ὡς εἶναι δῆλον, ὅτι καὶ οἱ ἑβδομήκοντα καρπὸς τὴν ἐπικαρπίαν ἐκάλεσαν, ἀλλὰ τὸ μόριον τῶν χειρῶν. λέγει δὲ, ὅτι τῶν ὑπὸ σοῦ σπειρομένων ἀγαθῶν τοὺς καρποὺς τρυγήσεις· τοῦτο δὲ καὶ ὁ θεῖος ἀπόστολος ἔφη, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Μακάριος εἶ σὺ, καὶ καλῶς σοι ἔσται. Οὐ γὰρ λόγῳ μόνῳ ἔσῃ ζηλωτὸς καὶ περίβλεπτος· ἀλλὰ καὶ ἔργῳ ἔξεις τὴν εὐκληρίαν. γ'. Ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. Ἐπειδὴ κατ' ἐκεῖνον τὸν καιρὸν ταύτην εὐπραξίαν ἐνόμιζον, ὑπιχνεῖται αὐτοῖς ὁ λόγος καὶ γυναικῶν εὐκαρπίαν, ὥστε ἀμπέλοις παραβάλλεσθαι τεθηλυίαις, καὶ βριθούσαις τοῖς βότρυσιν.

σιν. Οἱ υἱοί σε, ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου. Καὶ ἐν τῷ πεντηκοστῷ καὶ πρώτῳ ψαλμῷ τὸν δίκαιον ἐλαίᾳ παρέβαλεν· ἐγὼ γὰρ ἔφη ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· καὶ ἐνταῦθα τὸ φοβούμενον τὸν Κύριον τὰς παῖδας νεοφύτοις ἐλαιῶν ἀπείκασεν, ὡς τῆς εὐσεβείας τὴν ἀρδείαν, καὶ τὸν καρπὸν τὸν ὥριμον φέροντας, καὶ τὸ φύλλον ἐκ ἀποβάλλοντας, κατὰ τὸν ἐν τῷ πρώτῳ ψαλμῷ μακαριζόμενον ἄνδρα. δ'. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. Τρόπον γὰρ ὁ Θεὸς ἐ γένους κριτής. οὕτω τὸν Ἰωὺ ἐκ τοῦ Ἡσαῦ τὸ γένος κατάγοντα σεφάνων ἠξίωσεν· οὕτω τὸν Ἀβιμέλεχ πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν· οὕτω τὸν εὐνοῦχον, οὕτω τὸν Κορνήλιον, οὕτω πάντα τὰ ἔθνη. ε. Εὐλογήσαι σε Κύριος ἐκ Σιών. Κατὰ τὴν τότε καλέχουσαν δόξαν. ἐκεῖ γὰρ οἰκεῖν ὁ Θεὸς νενόμιστο. Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. τοῦτο γὰρ ἰδεῖν ἐπόθουν οἱ ἐκ Βαβυλῶνος ἐπανελθόντες, καὶ τῆς πόλεως τὴν ἐρημίαν ὁρῶντες. ς'. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εὐλογία μεγάλη νενόμιστο εἰς γῆρας ἐλάσαι βαθύ, καὶ παῖδας ἰδεῖν. συμβαινόντας τοίνυν ταῖς γνώμαις ὁρίζει τὰς εὐλογίας· ὅτι δὲ ἐκ ἐν τούτοις εἶδε τῶν ἀγαθῶν τὴν κτῆσιν, ὁ μακάριος Ἡσαΐας ἐδίδαξε· μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ἐγώ εἰμι ξύλον ξηρὸν, ὅτι τάδε λέγει Κύριος τοῖς εὐνούχοις τοῖς φυλαττομένοις τὰ σάββατά μου, καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου, τόπον ὀνομαστὸν, καὶ ὄνομα ἀγαθὸν, κρεῖττον υἱῶν καὶ θυγατέρων. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. Πάλιν ἐπεύχεται τῷ Ἰσραὴλ εἰρήνην. ἀληθὴς δὲ εἰρήνη ἡ πρὸς Θεὸν εἰρήνη. ὁ δὲ σαρκικὸς Ἰσραὴλ ἐκείνης ἐκπεσὼν, καὶ τῆς ἄλλης ἐστέρηται.

ΕΡΜΗΝ. ΤΟΥ ρκή ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Καὶ ἔτος ὁ ψαλμὸς πρόρρησιν ἔχει τῶν μετὰ τὴν ἐπάνοδον ἐπαναστάντων Ἰουδαίοις ἐθνῶν· καὶ διδάσκονται λέγειν. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. β'. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ ἐκ ἠδυνήθησάν μοι. Νεότητα καλεῖ τὴν ἐν Αἰγύπτῳ διαγωγὴν, καὶ τὴν ἐκεῖθεν ἀπαλλαγήν· καὶ τὸν εὐεργέτην ὑμνῶν, τὰς θείας ἀπαριθμεῖται χάριτας, ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς πολλοί μοι δυσμενεῖς ἐπανέστησαν, καὶ παντοδαποῖς με περιβαλεῖν κακοῖς ἐπειράθησαν· διὰ δὲ τῆς θείας ἐπικουρίας διέφυγον τὰς ἐκείνων ἐπιβουλάς. ἀληθέστερον μέν τοι ταῦτα τῷ νέῳ ἁρμόττει λαῷ, πολλὰς μὲν δεξαμένῳ προσβολὰς πολεμίων, πάντων δὲ περιγενομένῳ, καὶ τὰς πολεμίους προσκυνητὰς ἀποφήναντι. γ'. Ἐπὶ τὸν νῶτόν μου ἐτέκτηναν οἱ ἁμαρτωλοί. Ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων, ἠρωτηκότες ἡρμήνευσαν. δηλοῖ δὲ ὁ λόγος τὰς μάστιγας, καὶ τὰς αἰκίας, τὰς τοῖς νικηφόροις μάρτυσιν ἐπενεχθείσας ὑπὸ τῶν δυσσεβῶν. ταῦτα δὲ καὶ οἱ περὶ τὸν μακάριον ὑπέμειναν Δανιὴλ, καὶ οἱ θαυμάσιοι Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, καὶ ἐπὶ Ἀντιόχου οἱ Μακκαβαῖοι. Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Ὁ δὲ

δὲ Ἀκύλας ἐμήκυναν, ὁ δὲ Σύμμαχος παρέτεινον κακῶντες· ἀντὶ τῦ, ἐπέμειναν μέχρι πολλοῦ μοι πολεμοῦντες, καὶ τὴν οἰκείαν αὔξοντες ἀνομίαν. δ'. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Τὲς αὐχένας βρόχες ὁ Ἀκύλας καὶ Σύμμαχος ἡρμήνευσαν· ὁ δὲ Θεοδοτίων κλοιὲς, πάντα δὲ ἀληθῆ. καὶ γὰρ ἐς κατεσκεύασαν τοῖς ἁγίοις βρόχες, κατέκοψεν ὁ τέτων Θεὸς, καὶ τὲς περιταθέντας αὐτοῖς κλοιοὺς συνέτριψε, καὶ αὐτὲς τῶν ἁμαρτωλῶν τὲς αὐχένας συνέκοψεν. ε. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισῦντες Σιών. Διαμάρτοιεν φησι τῶν πονηρῶν ἐγχειρημάτων, καὶ τράποιντο εἰς φυγὴν οἱ τὴν Σιὼν πολεμῦντες. ς'. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τῦ ἐκσπασθῆναι ἐξηράνθη. ζ'. Οὗ ἐκ ἐπλήρωσε τὴν χεῖρα αὐτῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτῦ ὁ τὰ δράγματα συλλέγων. Ἕνια τῶν ἀντιγράφων οὐκ ἐξηρανθῆναι ἔχει, ἀλλὰ ἐκσπασθῆναι· ὃ καὶ ἐπὶ τῶν λητίων γινόμενον ὁρῶμεν ἀεί. ἐδεὶς γὰρ ὑγρὸν ὄντα τὸν ἄσαχυν θερίζειν ἀνέχεται, ἀλλὰ μένει πεπανθῆναι, καὶ διαυανθῆναι, καὶ τότε τὴν δρεπάνην ἐπάγει· ἡ δὲ ἐπὶ τῶν δωμάτων φυομένη πόα, πρὶν βλαστῆσαι καρπὸν, τῇ τῦ ἡλίε ξηραίνεται προσβολῇ· τέτοις τῶν πολεμίων τὰς ἐγχειρήσεις ἀπεικαθῆναι παρακαλῶ, καὶ ταύταις παραπλησίως ἄωρον δέξασθαι τέλος. η'. Καὶ ἐκ εἶπον οἱ παράγοντες, εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. Οἱ τὰ κομῶντα θεώμενοι λήϊα, θαυμάζειν εἰώθασι τὴν γεωργῶν ἐπιμέλειαν, καὶ εὐλογοῦσι παριόντες τοὺς τὰ τοιαῦτα θερίζοντας. τοῖς δὲ τῶν δωμάτων τὸν χόρτον συλλέγουσιν, ἐδεὶς τοιῦτο ἐδὲν ἐπεφθέγξατο πώποτε.

ΕΡΜΗΝ. ΤΟΥ ρκθ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Τῶν δικαίων χορὸς ταύτην τῷ Θεῷ τὴν ἱκετείαν προσφέρει· μαρτυρεῖ δὲ καὶ αὐτὸ τὸ ψαλμῦ τὸ προοίμιον. Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε. Ἀντὶ τῦ, κάτωθεν, καὶ ἐξ αὐτῆς τῆς καρδίας ἀναπέμπω τὴν ἱκετείαν. τῶν γὰρ μόνοις κεχρημένων τοῖς χείλεσιν ἡ θεία κατηγορεῖ γραφή· καὶ νῦν μέν φησιν ὁ προφήτης Ἱερεμίας πρὸς τὸν τῶν ὅλων Θεὸν, ἐγγὺς εἶ στόματος αὐτῶν. καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν, νῦν δὲ αὐτὸς ὁ Θεὸς διὰ Ἡσαΐε τῦ προφήτε Ἰεδαίων κατηγορεῖ λέγων, ἔτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ πόῤῥω ἀπέχει ἀπ' ἐμῦ. οἱ δὲ νῦν ἱκετεύοντες ἀπὸ τῦ βάθες τῆς καρδίας τὴν εὐχὴν ἀναπέμπεσι. β'. Κύριε εἰσάκεσον τῆς φωνῆς μα, γενηθήτω τὰ ὦτά σε προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Καὶ ἀνθρωπίνως τοῖς λόγοις χρησάμενος, οἶδε τὸ θεῖον ἀσώματον· τὴν γὰρ ἀκεσικὴν ἐνέργειαν καὶ ὀπλικὴν προσηγόρευσεν. ἡμῶν γὰρ οἱ ὀφθαλμοὶ τὴν ὀπλικὴν ἔχεσι δύναμιν, τὰ δὲ ὦτα τὴν ἀκεσικὴν ἐνέργειαν ἐπισεύθη· ὁ δὲ Θεὸς ἧ ἀκέει, ταύτῃ καὶ βλέπει, καὶ ἧ βλέπει, ταύτῃ καὶ ἀκέει. γ'. Ἐὰν ἀνομίας παρατηρήσης Κύριε. Ὁ τῶν δικαίων χορὸς ἱκετεύει τὸν Κύριον μὴ ταῖς ἁμαρτίαις μετρῆσαι τὰς τιμωρίας. ὕτω καὶ οἱ περὶ τὸν μακάριον Ἀνανίαν

τῇ λαῇ τὰς παρανομίας τῷ προσώπῳ ἑαυτῶν περιέθεσαν. Κύριέ τις ὑποστήσεται; Ἐὰν γὰρ δικαίως τὰ τῆς δίκης κατάσχῃς ζυγά, τίς ἱκανὸς τὴν ὑπὸ ταύτης ἐκφερομένην ψῆφον ὑπενεγκεῖν; ἀνάγκη γὰρ πάντας ὑπομεῖναι τὸν ὄλεθρον. δ'. Ὅτι παρά σοι ὁ ἱλασμός ἐστιν. Ἔχεις φιλανθρωπίαν τῇ δικαιοσύνῃ συνεζευγμένην, καὶ ταύτῃ μᾶλλον πέφυκας, ἢ ἐκείνῃ κεχρῆσθαι. Ἕνοκεν τῆ ὀνόματός σε ὑπέμεινά σε Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. Ἀντὶ τῆ ὀνόματος, ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων φόβον ἡρμήνευσαν, ὁ δὲ Σύμμαχος νόμον· δήλη δὲ ὅμως τῆ ῥητῆ ἡ διάνοια· λέγει γὰρ, ὅτι ταύτην εἰδώς σε τὴν ἀγαθότητα, οἷον γάρ τινι νόμῳ κέχρησαι τῷ ἐλέῳ, τὰς χρηστοτέρας ἐλπίδας ἐκ ἀπαγορεύω, ἀναμένων τῶν ἀγαθῶν τὴν ὑποχεσιν. λόγον γὰρ ἐνταῦθα τὴν ἀγαθὴν ὑπόχεσιν κέκληκε. Φιλανθρωπίαν δὲ τοῖς μετανοοῦσιν ὑπέχετο. ε'. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον, ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός. Ἀντὶ τῆ, διὰ πάσης ἡμέρας. Φυλακὴ γὰρ πρωΐα ἡ τελευταία ὥρα τῆς νυκτός. οἱ γὰρ τελευταῖοι φύλακες μέχρι ἐκείνε φυλάττουσι τοῦ καιροῦ. ς'. Ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Οὐκ ἀρκοῦνται οἱ δίκαιοι μόνον τῆς εἰς Θεὸν ἐλπίδος ἔχειν τὸν πλῆτον, ἀλλὰ καὶ τὲς ἄλλες ἅπαντας ἐπὶ τὴν ὁμοίαν κτῆσιν προτρέπουσι, καὶ τὸ ἐντεῦθεν φυόμενον δηλοῦσι κέρδος. ζ'. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. „Φιλοικτίρμων „γὰρ καὶ φιλάνθρωπος ὁ Δεσπότης, „καὶ τοῖς μεταμελομένοις παρέχει τὴν „σωτηρίαν. „ ή. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. Προῤῥήσιν ὁ λόγος ἔχει τὴν κατὰ τὸν Δεσπότην· αὐτὸς γάρ ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τῆ κόσμε. ἕτω καὶ ὁ Θεῖος ἔφη Γαβριὴλ πρὸς τὴν ἁγίαν παρθένον, τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτῆ Ἰησῆν, ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτῆ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

ΕΡΜΗΝ. ΤΟΥ ρλ΄ ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ταπεινοφροσύνην ὁ προφητικὸς ἐκπαιδεύει λόγος, καὶ τῶν ταύτης ἐραστῶν εἰσάγει τὸ πρόσωπον προσευχομένων, καὶ τὸν Θεὸν λιπαρέντων. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. Τῆς καρδίας τὸ ὕψος ἐ μόνοις τοῖς δυσσεβέσιν, ἀλλὰ καὶ τοῖς ἁγίοις λυμαίνεται. καὶ διδάσκει τῶν παραλειπομένων ἡ ἱστορία περὶ τῆ Ἐζεκίε τῆ εὐσεβοῦς λέγουσα βασιλέως, ὅτι ἐταπεινώθη ἀπὸ τῆ ὕψους τῆς καρδίας αὐτῆ. διὰ τῆτο καὶ ὁ Κύριος τοῖς ἱεροῖς αὐτῆ παραινεῖ μαθηταῖς λέγων, πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. Ἴδιον τῶν ὑπερηφάνων τὰς ὀφρῦς ἐπαίρειν, καὶ τὴν γνάθον φυσᾶν, καὶ πάντων ὑπερφρονεῖν· οἱ δὲ τῆ πάθους ἀπηλλαγμένοι, ἐχ ὡς ἀγνοοῦντα διδάσκουσι τῆτο τὸν κριτὴν, ἀλλ' ὡς εἰδότα καλῆσιν εἰς μαρτυρίαν. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις. Ὁ δὲ Σύμμαχος, ἐν μεγαλειότησιν· ὁ δὲ Ἀκύλας, ἐν μεγαλωσύναις. Οὐδὲ ἐν θαυμασί-

μασίοις ὑπὲρ ἐμέ. Ὁ δὲ Σύμμαχος, ἀδὲ ἐν ὑπερβάλλουσιν ὑπέρ ἐμε· ἀντὶ τε, ἐμαυτὸν ἐμέτρησν, καὶ τοῖς ὑπερβάλλεσί με τὴν ἀξίαν ἐκ ἐπεχείρησα. β'. Εἰ μὴ ἐταπεινοφρόνεν, ἀλλὰ ὕψωσα τὴν ψυχήν με, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ὁ δὲ Σύμμαχος, εἰ μὴ ἐξίσωσα, καὶ ὡμοίωσα τὴν ψυχήν με ἀπογαλακτισθέντι πρὸς μητέρα αὐτε, οὕτως ἀνταποδοθείη τῇ ψυχῇ με. εἰ μὴ παραπλησίως, φησὶ, βρέφει νῦν ἀπαλλαγέντι θηλῆς, καὶ τὴν μητέρα δεικνύοντι, ἔδειξά σε, καὶ ἐμαυτόν σοι ὑπέταξα, ἀλλὰ ὑψηλὴν ἔχον διάνοιαν, τῆς αὐτῆς ἀντιδόσεως τυχεῖν ἀξιῶ. γ'. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τε νῦν, καὶ ἕως τε αἰῶνος. Ἔδειξεν ὁ προφητικὸς λόγος, τίνος χάριν ἐποιήσατο τὴν τῶν κατορθωμάτων διήγησιν· ἐ γὰρ ἑαυτοὺς σεμνύνοντες τὴν οἰκείαν διεξίασιν ἀρετὴν, ἀλλὰ τὸς ἄλλες εἰς τὸν ἴσον διεγείραντες ζῆλον. διὸ πάντα τὸν Ἰσραὴλ τῆς αὐτῆς ἐλπίδος ἔχεσθαι παρεκάλεσαν, καὶ δηνεκῶς ταύτην ἔχειν, καὶ τὰς ἐκ ταύτης φυομένες συλλέγειν καρπές.

ΕΡΜΗΝ. ΤΟΥ ρλα' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Πολὺν ὁ ψαλμὸς οὗτος πρὸς τὸν ὀγδοηκοστὸν ὄγδοον ἔχει συγγένειαν. καὶ γὰρ ἐνταῦθα κἀκεῖ τὸν τῶν ὅλων Θεὸν ἱκετεύσιν οἱ ἐν Βαβυλῶνι δορυάλωτοι, τὰς πρὸς τὸν μέγαν Δαβὶδ ὑπ' αὐτοῦ γεγεννημένας ὑποχέσεις ἀνθ' ἱκετηρίας προσφέροντες, καὶ τυχεῖν ἀξιῶντες συγγνώμης. ἔχει δὲ καὶ πρόρρησιν τε κατὰ σάρκα βλαστήσαντος ἐκ γένες Δαβὶδ τῆς οἰκουμένης σωτῆρος. Μνήσθητι, Κύριε τε Δαβὶδ, καὶ πάσης τῆς πραότητός αὐτε. Ἐπειδὴ πολλὰ πεπλημμεληκότες ἡμεῖς πάσης ἐξερήμεθα παῤῥησίας, ἱκετεύομέν σε Δέσποτα τε Δαβὶδ ἀναμνησθῆναι, καὶ τῆς ἐκείνε πραότητός τε καὶ εὐσεβείας. ταύτης δὲ καὶ ὁ προτελαγμένος ψαλμὸς ἐμνημόνευσε, καὶ σαφῶς ἐδίδαξε τὴν τε Φρονήματος αὐτε μετριότητα. β'. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. γ'. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκε μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. δ'. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν. ε'. Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου· ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ταῦτα σαφέστερον ἡ τῶν παραλειπομένων ἱστορία διδάσκει· πρῶτον μὲν γὰρ ἱκέτευσεν αὐτὸς τὸν θεῖον οἰκοδομῆσαι νεών. ἐπειδὴ δὲ διὰ τε προφήτου Νάθαν ἐκώλυσεν ὁ Θεὸς, καὶ τὴν ὑπὸ τε Σολομῶντος ἐσομένην οἰκοδομίαν προεῖρηκεν, ἀνεβάλετο μὲν τὴν οἰκοδομίαν, ἐκ ἠσπάσατο δὲ ῥᾳδιώνην· ἀλλὰ καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ σίδηρον, καὶ χαλκὸν, καὶ ξύλα, καὶ λίθες συνήγαγε· καὶ ταῦτα, ὡς ἔφην, ἅπαντα ἡ βίβλος ἐκείνη διδάσκει τὲς ἐντυχεῖν βουλομένες. ε'. Ἰδὲ ἠκέσαμεν αὐτὴν ἐν Ἐφραθὰ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμε. Ἱκέτευεν οἰκοδομῆσαι ναὸν τῷ Θεῷ· ὁ δὲ μονογενὴς τε Θεε λόγος ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ νεὼν ἑαυτῷ ἔμψυχόν τε καὶ λογικὸν οἰκοδομήσειν ὑπέσχετο. διό φησιν ἡ προφητεία, ἰδὲ ἠκέσαμεν αὐτὴν ἐν Ἐ-

Φραθὰ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τῆ δρυμῆ. Ἐφραθὰ δὲ ἡ νῦν καλεμένη Βηθλεὲμ ὠνομάζετο· ἐκεῖ γὰρ ὁ Δεσπότης ἐτέχθη Χριστὸς, ὃς τοῖς Ἰουδαίοις τὸ οἰκεῖον σῶμα ὑποδείξας ἔφησε, λύσατε τὸν ναὸν τοῦτον. δρυμῆ δὲ πεδίον καλεῖ τῆ ἐν Ἱεροσολύμοις ναῆ τὸν τόπον, ἔρημον ὄντα, καὶ οἰκοδομίαν οὐκ ἔχοντα. ἐκεῖ γὰρ τὸν ὁλοθρευτὴν ἄγγελον διὰ τῆς πρὸς Θεὸν ἱκετείας ἐπιχὼν ὁ μέγας Δαβὶδ, καὶ βωμὸν ἔστησε, καὶ θυσίαν προσήνεγκε, καὶ εἰς τὴν οἰκοδομὴν τοῦ νεὼ ἀφιέρωσεν. ἐπειδὴ δὲ δύο σκηναὶ, ἡ μὲν ἐκ λίθων καὶ ξύλων, ἡ δὲ ἐκ σώματος καὶ ψυχῆς, καὶ ἡ μὲν ἐν Ἱεροσολύμοις ὑπὸ Σολομῶντος ἐγένετο, τὴν δὲ ἐν τῆ Βηθλεὲμ τῆ παναγίᾳ πνεύματος ἡ χάρις ἐξύφηνεν· οἱ τηνικαῦτα δὲ εὐσεβεῖς τὴν μὲν ἑώρων, τὴν δὲ προσεδόκων· εἰκότως ὁ προφητικὸς λόγος ἔφη, ἰδὲ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθὰ, τουτέστιν, ὑπὸ τοῦ πνεύματος τῆ ὁγίᾳ γεννησομένην· εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τῆ δρυμῆ, τὴν ὑπὸ τῆ Σολομῶντος καλὰ τὴν τῆ πνεύματος οἰκοδομηθεῖσαν ὑπόχεσιν. ζ'. Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτῆ, προσκυνήσωμεν εἰς τὸν τόπον, ἓ ἔστησαν οἱ πόδες αὐτῆ. Τὸν χρόνον ἐνήλαξε· λέγεσι δὲ, ὅτι ἐκεῖ εἰσιόντες προσκυνῆμεν, θείας ἐπιφανείας τὸν νεὼν ἠξιῶσθαι πιστεύοντες. ταύτην γὰρ ἔχει διάνοιαν τὸ, ἓ ἔστησαν οἱ πόδες αὐτῆ. ἐκ ἀσώματον γὰρ μόνον, ἀλλὰ καὶ ἀπερίγραφον τὸ θεῖον εἶναι πιστεύομεν. σωματικώτερον δὲ ἡ θεία περὶ αὐτῆ γραφὴ διαλέγεται, ταῖς ἀνθρωπίναις ἀκοαῖς μετροῦσα τοὺς λόγους. η'. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου. Ἀνάστασιν τοῦ Θεοῦ καλοῦσι τὴν κατὰ νόμον λατρείαν, οὐ ταύτης δεομένου, „οὐδὲ ταύτη ἐπιτερπομένου, „ἀλλὰ τῶν προσφερόντων τὴν εὐσέβειαν ἀσπαζομένου. καὶ παρακαλῆσι δὲ αὐθις αὐτῆ τὴν χάριν ἐπιφανῆναι, καὶ τὴν προτέραν δοῦναι τῷ ναῷ περιφάνειαν. Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. ἐπειδὴ ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἡ κιβωτὸς ἔκειτο τὰς πλάκας ἔχουσα τοῦ νόμου, ἐπέκειτο δὲ ταύτη τὸ ἱλαστήριον, δι' ἐκείνου δὲ τῷ ἀρχιερεῖ μηνύματά τινα τῆς θείας ἐπιφανείας ἐγίνετο, εἰκότως ἐμνημόνευσε τῆς κιβωτοῦ. ὁ Θεὸς γὰρ ποιήσας τὸν ἔρανον καὶ τὴν γῆν, καλὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· ἔτω δὲ καὶ ὁ σοφὸς προσηύξατο Σολομὼν, εἰ ὁ ἔρανος, καὶ ὁ οὐρανὸς τῆ ἔρανοῦ οὐκ ἀρκέσσί σοι. τοῦτο καὶ αὐτὸς ὁ τῶν ὅλων ἔφη Θεὸς, ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τις τόπος τῆς καταπαύσεώς μου ἐστίν; θ'. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Τούτου, φησὶ, γινομένου, καὶ ᾠκοδομημένου τῆ οἴκου, καὶ τῆς κιβωτοῦ πάλιν τιθεμένης ἐν τοῖς ἀδύτοις, οἱ μὲν ἱερεῖς τὴν κατὰ νόμον ἐπιτελοῦντες λατρείαν δικαιωθήσονται, οἱ δὲ τῆς μὲν ἱερατικῆς οὐ μετειληφότες ἀξίας, εὐσεβείας δὲ ὅμως πεφροντικότες, πάσης εὐφροσύνης πληωθήσονται. ι'. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Χριστὸν ἐνταῦθα τὴν βασιλείαν καλεῖ. καὶ ἐπειδὴ δυσσεβεῖς οἱ τηνικαῦτα αὐτῶν ἦσαν βασιλεῖς, διὰ τὸν Δαβὶδ ἀξιοῖ μὴ ἀποσβῆ-

ποσβῆναι τῆς Βασιλείας τὸ γένος. εἶτα τῶν γεγενημένων ἀναμιμνήσκεσιν ὑποχέσεων. ιά'. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ ἃ μὴ ἀθετήσει αὐτήν. Ἀψευδὴς φησιν ὁ ὑποχόμενος, καὶ ἀληθείας ὑπάρχει πηγὴ, καὶ τῶν ἀδυνάτων μὴ πέρας λαβεῖν τὴν ὑπόχεσιν. Ἐκ καρποῦ τῆς κοιλίας σε θήσομαι ἐπὶ τὸν θρόνον σου. Μία μὲν ὑπόχεσις αὕτη, καὶ τὸ πέρας ἐδέξατο. ἃ γὰρ μόνος Σολομὼν, ἀλλὰ καὶ οἱ ἐκ Σολομῶντος, τῶν βασιλικῶν ἠξιώθησαν θρόνων. τὸ δὲ τέλος τῆς ὑποχέσεως ὁ Δεσπότης Χριστὸς ἐβεβαίωσε, τοῦ Δαβὶδ κρατύνας τὴν βασιλείαν. τοῦτο γὰρ καὶ ὁ μακάριος προεθέσπισεν Ἡσαΐας, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, ἧ ἡ ἀρχὴ ἐπὶ τῷ ὤμου αὐτῷ, καὶ καλεῖται τὸ ὄνομα αὐτῷ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, ἀμήν· καὶ μετ' ὀλίγα· ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, τῷ κατορθῶσαι αὐτὴν ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον. ταύτην μὲν, ὡς ἔφην, τὴν ὑπόχεσιν ὁ Δεσπότης Χριστὸς ἐβεβαίωσε· τὴν μέν τοι ἑτέραν ἐξ ἀόριστον δέδωκεν ὁ Θεός· ἔφη δὲ ὅτως· ιβ'. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτοὺς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ἡ μὲν οὖν τῷ Δεσπότῃ ἐπαγγελία τοιαύτη, ἡ δὲ ἐκείνων παρανομία τῆς Βασιλείας τὸν δρόμον διέκοψεν. εὐθὺς γὰρ ὁ Σολομὼν ἐκπεσὼν εἰς ἀσέβειαν τὴν θείαν ὀργὴν ἐπεσπάσατο· ἔδη χάριν ὁ θρόνος ἐτυραννήθη, καὶ ἑτέρᾳ αἱ δέκα φυλαὶ βασιλείαν ἐδέξαντο· χρόνῳ δὲ ὕστερον καὶ αἱ δύο φυλαὶ τῆς Δαβιτικῆς ἐγυμνώθησαν βασιλείας. ιγ'. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀνωθέν φησιν, ὦ Δέσποτα, ταύτην τῶν ἄλλων προετίμησας πόλεων, καὶ οἰκεῖον ἀπέφηνας οἰκητήριον. ιδ'. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Ταῦτά φησι σὺ εἶπας, ὦ Δέσποτα, καὶ ὑπέχε ἐπαναπαύεσθαι τῇ Σιὼν ἀεί. καὶ τοῦτο δὲ τετύχηκε πέρατος· εἰ γὰρ καὶ ὁ παλαιὸς νεὼς ἔρημος διὰ τὴν Ἰουδαίων μανίαν ἐγένετο, ἀλλ' οὖν ἐκεῖ πάλιν, καὶ τῷ σταυρῷ, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναλήψεως τὰ χωρία διὰ τῆς θείας ἠξίωτο χάριτος· καὶ ἐκ πάσης γῆς καὶ θαλάττης συντρέχουσιν ἅπαντες τὴν ἐν ἐκείνοις ἀναβλύζουσαν εὐλογίαν ἀρύσασθαι. Ὧδε κατοικήσω, ὅτι ἠρετισάμην αὐτήν. Καὶ τοῦτο τέλους τετύχηκε, καὶ ἐναλλαγὴ τὶς τῶν οἰκων ἐγένετο. καὶ ὁ προφητικὸς δὲ λόγος τῆς Σιὼν ἐμνημόνευσεν. ἐν ἐκείνῃ δὲ καὶ ὁ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως τόπος. ιε'. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω. Ὁ δὲ Σύμμαχος, τὴν σίτησιν αὐτῆς εὐλογῶν εὐλογήσω· τουτέστι, τῶν ἀγαθῶν αὐτοῖς ἁπάντων παρέξω τὴν ἀφθονίαν. Τοὺς πλωχοὺς αὐτῆς χορτάσω ἄρτων. Παρέξω δὲ καὶ τοῖς δεομένοις τῶν ἀναγκαίων τὴν χρείαν. ις'. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν. Ἣν ἄνω δικαιοσύνην ἐκάλεσεν, ἐνταῦθα σωτηρίαν ὠνόμασε. δικαιοσύνης γὰρ σωτηρία καιρὸς. Καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Οἱ δὲ τῆς εὐσεβείας ἐχθροὶ πάσης

πάσης γενήσονται θυμηδίας ἀνάπλεοι. ιζ'. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ. Τὸ μὲν οὖν πρόχειρον νόημα τὸν Ζοροβάβελ δηλοῖ· ἐπειδὴ δὲ οὔτε εἰς ἐκγόνους, οὔτε μὲν εἰς παῖδας τὴν ἡγεμονίαν παρέπεμψεν, οὐκ ἄν τις αὐτὸν εἰκότως ὀνομάσει κέρας, ὀλίγον ἡγεμονεύσαντα χρόνον. τὸ γὰρ κέρας ἰσχυρόν τι δηλοῖ καὶ μόνιμον· ἐπειδὴ δὲ τῷ Ζοροβάβελ οὐχ ἁρμότλει ἡ προφητεία, ὁ λόγος τὴν κατὰ σάρκα τῆ Χριστοῦ γέννησιν προθεσπίζει. οὕτω δὲ καὶ ὁ μακάριος Πέτρος ἐν ταῖς πράξεσιν ἔφη· προφήτης ὑπάρχων ὁ Δαβὶδ, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρπῆ τῆς ὀσφύος αὐτῆ ἀναστῆσαι τὸ κατὰ σάρκα τὸν Χριστὸν, καθίσαι ἐπὶ τῆ θρόνῳ αὐτῆ, προειδὼς ἐλάλησεν περὶ τῆς ἀναστάσεως αὐτῆ. Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Λύχνον πάλιν ὁ προφητικὸς λόγος τὸν ἐκ Δαβὶδ ὀνομάζει ναὸν, τὸ τῆς θεότητος ὑποδεξάμενον φῶς. ιή. Τοὺς ἐχθροὺς αὐτῆ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. Τῆς μὲν οὖν αἰσχύνης μάρτυρες Ἰουδαῖοι, τὴν ἔχθραν ἀσπασάμενοι, καὶ τὴν αἰσχύνην δρεψάμενοι. τὸ δὲ ἁγίασμα, αἱ κατὰ πᾶσαν γῆν καὶ θάλασσαν ἐκκλησίαι, σῶμα μὲν τῆ Δεσπότῃ Χριστοῦ χρηματίζουσαι, τῆς δὲ ἁγιωσύνης τὰς πηγὰς παρ' αὐτῆ κομιζόμεναι.

ΕΠΙΜΗΝ. ΤΟΥ ρλβ' ΨΑΛΜΟΥ.

α'. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ἐπὶ τῆ Ῥοβοὰμ διηρέθησαν αἱ φυλαὶ, καὶ αἱ μὲν δέκα τῷ Ἱεροβοὰμ ἠκολούθησαν, αἱ δὲ δύο τὴν Δαβιτικὴν ἠσπάσαντο βασιλείαν. μετὰ μέντοι τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, καὶ πάλιν συνῆλθον, καὶ τὴν συμφωνίαν ἠγάπησαν, καὶ μίαν ἔχον ἡγεμονίαν, καὶ κοινὴν τὴν κατὰ νόμον ἐπετέλουν λατρείαν. ταῦτα τοίνυν οὗτος ὁ ψαλμὸς προθεσπίζει. Ἰδὲ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Δι' αὐτῶν, φησὶ, μεμαθήκαμεν τῶν πραγμάτων, ὡς ἐδὲν τῆς ἀδελφικῆς θυμηρέστερον συμφωνίας. ἀδελφοὺς δὲ καλεῖ τὰς φυλὰς, ἐπειδὴ καὶ οἱ τούτων ἐπώνυμοι φύλαρχοι ἑνὸς ὑπῆρχον παῖδες πατρός. β'. Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών. Τὸ ἀρχιερατικὸν ἔλαιον ἐκ διαφόρων ἡδυσμάτων συνέκειτο· ἀλλ' οὐδὲν ἐκείνων αὐτὸ καθ' ἑαυτὸ τοσαύτην εὐοσμίαν ἠφίει, ἡ δὲ πάντων μίξις καὶ κρᾶσις πλείστην ὅσην τὴν εὐωδίαν εἰργάζετο. τούτῳ τὴν ἀδελφικὴν εἰκότως συμφωνίαν ἀπείκασεν. ἡ γὰρ τῶν πλειόνων κατορθωμάτων συνεισφορὰ τῆς τελείας ἀρετῆς τὴν εὐοσμίαν ἐργάζεται. Τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τῆ ἐνδύματος αὐτῆ. Ἐκείνῳ, φησὶν, ἔοικε τῷ μύρῳ τῆς ἀγάπης τὸ χάρισμα, ὃ κατεχεῖτο μὲν τῆς τοῦ Ἀαρὼν κεφαλῆς, οὐ μέχρι δὲ μόνου τῆ γενείῳ κατήει, ἀλλ' αὐτοῦ τοῦ χιτῶνος τὸ περὶ τὸ στῆθος ἡγίαζε. ὥαν γὰρ ἐκάλεσεν, ὃ καλοῦμεν περιτραχήλιον. τῆτο δὲ καὶ ὁ Ἀκύλας σόμα ἐνδυμάτων εἴρηκε. καθάπερ τοίνυν ἀπὸ τῆς κεφαλῆς διὰ τῆ γενείου μέχρι τῆς ἐνδύτος τὸ ἱερὸν διατρέχον μύρον τῆς εὐοσμίας τὸν ἱερέα ἐπλήρᾳ, οὕτως ἀπὸ τῆς ἀρχῆς μέχρι τῶν ὑπηκόων ἡ ἀπὸ τῆς συμφωνίας

Franckesche Stiftungen zu Halle

νίας ὠφέλεια χωρεῖ. γ'. Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Πάλιν εἰς ἑτέραν εἰκόνα μετέβη, τῆς συμφωνίας διδάσκων τὸ χρήσιμον· καὶ ταύτην ἔφησεν ἐοικέναι τῇ δρόσῳ, τῇ ἀπὸ τοῦ Ἀερμὼν τῇ Σιὼν ἐπιφερομένῃ. τοσαύτη δὲ αὕτη, ὡς καὶ σαγόνας τοὺς κεράμους ἐκπέμπειν. τὸ δὲ Ἀερμὼν ὄρος ἐστὶ, καὶ αὐτὸ τῆς Παλαιστίνης, τῇ γῇ διαφέρων τῇ Ἰσραήλ. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος. Οὐκ ἐν Ἀερμὼν, ἀλλ' ἐν τῇ Σιὼν, ἐν ᾗ καὶ τὸ παναγὲς πνεύματος ἐπὶ τοὺς ἱεροὺς ἀποστόλους ἡ ζωοποιὸς κατεπέμφθη δρόσος, δι' ἧς ἅπαντες οἱ πιστεύοντες τὴν αἰώνιον εὐλογίαν καρποῦνται.

ΕΡΜΗΝ. ΤΟΥ ρλγ' ΨΑΛΜΟΥ.

ά. Ὠιδὴ τῶν ἀναβαθμῶν. Ἁρμόττει δὲ καὶ οὗτος τοῖς ἀπὸ Βαβυλῶνος ἐπανελθοῦσι. προσφέρει δὲ καὶ πᾶσι τοῖς εὐσεβέσι παραίνεσιν, ὥστε μὴ μόνον μεθ' ἡμέραν, ἀλλὰ καὶ νύκτωρ τὸν Θεὸν ἀνυμνεῖν. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου. Οὐ πάντων τὸ ὑμνεῖν, ἀλλὰ τῶν τὴν θείαν δεσποτείαν ἀσπαζομένων, καὶ τῷ Δεσπότου τὴν θεραπείαν περὶ πολλοῦ ποιουμένων. τῶν γὰρ τῆς ἁμαρτίας δεξαμένων τὰ τραύματα ἴδιον τὸ δακρύειν, καὶ ὀλοφύρεσθαι, καὶ τὴν θείαν φιλανθρωπίαν αἰτεῖν. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Παρεγγυήσας ὑμνεῖν, ἐδίδαξε καὶ τῆς ὑμνῳδίας τὸν τρόπον. πανταχοῦ μὲν γὰρ αἴρειν ὁσίους χεῖρας ὁ θεῖος ἐνομοθέτησε Παῦλος· οὐχ ἥκιστα δὲ ἐν τοῖς ἀφιερωμένοις προσκει χωρίοις τὴν ὀφειλομένην τῷ Θεῷ προσφέρειν προσκύνησιν. β'. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Διδάξας τὸν τόπον, διδάσκει καὶ τὸν καιρόν. ἁρμοδία γὰρ εἰς ὑμνῳδίαν ἡ νὺξ, πολλὴν παρέχουσα τὴν ἡσυχίαν, καὶ τῶν πολλῶν θορύβων ἀπηλλαγμένη. τὸ δὲ τὰς χεῖρας αἴρειν καὶ τὸ κρατῆσαν ἔθος παρακελεύεται. γ'. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἵνα γὰρ μή τις ὑπολάβῃ τῇ Σιὼν περιγεγράφθαι τὸν τῶν ὅλων Θεὸν, εἰκότως αὐτὸν ἔδειξε τῶν ὅλων δημιουργόν· διὰ γὰρ οὐρανοῦ καὶ γῆς καὶ πᾶσαν τὴν κτίσιν περιέλαβε· ἐν οὐρανῷ γὰρ ἄγγελοι, ἐπὶ γῆς δὲ ἄνθρωποι, καὶ τὰ διὰ τούτους γενόμενα.

ΕΡΜΗΝ. ΤΟΥ ρλδ' ΨΑΛΜΟΥ.

ά. Ἀλληλούϊα. Ὠιδὴ τῶν ἀναβαθμῶν. Λῖνος ἕτος ἕτερος, καὶ ὁ αὐτὸς ὑπὸ τῶν τῆς ἐλευθερίας τετυχηκότων προσενεχθεὶς τῷ Θεῷ· τοῦ δὲ ἀλληλούϊα καὶ ἤδη τὴν ἑρμηνείαν εἰρήκαμεν. Αἰνεῖτε τὸ ὄνομα Κυρίου· αἰνεῖτε δοῦλοι Κύριον. Ἐπειδὴ ἀόρατος ἡ θεία Φύσις, ὑμνεῖν δὲ ταύτην παρακελεύεται, εἰκότως εἶπεν, αἰνεῖτε τὸ ὄνομα Κυρίου· ἀρκέσθητέ φησι τῇ τοῦ Θεοῦ προσηγορίᾳ, καὶ μὴ ζητήσητε ἰδεῖν, ἃ μὴ θέμις ἰδεῖν. β'. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Βαβυλωνίων, φησὶν, ἀπαλλαγέντες δουλείας, καὶ τῆς τῶν θείων αὐλῶν ἀπολαύοντες εὐπρεπείας, τὸν τούτων χορηγὸν τῶν ἀγαθῶν ἀνυμνήσατε. γ'. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.

Ἀφορμὴν τῆς ὑμνῳδίας ποιήσατε τοῦ ὑμνουμένου τὴν ἀγαθότητα. Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν. Πολὺ δὲ καὶ ἐντεῦθεν προσγινόμενον ὑμῖν κέρδος. εἶτα τῶν εἰς αὐτοὺς γεγενημένων εὐεργεσιῶν ποιεῖται τὴν μνήμην. δ'. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. Ὁ δὲ Σύμμαχος οὕτως· καὶ τὸν Ἰσραὴλ εἰς ἐξαίρετον ἑαυτῷ. πλείονος αὐτὸν φησιν ἐπιμελείας ἠξίωσε, καὶ οἰκεῖον λαὸν ἀπεκάλεσε, καὶ πάντων ἀνθρώπων κηδόμενος, τούτου διαφερόντως πεφρόντικε. ταῦτα δὲ καὶ ὁ μακάριος ἔφη Μωσῆς· ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων Θεοῦ· καὶ ἐγενήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. ε'. Ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Δι' αὐτῶν, φησὶ, μεμαθήκαμεν τῶν πραγμάτων τὸ ἡμετέρου Θεοῦ τὴν ἰσχὺν, καὶ ὅτι οὐδαμῶς αὐτῷ παραβληθῆναι δυνήσονται οἱ παρὰ τῶν ἄλλων ἐθνῶν προσκυνούμενοι Θεοί. οὐδεὶς γὰρ τῷ ὄντι καὶ ἀεὶ ὄντι συγκρίνει τὸ μηδαμῶς ὄν. εἶτα ἀπὸ τῆς δημιουργίας ὑποδείκνυσι τὸ τοῦ Θεοῦ δυνατόν. ς'. Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Οὐ τῇ δυνάμει σύμμετρα τὰ γενόμενα, ἀλλὰ τῇ βουλήσει. ἠδύνατο μὲν γὰρ καὶ πολλαπλάσια τούτων, καὶ πολλῷ μείζονα δημιουργῆσαι· ἀλλὰ τοσαῦτα καὶ τοιαῦτα ἠθέλησεν. αὐτῷ δὲ ὅμως πάντα ποιήματα, οὐρανὸς καὶ τὰ οὐράνια, γῆ καὶ τὰ ἐπίγεια, θάλασσα καὶ τὰ ἐν αὐτῇ. ἀβύσσους δὲ καλεῖ τὸ ἄπειρον τῶν ὑδάτων πλῆθος. πληθυντικῶς δὲ θαλάσσας ἐκάλεσεν, ἐπειδὴ εἰς πελάγη πολλὰ ἡ μία διῄρηται θάλασσα. Ἀτλαντικὸς γὰρ κόλπος, καὶ Ὠκεανὸς, καὶ Τυρρηνικὸς, καὶ Ἰόνιός τε, καὶ Αἰγαῖος, καὶ Ἀραβικὸς, καὶ Ἰνδικὸς, καὶ Εὔξεινος πόντος, καὶ Προποντὶς, καὶ Ἑλλήσποντος, καὶ ἕτερα πελάγη πολλαπλάσια τῶν εἰρημένων. ζ'. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Τῷ γὰρ θείῳ λόγῳ ἡ κατωφερὴς τῶν ὑδάτων φύσις ἀνέλκεται, καὶ μετέωρος γίνεται, καὶ ἄρδει τὴν ἤπειρον. ἐξ ἐσχάτου δὲ τῆς γῆς ταύτην εἶπεν ἀνάγεσθαι, ἐπειδὴ ἐκ τῶν θαλαττίων ὑδάτων συνίσταται. τέρματα δὲ τῆς γῆς οἱ θαλάττιοι κόλποι. Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. Προμηνύει δὲ τῶν ὑετῶν τὴν χορηγίαν ταῖς ἀστραπαῖς, καὶ δείκνυσι θαῦμα πάντων παραδοξότατον. ἐν ὕδασι γὰρ τὸ ἀστραπαῖον διατρέχον πῦρ, ἔτε ἐκεῖνα θερμαίνει, οὔτε αὐτὸ κατασβέννυται. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Θησαυροὺς ἀνέμων ἐκ ἀποθήκας εἶναι λέγει τινὰς, ἀλλ' ἐπειδὴ ἀπήνεμον ὄντα τὸν ἀέρα πολλάκις ῥᾳδίως ἐθελήσας κινεῖ τὸ βούλημα τὸ θεῖον, θησαυρὸν ἀνέμων ἐκάλεσεν· ἅμα τε γὰρ νεύει, καὶ πανταχόθεν προσίασιν. οὕτω τὴν κοινὴν δημιουργίαν, καὶ πρόνοιαν ὑποδείξας, τὰς Ἰουδαίων λοιπὸν εὐεργεσίας διέξεισιν. η'. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. Τὴν τελευταίαν πληγὴν τέθεικε πρώτην, ἐπειδὴ μετὰ ταύτην τὴν ἐλευθερίαν ἐδέ-

ξαντο.

ξαντο. θ'. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σε Αἰγύπτε. Τὰς παντοδαπὰς θαυματουργίας καὶ παιδείας διὰ τούτων ἐδήλωσεν. Ἐν Φαραὼ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτε. Οὐ γὰρ ἤρκεσεν ἡ βασιλεία τῶν θεηλάτων αὐτὸν ἀπαλλάξαι μαστίγων, ἀλλὰ τοῖς αὐτοῖς καὶ οἱ βασιλευόμενοι καὶ ὁ βασιλεύων κακοῖς περιέπεσεν. ἔτω καὶ πρὸς τὸν μέγαν Μωσῆν ἔφη ὁ τῶν ὅλων Θεός· ἰδοὺ ἐγὼ πατάσσω πᾶν πρωτότοκον τῆς Αἰγύπτε, ἀπὸ πρωτοτόκε Φαραὼ τοῦ καθημένε ἐπὶ τοῦ θρόνε αὐτοῦ, ἕως πρωτοτόκε τῆς αἰχμαλώτιδος τῆς παρὰ τὸν μύλον. ί. Ὃς ἐπάταξεν ἔθνη πολλά. Τὰ τὴν Παλαισίνην πάλαι οἰκήσαντα. Καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. ια'. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορῥαίων· καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. Τούτων ὁ θεῖος Μωσῆς τὴν βασιλείαν κατέλυσεν. Καὶ πάσας τὰς βασιλείας Χαναάν. Τούτους ὁ μακάριος Ἰησοῦς ἐχειρώσατο, καὶ τὰς ὑπ' ἐκείνων κατεχομένας χώρας καὶ πόλεις διένειμε τῷ λαῷ. τέτο καὶ ἐνταῦθα ὁ προφήτης φησί. ιβ'. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ τῷ λαῷ αὐτε. Καθάπερ γάρ τινα κλῆρον πατρῷον, τὴν ὑπ' ἐκείνων τῶν δυσσεβῶν βασιλέων πάλαι καταχεθεῖσαν γῆν τῷ Ἰσραὴλ δέδωκεν ὁ τούτων Θεός. ιγ'. Κύριε τὸ ὄνομά σε εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σε εἰς γενεὰν καὶ γενεάν. Τὸ μὲν γὰρ μέγεθος τῶν ὑπό σε γεγενημένων θαυμάτων τὸ σὸν ἅπαντας ἐδίδαξεν ὄνομα· καὶ μέντοι καὶ εἰς τὰς ἐσομένας γενεὰς ἡ τῶν σῶν εὐεργεσιῶν φυλαχθήσεται μνήμη. ιδ'. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτε, καὶ ἐπὶ τοῖς δούλοις αὐτε παρακληθήσεται. Οὐ γὰρ περιόψῃ παρὰ τῶν δυσμενῶν ἡμᾶς πολεμουμένους ὁρῶν, οὐδὲ ἀξίας τῶν ἡμετέρων ἁμαρτάδων τιμωρίας ἐπάξεις, ἀλλ' ἵλεως ἔσῃ καὶ εὐμενὴς· οὕτω δείξας τε ὄντος Θεε τὴν δύναμιν, κωμωδεῖ τῶν καλουμένων μὲν, οὐκ ὄντων δὲ θεῶν τὴν ἀσθένειαν· καὶ ἐπειδὴ θεοὺς ὠνόμασεν, ἀνέδειξεν αὐτοὺς μετὰ τοῦ πράγματος καὶ τῆς προσηγορίας ἐρήμους. ιε'. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Ὁ μὲν ἡμέτερος Θεὸς τῶν ἁπάντων ἔστι, φησὶ, ποιητὴς, ἐκεῖνοι δὲ οὐ μόνον δημιουργικὴν ἐκ ἔχουσι δύναμιν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος παρὰ τέχνης ἀνθρωπείας ἐδέξαντο. ἐξ ὕλης γὰρ αὐτοῖς καὶ τέχνης ἡ σύστασις. ις'. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. ιζ'. Ὦτα ἔχουσι, καὶ οὐκ ἐνωτιθήσονται. Εἰκόνας, φησὶν, αἰσθήσεων ἔχουσι, τῆς δὲ ἐνεργείας ἐξέρηνται. Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ σώματι αὐτῶν. Τούτε δὲ καὶ τῶν ἀλόγων ἡ Φύσις μετέλαχεν. ἀναπνεῖ γὰρ τῶν ζώων ἕκαστον· τὰ δὲ εἴδωλα ἐδὲ τοῖς ἀλόγοις παραπλησίως τούτου μετέχει. ιή. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ταύτης εἰσὶν ἄξιοι τῆς ἀναισθησίας μεταλαχεῖν, καὶ οἱ δημιουργοῦντες αὐτὰ, καὶ οἱ προσκυνοῦντες. τοὺς γὰρ λόγου μετέχοντας, καὶ θεοὺς ὑπολαμβάνοντας τὰ ζωῆς ἐξερημένα καὶ λόγε, δίκαιον τῆς ἐκείνων μεταχεῖν ἀλογίας. ιθ'. Οἶκος Ἰσραὴλ εὐλογή-

λογήσατε τὸν Κύριον. Ἐκεῖνοι μέν φησι τοσαύτην ἀπονέμουσι θεραπείαν τοῖς ἀψύχοις εἰδώλοις· ὑμεῖς δὲ τὸν τῶν ἁπάντων ὑμνήσατε ποιητήν. Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον. διέκρινε τὲ λαοῦ τοὺς ἱερέας, καὶ καθ' ἑαυτοὺς ὑμνεῖν παρηγγύησε, ταύτῃ δεικνὺς τὸ διάφορον. κ'. Οἶκος Λευὶ εὐλογήσατε τὸν Κύριον. Ἑτέρα πάλιν ἐνταῦθα διαφορά· οἱ γὰρ Λευῖται τῶν μὲν ἄλλων τιμιώτεροι, τῶν δὲ ἱερέων ὑποδεέστεροι. ἵνα τοίνυν μὴ ἢ ἔτοι τὴν ἱερατικὴν ἀξίαν ἁρπάσωσιν· ἐτόλμησαν γὰρ καὶ πάλαι τὲτο τοῦ θεσπεσίε Μωσοῦ περιόντος· ἀναγκαίως καὶ τούτους ἀπὸ τῶν ἱερέων ἀπέκρινεν. Οἱ φοβούμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον. Ἕτερον καὶ τὲτο τάγμα, ἐκ μὲν τὲ Ἰακὼβ οὐ κατάγον τὸ γένος, ἐκείνε δὲ τὴν εὐσέβειαν ἀσπαζόμενον· οὕτω δὲ καὶ τοὺς εὐσεβεῖς ὠνόμαζον προσηλύτους. ἱκανὸν δὲ καὶ τοῦτο Ἰουδαίους διδάξαι, ὡς ὁ τῶν ὅλων Θεὸς τῆς σωματικῆς συγγενείας τὴν τῶν τρόπων προκρίνει συγγένειαν. κά. Εὐλογητὸς Κύριος ἐκ Σιὼν, ὁ κατοικῶν Ἱερουσαλήμ. Εὐλογούμενος ὁ Θεὸς εὐλογεῖ· ἀλλ' εὐλογεῖ μὲν ἔργῳ, εὐλογεῖται δὲ λόγῳ. καὶ οἱ μὲν ὑμνοῦντες προσφέρουσι ῥήματα, αὐτὸς δὲ τὴν διὰ πραγμάτων ἀντιδίδωσιν εὐλογίαν. κατοικεῖν δὲ αὐτὸν ἐν Ἱερουσαλὴμ ἔφη, οὐ τὴν θείαν ἐκεῖ περιγράφων φύσιν, ἀλλ' ἐκεῖ τηνικαῦτα τὴν θείαν ἐπιφάνειαν εἰδώς.

ΕΡΜΗΝ. ΤΟΥ ρλέ΄ ΨΑΛΜΟΥ.

α. Ἀλληλούϊα. Καὶ τόνδε τὸν ὕμνον τοῖς αὐτοῖς ἡ προφητικὴ συνέγραψε χάρις, διὰ πλειόνων αὐτοῖς παιδευμάτων πραγματευομένη τὴν ὠφέλειαν. Ἐξομολογεῖθε τῷ Κυρίῳ ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ. Προσενέγκατέ φησι τῷ Θεῷ τὸν χαριστήριον ὕμνον, τῶν ὑπ' αὐτῦ χορηγηθέντων ἀγαθῶν μεμνήμενοι, καὶ τὸν ἀμέτρητον αὐτῦ θαυμάζοντες ἔλεον. β΄. Ἐξομολογεῖθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ. Θεῶν ἐνταῦθα ἃ τῶν εἰδώλων λέγει, οὐ γὰρ ἂν αὐτὸν ἐκάλεσε τῶν ἐκ ὄντων Θεόν. ἃ γάρ ἐστιν ὁ Θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καλεῖ τοίνυν θεὺς τὺς ἱερωσύνῃ τετιμημένες, τὺς υἱὺς Θεῦ χρηματίσαντας. ἔτω καὶ ἐν τῷ νόμῳ φησὶ, θεὺς ἃ κακολογήσεις, καὶ ἄρχοντα τῦ λαῦ σε ἐκ ἐρεῖς κακῶς· καὶ, υἱὸς πρωτότοκός με Ἰσραήλ· καὶ διὰ τῦ Ἡσαΐου, υἱὺς ἐγέννησα καὶ ὕψωσα. καὶ ἐν τοῖς ψαλμοῖς, ἐγὼ εἶπον, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστε πάντες. τέτες θεὺς ἐκάλεσεν, ὡς υἱὺς Θεῦ χρηματίσαντας. γ΄. Ἐξομολογεῖθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ. Καὶ βασιλεῖς καὶ ἄρχοντες, παρὰ Θεῦ λαβόντες τὴν ἐξσίαν, τῶν ὑπηκόων δεσπόζεσιν. ἔτω καὶ ὁ Κύριος ἔφη, οἱ βασιλεῖς τῶν ἐθνῶν κατακυριεύεσιν αὐτῶν, καὶ οἱ ἄρχοντες κατεξεσιάζεσιν αὐτῶν. εἰσὶ δὲ καὶ ἄγγελοί τινες ὀνομαζόμενοι κυριότητες· διὰ τῦτο καὶ ὁ θεῖος ἀπόστολος ἔφη· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ λεγόμενοι, ἐκ ὄντες, ὀνόματος μετέχοντες, ἃ πράγματος· εἴτε ἐν τῷ ὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοί· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ

καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' ὃν τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. τοῦτον ἐκάλεσεν ὁ ψαλμὸς κύριον τῶν ἀληθῶν κυρίων. δ'. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Μεγαλουργίαι καὶ αἱ τῶν εὐνῶν αὐτοῦ θεραπόντων. ἀλλὰ θεῖα καλεῖται καὶ τὰ Μωσοῦ, καὶ τὰ Ἰησοῦ, καὶ τὰ Ἠλίου θαυμάσια· ὡσαύτως δὲ καὶ τὰ ὑπὸ τῶν ἱερῶν ἀποστόλων γεγενημένα σημεῖα. εἰκότως τοίνυν αὐτὸν ὁ προφήτης μόνον ἔφη τῶν μεγάλων θαυμάτων δημιουργόν. εἶτα δείκνυσιν αὐτοῦ καὶ τὰ μεγάλα ποιήματα. ε'. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κηρύττει γὰρ καὶ μόνον ὁρώμενος οὐρανὸς τοῦ Θεοῦ τὴν σοφίαν. πολὺ γὰρ τὸ μέγεθος, καὶ τὸ κάλλος, καὶ ἡ ἐπὶ τὸ πλεῖστον διαμονή. ς'. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τοῦτο δὲ ἀξιάγαστον, καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον διάνοιαν, καὶ πανταχόθεν τὴν γῆν περικλυζομένην τοῖς ὕδασιν ἐστάναι, καὶ ἐπὶ τῆς οἰκείας Φύσεως διαμένειν. εἰκότως δὲ τοῖς ῥητοῖς ἅπασι τὸν αἰώνιον ἔλεον ὁ μελογράφος συνέζευξεν, ἐπειδὴ ἐ διὰ χρείαν οἰκείαν, ἀλλὰ διὰ μόνην Φιλανθρωπίαν ἐδημιούργησεν ὁ Φιλάνθρωπος ἅπαντα. ζ'. Τῷ ποιήσαντι Φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῆς θείας μεταλαχόντες προνοίας οἱ ἄνθρωποι ἐξάπτειν λαμπάδας εἰώθασιν, ἀλλ' ὅλον τὸ περίγειον πῦρ ἑνὸς ἀστέρος οὐ μιμεῖται λαμπρότητα. πάντων δὲ ἀστέρων καὶ σελήνης αὐτῆς φανώτατος ἥλιος. καὶκεῖνος γὰρ φαινόμενος κρύπτει, καὶ αὐτῆς τὰς ἀκτῖνας ἀμβλύνει. η'. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. θ'. Τὴν σελήνην, καὶ τοὺς ἀστέρας, εἰς ἐξουσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Διένειμέ φησι τοῖς φωστῆρσι τὸν χρόνον, καὶ ταῖς μὲν ἡλιακαῖς ἀκτῖσι τὴν ἡμέραν ποιεῖ, σελήνῃ δὲ καὶ ἄστροις καταφωτίζει τὴν νύκτα. διὰ τούτων γινομένων τὴν οἰκείαν δεικνὺς ἀγαθότητα. ι'. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀλλ' ἴσως ἄν τις ἐπαπορήσειε, πῶς ἐλέῳ τεκταίνεται θάνατος; σκοπείτω τοίνυν τὴν λύσιν τῶν προκειμένων ῥητῶν· ὡς ὁ τοὺς ἀδικουμένους οἰκτείρων, τοὺς ἀδικοῦντας κολάζει. τοῦτο γὰρ καὶ ἐνταῦθα ὁ προφήτης ἐπήγαγε. ια'. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ περὶ τοῦτον ἔλεος ἐκείνοις τὴν τιμωρίαν ἐπήγαγε. καὶκεῖνος δὲ, καὶ αὕτη, δικαιοσύνη συγκέκραται. καὶ τότε γὰρ δικαίως ἠλέησε, καὶκείνους ἐνδίκως ἐκόλασεν. ιβ'. Ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Χεῖρα τὴν ἐνέργειαν ἐκάλεσε, βραχίονα δὲ τὴν ἰσχύν· δι' ἀμφοτέρων μέν τοι ἐδήλωσεν, ὡς διὰ τῆς γεγενημένης τοῦ λαοῦ σωτηρίας τὴν οἰκείαν ἀπεκάλυψε δύναμιν. ιγ'. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τινὲς τοῖς Ἰουδαϊκοῖς ἀκολουθήσαντες μύθοις ἰσαρίθμους ταῖς δυοκαίδεκα Φυλαῖς ἔφασαν τῇ ἐρυθρᾷ θαλάσσῃ γεγενῆσθαι τὰς διαιρέσεις, ἐπειδὴ ὁ προφήτης ἐ διαίρεσιν, ἀλλὰ διαιρέσεις

εἶπεν· ἔδει δὲ αὐτὲς συνιδεῖν, ὅτι διχῆ τμηθὲν τὸ πέλαγος δύο ἀνθ' ἑνὸς ἐγένετο. τὸ γὰρ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· ἃ δὴ χάριν διαιρέσεις ἐκάλεσε τὴν εἰς δύο τὲ πελάγες τομήν. ιδ'. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσε αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. ιε'. Καὶ ἐκτινάξαντι Φαραὼ, καὶ τὴν δύναμιν αὐτὲ εἰς θάλασσαν ἐρυθρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Ἀμφότερα γὰρ τῆς αὐτὲ δυνάμεως ἔργα, καὶ τὸ τέτες εὐπετῶς διαβῆναι τὸ πέλαγος, καὶ τὸ ἐκεῖνον ὑποβρύχιον γενέσθαι τοῖς ὕδασι. ις'. Καὶ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Καὶ τέτο δὲ τῆς θείας ἰχύος ἀπόδειξις, τοσῦτον λαὸν ἐπὶ χρόνῳ τοσέτῳ ἐν ἐρήμῳ διαθρέψαι, καὶ τῶν ἀναγκαίων αὐτῷ χορηγῆσαι τὴν ἀφθονίαν. ιζ'. Τῷ πατάξαντι βασιλεῖς μεγάλες, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. ιή. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιὲς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Ἐν κεφαλαίῳ καὶ τέτων ἤδη τὴν ἑρμηνείαν ἐποιησάμεθα. ιθ'. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορῥαίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. κ'. Καὶ τὸν Ὼγ βασιλέα τῆς Βασὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Οὐχ ἁπλῶς δὲ, τὲς ἄλλες παραλιπὼν βασιλέας, τέτων διαφερόντως ἐμνήσθη, ἀλλὰ τὸν λαὸν τῆς θεοσδότου νίκης ἀναμιμνήσκων· ἐπὶ ῥώμη γὰρ ἦτοι καὶ δυνασεία, καὶ μεγέθει σώματος ἐσεμνύνοντο. ὁ δὲ Ὼγ καὶ κλίνῃ ἐκέχρητο σιδηρᾷ, διὰ τὸ τὲ σόματος μέγεθος· ἐννέα μὲν πήχεις τὸ μῆκος, πέντε δὲ τὸ εὖρος ἐχέσῃ. κα'. Καὶ δόντι τὴν γῆν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. κβ'. Κληρονομίαν Ἰσραὴλ δέλῳ αὐτὲ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Ἅπαντας γὰρ ἐκείνες θανάτῳ καταναλώσας, τὸν Ἰσραὴλ δεσπότην τῆς ἐκείνων ἐπέφηνε γῆς. κγ'. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. κδ'. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Μέμνηται τούτων καὶ ὁ μακάριος Μωσῆς. ἐξέναξαν γάρ φησιν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεόν. καὶ αἰχμαλώτες δὲ πάλιν γενομένες ᾤκτειρε, καὶ εἰς τὴν πατρῴαν ἐπανήγαγε γῆν. κέ. Ὁ διδὲς τροφὴν πάσῃ σαρκὶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Ἀπὸ τῆς μερικῆς προνοίας πάλιν ἐπὶ τὴν καθόλε μετέβη, τὴν περὶ πάντας τὲ Θεὲ κηρύττων κηδεμονίαν. ὁ γὰρ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ἀλόγοις τὴν κατάλληλον προσφέρει τροφήν. ἔτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις· ἀποβλέψατε εἰς τὰ πετεινὰ τὲ ἀρανὲ, ἃ ἔτε σπείρει, ἔτε συνάγει εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐράνιος τρέφει αὐτά. κς'. Ἐξομολογεῖθε τῷ Θεῷ τὲ ἀρανὲ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτὲ. Πάντων μὲν Θεὸς ὁ Θεός· πάντων γάρ ἐσι ποιητής· ἀρανὲ δὲ κυρίως χρηματίζει Θεὸς, ὑπὸ τῶν ἐν ἀρανῷ διαιτωμένων ἀγγέλων θεραπευόμενος· ἐκεῖνο γὰρ τὸ χωρίον καθαρὸν ἁμαρτίας.

ΕΡΜΗΝ. ΤΟΥ ρλς' ΨΑΛΜΟΥ.

Οὗτος ὁ ψαλμὸς ἀνεπίγραφος παρ' Ἑβραίοις. Θρασὺ δέ τινες πρᾶγμα

μα τετολμηκότες ἐπέγραψαν, τῷ Δαβὶδ διὰ Ἱερεμίου· καὶ προσέθεσαν τὸ, ἀνεπίγραφος παρ' Ἑβραίοις· καὶ αὐτὸ δὲ τὸ πλάσμα τῆς ἐπιγραφῆς κηρύττει τῶν ἐπιγεγραφότων τὴν ἄνοιαν. Ἱερεμίας γὰρ ἐκ εἰς Βαβυλῶνα μετὰ τῶν δορυαλώτων ἀπήχθη, ἀλλ' ὀλίγον ἐν τῇ Ἱερουσαλὴμ διάγων χρόνον, ὑπὸ τῶν παρανόμων βιαθεὶς Ἰουδαίων, τῆς εἰς Αἴγυπτον αὐτοῖς ὁδῷ κεκοινώνηκε· πῶς τοίνυν ἁρμόττει τῷ Ἱερεμίᾳ λέγειν, ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν; ὅτι μὲν ἐδαμῶς ἐκείνῳ τῷ προφήτῃ προσήκει, δῆλον ἐκ τῶν εἰρημένων· σαφὴς δὲ ὅμως τῆς ψαλμῳδῆ ἡ ὑπόθεσις· οἱ γὰρ ἀπαχθέντες αἰχμάλωτοι, καὶ τῆς ἐπανόδου τετυχηκότες, διηγοῦνται τὰ ἐν Βαβυλῶνι συμβεβηκότα. α'. Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Οἱ ἀθυμοῦντες εἰώθασι τὰ ἐρημότερα καταλαμβάνειν χωρία, κἀκεῖ τὰς οἰκείας ὀλοφύρεσθαι συμφοράς· καὶ ἔτοι τοίνυν ταῖς ὄχθαις τῶν ποταμῶν προσκαθήμενοι, καὶ τῆς μητροπόλεως αὐτῶν λογιζόμενοι τὴν ἐρημίαν, πολλὰ προέχεον δάκρυα, τῶν ποταμῶν μιμούμενοι ῥεύματα. β'. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ἄχρηστα γὰρ αὐτοῖς ἦν παντελῶς, τοῦ νόμου διαγορεύοντος ἐν ἑνὶ τόπῳ τὴν λειτουργίαν πληροῦν. γ'. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Ἐπιτωθάζοντες ἡμῖν, καὶ ταῖς ἡμετέραις ἐπεμβαίνοντες συμφοραῖς, ᾄδειν ἡμῖν ἐκέλευον, καὶ ταῖς ἡμετέραις αὐτὲς καταθέλγειν ᾠδαῖς, ἐχ ἵνα ἐντεῦθέν τινα λάβωσιν ὠφέλειαν, ἀλλ' ἵνα γελάσωσι τὰ ἡμέτερα. δ'. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίῳ ἐπὶ γῆς ἀλλοτρίας; Ἡμεῖς δὲ τῷ προστεταγμένῳ τὸ παράνομον εἰδότες, ἐκ εἴξαμεν τοῖς κελεύσιν· ἔλεγχος δὲ ταῦτα Ἰουδαίων τῶν παρανόμων, πληρῶν σπουδαζόντων τὸν νόμον, καὶ ἔξω τῶν νενομισμένων χωρίων ἐπιτελέντων τὰ νόμιμα. ε'. Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου. ς'. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ. Ταῦτα ὑπὸ τῦ προφήτου διδάσκοντα λέγειν, ἵνα τὴν τῆς ἱερᾶς πόλεως ἄλησον ἔχωσι μνήμην, καὶ ταῖς ἐλπίσι τῆς ἐπανόδου ψυχαγωγούμενοι, τῶν ἀνδραποδισάντων μὴ μάθωσι τὴν ἀσέβειαν. λέγει τοίνυν, ὅτι ἐδὲ πόρρω σε τυγχάνων, ὦ Ἱερουσαλὴμ, λήθῃ τὴν μνήμην παραδέδωκα. εἰ δὲ τοῦτο ποιήσαιμι, τοῦτο πάθοιμι, καὶ τῆς ἄνωθεν βοηθείας μὴ τύχοιμι. ταύτην γὰρ καλεῖ δεξιάν. Ἐὰν μὴ προσανατάξωμαι τὴν Ἱερουσαλὴμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Τὸ κεφάλαιόν φησι τῆς εὐφροσύνης τὴν σὴν ἔχω θέαν, καὶ τὴν σὴν νεφγίαν, καὶ τὰς ἐν σοὶ πανηγύρεις. δι' ἐκείνων γὰρ καρπεῦμαι τὴν ἀληθῆ θυμηδίαν. ζ'. Μνήσθητι Κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. Ἐκ τῦ Ἡσαῦ οἱ Ἰδουμαῖοι καταγόμενοι διέμενναν τὴν πατρῴαν δυσμένειαν ἔχοντες. ἔτοι τῆς Ἱερουσαλὴμ ἐμπιπραμένης καὶ καταλυομένης, ἔλεγον ἐφηδόμενοι, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς· ἀντὶ τῦ, ἐκ βάθρων αὐτὴν ἀνα-

σπάσα-

σπάσατε, ὥστε μηδὲ αὐτὰ μεῖναι τῶν θεμελίων τὰ ἴχνη. ἡ. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. Οὕτω παραδὸς τῷ Θεῷ τῶν Ἰουδαίων τὴν κρίσιν, προλέγει καὶ τῇ Βαβυλῶνι τὸν ἐσόμενον ὄλεθρον. ταλαίπωρον δὲ αὐτὴν, ὡς ἀθλίαν ἐσομένην, καλεῖ. ὁ δὲ Ἀκύλας, ἀντὶ τοῦ ταλαίπωρος, ἡ προνενομευμένη εἴρηκεν. Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σε, ὃ ἀνταπέδωκας ἡμῖν. Τί δὲ τοῦτό ἐστιν; θ. Μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σε πρὸς τὴν πέτραν. Ἐπειδὴ γὰρ καὶ αὐτοὶ τοῖς αὐτῶν νηπίοις ὠμῶς ἐχρήσαντο, τὴν ἴσην αὐτοῖς τιμωρίαν ὁ προφήτης προείρηκε. μακαρίζεται τοίνυν ὁ Κῦρος, ὁ καὶκείνες κολάσας, καὶ τότες ἐλευθερώσας· ἐκ ἐπειδὴ τῆς εἰλικρινῆς εὐσεβείας τρόφιμος ἦν, ἀλλ᾽ ὅτι τὸν εὐσεβῆ λαὸν τῆς ἐλευθερίας ἠξίωσε, καὶ τὸν θεῖον νεὼν οἰκοδομηθῆναι προσέταξε. δέχεται δὲ Θεὸς καὶ τὰς ὀλίγας καρπὰς, καὶ τὰς μεγάλας ἀντιδόσεις παρέχει· ἔτω τὰς δύω τῆς χήρας ὀβολὰς ἀνεκήρυξεν.

ΕΡΜΗΝ. ΤΟΥ ρλζ΄ ΨΑΛΜΟΥ.

ά. Τῷ Δαβίδ. Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, τὰ ἐπαναζάντα αὐτοῖς οἱ Ἰουδαῖοι καταλύσαντες ἔθνη διὰ τῆς θείας ῥοπῆς, ὕμνον χαριστήριον προσφέρουσι τῷ Θεῷ. ταῦτα τοίνυν ὁ θεῖος προαγορεύει Δαβίδ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου. Οὐκ ἐγένοντο περὶ τὸν εὐεργέτην ἀχάριτοι. ἀλλ᾽ ἱκετείαν προσενεγκόντες, καὶ βοηθείας τετυχηκότες· τοῖς δυνατοῖς τὰς εὐεργεσίας ἀμείβονται, καὶ ὕμνους ὑπὲρ τῆς ἐπικουρίας προσφέρουσιν. Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι. Μιμησόμεθά φησι τῶν ἀγγέλων τοὺς δήμους· καὶ καθάπερ ἐν τοῖς οὐρανοῖς ἐκεῖνοι χορεύοντες ὑμνοῦσι τὸν τῶν ὅλων Θεὸν, οὕτω καὶ ἡμεῖς ἐπὶ τῆς γῆς τὴν πνευματικὴν σοι μελῳδίαν προσοίσομεν. β΄. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σε, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σε, ἐπὶ τῷ ἐλέει σε, καὶ τῇ ἀληθείᾳ σου. Ἔσαι δέ μοι ἀντὶ τοῦ οὐρανοῦ ὁ ἀφιερωμένος τῷ ὀνόματί σε νεώς· ἐν ἐκείνῳ προσκυνήσω σε, καὶ τὴν χαριστήριον δοξολογίαν ποιήσομαι, τὴν εἰς ἐμὲ φιλανθρωπίαν, καὶ τὴν κατὰ τῶν πολεμίων δικαιοσύνην ὁρῶν. τῶν μὲν γὰρ, ὡς ἀδικούντων, ἀληθείᾳ χρησάμενος κατεψηφίσω τὸν ὄλεθρον· ἐμὲ δὲ τῷ σῷ ἐλέῳ διέσωσας. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομά τὸ ἅγιόν σου. Διὰ πάντων γὰρ σεπτὸν τὸ ὄνομά σε· καὶ παρὰ πᾶσιν ἄδεται τοῖς τὴν σὴν θεασαμένοις ἰσχύν. γ΄. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ταύτης τῆς εὐφροσύνης διηνεκῶς ἀπολαύειν ἀντιβολῶ. Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. Τουτέστιν, ἐν τῇ δυνάμει σε τὴν ψυχήν μου πολυωρήσεις, καὶ ψυχαγωγίας καὶ θάρσους ἐμπλήσεις. ὁ δὲ Σύμμαχος οὕτως, συνέσης τῆς ψυχῆς μου δυνάμει· πολλῆς με, φησὶν, ἐπικουρίας καὶ προνοίας ἠξίωσας. δ΄. Ἐξομολογησάθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός μου. Καὶ τηνικαῦτα μὲν ἅπαντες τὴν μεγίστην ἐκείνην μεμαθηκότες νίκην, ἐθαύμασαν τὸν Θεὸν τῶν ὅλων τὴν δύνα-

μιν·

μιν. διαφερόντως δὲ μετὰ τὴν τῦ Θεῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν, καὶ βασιλεῖς καὶ ἄρχοντες τὸν ἁπάντων ὑμνοῦσι ποιητήν. ἐπ' ἐκείνης μέν τοι τῆς νίκης, οὐ ῥημάτων ἤκουσαν, ἀλλὰ πρᾶγμα παράδοξον ἐθεάσαντο· νῦν δὲ καὶ ῥημάτων ἤκουσαν, καὶ τῶν εὐαγγελικῶν ἀπολαύουσι κηρυγμάτων. ε'. Καὶ ᾄσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίε, ὅτι μεγάλη ἡ δόξα Κυρίου. Εὐκτικῶς τὰ ἐσόμενα λέγει, καὶ τὴν τῶν πραγμάτων προλέγει μεταβολήν· ὅτι τοῦ Θεῦ τὴν πρόνοιαν καὶ τὴν οἰκονομίαν θαυμάσουσιν ἅπαντες. ὁδοὺς γὰρ τὰς οἰκονομίας καλεῖ. ς'. Ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ. Τῦτο καὶ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. λέγει δὲ, ὅτι φύσει ὑψηλὸς ὢν καὶ ἄῤῥητος, οὐδὲ τῶν σμικρῶν ἀμελεῖ, ἀλλὰ καὶ τούτους τῆς οἰκείας ἀξιοῖ προμηθείας. Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Γινώσκει γὰρ πάντα πρὶν γενέσεως αὐτῶν· καὶ πόῤῥωθεν τοὺς ἐν δυναστείαις ὁρῶν, ἐκάστῳ φάρμακα προσφέρει καλάλληλα. ζ'. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. Πίστεως εἰλικρινῆς ἡ φωνή. θαῤῥῶ φησὶν, ὅτι κἂν πανταχόθεν ὑπὸ συμφορῶν περικλύζωμαι, κρείττων ἔσομαι τῶν δυσχερῶν, καὶ ζωὴν ἀπὸ τῆς σῆς ἐπικουρίας καρπώσομαι. Ἐπ' ὀργὴν ἐχθρῶν ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. Ὀργισθεὶς γὰρ κατὰ τῶν ἐμῶν δυσμενῶν, ἐκείνους μὲν τιμωρίᾳ παρέδωκας, ἐμὲ δὲ σωτηρίας ἠξίωσας. καὶ ἐνλεῦθεν δῆλον, ὡς χεῖρα μὲν τὴν ἐνέργειαν καλεῖ, δεξιὰν δὲ τὴν ἀγαθὴν ἐνέργειαν. τῇ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν τὴν χεῖρα συνέζευξε· τῇ δὲ εἰς αὐτὸν εὐεργεσίᾳ τὴν δεξιάν. η'. Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Ἐγώ φησιν ἄνθρωπος ὢν, καὶ ἁμαρτίαις ἐγκαλινδούμενος, ἀμείψασθαι τὰς εὐεργεσίας ἐ δύναμαι· αὐτὸς δὲ ὁ Κύριος, ὁ τούτων μοι γενόμενος χορηγὸς, ἐνανθρωπήσας, καὶ τὴν ἐμὴν φύσιν ἀνειληφὼς, τὸ ἐμὸν ἐκτίσει χρέος. συμφωνεῖ τούτοις καὶ ὁ θεῖος ἀπόστολος, λέγων τὸν Δεσπότην Χριστὸν ἐξαλεῖψαι τὸ καθ' ἡμῶν χειρόγραφον. Κύριε τὸ ἔλεός σε εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Ἐπειδὴ τοίνυν ἀμέτρητός σου ὁ ἔλεος, καὶ τῷ αἰῶνι συνεκτεινόμενος, ταχεῖαν τοῖς σοῖς ποιήμασι παράσχε τὴν σωτηρίαν. ταύτην δὲ ὁ προφήτης προσενήνοχεν ὑπὸ τῆς τῦ παναγίου πνεύματος μεμαθηκὼς χάριτος, ὡς τὸ χρέος τῆς φύσεως ὁ ποιητὴς ἐκτίσει τῆς φύσεως.

ΕΡΜΗΝ. ΤΟΥ ρλή ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ. Ἐν ἐνίοις ἀνηγράφοις πρόσκειται, Ζαχαρίᾳ εἰς τὴν διασποράν· τῦτο ἔτε παρὰ τῷ Ἑβραίῳ, ἔτε παρὰ τοῖς ἑβδομήκοντα, ἔτε παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς· ἀλλά τις ὡς ἠβελήθη νενοηκὼς τὸν ψαλμὸν, τῆς ἐπιγραφῆς ἐποιήσατο τὴν προσθήκην. ὁ μέν τοι ψαλμὸς τοῦ Ἰωσίᾳ τῦ βασιλέως πρόῤῥησιν ἔχει. οὗτος γὰρ ἐκ δυσσεβοῦς βλασήσας πατρὸς, τοιούτου δὲ καὶ πάππου γενόμενος ἔκγονος, τὴν μὲν ἐκείνων ἀσέβειαν ἐβδελύξατο, διὰ πάσης δὲ ὁδευ-

σεν ἀρετῆς, καὶ ζήλῳ θείῳ πυρποληθεὶς, τοὺς τῶν εἰδώλων ἱερέας κατηκόντισεν ἅπαντας· τοὺς δὲ τὴν εὐσέβειαν ἀσπαζομένους πάσης θεραπείας ἠξίωσε. ταῦτα προλέγει ὁ ψαλμός. εἰσάγει δὲ αὐτὸν ὁ προφητικὸς λόγος προσευχόμενον, καὶ τὴν περὶ αὐτὸ πρόγνωσιν ἐκπληττόμενον. Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. Βάσανος ἀρετῆς οὐ μόνον πενία καὶ ἀθυμία, ἀλλὰ καὶ βασιλεία καὶ εὐπραξία. ὥσπερ γὰρ ἐν τοῖς ἀνιαροῖς δοκιμαζόμεθα, εἰ φέρειν γενναίως δυνάμεθα τὰ προσπίπτοντα λυπηρά· οὕτως καὶ ἐν ταῖς εὐημερίαις γυμναζόμεθα, καὶ δεικνύμεθα, εἴτε συνεπαιρόμεθα ταῖς εὐκληρίαις, εἴτε τὴν τούτων ἐπιτάμεθα φύσιν. βασιλείαν τοίνυν ἐγχειρισθεὶς ὁ μακάριος Ἰωσίας, καὶ μετ' εὐσεβείας αὐτὴν κυβερνήσας, εἰκότως ἔφη, Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με. β'. Σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. Πάντα, φησὶ, μεμάθηκας ἀκριβῶς, τίνα εἰργαζόμην καθήμενος, τίνα ἔδρων ἀνιστάμενος. διὰ γὰρ τῆς καθέδρας, καὶ τῆς ἐγέρσεως, πάντα τὸν βίον ἐδήλωσε· καθαρᾶς δὲ ψυχῆς καὶ συνειδότος ἐρρωμένου τὰ ῥήματα. καὶ ἐπειδὴ εἶπεν ἐδοκίμασάς με καὶ ἔγνως με, ἵνα μή τις ὑπολάβῃ μετὰ τὸ τέλος τῶν πραγμάτων μανθάνειν τὸν Θεὸν τὰ γινόμενα, ἁρμοδίως πάλαι ἐπήγαγε γ'. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. Ἄνωθεν γὰρ, καὶ ἐξ ἀρχῆς, καὶ πρὸ πολλῶν γενεῶν τῆς ἐμῆς διαπλάσεως, οὐ μόνον τὰς ἐμὰς προεώρακας πράξεις, ἀλλὰ τοὺς ἐσομένους μοι προεώρακας λογισμούς. Τὴν τρίβον μου, καὶ τὴν χοῖνόν μου σὺ ἐξιχνίασας. Ὁ δὲ Θεοδοτίων οὕτως, τὴν τρίβον μου, καὶ τὴν ὁδόν μου ἐξιχνίασας; ὁδὸν καὶ τρίβον τὰς πράξεις καλεῖ, χοῖνον δὲ τὴν τούτων εὐθύτητα· ἐκ μεταφορᾶς τῶν οἰκοδομούντων, καὶ σπαρτίῳ τοὺς τοίχους διευθυνούντων. ἔγνως, φησὶν, ἀκριβῶς μὲ τὰς πράξεις, καὶ εἶδες τῶν ἐμῶν τὴν σὴν ἔλαθε γνῶσιν. δ'. Καὶ πάσας τὰς ὁδές μου προεῖδες, ὅτι ἐκ ἔστι δόλος ἐν τῇ γλώσσῃ μου. Οὐ μόνον προεῖδεν, ἀλλὰ καὶ προείρηκεν ὁ τῶν ὅλων Θεὸς διὰ τῶν προφητῶν, καὶ τῷ Ἱερεμίᾳ θύοντι, καὶ ταῖς δαμάλεσι τὸ θεῖον σέβας προσφέροντι προεθέσπισεν, ὡς ἀναστήσεταί υἱὸς τῷ Δαβὶδ Ἰωσίας ὄνομα αὐτῷ, καὶ τὰς τῶν εἰδώλων ἱερέας παραδώσει θανάτῳ, καὶ τὰ τούτων ὀστᾶ ἐν ἐκείνῳ τῷ βωμῷ κατακαύσει. ε'. Ἰδοὺ Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. Διὰ αὐτῶν μεμάθηκα τῶν πραγμάτων, ὡς ἅπασαν ἔχεις τὴν γνῶσιν, καὶ τῶν πάλαι γεγενημένων, καὶ τῶν μηδέπω γεγενημένων. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Πῶς γὰρ οἷόν τε λαθεῖν τὶ τῶν ἐμῶν τὸν ἐμὸν ποιητὴν, τὸν ἔνδον ἐν τῇ μητρῴᾳ με διαπλάσαντα νηδύϊ, καὶ πάσης ἀξιώσαντα προμηθείας; τὸ δὲ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου, ἔοικε τῷ αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. σημαίνει δὲ κατὰ ταυτὸν καὶ τὴν μετὰ τὴν διάπλασιν προμηθείαν. ς'. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραλαιώθη, ὃ μὴ δύνωμαι πρὸς αὐτήν. Ἐκ τῶν εἰς ἐμὲ γεγενημένων τὴν σὴν ἔγνωκα

γνωκα δύναμιν· καὶ ὑμνῆσαι τὴν σὴν θέλων σοφίαν, εἶτα τῆς ἀξίας διαμαρτάνων, τὴν ἧτταν ὁμολογῶ. οὕτω καὶ τὴν γνῶσιν, καὶ τὴν πρόγνωσιν τοῦ Θεοῦ τῶν ὅλων θαυμάσας, καὶ ὅτι ἀδὲν αὐτὸν ἔλαθεν, οὔτε τῶν γεγενημένων, οὔτε τῶν ἐσομένων, ἐφ' ἕτερον μεταβαίνει ταῦτα διηγούμενος. ζ'. Ποῦ πορευθῶ ἀπὸ τῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Τὸν οὕτω πάντα σαφῶς ἐπισάμενον πῶς δυνατὸν λαθεῖν δραπετεύοντα; ἐπισημήναθαι δὲ προσήκει, ὅτι τὴν αὐτὴν ἐνέργειαν ἔχειν ἐδίδαξε, καὶ τὸν Θεὸν, καὶ τὸ παναγιον πνεῦμα· ποῦ πορευθῶ, φησὶν, ἀπὸ τῦ πνεύματός σου, καὶ ἀπὸ προσώπου σε ποῦ φύγω; ὧν δὲ μία ἡ ἐνέργεια, μία πάντως καὶ ἡ δύναμις· ὧν δὲ μία ἡ δύναμις, μία ἡ Φύσις· μία ἄρα τῦ Θεοῦ καὶ τῦ πνεύματος ἡ Φύσις. η'. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἅπαντά φησι πληροῖς, καὶ τὰ ἄνω καὶ τὰ κάτω· τὸ μὲν γὰρ τοῦ ὕψους ἔχατον, τὸ δὲ τοῦ βάθους. καλῶς δὲ τῷ μὲν οὐρανῷ τὸ σὺ ἐκεῖ εἶ συνέζευξε, τῷ δὲ ᾅδῃ τὸ πάρει. τοῖς γὰρ ἐν ἀρανῷ διαιτωμένοις ἀγγέλοις ἐπαναπαύεται. πανταχῦ δὲ πάρεσι, καὶ τοῖς πᾶσι παρίσαλαι καὶ ἐν αὐτῷ ζῶμεν, κατὰ τὸν θεῖον ἀπόσολον, καὶ κινούμεθα, καὶ ἐσμέν. θ'. Ἐὰν ἀναλάβοιμι τὰς πέρυγάς με κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔχατα τῆς θαλάσσης. ι'. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σε ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. Ὄρθρον τὰς ἀνατολὰς ἐκάλεσε, δυσμὰς δὲ τῆς θαλάτης τὰ ἔχατα. τῷ γὰρ ὕψει καὶ τῷ βάθει τὸ μῆκος καὶ τὸ πλάτος προσέθηκε, διδάσκων τὸ τῆς θείας Φύσεως ἀπερίγραφον. ταύτης δὲ τῆς δυνάμεως τὴν πεῖραν ἔλαβε καὶ Ἰωνᾶς ὁ προφήτης. Φυγεῖν γὰρ τὸν τῶν ὅλων Θεὸν ἐπιχειρήσας, καὶ ἦλω, καὶ τοῖς κύμασιν ἐπεδόθη, καὶ οἷον εἰρκτῇ τινι παρεδόθη τῷ κήτει, καὶ πρὸς ἣν ἀπεσάλη πόλιν ἐποδηγήθη. ἀληθῆ τοίνυν καὶ ἐνταῦθα δείκνυται τῆς προφητείας τὰ ῥήματα· ὅτι εἰ καταασκηνώσαιμι εἰς τὰ ἔχατα τῆς θαλάσσης, ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. ια'. Καὶ εἶπα, ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. Ὁ δὲ Σύμμαχος οὕτως· ἐὰν εἴπω, ἴσως σκότος περισκεπάσει με, ἀλλὰ καὶ νὺξ φωτεινὴ περὶ ἐμέ. κἂν πρὸς ἀνίσχοντά φησι, κἂν πρὸς δυόμενον ἥλιον καταφύγω, τὴν σὴν οὐ διαφεύξομαι δύναμιν. κἂν τῷ σκότει τῆς νυκτὸς κἀλακαλύψαθαι πειραθῶ, οὐδ' οὕτως λήσομαι. σοὶ γὰρ φῶς ἐσι καὶ τὸ σκότος. ιβ'. Ὅτι σκότος οὐ σκοτιωθήσεταί ἀπό σου, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὁ δὲ Σύμμαχος οὕτως· οὔτε σκότος σκοτεινὸν ἔσαι ὑπὲρ σὲ, ἀλλὰ καὶ νὺξ ὡς ἡμέρα φανεῖται. τὸ σκότος, φησὶν, ἐμοί ἐσι σκότος· ἐγὼ γὰρ ἔχω φωτὸς καὶ σκότους διαφοράν· σοὶ δὲ τῷ νοερῷ φωτὶ, καὶ νὺξ φανωτάτη, καὶ πάσης μεσημβρίας φωτεινοτέρα. Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς. Καθάπερ γὰρ ἐμοὶ ζοφώδης ἡ νὺξ, οὕτως ἐσί σοι φωτεινή. ιγ'. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. Ταῦτα δέ φησιν οὐχ ἁπλῶς λέ-

γω, ἀλλὰ τῇ σῇ Φωτιζόμενος χάριτι, καὶ τοῖς λογισμοῖς τὴν σὴν αἴγλην ἐδεχόμενος. νεφροὺς γὰρ ἐνταῦθα τοὺς λογισμοὺς προσηγόρευσεν. ἐπειδὴ γὰρ τὸ ἐπιθυμητικὸν ἔγκειται τοῖς νεφροῖς, οἱ λογισμοὶ δὲ τὴν ταύτης δέχονται προσβολήν, λογισμοὺς ἐκάλεσε τοὺς νεφρούς. Ἀντελάβε μὲ ἐκ γαστρὸς μητρός μου. Σύ μου γέγονας καὶ παιδοτρίβης, καὶ κηδεμών, καὶ διδάσκαλος, καὶ εὐθὺς τῆς μήτρας ἐξελθόντα τῆς σῆς προνοίας ἀπήλαυσα. ιδ'. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης· θαυμάσια τὰ ἔργα σε, καὶ ἡ ψυχή μὲ γινώσκει σφόδρα. Τούτου δὲ χάριν ὑμνῶν διατελῶ, ταῖς σαῖς μεγαλουργίαις καταυγαζόμενος, καὶ εἰς τοῦτο διεγειρόμενος. ιε'. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σε, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μὲ ἐν τοῖς κατωτάτοις τῆς γῆς. Ἅπαντά φησιν ἀκριβῶς γινώσκεις τὰ κατ' ἐμέ· σὺ γὰρ ἔτι με τῇ νηδύι τῇ μητρώᾳ κρυπτόμενον ἔπλασας, καὶ οἱονεὶ ἐν τῷ ἐχάτῳ μέρει τῆς γῆς ὄντα, εἰς φῶς ἤγαγες. οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσεν, οὐκ ἐπεκαλύφθη ὀστᾶ μὲ ἀπὸ σε, οἷς ἐποιήθην ἐν ἀποκρύφῳ, ἐποικίλθην ὡς ἐν κατωτάτῳ τῆς γῆς· οὐδέν σε, φησὶ, λαθεῖν δυνατὸν ἐν τῷ κρυπτῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλάττοντα τῶν ἀνθρώπων τὴν φύσιν. ις'. Τὸ ἀκατέργαστόν μὲ εἶδον οἱ ὀφθαλμοί σε, καὶ ἐπὶ τὸ βιβλίον σε πάντες γραφήσονται· ἡμέραι πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς. Ὁ δὲ Σύμμαχος οὕτως· ἀμόρφωτόν με προεῖδον οἱ ὀφθαλμοί σου, σὺν τοῖς ἐν τῇ βίβλῳ σε πᾶσι γεγραμμένοις, ἡμέρας πλασσομένοις ἐκ ἐνδεούσης οὐδεμιᾶς. οὕτω μὲ φησιν εἶδες πρὶν διαπλασθῆναι καὶ μορφωθῆναι, ὡς τοὺς ἤδη γεννηθέντας, καὶ τελείως γεγενημένους, καὶ οὐδεμιᾶς ἐνδεεῖς ἡμέρας, καὶ ἐν τοῖς σοῖς βιβλίοις ἀναγεγραμμένους. τούτων τῶν βιβλίων καὶ ὁ μακάριος μέμνηται Δανιήλ· κριτήριον γάρ φησιν ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, ὑμῶν καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. βίβλους δὲ νοητέον τὴν πάντα περιέχουσαν τοῦ Θεοῦ γνῶσιν, καὶ τὴν ἄληστον τῷ Θεῷ μνήμην. οὕτω τὰ θεῖα διηγησάμενος, τὸν οἰκεῖον ἀποκαλύπτει σκοπὸν, οὐ φιλοτιμίᾳ χρώμενος, ἀλλ' ὠφελείας ἀρχέτυπον προστιθείς. ιζ'. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Τοῦτο σαφῶς καὶ ἡ ἱστορία διδάσκει. πάσης γὰρ τοὺς θείους ἱερέας ἠξίωσε θεραπείας. ἤκουσαν γὰρ πάντες τῶν ὑποχέσεων, ἃς πρὸς τὸν Ἀβραὰμ ὁ Θεὸς ἐποιήσατο, εὐλογήσω λέγων τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· τὸ δὲ ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν, ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν, ἐκραταιώθησαν οἱ πένητες αὐτῶν. οἱ γὰρ πάλαι διὰ τὰς τῶν δυσσεβῶν βασιλέων παρανομίας ἐν εὐτελείᾳ καὶ πενίᾳ διάγοντες πάσης ἀπήλαυσαν παρὰ τῷ Ἰωσίᾳ τιμῆς. ιη'. Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. Τῇ γὰρ τῶ βασιλέως εὐσεβείᾳ, καὶ οἱ πάλαι δυσσεβεῖς, τὴν

τὴν διάνοιαν φωτισθέντες, παλινῳδίαν ἦσαν, καὶ τὴν κατὰ νόμον πολιτείαν ἠσπάσαντο, καὶ οἱ πάλαι εὐαρίθμητοι ἀριθμοῦ κρείττους ἐγένοντο. προθεσπίζει δὲ κατὰ ταυτὸν ὁ λόγος, καὶ τὴν μετὰ τὴν ἐναν θρώπησιν τῶ Θεῶ καὶ σωτῆρος ἡμῶν γεγενημένην τῆς οἰκουμένης μεταβολήν. νικῶσι γὰρ κατὰ πόλιν ἑκάστην καὶ χώραν τὸν ἀριθμὸν οἱ τῆς τῶ Θεῶ θεραπείας ἐπιμελόμενοι. Ἐξεγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. Ὁ δὲ Σύμμαχος οὕτως, ἐξυπνήσω, καὶ ἀεὶ ἔσομαι παρά σοι. ἀεὶ γὰρ ἐμαυτὸν διεγειρων, καὶ τῆς ῥαθυμίας τὸν ὕπνον ἀπώσομαι, καὶ τὴν σὴν μνήμην ἐν τῇ διανοίᾳ φυλάξω. οὕτω γὰρ τῆς σῆς ἀπολαύσομαι προμηθείας. ιθ'. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλὸς ὁ Θεὸς, ἄνδρες αἱμάτων ἐκκλίναλε ἀπ' ἐμοῦ, ὅτι ἐρεῖς ἐξ εἰς διαλογισμούς. Ἴδιον τῶν τοὺς ἀγαθοὺς ἀγαπώντων τοὺς ἐναντίως βδελύττεσθαι. διό φησιν, ὅτι σῶ τῶ Φιλανθρώπῳ τὰς ἁμαρτωλοὺς ἀναιρῶντος, πολλῷ μᾶλλον ἐγὼ τὴν τούτων ἀποσραφήσομαι συνουσίαν, τὴν φιλόνεικον αὐτῶν ἐπισάμενος γνώμην. οὐ γὰρ ἀνέχονται τῶν ἀγαθῶν παραινέσεων, ἀλλὰ τῇ δυσκολίᾳ τῆς γνώμης ἀποσείονται ταύτας. κ'. Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου. Ἀποκτενεῖς δὲ αὐτοὺς φησιν οὐκ ἀδίκως, ἀλλ' ἐπειδὴ μάτην τὰς πόλεις οἰκήσουσιν, ὄνησιν οὐδεμίαν ἐκ τῶν σῶν νόμων καρπούμενοι. κά. Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σε ἐξετηκόμην; κβ'. Τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι. Τῆς σῆς ἐξήρτημαι ἀγάπης, ὦ Δέσποτα. ταῦτά σοι βέλομαι καὶ φιλεῖν καὶ μισεῖν· διά τοι τοῦτο τοὺς μὲν τῆς σῆς ἀντεχομένους θεραπείας καὶ φιλῶ καὶ γεραίρω· τοὺς δὲ μισοῦντάς σε, οὐ μόνον μισῶ, ἀλλὰ καὶ ἀνιώμενος ἐπ' αὐτοῖς, καὶ τηκόμενος διατελῶ. μισῶ μὲν γὰρ ὡς παρανόμους, οἰκτείρω δὲ ὡς ἀνθρώπους. καὶ πεισθεῖν μὲν αὐτοὺς διὰ τὴν φυσικὴν συμπάθειαν ἀναγκάζομαι· βδελύττομαι δὲ πάλιν αὐτοὺς διὰ τὴν πολλὴν πονηρίαν. κγ'. Δοκίμασόν με ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. κδ'. Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. Ταῦτα ἐγὼ μὲν οὕτως ἔχειν ὑπολαμβάνω· σὲ δὲ παρακαλῶ, τὸν ἄριστον τῶν ψυχῶν ἰατρὸν, τὸν ἐμὸν βίον καταμαθεῖν ἀκριβῶς, καὶ τὰ τῆς καρδίας ἐξετάσαι κινήματα· κἂν τι τῶν σῶν νόμων ἐναντίον ἐν τούτοις εὑρεθῇ, ὑπὸ τῆς σῆς εὐθυνθῆναι σοφίας ἀντιβολῶ, καὶ πρὸς τὴν αἰώνιον ὁδηγηθῆναι πορείαν. ταῦτα ἐρρέθη μὲν ὑπὸ τοῦ μακαρίου Δαβὶδ, προερρέθη δὲ εἰς Ἰωσίαν τὸν εὐσεβῆ, πρόκειται δὲ πᾶσι τοῖς βελομένοις ἀφορμὴ σωτηρίας.

ΕΡΜΗΝ. ΤΟΥ ρλθ' ΨΑΛΜΟΥ.

α'. Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. Διωκόμενος ὑπὸ τῶ Σαὺλ ὁ μακάριος Δαβὶδ, εἰς ἐπικουρίαν καλεῖ τὸν τῶν ὅλων Θεόν. β'. Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Ἄδικος ὁ Σαοὺλ, καὶ

περὶ τὸν εὐεργέτην ἀχάριστος. οὐ γὰρ μόνον οὐδὲν ἠδικηκότα τὸν θεῖον Δαβὶδ, ἀλλὰ καὶ πολλῶν αὐτῷ γενόμενον πρόξενον ἀγαθῶν, ἐσπούδαζεν ἀνελεῖν. γ'. Οἵ τινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Οὐ γὰρ μόνον πονηροῖς ἐχρήσατο λογισμοῖς, ἀλλὰ καὶ τὰ ἔργα προσέθηκε τοῖς λογισμοῖς. τὸ δὲ, ὅλην τὴν ἡμέραν, ὁ Σύμμαχος κατὰ πᾶσαν ἡμέραν ἡρμήνευσεν. δ'. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Δόλῳ γὰρ χρησάμενος πολλάκις ἀνελεῖν αὐτὸν ἐπεχείρησε· καὶ πολλάκις ὁμωμοκὼς, καὶ φιλικοῖς χρησάμενος λόγοις, παρέβη τοὺς ὅρκους. τὴν ὑπουλον τοίνυν γνώμην, καὶ τὸν κεκρυμμένον δόλον, εἰκότως ἀπείκασε τῷ τῶν ἑρπετικῶν θηρίων ἰῷ. ε'. Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Δικαίῳ πρέπουσα ἡ εὐχή. οὐ γὰρ τοῖς ἐχθροῖς ὄλεθρον, ἀλλ' ἑαυτῷ σωτηρίαν αἰτεῖ. Οἵ τινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. Ἐξελαυνόμενος ὑπὸ τοῦ Σαοὺλ ὁ μακάριος Δαβὶδ πρὸς τοὺς ἀλλοφύλους κατέφυγε· δυσσεβεῖς δὲ ἐκεῖνοι, καὶ πάσης παρανομίας ἐργάται. καὶ διὰ τοῦτο τοιγαρῆν ἀξιάγαστος, ὡς παντα χῆ φύλαξ τῆς εὐσεβείας γενόμενος, καὶ δουλεῦσαι ταῖς ἀναγκαις οὐκ ἀνεχόμενος. ἀλλ' ὁ μέν φησιν οὗτος, ὁ ἐξελαύνων με, μικρῆ δεῖν ὑπεσκέλισέ μου τῆς εὐσεβείας τὰ διαβήματα. ς'. Ἐκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ χοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. Ὑπερήφανον αὐτὸν καλεῖ τὸν Σαοὺλ· παγίδα δὲ, καὶ χοινίκα, καὶ σκάνδαλα, τὰς διαφόρους ἐπιβουλὰς, τοὺς λόχους, τὰς ἐνέδρας. εἴρηκε δὲ ταῦτα τροπικῶς, ἐκ μεταφορᾶς τῶν θηρευόντων καὶ ἀρπεδόνας, καὶ ποδάγρας, καὶ δίκτυα διατεινόντων. ζ'. Εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ· Ἐγὼ δὲ τῶν ἀνθρωπίνων ἁπάντων καταφρονήσας ἐμαυτὸν σοι ἀνέθηκα, καὶ σε οἶδα Κύριον καὶ Θεὸν, καὶ τὴν παρά σου προσμένω βοήθειαν. Ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. ἡ Κύριε, Κύριε δύναμις τῆς σωτηρίας μου. Πιστεύοντος καὶ ποθοῦντος ὁ διπλασιασμός· ἐν σοὶ φησιν ἔχω τὴν τῆς σωτηρίας ἐλπίδα. σὺ γὰρ μόνος παρέχειν τὴν σωτηρίαν ἰσχύεις. Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Καὶ τοῦτο τῇ πείρᾳ μεμάθηκα. καὶ γὰρ ἐνίκα τὴν πρὸς τὸν Γολιὰθ ἀνεδεξάμην μονομαχίαν, καὶ ὅτε τοῖς ἀλλοφύλοις παρεταξάμην, καθάπερ ἀσπίδι με τῇ σῇ δοπῇ περιέφραξας. θ'. Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Ὁ δὲ Σύμμαχος οὕτως· μὴ δῷς Κύριε τὰς ἐπιθυμίας τῷ παρανόμῳ. ὁμοίως δὲ καὶ ὁ Θεοδοτίων, καὶ ὁ Ἀκύλας. τῆς ἐμῆς, φησὶν, ἐφιεμένῳ σφαγῆς μὴ δῷς τὴν τῆς ἐπιθυμίας ἀπόλαυσιν. καὶ κατὰ τοὺς ἑβδομήκοντα ἕτω νοητέον, μὴ δι' ἐμοῦ ἀπολαύσαι ὧν γλίχεται. ἐγὼ μὲν γὰρ ἐπιθυμῶ σωθῆναι· ἐκεῖνος δὲ ἐπιθυμεῖ ἀνελεῖν με. μὴ τοίνυν τὴν ἐμὴν ἐπιθυμίαν ἐκείνῳ παράσχῃς. Διελογίσαντο κατ' ἐμοῦ· μὴ ἐγκαταλίπῃς με, μήποτε

τε ὑψωθῶσιν. Πάντα λογισμὸν κινοῦσι κατὰ τῆς ἐμῆς σφαγῆς. μὴ τοίνυν με τῆς σῆς γυμνώσης προνοίας, ἵνα μὴ πρόφασιν αὐτοῖς ἀλαζονείας παράσχῃς. ί. Ἡ κεφαλὴ τῶ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. Ἐντεῦθεν προλέγει τὰ ἐσόμενα αὐτοῖς κακά. τοῦτο δὲ σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν· ὁ πικρασμὸς τῶν κυκλούντων με, ὁ μόχθος τῶν χειλέων αὐτῶν πωμασάτω αὐτούς. ταῖς οἰκείαις φησὶν ἐπιβουλαῖς περιπέσοιεν, καὶ ἃ κατ' ἐμοῦ τεκταίνουσιν ὑπομείναιεν, καὶ ἡ κατ' ἐμὲ τυρευομένη πικρία τοὺς ταύτῃ χρωμένους παγγελῶς συγκαλύψαι. τοῦτο ἔοικε τῷ ἐν τῷ ἑβδόμῳ εἰρημένῳ ψαλμῷ, λάκκον ὤρυξε καὶ ἐσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. ια'. Πεσοῦνται ἐπὶ αὐτοὺς ἄνθρακες, καὶ ἐν πυρὶ καταβαλεῖς αὐτούς. Οἷον γάρ τινι πυρὶ τῇ ὀργῇ καταναλώσεις αὐτούς. Ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. περιπεσοῦνται συμφοραῖς, καὶ οὐ περιέσονται τούτων. ταῦτα δὲ συνέβη τῷ Σαοὺλ ἐν τῷ κατὰ τοὺς ἀλλοφύλους πολέμῳ. ἐκεῖ γὰρ σφαγεὶς ἐδέξατο τὸ βίου τὸ πέρας. ιβ'. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Τὸν διαβάλλοντας αὐτὸν συνεχῶς παρὰ τῷ Σαοὺλ διὰ τούτων αἰνίττεται, τὸν Δωὴκ, τοὺς Ζιφαίους, τοὺς ἄλλους, οἳ πολλαῖς συκοφαντίαις ἐκέχρηντο. καὶ διδάσκει ὡς διαμαρτάνουσι τοῦ σκοποῦ οἱ πλούτου χάριν καὶ δυναστείας τῇ ψευδολογίᾳ χρώμενοι, καὶ ἃ τυγχάνουσιν ὧν ἐφίενται. Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. Ταῦτα γὰρ καὶ ὁ Σαοὺλ ὑπέμεινεν, ἦλω γὰρ ἐν τῷ πολέμῳ, καὶ ἐδέξατο τὴν θανατηφόρον πληγήν. ιγ'. Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πλωχῶν, καὶ τὴν δίκην τῶν πενήτων. Μεμάθηκά φησι τῆς θείας ψήφου τὸ δίκαιον, καὶ οἶδα ὅτι τὸς πάσης ἀνθρωπείας βοηθείας ἐρήμους ἐκ ἐάσει προχείρους τοῖς πολεμοῦσιν εἰς βλάβην, ἀλλὰ πράξεται δίκας τοὺς ἀδίκους ἀξίας. ιδ'. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Τέτου δὴ χάριν ὁ τῶν δικαίων ἀνυμνεῖ σε χορὸς, ταύτης παρά σου τῆς κηδεμονίας τυγχάνων. καὶ τὴν σὴν ἀγαπῶσι προεδρείαν, ἀεί σε φανταζόμενοι, καὶ τὸ σὸν ὁρᾶν ὑπολαμβάνοντες πρόσωπον. τοιοῦτόν ἐστι τὸ ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ εἰρημένον ψαλμῷ, προορῶμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

ΕΡΜΗΝ. ΤΟΥ ρμ' ΨΑΛΜΟΥ.

α'. Ψαλμὸς τῷ Δαβίδ. Καὶ οὗτος ὁ ψαλμὸς τὴν αὐτὴν ἔχει τῷ προτεταγμένῳ διάνοιαν· διωκόμενος γὰρ ὑπὸ τοῦ Σαοὺλ ἀντιβολεῖ τὸν Θεόν. Κύριε ἐκέκραξα πρός σε, εἰσάκουσόν μου. Κραυγὴν γὰρ καλεῖ τὴν τῆς ψυχῆς προθυμίαν. ἔτω γὰρ καὶ Μωσοῦ σιγῶντος ὁ Θεὸς ἔφη, τί βοᾷς πρός με; Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρός σε. Εὐμενῶς φησι, Δέσποτα, δέξαι τὴν ἐμὴν ἱκετείαν

ἱκετείαν. β'. Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Τῇ προσευχῇ συνέζευξε τὴν πρᾶξιν τῆς ἀρετῆς· ἡ γὰρ ἔπαρσις τῶν χειρῶν ταύτην παραδηλοῖ· τὴν ἐργασίαν γὰρ αἱ χεῖρες ἐνεχειρίθησαν· ἱκετεύει δὲ τῷ τῆς θυμιάματος ἀτμῷ παραπλησίως ἀναπεμφθῆναι τὴν προσευχὴν, καὶ τὴν ἐκείνης εὐοσμίαν μιμήσασθαι. ὡσαύτως δὲ καὶ τῶν χειρῶν τὴν ἔκτασιν ἑσπερινῇ θυσίᾳ φανῆναι παραπλησίαν. ἑσπερινῆς μέν τοι, καὶ ἐχ ἑωθινῆς ἐμνημόνευσεν, ἐπειδὴ ἐν συμφοραῖς ἦν καὶ λύπαις σκότῳ δὲ ἔοικεν ἡ συμφορὰ, καὶ νυκτί. γ'. Θοῦ Κύριε Φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Δύο μὲν ὁ δημιουργὸς ἔδωκε τῇ γλώττῃ τείχεα, τὸ τῶν ὀδόντων, καὶ τὸ τῶν χειλέων, τὰς ἀλόγους αὐτῆς ὑπέχων ὁρμάς· ἀλλ' ὅμως ὁ προφήτης καὶ ἑτέρας ἀπολαῦσαι παρακαλεῖ φυλακῆς, δεδιὼς μή τι φθέγξηται χετλιάζων ἐκ εὐπρεπές· ὅτι γὰρ οὐδ' ὑπὸ τοῦ Σαοὺλ διωκόμενος εἰπεῖν τι βλάσφημον ἠνέσχετο πώποτε, μαρτυρεῖ ἡ ἱστορία. ἀλλὰ γὰρ ἀναιρεῖν αὐτὸν πειραθέντων, αὐτὸς χριστὸν ὠνόμασε Κυρίου· καὶ πρὸς αὐτὸν διαλεγόμενος, δῆλον ἑαυτὸν ἀποκαλεῖ, καὶ τὸν μηνύσαντα τὴν σφαγὴν αὐτῷ, ταύτην πεποιηκέναι νεανιευσάμενον, ἀνεῖλεν, εἰρηκὼς, τὸ αἷμά σε ἐπὶ τὴν κεφαλήν σε, ὅτι σε εἶπας ἀνῃρηκέναι τὸν χριστὸν Κυρίου. δ'. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Οὐ μόνον γλῶτταν φρουρηθῆναι παρακαλεῖ, ἀλλὰ καὶ αὐτὰ τῆς διανοίας κινήματα, ἵνα μηδὲ ἐν ἐκείνοις ἕτερός τις παρὰ τὸν θεῖον νόμον εὑρεθῇ λογισμός. ἀντὶ τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, ὁ Σύμμαχος εἰρηκεν ἐννοίας παρανόμους. καὶ κατὰ τὸν ἑβδομήκοντα δὲ ὅτω νοητέον· ἠδύνατο λογίσασθαι ὁ μακάριος Δαβὶδ, ὅτι ἐχθρὸς καὶ πολέμιος ὁ Σαὺλ, καὶ τῆς σφαγῆς ἐφιέμενος τῆς ἐμῆς· ἐκ ἄδικον τοίνυν ἀνελεῖν τὸν τοιοῦτον, τοῦ νόμου διαγορεύοντος, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἀλλὰ τὴν εὐαγγελικὴν προθεωρῶν πολιτείαν, κατ' ἐκείνην ἤθελε βιῶν· καὶ εὔχεται μηδεμίαν πρόφασιν εἰς ἁμαρτίαν λαβεῖν. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ ἐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Ταῦτα γάρ φησι δρῶσιν οἱ τῆς παρανομίας ἐργάται· ἐμοὶ δὲ μὴ εἴη τις πρὸς αὐτοὺς κοινωνία, κἂν τὴν ἄκραν ἔχωσιν εὐκληρίαν· ἐκλεκτοὺς γὰρ ἐνταῦθα τῶν πονηρῶν τοὺς εὐημεροῦντας καλεῖ. ε'. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλὸς μὴ λιπανάτω τὴν κεφαλήν μου. Αἱρετώτερά μοι, φησὶ, τὰ παρὰ τῶν δικαίων παιδείας χάριν γινόμενα καὶ ὠφελείας λυπηρὰ, τῶν παρὰ τῶν ἁμαρτωλῶν προσφερομένων ἡδέων, κἂν δίκην ἐλαίου λαμπρύνωσι κεφαλήν, θυμηρεστέραν μοι ταῦτα παρέχει ζωήν. αἱρεῖσθαι γὰρ παρὰ τῶν δικαίων παιδεύεσθαι, ἢ παρὰ τῶν ἁμαρτωλῶν θεραπεύεσθαι. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. Ὁ δὲ Σύμμαχος ἔτως·

τως· ἔτι δὲ καὶ ἡ προσευχὴ μὲ ἐντὸς τῶν κακιῶν αὐτῶν. τοσοῦτον γὰρ ἀπέχω τοῦ τὴν ἐκείνων εὐημερίαν ζηλῶσαι, ὅτι καὶ αὐτοὺς εὔχομαι μεταβληθῆναι, ἵνα μεταβληθείσης τῆς εὐπραξίας λάβωσι κακίας μεταβολήν. ε΄. Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Οὐκ εἰς μακρὰν φησι φροῦδοι γενήσονται, καὶ οἱ τῆς ἄκρας δυναστείας ἐπειλημμένοι, πέτραις ὑφάλοις ὑπὸ ὑδάτων καλυπτομέναις ὑποβρύχιοι παραπλησίως ἔσονται, ἀντὶ τῆ λήθη παραδοθήσονται. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν. Τῇ πείρᾳ δὲ μαθόντες τῶν ἐμῶν ῥημάτων τὸ ἀληθὲς, καὶ τῆς τούτων ἡδονῆς καὶ ὠφελείας αἰσθήσονται. ζ΄. Ὡσεὶ πάχος γῆς ἐρρήγη ἐπὶ τῆς γῆς, διεσκορπίθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. Πάχος γῆς τὸ συνεχὲς τῆς γῆς καλεῖ, ὃ τῷ ἀρότρῳ τεμνόμενον εἰς βώλους διαιρεῖται· τούτοις, φησὶ, τοῖς βώλοις παραπλησίως οἱ νῦν ἐσῶτες διαλυθήσονται τῷ θανάτῳ, καὶ ἐν τοῖς τάφοις τὰ τούτων ὀστᾶ σκεδασθήσονται. παρὰ τὸν ᾅδην γὰρ τοὺς τάφους ἐκάλεσεν. η΄. Ὅτι πρός σε Κύριε, Κύριε οἱ ὀφθαλμοί μου, ἐπί σοι ἤλπισα, μὴ ἀνταναίρῃς τὴν ψυχήν μου. Ἐγὼ δὲ ἐδενὶ τῶν ἀνθρωπίνων θαῤῥῶ, ἀλλὰ τὴν σὴν προσμένω βοήθειαν, καὶ παρακαλῶ ταύτης τὴν ἐμὴν μὴ γυμνωθῆναι ψυχήν. θ΄. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεῤῥήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Τῶν παγίδων τούτων καὶ τῶν σκανδάλων ἐμνημόνευσε καὶ ἐν τῷ πρὸ τέτε ψαλμῷ. παγίδας δὲ καὶ σκάνδαλα τὰς ἐπιβελὰς καλεῖ, ὧν ἀπαλλαγῆναι παρακαλεῖ. ι΄. Πεσένται ἐν ἀμφιβλήστρῳ αὐτῆ οἱ ἁμαρτωλοί. Τετέσι, τῆ Θεῆ. οἱ γὰρ τοῖς ἄλλοις τὰς παγίδας πηγνύντες, καθάπερ τινὶ δικτύῳ, τῇ θείᾳ συλληφθήσονται τιμωρίᾳ, καὶ ἅπερ δρῶσιν ὑπομενέσιν, καὶ πείσονται ἃ τοῖς ἄλλοις ἐπάγεσιν. Καταμόνας εἰμὶ ἐγὼ, ἕως οὗ παρέλθω. Ἐγὼ δὲ τέτων κεχωρισμένος διατελέσω, ἕως ἂν δέξωμαι τοῦ βίου τὸ πέρας.

ΕΡΜΗΝ. ΤΟΥ ρμα΄ ΨΑΛΜΟΥ.

α΄. Συνέσεως τῷ Δαβὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. Δήλη τῆ ψαλμῆ ἡ ὑπόθεσις. διωκόμενος γὰρ ὁ θεῖος Δαβὶδ ὑπὸ τῆ Σαὴλ, καταφεύγει μὲν ὑπὸ τὸ σπήλαιον, καὶ ἐν τοῖς ἐνδοτάτοις τέτε κατακρύπλεται χωρίοις. εἶτα θεασάμενος τὸν Σαὴλ ἐκεῖ καταχθέντα, τὴν μὲν δειλίαν τῆς διανοίας ἐξήλασε· τὴν δὲ θείαν ἐπικουρίαν ἐκάλεσε, καὶ ταύτης τετύχηκε. β΄. Φωνῇ μὲ πρὸς Κύριον ἐκέκραξα, φωνῇ μὲ πρὸς Κύριον ἐδεήθην. Καὶ ἐντεῦθεν δῆλον, ὡς κραυγὴν τὴν τῆς διανοίας προθυμίαν καλεῖ. πῶς γὰρ ἂν ἐκέκραξε φωνῇ χρησάμενος ὁ κρυπτόμενος, καὶ λαθεῖν προθυμούμενος; λέγει τοίνυν ὅτι μετὰ πάσης προθυμίας ἱκέτευσα τὸν Θεόν. γ΄. Ἐκχεῶ ἐνώπιον αὐτῆ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτῆ ἐπαγγελῶ. Καὶ τὴν συμφορὰν φησιν αὐτῷ πεποίηκα δήλην, καὶ τὴν ὑπὲρ ταύτης ἱκετείαν ἐπιμελῶς προσενήνοχα. τὸ πολὺ δὲ τῆς δεήσεως διὰ τῆ ἐκχεῶ παρεδήλωσεν. δ΄. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμῆ τὸ πνεῦμά μου.

Ταῦτα δὲ ἔδρων τὴν ὑπερβολὴν θεώμενος τῶν κακῶν. παρ' αὐτὸν γὰρ ἐσκηνέμην τὸν θάνατον. Καὶ σὺ ἔγνως τὰς τρίβους μου. Πάντα δῆλά σοι τὰ ἐμὰ, καὶ ἐδὲν τῶν ἐμῶν πράξεων τὸν σὸν ἔλαθεν ὀφθαλμόν. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Καὶ οἱ θηρεύοντες τῶν θηρίων τὰς ὁδὸς ἀνιχνεύσι, καὶ ἐν ἐκείναις ἐξάσι τὰ θηρᾶτρα. τοῦτο μιμέμενος ὁ Σαὺλ, περιεργαζόμενος τὰ κατὰ τὸν Δαβὶδ διετέλει, καὶ ἔνθα διάγειν αὐτὸν ἐμάνθανεν, ἐκεῖ ταῖς ἐνέδραις ἐκέχρητο. τοῦτο καὶ ὁ διάβολος δρᾷ· καὶ τῷ μὲν ὁδεύοντι τὴν τῆς σωφροσύνης ὁδὸν, τίθησι τῆς φιληδονίας τὴν πάγην· τῷ δὲ ἐλεημοσύνῃ χαίροντι, τῆς κενοδοξίας τὸ δίκτυον· τῷ ἀφιλοχρημάτῳ, τῆς πλεονεξίας τὰς ἀφορμὰς· τῇ παρθενίᾳ τὴν ἀλαζονείαν, καὶ ἁπαξαπλῶς ἑκάστῳ βίῳ τὸν εὐθήρατον λόχον. ε'. Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Οὐδένα, φησὶν, ἐδαμόθεν ἑώρων ἐπίκουρον. δεξιὰ γὰρ τὸ πρᾶγμα τῶν εὐωχέρων ἐκάλεσεν. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ ἔκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἀφύκτοις ἔρκεσι περιέπεσα, καὶ πόρον οὐχ εὑρίσκω φυγῆς, οὐδὲ τὸν ἐπαμυνόμενον. ς'. Ἐκέκραξα πρός σε Κύριε, εἶπα σὺ εἶ ἡ ἐλπίς μου. Σὲ τοίνυν ἱκετεύω, ᾧ τὰς ἐμὰς ἐλπίδας ἐξήρτησα. Μέρις μοι εἶ ἐν γῇ ζώντων. ζ'. Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. Πολλάκις ὁ θεῖος Δαβὶδ μερίδα οἰκείαν ἐκάλεσε τὸν Θεόν· καὶ νῦν δὲ ὡσαύτως τοῦτο πεποίηκεν. οὐδεμίαν γάρ φησι ἄλλην ἔχω βοήθειαν, ἀλλά σε μόνον ἐπίκουρον, καὶ διά σε τυχεῖν ἀντιβολῶ τῆς ζωῆς. ταπείνωσιν δὲ τὰς συμφορὰς ἐνταῦθα καλεῖ· τοῦτο γὰρ καὶ ὁ Σύμμαχος παρεδήλωσεν, ἀκροασαμένας τὰς λαλιάς μου, ὅτι ἠτόνησα σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἰσχυρότεροί μοι γεγένηνται οἱ πολέμιοι· διὰ δὲ τῆς σῆς ῥοπῆς τὰς τέτων διαφεύξομαι χεῖρας. η'. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Ὁ δὲ Ἀκύλας ἔτως, ἐξάγαγε ἐξ ἀποκλεισμοῦ τὴν ψυχήν μου· ὡς ἐν εἰρκτῇ γάρ τινι καὶ δεσμωτηρίῳ κατείχετο, τῶν πολεμίων τῇ θύρᾳ τοῦ σπηλαίου προσκαθημένων. ὑπισχνεῖται δὲ τῆς σωτηρίας τυχὼν ὕμνοις τὰς εὐεργεσίας ἀμείβεσθαι. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως ἂν ἀνταποδῷς μοι. Ὁ δὲ Σύμμαχος ἔτως, τὸ ὄνομά σου ἐξομολογήσονται δίκαιοι, ὅταν εὐεργετήσῃς με. τὴν γὰρ εἰς ἐμὲ γεγενημένην εὐεργεσίαν ἐνέχυρον τῆς εἰς αὐτὸς λήψονται σωτηρίας, καὶ σε τὸν δίκαιον κριτὴν ἀνυμνήσουσιν.

ΕΡΜΗΝ. ΤΟΥ ρμβ' ΨΑΛΜΟΥ.

α'. Τῷ Δαβὶδ ψαλμὸς, ὁπότε κατεδίωκεν αὐτὸν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ. Ἐν ἑνίοις ἀντιγράφοις εὗρον, ὅτε αὐτὸν ἐδίωκεν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ. ἔτε δὲ παρὰ τῷ Ἑβραίῳ, ἔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς ταύτην εὕρηκα τὴν προθήκην. ἔχεται δὲ ὅμως τῆς ἀληθείας· αὐτὴν γὰρ ἔχει τὴν ὑπόθεσιν ὁ ψαλμός. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου· εἰσάκουσόν μου, ἐν τῇ δικαιοσύνῃ σου. Δίκας μὲν τίνων ὁ

θεῖος

θεῖος Δαβὶδ ἂν ἐπλημμέλησεν, ἐκείνοις περιέπεσε τοῖς κακοῖς· ἄδικος δὲ ὅμως, καὶ παράνομος, καὶ δυσσεβὴς, καὶ πατραλοίας ὁ Ἀβεσαλὼμ, τῆς τοῦ γεγεννηκότος ἐπιθυμήσας σφαγῆς. διά τοι τοῦτο τὸν Θεὸν ὁ μακάριος ἱκετεύει Δαβὶδ ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ τῆς προσευχῆς εἰσακοῦσαι. β'. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ἐν ἀληθείᾳ φησὶ καὶ δικαιοσύνῃ τοῖς ἐμοῖς σε, φησὶν, ἱκέτευσα λόγοις, οὐ τῇ ἐμαυτοῦ δικαιοσύνῃ θαῤῥῶν, ἀλλὰ τὴν τῶν πολεμίων παρανομίαν εἰδώς· οἶδα γὰρ ὡς ἀδύνατον ἀθῷόν τινα τὸ σὸν δικαστήριον ἐκφυγεῖν. εἰ γὰρ τὸν κανόνα τῶν ὑπό σε τεθέντων νόμων τῶν τῶν ἀνθρώπων παραθείης βίῳ, οὐδεὶς ὀφθήσεται κατὰ τοῦτον βεβιωκώς· εἰ δὲ καὶ τὰς σὰς εὐεργεσίας εἰς μέσον ἀγάγοις, καὶ ὅσα τοῖς ἀνθρώποις ἐχορήγησας ἀγαθὰ, ποία πάλιν ἀνθρωπίνη δικαιοσύνη ταῖς σαῖς ἐξισωθήσεται δωρεαῖς; γ'. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἱκετεύω τοίνυν τῆς σῆς ἀληθείας καὶ δικαιοσύνης τυχεῖν, οὐκ ἐμοῦ καὶ σοῦ κρινομένων, ἀλλ' ἐμοῦ καὶ τῶν πολεμίων δικαζομένων. ἐκβέβλημαι γὰρ ὑπ' ἐκείνων τῆς βασιλείας, ἐλήλαμαι τῆς πατρίδος. ταύτην αὐτοῦ τὴν ταπείνωσιν καὶ ἡ ἱστορία διδάσκει. ἀνυπόδητος γὰρ, καὶ συγκεκαλυμμένος, καὶ δακρύων ἐβάδιζεν. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος. Οὐδὲν γὰρ διαφέρω νεκροῦ ἐν σκότει καθειργμένου, ἐλήλαμένος καὶ ἐν ἐρήμοις χωρίοις διάγειν ἠναγκασμένος. δ'. Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. Τούτου χάριν ἀθυμίας πολλῆς, καὶ ἀχθηδόνος ἐμπέπλησμαι· πνεῦμα γὰρ ἐνταῦθα τὴν ψυχὴν καλεῖ. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Πάντες, φησὶν, οἱ λογισμοί μου ταραχῆς καὶ ζάλης ἐπλήσθησαν. ε'. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Ἔλαβόν φησιν εἰς διάνοιαν, ὅσων τοὺς ἡμετέρους προγόνους ἠλευθέρωσας συμφορῶν, καὶ εὐχειρώτους γενέσθαι τοῖς πολεμίοις οὐκ εἴασας· καὶ ἀνεμνήσθην τῶν κατὰ τὸν Ἀβραὰμ, τῶν κατὰ τὸν Ἰσαὰκ, τῶν κατὰ τὸν Ἰακὼϐ, τῶν κατὰ τὸν Ἰωσὴφ, τῶν κατὰ τὸν Μωσέα· καὶ ψυχαγωγίαν ἐντεῦθεν ἔλαβον. ς'. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Ἀντὶ τοῦ, σὺν πάσῃ προθυμίᾳ τὴν ἱκετείαν ἐποιησάμην. Ἡ ψυχή μου, ὡς γῆ ἄνυδρός σοι. Οὕτω δέ σε διψῶ τὴν βοήθειαν, καθάπερ ἡ ἄνυδρος γῆ προσμένει τὸν ὑετόν. ζ'. Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Τὴν ὑπερβολὴν ἀθυμίας διὰ τούτων ἐδήλωσε· τῶν γὰρ λίαν ἀχαλινώτων ἴδιον τόδε τὸ πάθος. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Εἰ γὰρ βδελύξαιό με τὴν ἱκετείαν διὰ τὴν ἁμαρτίαν, παραυτίκα τῷ θανάτῳ παραδοθήσομαι· τὸν γὰρ θάνατον λάκκον ἐκάλεσε τροπικῶς. καθάπερ γὰρ τὸν καθειργμένον ἐν λάκκῳ οὐκ ἔστι δίχα τῶν ἐπικρεόντων διαφυγεῖν, οὕτως ἀναβιῶναι τὸν τεθνηκότα τῶν ἀδυνάτων, μὴ βουλομένου Θεοῦ. η'. Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Τὴν

σήν μοι Φιλανθρωπίαν, φησὶ, μήνυσον, καὶ τῆς ἐλπίδος μὴ διαμάρτοιμι· πρωΐ γὰρ ἐνταῦθα τὸ ταχέως ἐκάλεσε. Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Γενοῦ μοι, φησὶ, ποδηγὸς, καὶ τὴν εὐθεῖαν πορείαν ὑπόδειξον. πάντων γὰρ τῶν ἀνθρωπίνων τὴν ἐμὴν ἀποστήσας ψυχὴν, σοὶ ταύτην προσήγαγον Δέσποτα. θ'. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μὲ Κύριε, πρός σε κατέφυγον. Φεύγων τοὺς πολεμίους σε καταφυγῆς τόπον ἔχω, καὶ τῆς ἐκείνων ἐπιβουλῆς ἀπαλλαγῆναι παρακαλῶ. ι'. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σε, ὅτι σὺ εἶ ὁ Θεός μου. Ἱκετεύω δὲ καὶ τοῦτο, μὴ μόνον εἰδέναι τί θέλεις, ἀλλὰ καὶ πράττειν ἃ θέλεις· ἐπειδή σε Θεὸν ἐμαυτοῦ καὶ Δεσπότην ἐπίσαμαι. Τὸ πνεῦμά σε τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Καὶ ἐντεῦθεν τὴν ἀξίαν τοῦ πνεύματος ἐδιδάχθημεν. ὥσπερ γὰρ ὁ Θεὸς ἀγαθὸς, οὕτω καὶ τὸ πνεῦμα ὠνόμασαι ἀγαθόν· καὶ καθάπερ τὸν Θεὸν ὁδηγῆσαι αὐτὸν ἱκέτευσεν, οὕτω καὶ τῆς τοῦ πνεύματος ὁδηγίας ἀπολαῦσαι παρακαλεῖ, ὡς μηδὲν αὐτῷ φανῆναι πρόσαντες, μηδὲ δυσχερὲς, ἀλλ' εὐθεῖαν τὴν ὁδὸν ὁδεύειν, καὶ λείαν, καὶ πλάνης ἀπηλλαγμένην. ια'. Ἕνεκεν τοῦ ὀνόματός σε Κύριε ζήσεις με. Σύ με προβάλλε βασιλέα· τῆς σῆς δὲ ψήφε καὶ χειροτονίας ἀπήλαυσα, καὶ δέδια μὴ παροφθεὶς ὑπό σε βλασφημίας πρόξενος τῷ σῷ ὀνόματι γένωμαι. μὴ εἰς τὴν ἐμὴν τοίνυν ἀποβλέψῃς ἀξίαν, ἀλλὰ διὰ τὴν τοῦ σοῦ ὀνόματος εὐφημίαν μετάδος μοι τῆς σωτηρίας. Ἐν τῇ δικαιοσύνῃ σε ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Ἐμοὶ γὰρ καὶ τοῖς πολεμίοις δικάσας, δικαίως τῶν ὑπ' ἐκείνων ἐπαγομένων ἀπαλλάξεις με συμφορῶν. ιβ'. Καὶ ἐν τῷ ἐλέει σε ἐξολοθρεύσεις τοὺς ἐχθρούς με, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν με, ὅτι ἐγὼ δοῦλός σε εἰμί. Τοῦτο καὶ ἐν τῷ ΡΛΕ' ἔφη ψαλμῷ, τῷ πατάξαντι Ἀΐγυπλον σὺν τοῖς πρωτοτόκοις αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ ἐνταῦθα ἔφη, ἐν τῷ ἐλέει σε ἐξολοθρεύσεις τοὺς ἐχθρούς με. ὁ γὰρ περὶ τὸν ἀδικούμενον ἔλεος ἐπάγει τῷ ἀδικοῦντι τὸν ὄλεθρον· οὕτω καὶ γεωργὸς ἄριστος προβάλλεσ μὲν τὰς ἀκάνθας ἐκτέμνει, ἀρδει δὲ καὶ γεωργεῖ τὰ φυτά.

ΕΡΜΗΝ. ΤΟΥ ρμγ'. ΨΑΛΜΟΥ.

α'. Τῷ Δαβίδ. Ἐν ἐνίοις τῶν ἀντιγράφων τῇ ἐπιγραφῇ προσκείμενον εὗρον, πρὸς τὸν Γολιάθ. οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, οὔτε μὴν παρὰ τοῖς ἑβδομήκοντα εὗρον ἐν τῷ ἑξαπλῷ. ἔχει δὲ ὑπόθεσιν ταύτην. τῶν ἐπαναξάντων Ἰουδαίοις ἐθνῶν, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, πολλοὶ τῶν προφητῶν ἐμνημόνευσαν· πλατύτερον δὲ τῶν ἄλλων ὁ θεῖος Ἰεζεκιήλ. λέγει δὲ καὶ ταῦτα μεθ' ἑτέρων πολλῶν· ἀφ' ἡμερῶν πλειόνων ἑτοιμασθήσῃ, καὶ ἥξεις εἰς γῆν τὴν ἀπεσκορπισμένην ἀπὸ μαχαίρας, ἠθροισμένην ἀπὸ λαῶν πολλῶν, ἐπὶ γῆν Ἱερουσαλὴμ, ἣ ἐγένετο ἔρημος δι' ὅλου· καὶ αὐτοὶ ἐξ ἐθνῶν ἐξεληλύθασι, καὶ κατοικήσουσιν ἐπὶ εἰρήνης πάντες αὐτοί· καὶ ἀναβήσῃ ὡς ὑετὸς, καὶ ἥξεις

ὡς

ὡς καταιγὶς, καὶ ὡς νεφέλη, καλύψαι τὴν γῆν, καὶ πέσῃ σὺ, καὶ πάντες οἱ περί σε, καὶ ἔθνη πολλὰ μετά σε. εἶτα μετὰ πολλὰ διδάσκει καὶ τοῦ θανάτου τὸν τρόπον· καὶ συγκαλέσω ἐπ' αὐτὸν φόβον μαχαίρας εἰς πάντα τὰ ὄρη μα, λέγει Ἀδωναὶ Κύριος· μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσαι, καὶ κρινῶ αὐτὸν ἐν θανάτῳ, καὶ ἐν αἵματι, καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης· καὶ πῦρ καὶ θεῖον βρέξω ἐπὶ αὐτοὺς, καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ, καὶ ἐπὶ ἔθνη πολλὰ τὰ μετ' αὐτοῦ. ἕξεσι δὲ τῷ βουλομένῳ ταῦτα μαθεῖν ἀκριβέστερον ἐντυγχάνοντι τῇ προφητείᾳ. ταῦτα καὶ οὗτος ὁ ψαλμὸς προθεσπίζει· κλῖνον γὰρ οὐρανοὺς Κύριε, καὶ κατάβηθι· ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται· ἄστραψον ἀστραπὴν σου, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. σαφέστερον δὲ ταῦτα ἡ κατὰ μέρος ἑρμηνεία διδάξει. Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μα εἰς παράταξιν, τοὺς δακτύλους μα εἰς πόλεμον. Ἄρτι γὰρ ἀπὸ Βαβυλῶνος ἐπανελθόντες, καὶ ὅπλων καὶ περιβόλων ἐστερημένοι, διὰ τῆς θείας ῥοπῆς τῶν ἐπανελθόντων περιεγένοντο δυσμενῶν. ἁρμόττει δὲ καὶ ἡμῖν τὰ εἰρημένα. τῆς γὰρ τοῦ διαβόλου τυραννίδος ἀπαλλαγέντες, ὑπὸ τοῦ Θεοῦ πολεμεῖν ἐδιδάχθημεν· τὰς χεῖρας μὲν, ἐργαζόμενοι δικαιοσύνην· διὰ δὲ τῶν δακτύλων, τοῖς μετώποις ἐπιτιθέντες τὸ σαυροῦ τὴν σφραγῖδα. β'. Ἔλεός μου, καὶ καταφυγή μου, ὑπερασπιστής μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου, καὶ ἐπ' αὐτοῦ ἤλπισα. Ἀπὸ τῶν πραγμάτων τὰς προσηγορίας ἐποιήσατο. σὺ γάρ φησιν ἔλεός μου· παρά σου γὰρ ἐδεξάμην τὰς τῶ ἐλέους πηγάς. σὺ καταφυγή μου· πρός σε γὰρ καταφυγὼν διεσώθην. σὺ ἀντιλήπτωρ μου· τῆς γὰρ σῆς ἀπολαύσας ῥοπῆς, κρείττων ἐγενόμην τῶν πολεμίων. σὺ ῥύστης μου, καὶ ὑπερασπιστής μου. σὺ γάρ μα καὶ περιέφραξας πολεμούμενον, καὶ ἐῤῥύσω πολιορκούμενον. τὴν εἰς σὲ τοίνυν ἐλπίδα σῴζω βεβαίαν. Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ. Τοῦτο τῷ Ζοροβάβελ ἁρμόττει, καὶ Ἰησοῦ τῷ ἱερεῖ. οὗτοι γὰρ ἡγοῦντο τοῦ λαοῦ τηνικαῦτα. γ'. Κύριε τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; Ἀντὶ τοῦ ἐγνώσθης, γνωρίζῃ ὁ Σύμμαχος ἡρμήνευσε. σφόδρα, φησὶν, ἄγαμαι τὴν ἄμετρόν σε φιλανθρωπίαν, ὅτι Θεὸς ὢν, καὶ τῶν ἁπάντων δημιουργὸς, τοσαύτην τοῦ εὐτελοῦς τούτου ζῴου κηδεμονίαν ποιῇ· εἶτα τῆς φύσεως τὸ ἐπίκηρον δεικνύει. δ'. Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παρέρχονται. Ὁ Θεοδοτίων, ἄνθρωπός φησιν ἀτμίδι ὡμοιώθη· ὁ δὲ Σύμμαχος, ἀτμῷ· ἀτμῷ γὰρ δίκην συνισαμένη καὶ διαλυομένῃ ῥᾳδίως φθείρεται τῶν ἀνθρώπων ἡ φύσις, καὶ σκιᾷ τούτων ὁ βίος παραπλησίως ὁδεύει· ἐπειδὴ οὕτω μέλει σοι τῶν ἐπικήρων ἀνθρώπων. ε'. Κύριε κλῖνον οὐρανούς σε, καὶ κατάβηθι. Ἀνθρωπίνως τοῖς λόγοις ἐχρήσατο, οὐκ οὐρανῷ περιγεγραμμένην τὴν θείαν φύσιν εἰδὼς, ἀλλ' εἰς τιμωρίαν τῶν πολεμίων καλῶν τὸν ἐπίκουρον. Ἅψαι τῶν ὀρέων,

καὶ καπνισθήσονται. Τοῦτο γὰρ καὶ ἐν τῷ Σινᾷ ἐγένετο ὄρει. τὸ γὰρ ὄρος Φησὶν ἐκαπνίζετο. ε'. Ἄσραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτοὺς, ἐξαπόστειλον τὰ βέλη σε, καὶ συνταράξεις αὐτούς. Εὐκτικῶς μὲν χηματίζει τοὺς λόγους· προλέγει δὲ τὰ ἐσόμενα, ἃ διὰ τῦ προφήτου Ἰεζεκιὴλ προείρηκεν ὁ Θεός· οὕτω γὰρ ἐκείνους ἅπαντας κατανάλωσεν. ζ'. Ἐξαπόστειλον τὴν ἐιρά σου ἐξ ὕψους. Διδάσκων ὡς ἀρκεῖς νεύων παραχεῖν τοῖς αἰτοῦσι τὴν σωτηρίαν. χεῖρα δὲ τὴν ἐνέργειαν ἐκάλεσεν, ὡς πολλάκις εἰρήκαμεν. Ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν. Πολλὰ ὕδατα τὸ πλῆθος πολεμίων ἐκάλεσεν. οὕτω καὶ ἐν τῷ ΡΚΓ' ἔφη ψαλμῷ, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, τὸ ὕδωρ τὸ ἀνυπόστατον. καὶ διδάσκων ὅτι τροπικῶς τοὺς ἐχθρὲς ὕδαλα ἐκάλεσεν, ἐπήγαγεν· Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ἀλλοτρίους δὲ αὐτοὺς, οὐχ ὡς ἀλλοφύλους, ἀλλ' ὡς δυσσεβεῖς προσηγόρευσεν. ἡ, Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα. Βλασφημίαις, φησὶ, Δέσποτα τῆς σῆς ἐχρήσαντο δόξης. Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Τοῖς δὲ λόγοις συμβαίνει τὰ πράγματα. ὥσπερ γὰρ τοῖς λόγοις βλασφημοῦσιν, ἕτω τοῖς ἔργοις ἀδικεῦσιν. αὕτη γὰρ αὐτῶν ἡ δεξιὰ οὐδὲν ἐργάζεται δεξιὸν, ἀλλ' ἀδικίας πέφηνεν ὄργανον. θ'. Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. Οὐκ ἔσομαι γὰρ ἀγνώμων τῆς σωτηρίας τυχὼν, ἀλλὰ τοῖς συνήθεσιν ὀργάνοις χρησάμενος τὸν χαριστήριον ὕμνον ἐκτίσω. ι'. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν. Οὕτω γάρ φησι, καὶ τοὺς ἡμετέρους προγόνους ὑπὸ σοῦ τὴν βασιλείαν ἐγχειριθέντας διέσωσας, καὶ τῶν πολεμίων ἐπαναστάντων νικηφόρους ἀπέφηνας, τὸν Δαβὶδ, τὸν Ἰωσαφὰτ, τὸν Ἐζεκίαν, καὶ εἴ τις ἕτερος τὴν σὴν ἐπικουρίαν ἐξήτησεν. Τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ. Διὰ γὰρ τὰς πρὸς ἐκείνους συνθήκας πᾶσαν ἡμῶν κηδεμονίαν ποιῇ. Ἐκ ῥομφαίας πονηρᾶς. ιά. Ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ῥομφαίαν πονηρὰν τῶν ἐπελθόντων τὸ μανικὸν καὶ θηριῶδες ἐκάλεσε· τοὺς δὲ αὐτοὺς καὶ υἱοὺς ἀλλοτρίους, ὡς δυσσεβεῖς. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Τῇ ταυτολογίᾳ οὐ μάτην ἐχρήσατο· ἀλλὰ τὴν εὐημερίαν αὐτῶν διηγεῖσθαι μέλλων, τὴν τῆς πονηρίας κατηγορίαν ἀνέλαβεν, εἰς ἐπικουρίαν τὸν Θεὸν διεγείρων. οἱ γὰρ οὕτως σε, φησὶ, βλασφημοῦντες, καὶ ἀδικίᾳ καὶ πονηρίᾳ συζῶντες, ἐξ οὐρίων φέρονται, καὶ παρά σου δεξάμενοι τῶν ἀγαθῶν τὴν ἀφθονίαν, ἐφόδιον ἔχουσι τῆς ἀδικίας τὴν εὐπραξίαν. ιβ'. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἠθρυμένα ἐν τῇ νεότητι αὐτῶν. Ἀπήλαυσάν φησιν πολυπαιδίας καὶ εὐπαιδίας, καὶ ὑπὸ τῶν υἱῶν κυκλοῦνται, νεοθαλῆ μιμούμενοι φυτά. Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Οὐ μόνον γὰρ αὐτὰς τῆς φύσεως ὡραΐζει τὸ κάλλος, ἀλλὰ καὶ ἐξ ἐπιτεχνήσεως πολὺν περίκεινται κόσμον· ὡς ἀπεικάζεσθαι τοῖς ἐπὶ τιμῇ τῶν εἰδώλων κεκαλλωπισμένοις ναοῖς. τοιοῦτον δέ ἐστι τὸ κομμω-

κομμωτικὸν καὶ ἑταιρικόν. ιγ΄. Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Ὅταν γὰρ ἴδωσιν ὑπὲρ τὴν χρείαν τὰ δοχεῖα πεπληρωμένα, εἰς ἕτερα πάλιν τὰ περιττὰ μεταφέρουσι. κατ' ἐκεῖνον τὸν λέγοντα, καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. ιδ΄. Οἱ βόες αὐτῶν παχεῖς. Πίονα δὲ αὐτῶν καὶ πολύγονα τὰ κτήνη. Οὐκ ἔστι καλάπλωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. Ὁ δὲ Σύμμαχος οὕτως, οὔτε διακοπὴ, οὔτε ἐκφορὰ, οὔτε κωκυτὸς ἐν ταῖς πλατείαις αὐτῶν. οὕτω δὲ καὶ οἱ ἄλλοι ἑρμηνευταί. διὰ γὰρ πολλὴν τὴν εὐθηνίαν, καὶ τῶν ἀγαθῶν τὴν ἀφθονίαν, ἐν τρυφῇ καὶ γέλωτι διατελοῦσι, τῶν πονηρῶν οὐ δεχόμενοι πεῖραν. ταῦτα καὶ ἐν τῷ ἑβδομηκοστῷ καὶ δευτέρῳ ἔφη ψαλμῷ, ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν· ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. εὑρίσκομεν δὲ καὶ παρὰ τοῖς ἄλλοις προφήταις συνῳδὰ τούτοις πολλά· ἀλλὰ πάντες ἐπιφέρουσι τῶν ἀμφισβητουμένων τὴν λύσιν. τοῦτο δὲ καὶ ἐνταῦθα πεποίηκεν ὁ θεῖος Δαβίδ. ἐπήγαγε γάρ· ιε΄. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι, μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. Οἱ γὰρ τῆς ἀληθείας ἀμύητοι οὐκ ἐπίστανται τῶν πραγμάτων διακρίνειν τὴν φύσιν, ἀλλὰ τρυφῇ, καὶ πλούτῳ, καὶ δυναστείᾳ τὴν εὐκληρίαν ὁρίζονται, καὶ τοὺς τούτων ἀπολαύοντας ζηλωτοὺς ἀποκαλοῦσι, καὶ μακαρίους. οἱ δὲ μύσται τῆς ἀρετῆς τῆς θείας σοφίας μετειληφότες, τὸν ὑπό σου προμηθούμενον λαὸν μακαρίζουσι, καὶ τῷ βίῳ παντὸς τὴν σὴν προτιμῶσι κηδεμονίαν. τὲς τοιούτους ἡμᾶς μακαρισμοὺς καὶ ὁ Κύριος ἐξεπαίδευσε· μακάριοι λέγων οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ πενῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ μακάριοι οἱ πενθοῦντες, καὶ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. οἱ δὲ τῷ βίῳ τὴν ἡδονὴν προαιρούμενοι, πρὸς ὀλίγον ταύτης ἀπολαύσαντες, τὴν μακρὰν ὀδύνην ἐκ τῆς βραχείας τρυγήσουσιν ἡδονῆς.

ΕΡΜΗΝ. ΤΟΥ ρμδ΄ ΨΑΛΜΟΥ.

Αἴνεσις τῷ Δαβίδ. Δηλοῖ καὶ ἡ ἐπιγραφὴ τὸ ψαλμὸ τὸν σκοπόν· ὑμνεῖν γὰρ παρακελεύεται τὸν τῶν ὅλων Θεὸν, τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ μεγαλουργίας, καὶ βασιλείας, καὶ μεγαλοπρεπείας μεμνημένους. πεποίηκε δὲ καὶ ἑτέρους τοιούτους ψαλμοὺς ἡ χάρις τοῦ πνεύματος, εἰς εὐγνωμοσύνην τὸν λαὸν ἐκεῖνον διεγείρουσα. ἔχει δὲ καὶ προόρρησιν τῆς τῶν ἐθνῶν κλήσεώς τε καὶ ἐπιγνώσεως. κατὰ στοιχεῖον δὲ καὶ ἕτος ὁ ὕμνος σύγκειται, καὶ διὰ τῆς ταυτολογίας διδάσκει τὸ προφήτου τὸν πόθον. Ὑψώσω σε ὁ Θεός μου, βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Φύσει μὲν ὕψιστος ὁ Θεος, καὶ ἐκ ἐπείσακτον ἔχει τὸ ὕψος· κηρύττουσι δὲ τοῦτο τῆς εὐσεβείας οἱ τρόφιμοι, καὶ τὲς ἀγνοοῦντας διδάσκουσι. τοιοῦτόν

οὗτόν ἐστι τὸ ὑπὸ τῦ Χριστοῦ ἐν τοῖς εὐαγγελίοις εἰρημένον· πάτερ ἐδόξασά σε τὸ ὄνομα ἐν τῇ γῇ. καὶ μετ' ὀλίγα διδάσκει ὡς οὐ δόξαν ἔδωκεν αὐτῷ, ἣν μὴ πρότερον εἶχεν, ἀλλ' ἣν εἶχεν ἐγύμνωσεν. ἔφη γάρ, ἐφανέρωσά σε τὸ ὄνομα τοῖς ἀνθρώποις. οὕτω καὶ ὁ πατὴρ τῷ υἱῷ ἐκ ἔδωκε δόξαν ἣν μὴ πρότερον εἶχεν· ἀλλ' ἣν εἶχε τὲς ἀγνοῦντας ἐδίδαξε· δόξασόν με γάρ φησιν σὺ πάτερ τῇ δόξῃ, ἣ εἶχον παρά σοι, πρὸ τῦ τὸν κόσμον γενέσθαι. οὐ τοίνυν ἔλαβεν ὃ μὴ εἶχεν, ἀλλ' ὃ εἶχε δῆλον τοῖς ἐκ εἰδόσιν ἐγένετο. καὶ ἐνταῦθα τοίνυν ὁ προφήτης οὐχ ὑψηλὸν ποιεῖν τὸν Θεὸν ἐπαγγέλλεται, ἀλλὰ τὸ ὕψος αὐτῦ τοῖς ἀνθρώποις ὡς οἷόν τε δεικνύναι· καὶ τὸν ἁπάντων Θεὸν, καὶ Θεὸν καὶ βασιλέα ἴδιον ὀνομάζει, ὑπὸ τῦ φίλτρου τῦτο ποιεῖν προαγόμενος. β'. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀεί σε, φησὶν, ὑμνῶν διατελέσω, καὶ οὐδεμίαν ἡμέραν ἄμοιρον ἐάσω τῆς ὑμνῳδίας. γ'. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτῦ ἐκ ἔστι πέρας. Ἐπειδὴ πᾶν μέγεθος αἰσθητὸν μήκει, καὶ πλάτει, καὶ βάθει μετρούμενον δείκνυται μέγα, εἰκότως ἐπήγαγεν, ὅτι τῆς μεγαλωσύνης αὐτῦ ἐκ ἔστι πέρας, ἵνα καὶ ἀσώματον δείξῃ, καὶ ἀπερίγραφον τὸν ὑμνούμενον. μέγαν μὲν γὰρ αὐτόν φησιν οἶδα, οὐ μὴν ἐφικτὸν, οὔτε μὴν μετρητόν. οὔτε γὰρ ἀρχὴν, οὔτε τέλος τῷ μεγέθες εὑρίσκω. ἄπειρον γὰρ τῦτο, καὶ πᾶσαν ὑπερβαῖνον κατάληψιν. δ'. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σε, καὶ τὴν δύναμίν σε ἀπαγγελοῦσι. Ἐντεῦθεν τῶν ἐθνῶν προεκήρυξε τὴν θείαν ἐπίγνωσιν. οὐ γὰρ μόνον, φησὶν, ἡμεῖς, οἱ ἐξ Ἰσραὴλ, κατὰ τήνδε τὴν γενεάν σε τὸν εὐεργέτην ὑμνήσομεν, ἀλλὰ καὶ ἑτέρα γενεὰ, ἡ ἐξ ἐθνῶν ἐκκλησία, τῶν ἔργων σου τὴν μεγαλεργίαν κηρύξει. ε'. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σε λαλήσεσι, καὶ τὰ θαυμάσιά σε διηγήσονται. Νικᾷ τὸ προφήτε τὴν δύναμιν τῦ ὑμνεμένε ἡ φύσις. ἀξίας γὰρ ἐπιζητῶν καὶ προσφυεῖς προσηγορίας, εἶτα διαμαρτάνων, πολλὰ καὶ καλὰ ταυτὸν ἐπιπλέκει ὀνόματα, ἁγιωσύνης δόξαν καὶ μεγαλοπρέπειαν ὀνομάζων. ταῦτα μέν τοι προλέγει ὑπὸ τῆς ἑτέρας κηρυχθήσεσθαι γενεᾶς. ς'. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σε ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σε διηγήσονται. Δοκεῖ μὲν ταυτολογίᾳ κεχρῆσθαι, διάφορα δὲ ὅμως σημαίνει. θαυμάσια μὲν γὰρ λέγει, τὰ ἐπ' εὐεργεσίαις τινῶν γινόμενα θαύματα· δύναμιν δὲ φοβερῶν, τὰς ἐπὶ τιμωρίᾳ ἑτέρων δειχθείσας μεγαλεργίας· οἷον διὰ τῦ θεσπεσίου Μωϋσοῦ τῇ Αἰγύπτῳ παντοδαπὰς ἐπήγαγε μάστιγας. ἐκείνας νοητέον δύναμιν φοβερῶν. ἐν τῇ ἐρήμῳ μάννα ἐκόμισε τῷ λαῷ, καὶ ὀρτυγομήτρας ἐπέδησε, καὶ τὴν ἄνυδρον ἐπέκλυσε· ταῦτα εἰς θαῦμα τῶν εὐγνωμόνων τὰς γλώττας ἐκίνησε. ταύτην καὶ ὁ θεῖος ἀπόστολος ἐποιήσατο τὴν διαίρεσιν. ἔφη γὰρ, ὑπὸ τῦ παναγίου πνεύματος δεδόσθαι, οὐ μόνον χαρίσματα ἰαμάτων, ἀλλὰ καὶ ἐνεργήματα δυνάμεων. καὶ καλεῖ μὲν χαρίσματα ἰαμάτων, τῶν χωλῶν τὸν δρόμον, καὶ τῶν ἀῤῥώστων τὴν

ὑγίειαν,

ὑγίειαν, καὶ τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ ὅσα τοιαῦτα. ἐνεργήματα δὲ δυνάμεων, τὴν τῆ Ἐλυμᾶ τυφλότητα, τῆ Ἀνανίᾳ καὶ τῆς Σαπφείρας τὸν θάνατον, τοὺς τῷ Σατανᾶ παραδεδέντας, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. ζ'. Μνήμην τῆ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῆ δικαιοσύνῃ σε ἀγαλλιάσονται. Βούλεται μὲν ὁ προφήτης τῆς θείας ἀγαθότητός τε καὶ δυνάμεως ὑποδεῖξαι τὸν πλοῦτον· ἀνθρωπίνη δὲ χρησάμενος γλώττῃ, καὶ τυχεῖν οὐ δυνάμενος τῆ ποθουμένῃ, πλείονα πάλιν συνάπτει ὀνόματα, καὶ προλέγει τῆς γενεᾶς τῆς ἐσομένης τὸ εὔγνωμον, ὅτι τοῖς θείοις ἐντρυφῶσα λογίοις, καθάπερ τιγὰς ἐργασας προσφέρει τὴν τῆς θείας φιλανθρωπίας διήγησιν. τῆτο μέν τοι καὶ ὁ θεῖος ἀπόστολος ὑπομένει, καὶ ἀξίως οὐ δυνάμενος διηγήσασθαι τὰ θεῖα, διὰ πλειόνων ὀνομάτων τῆτο πειρᾶται. τὸν ὑπερβάλλοντα γάρ φησι πλοῦτον τῆς χάριτος αὐτοῦ. αἰλαχοῦ δὲ τὴν ἥτταν ὁμολογεῖ, ὡς ἀνεξερεύνητα λέγων τὰ κρίματα αὐτῆ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτῆ; η'. Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος, καὶ πολυέλεος. Τὸ αὐτὸ καὶ ἐνταῦθα πάλιν ὁ προφήτης ὑπέμενεν. εἰς νοῦν γὰρ λαβὼν, ὅπως τῶν ἀνθρώπων τὴν φύσιν διέπλασεν, ὅσης τιμῆς τε καὶ προμηθείας ἠξίωσεν, ὅτι πᾶσαν τὴν ὁρωμένην κλίσιν αὐτοῖς προσφέρειν τὴν χρείαν ἐνομοθέτησεν, ὅτι καθ' ἑκάστην ἡμέραν πλημμελούντων ἀνέχεται, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτῆ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, οὐ μόνον οἰκτίρμονα καλεῖ, ἀλλὰ καὶ ἐλεήμονα, καὶ μακρόθυμον, καὶ πολυέλεον. ἀμετρήτῳ γὰρ χρώμενος ἀγαθότητι, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν, καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, καὶ ἠγάπησεν οὕτως τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτῆ τὸν μονογενῆ δῶναι ὑπὲρ αὐτῆ. θ'. Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτῆ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Οὐ γὰρ μόνον Ἰουδαίων ἐποιήσατο πρόνοιαν, ἀλλὰ καὶ εἰς πάντας ἀνθρώπες τὴν φιλανθρωπίαν ἐξέχεεν, ἐκ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ τῶν ἀλόγων ἐπιμελεῖται, καὶ πᾶσι παρέχει τὰ πρόσφορα. ι'. Ἐξομολογησάθωσάν σοι Κύριε πάντα τὰ ἔργα σε, καὶ οἱ ὅσιοί σε εὐλογησάτωσάν σε. Οὐ τὰ ἄψυχα τὸν Θεον ὑμνεῖ, ἐδὲ τὰ ἄλογα φωνὴν ἀφῆσι λογικήν· ἀλλὰ καὶ διὰ τούτων οἱ λογικοὶ καὶ φιλόθεοι τὴν ὑμνῳδίαν ὑφαίνουσιν. εἰς ἕκαστον γὰρ ἀφορῶντες τῶν ὑπ' αὐτῆ γεγενημένων, καὶ σοφίας τὴν μεγαλουργίαν θεώμενοι, εἰς δοξολογίαν κινοῦσι τὴν γλῶτταν. ια'. Δόξαν τῆς βασιλείας σε ἐροῦσι, καὶ τὴν δυναστείαν σε λαλήσουσι. ιβ'. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Οὗτοι γὰρ οἱ ὅσιοι, εἴτε προφῆται, εἴτε ἀπόστολοι, καὶ οἱ μετ' ἐκείνους τὴν τοῦ κηρύγματος διακονίαν διαδεξάμενοι, τὴν αἰώνιον βασιλείαν, καὶ τὴν ἄῤῥητον δύναμιν πάντας ἀνθρώπους διδάξουσιν. οὐ γὰρ μόνοις Ἰουδαίοις, ἀλλὰ καὶ πάσῃ τῶν ἀνθρώπων τῇ φύσει τήνδε τὴν διδασκαλίαν προσοίσουσιν. ιγ'. Ἡ βασιλεία σε βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σε ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Ἀπέραντον ἔχεις τὸ κράτος, καὶ ἀίδιον τὴν βασιλείαν, οὔτε ἀρξαμένην, οὔτε λήξασαν. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λό-

γοις αὐτῦ, καὶ ὅσιος ἐν πᾶσι τοις ἔργοις αὐτοῦ. Προλάμπει γὰρ τῶν λόγων ἀλήθεια, βεβαιουμένη τοῖς ἔργοις· καὶ ταῦτα δὲ τῷ δικαίῳ κοσμεῖται. ιθ'. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Οὐ γὰρ μόνον τῶν τῆς δικαιοσύνης τροφίμων ἐπιμελεῖται, ἀλλὰ καὶ τῶν ὀλιθαινόντων καταῤῥηγνυμένων, καὶ τῆς ἁμαρτίας δεχομένων τὰ τραύματα. τοὺς μὲν γὰρ ἐρείδων, καταπεσεῖν ἐκ ἐᾷ· τοὺς δὲ πεσόντας ἀνίστησιν, ὀρέγων τὴν δεξιάν. κ'. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Τὸ ἐλπίζουσιν ἐνταῦθα ἐκ ἐπὶ διαθέσεως τέθεικεν· οὔτε γὰρ οἱ δυσσεβείᾳ συζῶντες ταύτην ἔχουσι τὴν ἐλπίδα, οὔτε τῶν ἀλόγων τὰ γένη λογικὴν αἴσθησιν ἔχει· ἀλλὰ διδάσκει ὡς ἕκαστον παρ' αὐτῦ τὴν καταλληλον ὑποδέχεται χρείαν. εἶτα καὶ τὴν εὐκολίαν ὑποδείκνυσι τῆς χορηγίας. κα'. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Ἅμα τε γὰρ βέλει, καὶ ἀπολαύει τῶν σῶν χορηγουμένων ἕκαστον ἀγαθῶν· καθάπερ γὰρ ἡμῖν ῥᾴδιον τὰς συνηγμένους ἐκτείναι δακτύλους, καὶ ἁπλῶσαι τὴν χεῖρα· οὕτω σοι εὐπετὲς ἐν ἀκαρεῖ παραχεῖν τῶν ἀγαθῶν τὴν φοράν. κβ'. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτῦ. Ἐν ἁπάσαις δὲ σε ταῖς οἰκονομίαις διαλάμπει τὸ δίκαιον. ὁδὸς γὰρ τὰς οἰκονομίας ἐκάλεσεν. κγ'. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Τὸ ἐγγὺς οὐ τοπικὸν σημαίνει διάστημα· φύσει γὰρ πανταχοῦ πάρεστιν ὁ Θεός· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, κατὰ τὸν θεῖον ἀπόστολον· ἀλλὰ τὴν χέσιν, καὶ τὴν διάθεσιν διὰ τούτων ἐδήλωσε. καλὴ δὲ καὶ ἡ προθήκη τῆς ἀληθείας. οὐ γὰρ τοῖς ἁπλῶς ἐπικαλουμένοις πελάζει, ἀλλὰ τοῖς ἐν ἀληθείᾳ τῦτο δρᾶν προαιρουμένοις. οὐ πᾶς γὰρ ὁ λέγων μοι, Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῦ Θεοῦ, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τῦ πατρός μου τῦ ἐν οὐρανοῖς· διὸ ἐπήγαγεν, κδ'. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Οἱ τὸν θεῖον ἔχοντες φόβον πρότερον ποιοῦσι τῦ Θεῦ τὸ θέλημα. ἐπειδὴ τοίνυν συμβαίνει αὐτῶν ὁ σκοπὸς πρὸς τὸ θεῖον θέλημα, ἀναγκαίως αὐτῶν ὁ Δεσπότης πληροῖ τὰ θελήματα. οὐδὲν γὰρ ἐναντίον οἷς βούλεται θέλουσιν. κε'. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Ἔδειξε πῶς δίκαιος ὁ Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτῦ. ἴδιον γὰρ τῦ δικαίου τὸ πρόσφορον ἀπονέμειν ἑκάστῳ, οὗ δὴ χάριν τοὺς μὲν εὖ περὶ αὐτὸν διακειμένους φρουρεῖ, καὶ φυλάττει, καὶ τῶν ἐπιβούλων ἐλευθεροῖ· τοὺς δὲ τὴν ἐναντίαν ἀσπαζομένους ὁδὸν τιμωρίαις ἐκδίδωσιν. κς'. Αἶνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τῦ αἰῶνος. Ἐγὼ μὲν οὖν φησὶ τόνδε τὸν ὕμνον συγγέγραφα. προσήκει δὲ ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν ἀεὶ τῇ δοξολογίᾳ γεραίρειν τὸν ποιητὴν, καὶ πρόσφορον σέβας τῷ θείῳ προσφέρειν ὀνόματι. ἐπισημήνασθαι δὲ προσήκει, ὡς καὶ ἐνταῦθα ἐκ Ἰουδαίοις τὸν ὕμνον ἀπένειμεν, ἀλλὰ πᾶσαν σάρκα εἰς τὴν ὑμνῳδίαν ἐκάλεσε.

λεσε. δήλη τοίνυν ἡ πρόρρησις τῇ ἐκβάσει μαρτυρεμένη. ἐν ἅπασι γὰρ τοῖς κατὰ τὴν εἰκεμένην ἔθνεσι, κατὰ τὴν προφητείαν, ὁ τῶν ὅλων ὑμνεῖται Θεός.

ΕΡΜΗΝ. ΤΟΥ ρμέ ΨΑΛΜΟΥ.

α'. Ἀλληλούϊα. Ἐν ἐνίοις ἀντιγράφοις πρόσκειται Ἀγγαίου καὶ Ζαχαρίου. τοῦτο δὲ οὔτε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς, οὔτε παρὰ τοῖς ἑβδομήκοντα εὗρον ἐν τῷ ἑξαπλῷ. ὑμνεῖν μὲν καὶ ἔτος ὁ ψαλμὸς παρακελεύεται τὸν τῶν ὅλων Θεόν. τοῦτο γὰρ καὶ ἡ ἐπιγραφὴ δηλοῖ. τὸ γὰρ ἀλληλούια αἰνεῖτε τὸν Κύριον ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν. β'. Αἰνεῖ ἡ ψυχή μὲ τὸν Κύριον. Ἡ χάρις τοῦ πνεύματος πᾶσιν ἡμῖν παρεγγυᾷ, εἰς τὴν τοῦ Θεοῦ δοξολογίαν ἡμᾶς αὐτὸς διεγείρειν. Αἰνέσω Κύριον ἐν τῇ ζωῇ μὲ, ψαλῶ τῷ Θεῷ μὲ ἕως ὑπάρχω. Εἰ τῷ ἕκτῳ ἔφη ψαλμῷ, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; τούτου χάριν κατὰ τὸν τῆς ζωῆς χρόνον ὑμνεῖν διδασκόμεθα τὸν Θεὸν, ἕως ἂν τοῦδε τοῦ βίου τὸ πέρας δεξώμεθα. Μὴ πεποίθατε ἐπὶ ἄρχοντας. Ἀγαθὴ παραίνεσις. οὔτε γὰρ ἀεὶ οἱ ἄρχοντες ἄρχουσιν, ἀλλὰ πρόσκαιρον ἔχουσιν ἐξουσίαν, οὔτε πάντες οἱ ἄρχοντες τιμῶσι τὸ δίκαιον. ἵνα δὲ προσῇ καὶ ἀμφότερα, χρὴ τῆς Φύσεως ἰδεῖν τὸ ἐπίκηρον. τέλος γὰρ ἐπιφέρει. γ'. Ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Βλέπε τὴν Φύσιν, καὶ μὴ θάρρει τῇ ἐξουσίᾳ. ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη, καὶ ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ. δ'. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Πνεῦμα ἐνταῦθα τὴν ψυχὴν καλεῖ. ταύτης δὲ ἐξιούσης, εἰς τὴν οἰκείαν συγγένειαν τὸ σῶμα χωρεῖ, κατὰ τὴν θείαν ἀπόφασιν, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. Τῆς γὰρ ψυχῆς ἀποζευχθείσης, καὶ τοῦ σώματος διαλυθέντος εἰς κόνιν, ἐδείχθη ματαία τῶν λογισμῶν ἡ φαντασία. τοῦτο καὶ διὰ τῆς παραβολῆς ἡμᾶς ὁ Κύριος ἐδίδαξεν. εἰσαγαγὼν γὰρ τὸν πλούσιον, οὗ ηὐφόρησεν ἡ χώρα, λογιζόμενον καταλῦσαι τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομῆσαι, ἐπήγαγεν· ἄφρον, ταύτην τὴν νύκτα ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπό σου, ἃ δὲ ἡτοίμασας τίνι ἔσαι; καὶ τῶν ἄλλων δὲ ἀνθρώπων οἱ μὲν ἀρχὰς καὶ δυναστείας, οἱ δὲ κτήσεις ἀγρῶν καὶ οἰκοδομίας φαντάζονται· οἱ δὲ τὰς ἐν πολέμοις ὀνειροπολοῦσι νίκας, ἄλλοι δὲ τοῖς ἐχθροῖς τεκταίνουσιν ὄλεθρον· ἀλλ' ἐπιὼν ἐξαπιναίως ὁ θάνατος ἀτέλεστον τῶν λογισμῶν τὴν φαντασίαν ἐᾷ. οὕτω δείξας τῆς ἐπ' ἀνθρώποις ἐλπίδος τὸ μάταιον, τῆς εἰς τὸν Θεὸν πεποιθήσεως τὸ ὀνησιφόρον ἐπιδείκνυσιν. ε'. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Θεὸν Ἰακὼβ οὐχ ἁπλῶς ὠνόμασεν. ἀλλ' ἀναμιμνήσκων ἡμᾶς πόσης προμηθείας ἀπήλαυσεν Ἰακὼβ πρὸς τὸν Θεὸν ἐλπίσας, καὶ οἵους καὶ ὅσους ἐδρέψατο τῆς ἐλπίδος καρπούς, εἰς τὸν τούτου Θεὸν ἐλπίζειν παρεγγυᾷ. καὶ Κύριον αὐτὸν, καὶ Θεὸν ὀνομάζει, καὶ δι' ἀμφοτέρων κηρύττει τὸ δυνατόν. εἶτα ἐκ τῆς τῶν ποιημάτων δημιουργίας διδάσκει αὐτοῦ τὴν ἀγαθότητα, καὶ τὴν δύναμιν. ς'. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Συντόμως ἅπασαν τὴν ὁρω-

μένην καὶ ἀόρατον τῷ λόγῳ περιέλαβε κτίσιν. οὐ γὰρ μόνον οὐρανὸς, καὶ γῆς, καὶ θαλάσσης ἐμνήσθη, ἀλλὰ καὶ πάντων τῶν ἐν αὐτοῖς· ἐν οὐρανῷ δὲ ἀγγέλους, καὶ τῶν ἀοράτων ἡ φύσις, καὶ ἥλιος, καὶ σελήνη, καὶ τῶν ἀστέρων τὸ πλῆθος· ἐν γῇ δὲ καὶ θαλάσσῃ ἀνθρώπους, καὶ τῶν ἀλόγων τὰ γένη· τοσαύτη, φησὶ, τῷ ποιητῇ τῶν ὅλων ἡ δύναμις. βλέπεις τοίνυν πόσον ἔστι τὸ διάφορον τῶν φθειρομένων ἀρχόντων, καὶ τοῦ δημιουργοῦ τῶν ἁπάντων. ἵνα δείξας αὐτὸν τῶν ὅλων δημιουργὸν, δείκνυσιν αὐτὸν καὶ προμηθούμενον ὧν ἐποίησεν. ζ'. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα. ποιεῖντες κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσιν. Ἀψευδὴς γάρ ἐστιν ὑπισχνούμενος, καὶ φιλαλήθης τὰς ἐπαγγελίας πληροῖ· ἐπαμύνει δὲ τοῖς ἀδικουμένοις, καὶ κρίνει δικαίως· παρέχει δὲ καὶ πᾶσι τοῖς πεινῶσι τὴν καταλληλον τροφήν. ἐντεῦθεν καὶ τὰς διὰ τῆς ἐνανθρωπήσεως τὸ σωτῆρος ἡμῶν γεγενημένας εὐεργεσίας προλέγει. η'. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς, Κύριος ἀνορθοῖ κατερραγμένους. Ταῦτα καὶ διὰ Ἡσαΐου προφήτου προηγόρευσεν ὁ τῶν ὅλων Θεός. εἰρηκὼς γάρ, δέδωκά σε εἰς φῶς ἐθνῶν, ἐπήγαγεν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. καὶ ἑτέρωθι ἐκ προσώπου ἔφη τοῦ Δεσπότου τοῦ Χριστοῦ· πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς ἀνάβλεψιν· καὶ ἀλλαχοῦ, τότε ἀκούσονται κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ, ὀφθαλμοὶ τυφλῶν ὄψονται. Κύριος ἀγαπᾷ δικαίους. θ'. Κύριος φυλάσσει τοὺς προσηλύτους. Ἑκάστῳ τὰ καταλληλα προσφέρει τῶν ὅλων ὁ Κύριος· καὶ τοὺς μὲν ἀγαπῶντας αὐτὸν δικαίως τοῖς ἴσοις ἀμείβεται, καὶ ἀγάπην αὐτοῖς καὶ φιλοστοργίαν ἀντιδίδωσι πατρικήν· τοὺς δὲ τὴν πατρῴων φυγόντας ἀσέβειαν, καὶ μετὰ πίστεως αὐτῷ προσιόντας, πάσης ἀξιοῖ φυλακῆς τε καὶ προμηθείας. προσηλύτους γὰρ τοὺς ξένους καλεῖ. ἵνα καὶ ὁ μακάριος ἔφη Παῦλος, ὅτι ἦμεν ποτὲ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν, τῆς ἐπαγγελίας ἐλπίδα μὴ ἔχοντες· ἀλλ' οἱ ποτὲ ὄντες μακρὰν ἐγγὺς ἐγενήθημεν. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδοὺς ἁμαρτωλῶν ἀφανιεῖ. Ἀπὸ τῆς καθόλου προνοίας ἐπὶ τὰ μερικὰ τὸν λόγον κατήγαγε, καὶ φησιν ὡς ἀδεὼς ἀμελεῖ τῶν ὅλων ὁ πρύτανις, ἀλλὰ καὶ τοὺς ἐρήμους ἀνθρωπίνης κηδεμονίας πάσης ἀξιοῖ ἐπιμελείας, καὶ τὰς κατὰ τούτων ἐπιβουλὰς διαλύει. ι'. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν. Αἰώνιον γὰρ ἔχει τὸ κράτος, καὶ τὴν βασιλείαν ἀίδιον ὁ νῦν, ὦ Σιὼν, μόνης σου Θεὸς νομιζόμενος.

ΕΡΜΗΝ. ΤΟΥ ρμϛ' ΨΑΛΜΟΥ.

ά. Ἀλληλούϊα. Ἐνταῦθα σαφῶς ἐδιδάχθημεν τοῦ ἀλληλούϊα τὴν ἑρμηνείαν. τὸ γὰρ αἰνεῖτε τὸν Κύριον ἀλληλούϊα ὁ Ἑβραῖος λέγει· ὁ δὲ Σύμμαχος καὶ ἀνερμήνευτον αὐτὸ ἔασε· λέγει δὲ ἔτως, ἀλληλούϊα, ὅτι ἀγαθὸς ψαλμός. ὁ δὲ Θεοδοτίων, αἰνεῖτε τὸν Ἰά· αἰνεῖν καὶ οὗτος τοίνυν ὁ ψαλμὸς παραπελεύεται· προθεσπίζει δὲ τὴν

ἐκ

ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ τὴν μετὰ ταῦτα γενομένην τῆς Ἱερουσαλὴμ οἰκοδομίαν. ἐ γὰρ, ὡς Ἰουδαῖοι προσδοκῶσιν, αὖθις Ἱερουσαλὴμ οἰκοδομηθήσεται, ἀλλὰ τὴν ἤδη γεγενημένην ὑπὸ Ζοροβάβελ οἰκοδομίαν, ὁ προφητικὸς προθεσπίζει λόγος. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλμὸς, τῷ Θεῷ ἡμῶν ἡδυθείη αἴνεσις. Ὀνήσιμός φησιν ἡ ὑμνωδία, καὶ πρόξενος ἀγαθῶν· θυμήρης δὲ τῷ Θεῷ ἐχ ὁ ὕμνος, ἀλλὰ τῶν ὑμνούντων ὁ σκοπός. αὐτὸς δὲ ἀνενδεὴς χαίρει τῇ σωτηρίᾳ τῶν ἀνθρώπων. Β'. Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τῷ Ἰσραὴλ ἐπισυνάξει. Καὶ διὰ τοῦτό φησιν αὐτὸν ὑμνεῖσθαι προσήκει, ὅτι καὶ τὴν καταλυθεῖσαν Ἱερουσαλὴμ οἰκοδομήσει, καὶ τὰς δορυαλώτους γεγενημένας ἀξιώσει τῆς ἐπανόδου. εἰ δὲ μὴ πάντες ἐπανῆλθον, ἐχ ὁ Θεῖος διεψεύσατο λόγος, ἀλλ' ἡ ἐκείνων ἠλέγχθη πονηρία. αὐτὸς μὲν γὰρ διὰ τοῦ Κύρου πᾶσιν ἐπανελθεῖν παρεγγύησεν, οἱ δὲ ἀντίτυπον ἐχθρότες γνώμην, τὴν ἀλλοτρίαν ἀντὶ τῆς πατρίδος προείλοντο. γ'. Ὁ ἰώμενος τὰς συνθλιμμένας τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Συνῆψε τοῖς σωματικοῖς τὰ πνευματικὰ, καὶ ἔδειξεν αὐτὸν ἐ μόνον τοῖς αἰχμαλώτοις τὴν ἐλευθερίαν δωρέμενον, ἀλλὰ καὶ τοῖς τὰ τῆς ἁμαρτίας τραύματα δεξαμένοις τὴν ἴασιν χαριζόμενον. δ'. Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. Διὰ πάντων τοῦ Θεοῦ τὴν δύναμιν κηρύττει. ὁ ἀριθμῶν δὲ ἐντεῦθα τὴν γνῶσιν ἐκάλεσε, καὶ ἄστρων δὲ ὀνόματα τὰς τῶν ἀστέρων διαφορὰς, καὶ τὴν τέτων θέσιν τε, καὶ διάταξιν, καὶ τὴν πρὸς ἄλληλα χέσιν· ἐ γὰρ ὀνόμασι κεχρημένος ὁ τῶν ὅλων Θεὸς τὰς ἀστέρας καλεῖ· ἄψυχα γὰρ ταῦτα, καὶ λόγε ἔστερημένα· ἄνθρωποι δὲ, ἀσεβεῖ γνώμῃ χρησάμενοι, ἀπὸ μύθων ὑπ' αὐτῶν πεπλασμένων ἔθεσαν τοῖς ἄστροις ὀνόματα. ε'. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰχὺς αὐτῷ, καὶ τῆς συνέσεως αὐτῷ ἐκ ἔστιν ἀριθμός. Ἀμέτρητα πάντα, καὶ τὸ μέγεθος, καὶ ἡ ἰχὺς, καὶ ἡ αἴνεσις. ὡς χωρεῖμεν δὲ ὅμως ὑμνεῖμεν. ϛ'. Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλὸς ἕως γῆς. Ὁ Σύμμαχος ἀνακτώμενος εἰρηκεν. καὶ τέτο δὲ τῆς θείας ἴδιον προμηθείας. τὸς μὲν γὰρ δι' ἐπιείκειαν ὑπό τινων ἐπιβελευομένες κηδεμονίας ἀξιοῖ· τὸς δὲ ἀδίκως αὐτοῖς ἐπιόντας παραπέμπει θανάτῳ· καὶ τὸς μὲν περιβλέπτες ποιεῖ καὶ περιφανεῖς· τῶν δὲ τὴν μνήμην παραδίδωσι λήθῃ. ἔτω τῶν ἁγίων ἀποστόλων ἀοίδιμος ὁ χορός· ἔτω πολυθρύλλητοι τῶν μαρτύρων οἱ δῆμοι· τῶν δὲ τέτοις πεπολεμηκότων ἡ μνήμη παραδέδοται λήθῃ. ζ'. Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει· ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ. Ταύτην τοίνυν εἰδότες τοῦ Θεοῦ τὴν ἀγαθότητα, καὶ σοφίαν, καὶ δύναμιν, ἄρχεσθε τῆς ὑμνωδίας ὀργάνοις τοῖς συνήθεσι χρώμενοι. η'. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Ἀμφότερα καὶ τῆς δυνάμεως, καὶ τῆς ἀγαθότητος δείγματα. ὡς ἀγαθὸς μὲν γὰρ, καὶ φιλάνθρωπος, προμηθεῖται τῶν ἐπὶ γῆς· ὡς παντοδύναμος δὲ, μετέωρον φέρει τῶν ὑδάτων τὴν φύσιν, καὶ τῷ ἀρανῷ συγκαλύπτει τὴν θέαν, ὄροφόν τινα μέσον ἀρανῷ καὶ γῆς διὰ τῶν νεφῶν τεκταινόμενος, καὶ ταῖς ὠδῖσι τέτων ἄρδων τὴν γῆν. εἶτα τὴν ἐντεῦθεν φυομένην δείκνυσι χρείαν.

Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Οὐ γὰρ μόνον τὴν ὑπ' ἀνθρώπων γεωργουμένην ἄρδει γῆν, ἀλλὰ καὶ τὰ ὄρη, καὶ τὰς ἐρήμους χώρας, τὸν ἐκ τούτων φυόμενον χιλὸν προσφέρων τοῖς κτήνεσι. καὶ τοῦτο μὲν διὰ τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ποιεῖ, τοῖς ἀνθρώποις γὰρ ὑπηργεῖν τὰ κλήνη προσέταξεν. θ'. Καὶ διδόντι κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλεμένοις αὐτόν. Οὐ λογικὴ τῶν κοράκων ἡ φύσις, ἐδ' ὅτι λογικῶς ἐπικαλεῖται τὸν ποιητήν· ἀλλ' ἡ διὰ τὴν χρείαν κραυγὴ μιμεῖται τὴν αἴτησιν. ἐντεῦθεν ἠγέμαι καὶ τὸν Δεσπότην Χριστὸν, τῶν ἄλλων πηγῶν καταλιπόντα τὴν μνήμην, τῶν κοράκων μνηθῆναι, καὶ τοῖς μαθηταῖς εἰπεῖν, ἀποβλέψατε εἰς τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτούς. ι'. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. ιά. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. Οὐ ῥώμη σώματός φησι, καὶ ἱππικὴ τέχνη, καὶ ταχύτητι ποδῶν ὁ Θεὸς ἐπιτέρπεται· ἀλλὰ καλαῖς πράξεσιν, ὧν δημιουργὸς ἡ εὐλάβεια. οὐ μόνον δὲ τούτων προμηθεῖται σπουδαίως, ἀλλὰ καὶ τῶν περιπεπλωκότων ἁμαρτίαις, μεταμελείᾳ δὲ χρησαμένων, καὶ σπερχθέντων τῇ τῆς φιλανθρωπίας ἐλπίδι· οὐ γὰρ μόνον τοῖς τελείοις τῆς ἀρετῆς ἀθλητὰῖς ἔφη τὸν Θεὸν εὐδοκεῖν, ἀλλὰ καὶ ἐπὶ τοῖς τὸν θεῖον προσμένουσιν ἔλεον.

ΕΡΜΗΝ. ΤΟΥ ρμζ' ΨΑΛΜΟΥ.

Ἀλληλούϊα. Ὑμνεῖν καὶ ἐνταῦθα παρακελεύεται ὁ προφητικὸς λόγος· προλέγει δὲ καὶ τὴν μετὰ τὴν ἐπάνοδον γεγενημένην νίκην. πρὸς δὲ ταύτῃ, καὶ τὰ τῶν ἀποστόλων προθεσπίζει κηρύγματα, πᾶσαν ὅτι τάχισα διαδραμόντα τὴν οἰκουμένην. ιβ'. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σε Σιών. ιγ'. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου. Διὰ τὴν ἄμαχον τοῦ Θεοῦ ῥοπὴν, καὶ τῶν πολεμίων ἀπαλλαγεῖσα, καὶ ἀπολιόρκητος ὦ Ἱερουσαλὴμ μείνασα, ὕμνοις ἀμείβε τὸν εὐεργέτην· Ἱερουσαλὴμ δὲ ἐ τὰς οἰκοδομίας καλεῖ, ἀλλὰ τοὺς ταύτης οἰκήτορας. Εὐλόγησε τοὺς υἱούς σε ἐν σοί. Εὐπαιδίας γὰρ καὶ πολυπαιδίας εὐλογίαν λαβοῦσα εἰς πλῆθος ηὐξήθης. ιδ'. Ὁ τιθεὶς τὰ ὅριά σε εἰρήνην. Δεδώρηταί σοι καὶ πανταχόθεν εἰρήνην. ἐκδεισθέντες γὰρ τῷ δέει τῶν ἀναιρεθέντων ἕτεροι πάλιν ἐπανελθεῖν ἐ τολμῶσιν. Καὶ σίτου πυρῷ ἐμπιπλῶν σε. Ἐπέκλυσέ τε καὶ τοῖς ἀπὸ γῆς ἀγαθοῖς. σίτου γὰρ πυρῷ τῶν καρπῶν τὴν ἀφθονίαν ἐκάλεσεν, ἀπὸ τοῦ μέρους τὸ πᾶν ὀνομάσας. πυρὸς γάρ ἐστιν ὁ σῖτος, σίτου δὲ πυρῷ ὁ κάλλιστος ἄρτος. δεδήλωκε δὲ διὰ τούτου καὶ τοὺς ἄλλους καρπούς. ἀλλὰ ταύτης πάλαι τῆς προνοίας ἀπήλαυον Ἰουδαῖοι· κατὰ δὲ τοῦ σωτῆρος λυτλήσαντες ἔρημοι πάντων ἐγένοντο τῶν ἀγαθῶν. διὰ τοῦτο καὶ ὁ προφητικὸς λόγος ταῦτα περὶ ἐκείνων διεξελθὼν, τῶν ἐθνῶν προθεσπίζει τὴν σωτηρίαν. ιέ. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Λόγον ἐνταῦθα εὐαγγελικὸν ἐκάλεσε κήρυγμα. τοῦτο δὲ οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις ἀπέστειλε. πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη. ἔδειξε δὲ καὶ τὴν ὀξύτητα

τοῦ

τοῦ δρόμε. ἐν ὀλίγῳ γὰρ χρόνῳ πᾶσαν γῆν καὶ θάλασσαν τῆς διδασκαλίας ἐπλήρωσαν· τοῦτο προορῶν ὁ προφήτης ἔφη, ἕως τάχες δραμεῖται ὁ λόγος αὐτοῦ. καὶ καινὸν οὐδὲν, οὐδὲ παράδοξον. πάντα γὰρ ἔοικε τῷ θείῳ βελήματι. αὐτίκα τοίνυν τῶν ὑδάτων τὴν φύσιν μίαν οὖσαν εἰς μυρίας ἰδέας βεληθεὶς μεταβάλλει. ις'. Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. ιζ'. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς. Ἐκ γὰρ τῆς μιᾶς τῶν ὑδάτων οὐσίας γίνεται μὲν ἀντίτυπος κρύσταλλος· γίνεται δὲ χιὼν μανή τε καὶ μαλακὴ, καὶ ἐρὶε κάταγμα μιμεμένη· γίνεται δὲ καὶ κόνις ὑγρά. τοιαύτη γὰρ τῆς ὁμίχλης ἡ Φύσις. Κατὰ πρόσωπον τοῦ ψύχες αὐτῆ τίς ὑποστήσεται; Καὶ τὸν ἀέρα δὲ μεταβάλλει ῥαδίως, καὶ τὸν ἄρτι Φλογώδη μετ' ὀλίγον κρυμώδη ποιεῖ. ιη'. Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Ἀλλὰ πάλιν βεληθεὶς τὸ παγὲν ὕδωρ διαλύει ῥαδίως, καὶ κρυσταλλὸν φέρεσθαι τοῦτο ποιεῖ. τοῦ γὰρ νότου πνέοντος, καὶ χιὼν, καὶ κρύσταλλος λύεται. οὐχ ἁπλῶς δὲ τούτων ἐποιήσατο τὴν διήγησιν, ἀλλὰ ἕτερα διὰ τούτων σημαίνων. καθάπερ γὰρ ἡ χιὼν καταφερομένη τὰ ὄρη πληροῖ· τηκομένη δὲ εἰς τοὺς παρακειμένες χωρεῖ ποταμοὺς, καὶ χωρίοις ἑτέροις ἀρδεία προσφέρεται· οὕτω τῶν θεοσδότων ἀγαθῶν ἡ φορὰ πρώτοις μὲν προσηνέχθη τοῖς Ἰουδαίοις· ἐκείνων δὲ παραπεμψαμένων τὴν χάριν, διὰ τῶν ἱερῶν ἀποστόλων, ὥσπερ διά τινων ποταμῶν, ἡ τῆς διδασκαλίας ἀρδεία προσηνέχθη τοῖς ἔθνεσιν. ιθ'. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακὼβ δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Πάλαι μὲν τὸν νόμον, μετὰ δὲ ταῦτα καὶ τὴν χάριν· ἀλλ' ἀνάξιοι ἑκατέρων ἐδείχθησαν. κ'. Οὐκ ἐποίησεν ἔτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτῆ οὐκ ἐδήλωσεν. Οὐδενὶ γὰρ τῶν ἐθνῶν τὸν διὰ Μωσῆ δέδωκε νόμον, ἤτε τὴν διὰ τῶν προφητῶν προσενήνοχεν ὠφέλειαν. τότες δὲ μόνες τῆς τοιαύτης ἀρδείας ἠξίωσεν· ἀλλ' ἀχάριτοι περὶ τὸν εὐεργέτην ἐγένοντο. τὰ δὲ ἔθνη, διὰ τῶν ἱερῶν ἀποστόλων τῇ νοερᾷ φωτὸς τὴν αἴγλην δεξάμενα, τὸν οἰκεῖον ἐπέγνω δημιεργὸν, καὶ τότῳ προσφέρεται τὸ σέβας δηνεκῶς.

ΕΡΜΗΝ. ΤΟΥ ρμή ΨΑΛΜΟΥ.

α'. Ἀλληλούϊα, ἀλληλούϊα. Διπλῆν ἐποιήσατο τὴν παρακέλευσιν ὁ προφήτης, εἰς πλείονα προθυμίαν τὰς ψυχὰς παραθήγων. ὕμνος δὲ καὶ ἔτος ἕτερος τὴν κτίσιν ἅπασαν, νοητήν τε καὶ αἰσθητὴν, λογικήν τε καὶ ἄλογον, ἔμψυχόν τε καὶ ἄψυχον, εἰς μίαν συμφωνίαν τῆς ὑμνῳδίας διεγείρων. ἐρανὸν μέν τοι καὶ γῆν, καὶ ἀβύσσες, καὶ τὰς κατ' ἐρανὸν φωσῆρας, καὶ ὄρη, καὶ φυτὰ, καὶ τ' ἄλλα ὅσα τοιαῦτα, ὅσα ψυχῆς καὶ λόγου μετέχοντα, προσφέρειν τὸν ὕμνον παρεγγυᾷ· ἀλλ' εἰς ταῦτα τῷ λόγῳ μετειληχότας ἀποβλέπειν κελεύει, καὶ τὴν ἐν τέτοις φαινομένην σοφίαν καταμανθάνοντας τὸν ποιητὴν ἀνυμνεῖν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν ἐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Δύο ἐρανοὺς ὑπὸ τοῦ Θεοῦ γεγενῆθαι ὁ μέγας ἡμᾶς ἐδίδαξε Μωσῆς· τόνδε σὺν τῇ γῇ γεγενημένον, καὶ τὸν ὕστερον μέσον τῶν ὑδάτων προσταχθέντα γενέσθαι, ὃν καὶ στερέωμα προσηγόρευσε. διὰ τῦτο ἐκ τῶν οὐρανῶν,

καὶ

καὶ ἐκ τῶν ὑψίστων, ὑμνεῖσθαι προσέταξε τὸν Θεόν· ἀντὶ τοῦ, καὶ τοὺς ἐν τούτῳ καὶ τοὺς ἐν ἐκείνῳ διάγοντας τῶν ἀσωμάτων χορούς· ἐπειδὴ καὶ ὁ θεῖος Μωσῆς οὐδὲν ἡμᾶς περὶ τῆς τῶν νοερῶν Φύσεων δημιουργίας ἐδίδαξεν, ἀναγκαίως ὁ προφήτης ἐνταῦθα καὶ τὴν τούτων ἐποιήσατο μνήμην. διὸ καὶ προσφέρειν τῷ ποιητῇ τὸν ὕμνον παρεγγυᾷ. τοῦτο γὰρ αὐτῷ παρὰ τῶν ποιημάτων τὸ χρέος ὀφείλεται, καὶ πᾶν ὑπ' αὐτοῦ γενόμενον, καὶ λόγῳ τετιμημένον, προσήκει τοῦτο διὰ παντὸς ἐκτίνειν τὸ ὄφλημα. εἰ δὲ τὰ κτιστὴν ἔχοντα Φύσιν ὑμνεῖ, οὔτε δὲ ὁ υἱὸς τοῖς ὑμνοῦσιν, οὔτε τὸ παναγιον συντέτακται πνεῦμα, δῆλον ὅτι τῆς κτιστῆς οὐχ ὑπάρχουσι Φύσεως· ἢ γὰρ ἂν, πρὸ τῶν ἄλλων τὸν ποιητὴν ὕμνησαν, ὡς δικαιοσύνης πηγαὶ τιμῶσαι τὸ δίκαιον. ἀλλ' οὔτε ὁ υἱὸς ὑμνεῖ, οὔτε τὸ παναγιον πνεῦμα· οὐ τοίνυν κτιστῆς ἐστι Φύσεως, οὔτε ὁ υἱὸς, οὔτε τὸ παναγιον πνεῦμα. ὑμνεῖται δηλονότι καὶ αὐτὸς, καὶ τὸ παναγιον πνεῦμα. οὐ γάρ ἐστιν ἄλλο τι μέσον τῶν ὑμνούντων καὶ ὑμνουμένων, ἀλλ' ἡ μὲν κτίσις ὑμνεῖ, ὁ δὲ κτιστὴς ὑμνεῖται. εἰ δέ τις τὸν κτιστὴν οὐχ ὑμνεῖ, ὡς ἀχώριστος οὐχ ὑμνεῖ. ἀλλὰ ταῦτα πλατύτερον ἐν τοῖς περὶ τοῦ ἁγίου πνεύματος διεξήλθομεν λόγοις. οὐκοῦν ἐπὶ τὰ συνεχῆ τῆς ἑρμηνείας βαδίσωμεν. β'. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Ἀγγέλους καὶ δυνάμεις τὰς νοερὰς Φύσεις καλεῖ· ἀγγέλους μὲν, ὡς τὰ θεῖα διαπορθμεύοντας ῥήματα· δυνάμεις δὲ, ὡς τῶν σωματικῶν παθῶν ἐλευθέρους, καὶ πληροῦν τὰ κελευόμενα δυναμένους. δυναλοὶ γάρ φησιν ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ. πᾶσαν μέν τοι τῶν νοερῶν τὴν Φύσιν διὰ τούτων περιέλαβε τῶν ὀνομάτων. μάλα δὲ ἁρμοδίως τοὺς ἐπουρανίους χορεὺς πρώτους εἰς ὑμνῳδίαν ἐκάλεσε. γ'. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Ὁ δὲ Σύμμαχος ἔτως, ὑμνεῖτε αὐτὸν πάντες ἀστέρες φωτός· ἔτω δὲ καὶ οἱ ἄλλοι· κατὰ τοὺς ἑβδομήκοντα δὲ ἔτω νοητέον· τῇ πρώτῃ ἡμέρᾳ τὸ φῶς ἐδημιούργησεν ὁ Θεὸς, τῇ τετάρτῃ δὲ τὰς φωστῆρας· καὶ διὰ τοῦτο τὸ φωτὸς χωρὶς ἐμνημόνευσεν, οὐχ ὡς καθ' ἑαυτὸ ὑφεστῶτος, ἀλλ' ὡς ἐν τοῖς φωστῆρσι διανεμηθέντος. ταῦτα δὲ, ὡς καὶ ἤδη προειρήκαμεν, οὐκ ἔμψυχα καὶ λογικὰ συγκαλεῖ· ἀλλ' ἡμᾶς ἀφορᾶν εἰς ταῦτα, καὶ τὸ Θεοῦ τὴν σοφίαν καταμανθάνειν, καὶ διὰ πάντων αὐτῷ πλέκειν τὴν ὑμνῳδίαν παρεγγυᾷ. δ'. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Τῷ στερεώματι διεχώρισεν ὁ Θεὸς τῶν ὑδάτων τὴν Φύσιν, τῇ ἀῤῥήτῳ σοφίᾳ τὴν ἐπὶ πλεῖστον αὐτοῖς διανομὴν μηχανώμενος· καὶ ἐπὶ τῶν πεπηγότων ὑδάτων τὸ ἄπειρον τῶν φωστήρων ὁδεύειν προσέταξε πῦρ· ὕδωρ δὲ καὶ πῦρ ἐναντία ἀλλήλοις· ἀλλ' ὅμως οὔτε τοῖς ὕδασι τὸ πῦρ κατασβέννυται, οὔτε τὸ πεπηγὸς ὕδωρ τῷ ἀπείρῳ πυρὶ κατατήκεται· δείκνυσι δὲ ταῦτα τοῦ Θεοῦ τὴν ἀῤῥήτον δύναμιν· πληθυντικῶς δὲ τὰς οὐρανὰς ὠνόμασεν, ἃ πολλὰς τάττες εἰδώς, ἀλλὰ τῇ Ἑβραίων ἀκολουθήσας φωνῇ. πληθυντικῶς γὰρ τάττες ἐκεῖνοι καλοῦσιν, ὡς ἡμεῖς Ἀθήνας, καὶ τὰς Θήβας. ἀμέλει δὲ ἐνταῦθα οὐρανὸς οὐρανῶν ἐκάλεσεν, ἑτέρωθι οὐρανὸν οὐρανῷ προσηγόρευσεν. ὁ οὐρανὸς γάρ φησι τῷ οὐρανῷ τῷ Κυρίῳ. ε'. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου· ὅτι αὐτὸς εἶπε

πε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ἄξιον γάρ φησιν ὑμνεῖν τὸν λόγῳ πάντα ταῦτα τελεσθέντα. ς'. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Οὐ μόνον δὲ ἐδημιούργησεν, ἀλλὰ καὶ προμηθούμενος αὐτῶν διατελεῖ· ὅθεν καὶ τὸ διαρκὲς ἔχουσιν, ὡς ἂν αὐτὸς ἐθελήσῃ. οὐδὲ γὰρ τοὺς ὑπ' αὐτοῦ τεθέντας ὅρους παραβῆναι δυνήσεται. τὰ μὲν ἔν ἀψυχα, καὶ μέντοι καὶ τῶν ἄλλων τὰ γένη, τοὺς τεθέντας αἰσχύνεται νόμους· μόνη δὲ τῶν ἀνθρώπων ἡ Φύσις, ἡ λόγῳ τετιμημένη, παραβαίνει τοὺς νόμους. καὶ ἡ μὲν θάλασσα τοὺς ὅρους ἐπίσταται, καὶ τὴν ψάμμον αἰσχύνεται, καὶ νὺξ καὶ ἡμέρα τὰ τεθέντα φυλάττουσι μέτρα· ἄνθρωποι δὲ τῶν θείων νόμων καταφρονοῦσιν. οὕτω δὲ καὶ τὰ ἑπτάνια καὶ ὀράνια εἰς κοινωνίαν τῆς ὑμνῳδίας καλέσας, εἰς τὴν γῆν μεταβαίνει τὴν κοινὴν τῶν ἀνθρώπων, καὶ τῶν ἀλόγων μητέρα. ζ'. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς. Εἶτα κατὰ μέρος, Δράκοντες, καὶ πᾶσαι ἄβυσσοι. Μέρος τῆς γῆς ἡ θάλασσα, ἐν δὲ ταύτῃ τὰ κήτη. ἀξιάγαστος δὲ τοῦ δημιουργοῦ καὶ αὕτη ἡ πρόνοια, ὅτι τὰ ὑπερμεγέθη καὶ ὑπέρογκα ζῶα δημιουργήσας, τοῖς ἀπλώτοις ἐγκαθεῖρξε πελάγεσι· δείξας μὲν τῇ δημιουργίᾳ, καὶ τῇ τέτων μνήμῃ δεδιττόμενος τοὺς ἀνθρώπους, τῷ δὲ τὴν ἐντεῦθεν κωλύσαι λώβην κηρυττων τὴν ἀγαθότητα. η'. Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος. Καὶ ταῦτα ἐξ ὑδάτων ἔχει τὴν ἀφορμήν· ἐν ἀέρι δὲ γίνεται καὶ χάλαζα, καὶ χιὼν, καὶ κρύσταλλος, καὶ τὰ σφοδρὰ πνεύματα. ταῦτα γὰρ καταιγίδας ἐκάλεσε· καὶ τὸ πῦρ δὲ ὡσαύτως οὐ μόνον ἐν γῇ, ἀλλὰ καὶ ἐν ἀέρι φαινόμενον ἔστιν ἰδεῖν. καὶ γὰρ ἀστραπαὶ, καὶ κεραυνοὶ, καὶ πρηστῆρες, ἐξ ἀέρος ἐπιφέρονται. Τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Καὶ ταῦτα δέ φησι τοῖς αὐτοῦ νεύμασιν εἴκειν, οὐχ ὡς ἔμψυχα καὶ λογικὰ, ἀλλ' ὡς ἑπόμενα τῷ βουλήματι. νεύοντος γὰρ τοῦ Θεοῦ τούτων ἕκαστον γίνεται. θ'. Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. Ἱκανὰ καὶ ταῦτα εἰς εὐχαριστίαν κινῆσαι ἡμῶν τὰς γλώττας· οὐ γὰρ μόνον τὸ τούτων μέγεθος ἀξιάγαστον, ἀλλὰ καὶ ἡ ἐντεῦθεν φυομένη χρεία· πλείστη γὰρ καὶ παντοδαπή. ι'. Τὰ θηρία, καὶ πάντα τὰ κτήνη. Κατὰ διαίρεσιν καὶ ταῦτα· οὐ γὰρ ἁπλῶς εἶπε τὰ τετράποδα, ἀλλὰ διέκρινε τῶν ἡμέρων τὰ ἄγρια· καὶ διὰ τούτων μέντοι, καὶ δι' ἐκείνων, κελεύει τὸν ποιητὴν ὑμνεῖν. οὐδὲν γὰρ περιττὸν καὶ ἀχάριστον, εἰ καὶ τὴν ἡμετέραν διαφεύγει γνῶσιν. Ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Τῇ μνήμῃ τῶν ἑρπετῶν καὶ τῶν νηκτῶν ἡ Φύσις συνέζευκται· ἕρπει γὰρ ἐν τοῖς ὕδασιν. οὕτω δὲ αὐτὰ καὶ ὁ Θεὸς προσηγόρευσεν, ἐξαγαγέτω γὰρ ἔφη τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ τὰ πετεινὰ πετόμενα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ· μετὰ ταῦτα πάντα τὸν διὰ πάντων ὑμνοῦντα καλεῖ· μετὰ πάντα γὰρ τῆς θείας ἠξιώθη δημιουργίας ὁ ἄνθρωπος. καὶ τοῦτον δὲ κατὰ συμμορίας ἀγείρει· πρῶτον δὲ τὸν τῶν βασιλέων εἰσάγει χορὸν, εἶτα τῶν ὑπηκόων τοὺς δήμους, καὶ φησιν ια'. Βασιλεῖς τῆς γῆς, καὶ πάντες

λαοί. Οὐκ ἀποζερεῖ δὲ τῆς ὑμνῳδίας, ἔτε τοὺς δευτέρους ἄρχοντας, ἔτε τὲς μετὰ τούτους κριτὰς, ἀλλὰ καὶ τούτες τῆς ἐντεῦθεν μεταδίδωσιν ὠφελείας. Ἄρχοντες, καὶ πάντες κριταὶ γῆς. Καὶ ἡλικίαν δὲ ἑκάστην, καὶ γένος ἑκάτερον, τό τε ἄρσεν καὶ τὸ θῆλυ, τῆτο κελεύει ποιεῖν· καὶ πρώτες μὲν καὶ πρώτας τοὺς τελείαν ἄγοντας τὴν ἡλικίαν. ιβ'. Νεανίσκοι καὶ παρθένοι. Εἶτα ἑκάτερον ἄκρον, Πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Καὶ ἡ ἄωρός φησιν, καὶ ἔξωρος ἡλικία τὸν Θεὸν ἀνυμνείτω. ιγ'. Ὅτι ὑψώθη τὸ ὄνομα αὐτῦ μόνου. Ἔσβεσται γὰρ ἡ μνήμη τῶν ψευδωνύμων Θεῶν, καὶ μόνε τῦ ὄντος Θεοῦ σεπτὸν τὸ ὄνομα πέφηνεν. ιδ'. Ἡ ἐξομολόγησις αὐτῦ ἐπὶ γῆς καὶ ὐρανοῦ. Οὐκ ἔτι γὰρ αὐτὸν μόνον ὑμνεῖ τὰ ἐπουράνια, ἀλλ' ἐπληρώθη ἡ σύμπασα γῆ τῦ γνῶναι τὸν Κύριον· ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Καὶ ὑψώσει κέρας λαῦ αὐτῦ. Ἄμαχον δὲ φησι δείξει καὶ περίβλεπτον τὸν οἰκεῖον λαόν· κέρας γὰρ τὴν ἰσχὺν ἐκάλεσεν, ἐκ μεταφορᾶς τῶν κερασφόρων ζώων, ἃ τὴν ἰσχὺν ἔχειν ἐν ἐκείνοις σεμνύνεται. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτῦ. Οὐ μόνον γὰρ ἰσχυροὺς τοὺς εἰς αὐτὸν πεπιστευκότας, ἀλλὰ καὶ ἀοιδίμους παρὰ πᾶσι ποιεῖ. Τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. Ταύτης δὲ τῆς εὐκλείας καὶ ὁ Ἰσραὴλ ἀπήλαυσεν, ἡνίκα ἐπέλαζε τῷ Θεῷ· μετέβη δὲ νῦν μετὰ τῆς εὐσεβείας ἡ περιφάνεια, καὶ οἱ μὲν ἐγυμνώθησαν ταύτης, τὰ δὲ ἔθνη ταῖς θείαις ἀγάλλεται δωρεαῖς.

ΕΡΜΗΝ. ΤΟΥ ρμθ' ΨΑΛΜΟΥ.

α'. Ἀλληλούϊα, ἀλληλούϊα. Τοῦτον προσφέρειν τὸν ὕμνον παρακελεύονται οἱ μετὰ τὴν ἐπάνοδον τὰ πολλὰ ἔθνη ἐκεῖνα διὰ τῆς θείας νενικηκότες ῥοπῆς. ἔχει δὲ πρόῤῥησιν καὶ τῶν ὑπὸ τῶν Μακκαβαίων κατορθωθέντων. β'. ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ἡ αἴνεσις αὐτῦ ἐν ἐκκλησίᾳ ὁσίων. Οὐ γὰρ τῶν παρανόμων, ἀλλὰ τῶν ὁσίων ἴδιον τὸν Θεὸν ἀνυμνεῖν. γ'. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Πάντων μὲν Θεὸς ὁ τῶν ὅλων Θεὸς, ἰδίως δὲ τῶν Ἰσραηλιτῶν ἐχρημάτιζε βασιλεύς. αὐτίκα τοίνυν τὴν ἀχαριστίαν νενοσηκότων, καὶ ἕτερον αὐτοῖς αἰτησάντων βασιλέα γενέσθαι, φησὶ πρὸς τὸν Σαμουὴλ ὁ Θεὸς, οὐ σὲ ἐξουδενήκασιν, ἀλλ' ἐμὲ τῦ μὴ βασιλεύειν αὐτῶν. δ'. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Διὰ παντὸς ὀργάνου, φησὶ, κατὰ τὸν νόμον τὸν ἡμέτερον ὑμνήσωμεν τὸν εὐεργέτην. ε'. Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτῦ. Πολλῆς ἡμᾶς, φησὶ, φιλανθρωπίας ἠξίωσε, καὶ τὴν οἰκείαν ἡμῖν ἔδειξεν ἀγαθότητα. Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Τοὺς δὲ ἐρήμους βοηθείας, καὶ τρόποις ἀγαθοῖς κεχρημένους, ὑψηλοὺς ἀποφανεῖ, καὶ περιβλέπτους. ς'. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Καὶ οἱ τὸ δίκαιον τιμῶντες, ἐν εὐκλείᾳ γενήσονται, πολλῆς ἀπολαύοντες ἀναπαύλης. κοίτην γὰρ τὴν ἀνάπαυλαν ἐκάλεσεν. ἀναπαύλης γὰρ ἡ κλίνη σημαν-

μαντική. ζ'. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν. Διηνεκῶς δὲ τὰς θείας εὐεργεσίας κηρύττουσι, τὸν τούτων αἴτιον ἀνυμνοῦντες. Καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. η'. Τὸ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Οὐκ ἐναντίον τῇ ἀναπαύλῃ τὸ ἐν πολέμοις νικᾶν. πάσης γὰρ ἀναπαύλης τὸ νικᾶν θυμηρέστερον. προλέγει μέντοι διὰ τούτων τὴν τῶν Μακκαβαίων ἀνδρείαν, ἣ χρησάμενοι, καὶ τοὺς πλησιοχώρους ἐχειρώσαντο, καὶ τοὺς Μακεδόνας κατηγωνίσαντο. θ'. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Πολλὰ τοιαῦτα ὑπ' ἐκείνων κατορθῶσθαι ἡ ἱστορία διδάσκει, καὶ ῥᾴδιον τοῖς ἐντυχεῖν βουλομένοις τῆς προφητείας καταμαθεῖν τὴν ἀλήθειαν. ι'. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Ἃ γὰρ εἰς ἐκείνους ἐνδίκως εἰργάσαντο, ἀνάγραπτα γέγονε, καὶ μέχρι τήμερον ἀείμνηστον αὐτῶν τὸ κλέος διέμεινε. τοῦτο γὰρ ἐπήγαγε. Δόξα αὕτη ἔσαι πᾶσι τοῖς ὁσίοις αὐτοῦ. Μήτης γὰρ τῆς εὐκλείας ἡ ὁσιότης, καὶ οἱ ταύτης ἐργάται δι' αὐτὴν ἀοίδιμοι γίνονται.

ΕΡΜΗΝ. ΤΟΥ ρν' ΨΑΛΜΟΥ.

ά. Ἀλληλούϊα, ἀλληλούϊα. Ἐπινίκιος καὶ οὗτος ὁ ὕμνος· προλέγει δὲ τὴν ἐσομένην πᾶσιν ἀνθρώποις θεογνωσίαν. β'. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. Ἱκανὴ γὰρ ἀφορμὴ εἰς ὑμνῳδίαν αὕτη. εἰ γὰρ ἀπὸ φυτῶν, καὶ θηρίων, καὶ ἑρπετῶν, πρόφασιν εἰς εὐχαριστίαν λαβεῖν προσετάχθημεν, πολλῷ μᾶλλον εἰς τὰς ἁγίας ἀφορμὰς, καὶ τὸν τούτων Θεὸν ἀνυμνεῖν δικαιότερον. τίς γὰρ τὰ κατὰ τὸν μακάριον διδασκόμενος Παῦλον, ἢ τὸν θεσπέσιον Πέτρον, ἢ τὸν θειότατον Ἰωάννην, ἢ τοὺς ἄλλους ἀποστόλους, ἢ τοὺς νικηφόρους μάρτυρας, ἢ τοὺς ἄλλους ἁγίους, ἢ τοὺς νῦν τῆς ἀρετῆς ἀθλητὰς, οὐ κινεῖ τὴν γλῶτταν εἰς ὑμνῳδίαν τοσαύτην τοῖς ἀνθρώποις τῶν ἀγαθῶν δωρησαμένε Φορέν; Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. Ὁ δὲ Σύμμαχος οὕτως, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῷ ἀκαθαιρέτῳ αὐτοῦ. μόνος γὰρ στερρὸν, καὶ ἀνώλεθρον, καὶ αἰώνιον ἔχει τὸ κράτος. γ'. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. Ἄρρητα γὰρ τὰ διὰ τῶν ἁγίων αὐτοῦ διηνεκῶς κατορθούμενα. Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Ἔοικε τοῦτο τοῖς ἤδη παρ' ἡμῶν ἑρμηνευομένοις, ὅτι τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἄπειρον γὰρ αὐτοῦ, φησὶ, τὸ μέγεθος, ἀμέτρητος ἡ δύναμις· διὸ πάντα τοίνυν αὐτὸν ὑμνοῦντες διατελέσατε. δ'. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. Ἱερατικὸν ἦν τοῦτο τὸ ὄργανον. οἱ ἱερεῖς γὰρ ἐχρῶντο ταῖς σάλπιγξι, τῶν ἐν Σινᾷ ὄρει γενομένων σαλπίγγων ἀναμιμνήσκοντες. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. ε'. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. ς'. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Τούτοις οἱ Λευῖται πάλαι τοῖς ὀργάνοις ἐχρῶντο ἐν τῷ θείῳ νεῷ τὸν Θεὸν ἀνυμνοῦντες· οὐκ ἐπειδὴ Θεὸς ἐτέρπετο τῇ τούτων ἠχῇ, ἀλλ' ἐπειδὴ τῶν

γιγνομένων τὸν σκοπὸν ἀπεδέχετο. ὅτι γὰρ ᾠδαῖς καὶ κρούμασι τὸ θεῖον οὐκ ἐπιτέρπεται, ἀκούομεν αὐτῦ λέγοντος Ἰουδαίοις, ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σε, καὶ φωνῆς ὀργάνων σε οὐκ ἀκούσομαι. ταῦτα τοίνυν γίνεσθαι συνεχώρησε, τῆς τῶν εἰδώλων αὐτοὺς πλάνης ἀπαλλάξαι θελήσας· ἐπειδὴ γὰρ φιλοπαίγμονές τινες ἦσαν, καὶ φιλογέλωτες, ταῦτα δὲ ἅπαντα ἐν τοῖς εἰδώλων ἐπετελεῖτο ναοῖς, συνεχώρησε ταῦτα, διὰ τούτων αὐτοὺς ἑφελκόμενος, καὶ τῇ ἐλάττονι βλάβῃ κωλύων τὴν μείζονα, καὶ διὰ τῶν ἀτελῶν προπαιδεύων τὰ τέλεια. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ πάντες ἄνθρωποι. οὐ γὰρ Ἰουδαίων θεὸς μόνον, κατὰ τὸν θεῖον ἀπόστολον, ἀλλὰ καὶ ἐθνῶν. ἐν μὲν οὖν τῷ Ρ' καὶ ΜΔ' ἔφη ψαλμῷ, εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ· ἐνταῦθα δὲ, πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. οὔτε δὲ ἐκεῖ μόνην τὴν σάρκα, οὔτε ἐνταῦθα μόνην ἐκάλεσε τὴν πνοήν· ἀλλὰ καὶ δι' ἐκείνου καὶ διὰ τούτου, καὶ σώματι καὶ ψυχῇ ὑμνεῖν παρακελεύεται τὸν τῶν ὅλων Θεόν. ἀξιάγαστον δὲ τῆς ὅλης τῶν ψαλμῶν πραγματείας τὸ τέλος, καὶ τῷ σκοπῷ τῆς προφητείας συμβαῖνον. καὶ γὰρ ἡ προφητεία τοῖς ἔθνεσι κηρύττει τὴν σωτηρίαν, καὶ τῆς προφητείας τὸ τέλος τοὺς ταύτης τετυχηκότας ὑμνεῖν τὸν εὐεργέτην παρακελεύεται. ἡμεῖς δὲ οὐ μόνον τῶν ῥημάτων ἀκούομεν, ἀλλὰ καὶ ἐνταῦθα θεωροῦμεν τὰ πράγματα. ἐν ἑκάστῃ γὰρ καὶ πόλει, καὶ κώμῃ, καὶ ἀγροῖς, καὶ ἐν ἐρκτιαῖς, καὶ ὄρεσι, καὶ βουνοῖς, καὶ ἐν τῇ οἰκήτῳ καὶ παντελῶς ἐρήμῳ, ὁ τῶν ὅλων ὑμνεῖται Θεός.

Ἐγὼ δὲ τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ παρακαλῶ, εἰ μὲν εὖ καὶ καλῶς ἑρμηνεύεσθαι δόξειε, τὴν ἐκ τούτων ὠφέλειαν καρπώσασθαι· εἰ δέ που τῶν κεκρυμμένων τοῦ πνεύματος οὐκ ἐφικόμεθα μυστηρίων, μὴ σφόδρα ἡμῖν ἐπιμέμψασθαι. ἃ γὰρ εὑρεῖν ἠδυνήθημεν, ἀφθόνως ἅπασι προτεθείκαμεν, καὶ ἃ παρὰ τῶν πατέρων ἐδιδάχθημεν, τοῖς μεθ' ἡμᾶς προσενεγκεῖν ἐσπουδάσαμεν. καὶ τὸν μὲν πόνον ἡμεῖς ἠνεχόμεθα, ἄπονον δὲ ἄλλοις ὠφέλειαν προσφέρομεν. οὓς ἀξιῶ εὐχαῖς τὸν πόνον ἀμείψασθαι· ἵνα ταύταις ἐρειδόμενοι, προσθῶμεν τοῖς λόγοις τὰ ἔργα, καὶ τὸν ἐξ ἑκατέρων συγκείμενον μακαρισμὸν καρπωσώμεθα. ὁ γὰρ ποιήσας, φησὶ, καὶ διδάξας, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα πρέπει, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΠΙΝΑΞ